
ANDOVER-HARVARD LIBRARY
AH 5GZ8 5

CATENÆ

GRÆCORUM PATRUM

IN

NOVUM TESTAMENTUM.

EDIDIT

J. A. CRAMER, S. T. P.
AULÆ NOVI HOSPITII PRINCIPALIS,
NECNON
HISTORIÆ MODERNÆ PROFESSOR REGIUS.

TOMUS V.

IN EPISTOLAS S. PAULI AD CORINTHIOS.

OXONII,
E TYPOGRAPHEO ACADEMICO.
M.DCCC.XLIV.

MONITUM LECTORI.

COMMENTARIUM in primam Sancti Pauli ad Corinthios Epistolam, quem ineditum antehac nunc publici juris facimus, nobis suppeditavit Codex Regius Paris. 227, cujus hæc est e Catalogo descriptio: "Codex "chartaceus olim Bigotianus, quo continetur Catena in "primam Pauli ad Corinthios Epistolam e veterum "scriptis collecta. (seq. Auctorum nomina.) Is Codex "sæculo decimo sexto videtur exaratus. Librarius in "primis paginis undecimi sæculi scripturam satis feli-"citer imitatus est." Nec quidem dubitandum est hunc Codicem ex antiquissimo exemplari descriptum fuisse, quoniam nobis servavit magnam partem operis, quod jam pridem ævo absumptum fuisse, et ne Latina quidem Versione aliquatenus servatum, videbatur. Origenis dico in primam Sancti Pauli Epistolam ad Corinthios Commentarii.

Id tantum exstitisse cognoveramus ex Hieronymi Epistola ad Pammachium, (Ep. XXXI. al. LII.) ubi ait eum Patrem Ecclesiæ fuisse inter eos, qui hanc S. Scripturæ partem latissime interpretati sint. Gaudemus igitur quod nunc nostri Codicis ope ejus antiqui Scriptoris Reliquiæ ampliores evasuræ sint. Post Origenem sæpissime ad partes vocantur, Joannes Chrysostomus, Theodoretus, et illi quidem editi; inediti vero, Cyrillus, Severianus, Theodorus Mopsuestenus.

Ultimo loco ponendi sunt recentiores Scriptores Photius et Œcumenius, in qua sola parte Codex noster cum editis Catenis conspirat, quæ vulgo Œcumenio auctori adscribuntur: sed falso ut opinor; cum ejus nomen huc et illuc tantum in margine optimorum Codicum adscriptum legatur.

Non æque feliciter res nobis cessit quoad Interpretes in secundam Epistolam ad Corinthios. Nam Codices plerumque cum Editis libris consentire inventi sunt, et parum quod novi esset continere. Melior aliquantum præ ceteris atque accuratior nobis visus est Codex Reg. 223, qui est membr. atque manu Theopempti Lectoris anno Chr. 1045 exaratus. Is quidem Œcumenianæ est familiæ, et Scholia potius quam justam Catenam e Patribus contextam referre videtur. Adhibuimus præterea Specimina quædam e Cod. 216. qui membr. est, olim Mediceus et sæculo decimo ineunte exaratus, et licet ejusdem familiæ cum priore, tamen in multis diversus abit.

Denique contulimus cum editis Œcumenii qui feruntur commentariis in binas Epistolas ad Corinthios antiquissimum et optimæ notæ Codicem Bodleianum Auct. T. I. 7. olim Meermann. e cujus margine multa supplevimus atque correximus in libro Paris. edito Ann. 1631. qui plurimis erroribus depravatur.

Paucula insuper adjecimus e Cod. Roe 16. qui ejusdem est familiæ cum priore, sed tamen discrepat nonnullis in locis, quod, ut jam notavi (in Præf. ad Cat. in S. Matt. Ev. p. xv.) de toto hoc Codicum genere verum est.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ

ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

ΤΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ Ἐφέσου τῆς Ἀσίας, ἑωρακὼς αὐτοὺς ἤδη καὶ διδάξας, ὑπομιμνήσκων δὲ ὅμως διὰ τῆς ἐπιστολῆς ταύτης. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. Κορίνθιοι ἐκ φιλονεικίας συναγόμενοι, ἐσχίζοντο ταῖς γνώμαις, καὶ λοιπὸν ἦν ἐν αὐτοῖς σχίσματα. καὶ ὄντων τῶν σχισμάτων, παρεβλέποντο τὸν λαβόντα τὴν μητρυιάν. ἄλλοι δὲ ἤθελον καταλιμπάνειν τὰς ἰδίας[a] γυναῖκας, προφάσει τῆς ἐγκρατείας. τινὲς δὲ[b] ἐν εἰδωλείοις ἤσθιον, ὡς ἀδιαφόρων ὄντων τῶν εἰδωλοθύτων. ἄλλοι δὲ, τοὺς μὲν ἄλλους ἐξουθένουν, τοὺς δὲ λαλοῦντας γλώσσαις ἐθαύμαζον. καὶ τέλος ἠπάτηντο καὶ εἰς τὸ περὶ ἀναστάσεως μυστήριον, λέγοντες μὴ ἐγείρεσθαι τὴν σάρκα ταύτην. τούτων πάντων ἐν Κορίνθῳ κινουμένων, γράφουσιν οἱ λαοὶ τῷ Ἀποστόλῳ. καὶ λοιπὸν πρὸς πάντα ἀντιγράφει. καὶ πρῶτον μὲν, μαρτυρεῖ αὐτοῖς ἐν φρονήσει καὶ γνώσει. οὐκ ἀποδέχεται δὲ[c] αὐτοὺς ποιοῦντας σχίσματα[d], ἀλλὰ καὶ συμβουλεύει, μὴ ἐν λόγῳ τὴν ἀρετὴν, ἀλλ' ἐν ἔργῳ καὶ δυνάμει ἡγεῖσθαι. ἔπειτα ἐπιτιμήσας τῷ τὴν μητρυιὰν λαβόντι, καὶ παραινέσας μὴ ἔχειν κρίματα πρὸς ἑαυτοὺς, λοιπὸν[e] περὶ ὧν ἔγραψαν ἀποκρίνεται· περὶ μὲν τοῦ γάμου διδάσκων ἄρρηκτον εἶναι τὴν συζυγίαν, καὶ ἐν καιρῷ μόνῳ σχολάζειν, διὰ τὴν εὐχήν. διὰ δὲ τὸ ἀγαπᾶν αὐτοὺς τὴν ἐγκράτειαν, γράφει περὶ παρθενίας, ὅτι οὐ κατὰ ἀνάγκην, ἀλλὰ πειθοῖ τοῦτο γινέσθω[f]. εἶτα περὶ τῶν εἰδωλοθύτων, ἵνα μὴ καταχρῶνται τῇ γνώσει, ἀλλὰ τῇ ἀγάπῃ πολιτεύωνται[g]. κωλύει οὖν τὰ ἐν εἰδωλείῳ[h] συμπόσια, ἵνα μὴ

[a] ἰδίας om. R. [b] τ. δὲ καὶ R. [c] δὲ om. R. [d] τὰ σχ. R.
[e] λοιπὸν om. R. [f] γενέσθαι R. [g] πολιτεύονται R. [h] εἰδωλίῳ R.

σκανδαλίζωνται οἱ μικροί. εἶτα περὶ τῶν πνευματικῶν χαρισμάτων γράφει, ἵνα μὴ διαφέρωνται ἐν τοῖς χαρίσμασι, μηδὲ προκρίνωσι τὸν ἔχοντα χάρισμα τόδε, τοῦ ἔχοντος τόδε. πάντα γὰρ τοῦ αὐτοῦ[i] Πνεύματος εἶναι λέγει. καὶ λοιπὸν περὶ ἀναστάσεως διδάσκει, ὅτι ἡ σὰρξ ἐγείρεται, ἀποθνήσκουσα μὲν φθαρτὴ[k], ἐγειρομένη δὲ ἄφθαρτος κατὰ τὴν τοῦ Χριστοῦ χάριν. τὴν δὲ ἀνάστασιν, ἀπὸ τοῦ ἐγηγέρθαι[l] τὸν Χριστὸν συνίστησι. καὶ τέλος[m] παραινετικοὺς λόγους εἰς τὰ ἤθη γράφει, καὶ περὶ λογίας τῆς εἰς τοὺς ἁγίους παραγγέλλει, καὶ οὕτως τελειοῖ τὴν ἐπιστολήν.

Θεοδωρίτου. Ὁρῶν ὁ Δαίμων οὕτω πολυάνθρωπον τὴν Κόρινθον, καὶ εἰδωλολάτριν πεπιστευκυῖαν Θεῷ, παρασκευάζει τινὰς ἐκ τῶν παρὰ σφίσι πλουσίων καὶ φιλοσόφων αὐτοχειροτονήτους προστατεῖν τοῦ δήμου ἐν τοῖς πνευματικοῖς πράγμασιν, ὡς λοιπὸν τοῦ λαοῦ πολλούς, τοὺς μὲν τοῖς πλουσίοις ὡς δυνατοῖς προσχωρῆσαι, τοὺς δὲ τοῖς[n] φιλοσόφοις ὡς πλέον[o] διδάσκειν δυναμένοις παρὰ τὴν τοῦ Ἀποστόλου διδαχὴν, ὡς ἐκ τούτου σχίσματα καὶ ἔριδας γίνεσθαι παρ' αὐτοῖς. ἔγραψαν οὖν τῷ Παύλῳ διὰ Φορτουνάτου[p], καὶ Στεφάνου[q], καὶ Ἀχαϊκοῦ, περὶ γάμου καὶ παρθενίας, δι' ὧν[r] καὶ ἀντιγράφει αὐτοῖς, καὶ περὶ τούτων καὶ περὶ ἄλλων, συναποστείλας καὶ τὸν Τιμόθεον. ἐπεὶ οὖν ἐξ ἀπονοίας ἦσαν τὸν λαὸν διανειμάμενοι οἱ πλούσιοι καὶ φιλόσοφοι, τῆς ἀπονοίας διορθοῦται τὸ πάθος ἐν πρώτοις.

[i] αὐτοῦ om. R. [k] Sic R. σαρκὶ Ed. Œcum. [l] ἐγείρεσθαι R.
[m] εἰς τέλος R. [n] τοῖς om. R. [o] πλ. τι R. [p] Sic R. Φουρτ. Ed.
[q] Στεφανᾶ R. [r] δι' ὃ R.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ ΠΡΟΣ

ΚΟΡΙΝΘΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ ΠΡΩΤΗΣ.

α΄. Περὶ τοῦ μὴ διχονοεῖν πρὸς ἀλλήλους ἐκ φιλοδοξίας τῆς ἐπὶ σοφίᾳ ἀνθρωπίνῃ.

β΄. Κατὰ πορνῶν καὶ πορνείας, καὶ τῶν τούτοις κοινωνούντων.

γ΄. Περὶ τοῦ μὴ δεῖσθαι δικῶν, καὶ ταῦτα ἐπὶ ἀπίστων.

δ΄. Περὶ γάμου καὶ χηρείας καὶ ἀγαμίας.

ε΄. Περὶ διαφορᾶς ἐδεσμάτων, καὶ ἀποχῆς δαιμονικοῦ σεβάσματος.

ς΄. Περὶ σχήματος ἀνδρῶν καὶ γυναικῶν, ἐν εὐχαῖς καὶ προφητείαις.

ζ΄. Περὶ κοινωνίας θεοπρεποῦς, οὐ πλησμονικῆς.

η΄. Περὶ διαφορᾶς χαρισμάτων, καὶ οἰκονομίας αὐτῶν.

θ΄. Περὶ ἀναστάσεως σωμάτων καθολικῆς.

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΗΝ

ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ Α ΕΠΙΣΤΟΛΗΝ.

ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΠΡΩΤΗ.

1 ΠΑΥΛΟΣ κλητὸς Ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ
2 θελήματος Θεοῦ, καὶ Σωσθένης ὁ ἀδελφός· τῇ ἐκκλησίᾳ
τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, ἡγιασμένοις ἐν Χριστῷ
Ἰησοῦ, κλητοῖς ἁγίοις, σὺν πᾶσι τοῖς ἐπικαλουμένοις
τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν παντὶ
τόπῳ αὐτῶν τε καὶ ἡμῶν.

Καὶ αὐτὸ τὸ προοίμιον τὸν τῆς κατηγορίας μηνύει σκοπόν· διδάσκει γὰρ αὐτοὺς μὴ ἑαυτοῖς θαρρεῖν, ἀλλ' ἐπὶ τῷ σεσωκότι Θεῷ μέγα φρονεῖν· διὰ τοῦτο καὶ τῆς ἀποστολικῆς κλήσεως ἐμνημόνευσε· μονονουχὶ λέγων, ὑμεῖς μὲν ἑαυτοὺς ἐξ ἀνθρώπων ὀνομάζετε, ἐγὼ δὲ ἐμαυτὸν ἀπὸ τοῦ καλέσαντός με καὶ ἀποστείλαντος Ἰησοῦ Χριστοῦ.

Ἐνταῦθα τοῦ μὲν καλέσαντος τὸ πᾶν· τοῦ δὲ κληθέντος ὁ[a] ὡς εἰπεῖν γίνεται.

Σευηριανοῦ. *Τοῦτο οὐκ ἁπλῶς προσέθηκεν. ἀλλ' ἵνα δείξῃ ὅτι Θεοῦ θέλημα τὸ πάντας ἀπὸ Χριστοῦ λέγεσθαι, καὶ τὸ Ἀποστόλους εἶναι.*

Θεοδωρίτου. *Καὶ τοῦτο τῆς διαφωνίας ὡσαύτως κατηγορεῖ. Πατρὸς γὰρ καὶ Υἱοῦ τὴν συμφωνίαν ἀπέδειξεν. διδάσκει δὲ ἡμᾶς καταταυτὸν ὡς ἀδιαφόρως ταῖς προθέσεσι κέχρηται[b]. ἐνταῦθα γὰρ τὴν "διὰ" ἐπὶ τοῦ Πατρὸς τέθεικεν.*

Κυρίλλου. *Ἀπεστάλθαι φησὶν ὁ θεσπέσιος Παῦλος παρὰ Χριστοῦ, εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρός. τοῦτο γὰρ οἶμαι ἐστὶ*

a οὐδὲν vid. leg. b κέχρηται Cod.

τὸ "διὰ θελήματος Θεοῦ." ἐπειδὴ γὰρ δι' Υἱοῦ τὸ θέλειν, καὶ τὸ ἐνεργεῖν ἐστι τοῦ Πατρός. δι' αὐτοῦ πάλιν τοὺς ἁγίους εἰς ἀποστολὴν προκεχειρῆσθαι φαμέν.

Θεοδωρίτου. Σοφῶς δὲ τοὺς παρ' ἑκάστοις τετιμημένους, ὥσπερ καὶ τὸν Σωσθένην τοῖς ἐν Κορίνθῳ διεγνωσμένοις, καὶ ἁπάσης ἐπιεικείας ἐμπλέω δέχεται συνεπιστέλλοντας. Οἷον ἐκδυσωπῶν τοὺς ἔσθ' ὅτε τε πρὸς τοῦτο ἰόντας ἀντανίστασθαι τολμᾶν τοῖς παρ' αὐτοῦ κηρύγμασιν, ἢ καὶ μὴ εὖ πεποιῆσθαι λέγειν αὐτά. Τοῦτον ὑπολαμβάνω Κορίνθιον εἶναι. μέμνηται δὲ αὐτοῦ καὶ ἡ τῶν Πράξεων ἱστορία· καὶ διδάσκει ἡμᾶς ὁ μακάριος Λουκᾶς ὡς ἁρπάσαντες αὐτὸν ἐπὶ τοῦ Γαλλίωνος οἱ Ἕλληνες, λίαν ᾐκίσαντο τοῦτον.

Σευηριανοῦ. Ὁμοῦ μὲν ὡς γνώριμον τοῖς Κορινθίοις ἑαυτῷ συντάττει, καὶ τὸν τύφον τῶν ἐπὶ λόγοις ἐπαιρομένων καταστέλλει.

Τοῦ αὐτοῦ. Τὴν κακῶς γεγενημένην συνάπτει διαίρεσιν· μίαν ἐκκλησίαν καὶ Θεοῦ τούτους ἀποκαλῶν· προστίθησι δὲ ἐν Χριστῷ Ἰησοῦ, οὐκ ἐν τῷ δεῖνι.

Κυρίλλου. Ὅτι ὀνήσει τῶν κηρυγμάτων ἡ δύναμις, οὐ μόνον Κορινθίους, ἀλλὰ καὶ πάντας τοὺς ἐν Χριστῷ κεκλημένους εἰς τὸν διὰ πίστεως ἁγιασμὸν, διατρανοῖ λέγων "ἡγιασμένοις ἐν Χριστῷ," ἕως "ἐν παντὶ τόπῳ αὐτῶν τε καὶ ἡμῶν." ὁ μὲν γὰρ νόμος οὐκ ἐν παντὶ τόπῳ κεκέλευκε τοῦτο δρᾶν, ἀλλ' εἰς τὸν θεῖον αὐτὸν ἐν Ἱεροσολύμοις νεὼν ἀφικνεῖσθαι· ἐδεδίει γὰρ τῆς παρ' αὐτοῖς διανοίας ὡς εἰκὸς τὸ εὐμετακόμιστον· μὴ ἄρα πως προσκυνεῖν ἢ θύειν ἐν παντὶ τόπῳ κεκελευσμένοι, πρόφασιν τῆς εἰς τὰ αἰσχίω μεταβολῆς τὸν νόμον [c] καὶ προσκυνήσειαν τοῖς γλυπτοῖς· ναοὺς ἑαυτοῖς ἱστῶντες καὶ βωμούς. ἐπειδὴ δὲ κεκλήμεθα λοιπὸν οἱ ἐξ ἐθνῶν διὰ πίστεως τῆς εἰς Χριστὸν εἰς οἰκειότητα τὴν ὡς πρὸς Θεὸν, καὶ τὴν διὰ τοῦ Ἁγίου Πνεύματος ἀσφάλειαν πεπλουτήκαμεν, προσκυνεῖν τετάγμεθα οὐκ ἐν γε τοῖς Ἱεροσολύμοις ἅπαντες, ἀλλ' ἐν παντὶ τόπῳ· καὶ τοῦτο ἦν ἄρα τὸ διὰ τῶν προφητῶν λεγόμενον· "καὶ προσκυνήσουσι τῷ Κυρίῳ ἕκαστος ἐκ τοῦ τόπου "αὐτοῦ·" ἐπιστέλλει δὴ οὖν ἅμα Σωσθένει τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, ἣν αὐτὸς ἑαυτῷ παρέστηκεν ὁ Χριστός· καὶ τίς αὐτὴν

[c] ποιήσειαν aut aliud verbum excidit.

ὦπτο; πάντες οἱ ἡγιασμένοι καὶ κεκλημένοι διὰ Χριστοῦ πρὸς δικαίωσιν· "ἐπικαλούμενοί τε τὸ ὄνομα αὐτοῦ ἐν παντὶ τόπῳ "αὐτῶν τε καὶ ἡμῶν·" τουτέστιν, εἴτε ἐν τῇ τῶν Ἰουδαίων γῇ, εἴτε ἣν ἐν ταῖς τῶν ἐθνῶν πόλεσί τε καὶ χώραις. Θεὸν δὲ κατὰ φύσιν διακηρύττει Χριστὸν, καὶ σὺν αὐτῷ τε καὶ δι' αὐτοῦ τῷ Θεῷ καὶ Πατρὶ τὴν δόξαν πραγματεύεται· Θεοῦ μὲν γὰρ Ἐκκλησίαν ὀνομάζει, τοὺς ἡγιασμένους. Χριστῷ δὲ πάλιν αὐτοὺς προσνέμει λέγων· "εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ "ἔστιν αὐτοῦ."

ΣΕΥΗΡΙΑΝΟΥ. *Σκοπῆσαι δεῖ πῶς ἐν ὀλίγοις ῥητοῖς πολλάκις μέμνηται Χριστοῦ Ἰησοῦ. ἐξ αὐτῶν τῶν προοιμίων διδάσκων ὡς ἀπ' οὐδενὸς ἑτέρου καὶ ἀπὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὀνομάζεσθαι προσήκει. καὶ τὸ τραῦμα τὸ ἀπὸ τῶν διαμερισμῶν τῶν διαφόρων ἐπονομασιῶν τῇ συνεχεῖ τῆς μνήμης Ἰησοῦ Χριστοῦ θεραπεύων. "ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ." οὐκ ἄνθρωπός σε φησὶν ἡγίασεν, ἀλλ' ὁ Θεὸς ἐν Χριστῷ.*

ΘΕΟΔΩΡΙΤΟΥ. *Καλεῖ αὐτοὺς κλητοὺς καὶ ἁγίους· καὶ συνάπτει τοῖς κατὰ τὴν οἰκουμένην πεπιστευκόσι· διδάσκων ὡς οὐκ αὐτοὺς μόνους ὁμονοεῖν προσήκει, ἀλλὰ καὶ πάντας τοὺς τῷ σωτηρίῳ πεπιστευκότας κηρύγματι, ἓν ἔχειν φρόνημα δεῖ. αὕτη δὴ εἰς ἓν σῶμα συντελοῦντας τοῦ δεσπότου Χριστοῦ.*

ΣΕΥΗΡΙΑΝΟΥ. *Εἰ γὰρ ἄνθρωπον, φησὶ, ἐπικαλῇ, ἀπὸ τούτου καλοῦ. εἰ δὲ Ἰησοῦν Χριστὸν, ἀπὸ τούτου ὀνομάζου, ὃν ἐπικαλῇ. καλῶς δὲ τὸ "σὺν πᾶσι τοῖς ἐπικαλουμένοις." οὐ γὰρ ὑμεῖς μόνοι, ἀλλὰ πάντες οἱ πανταχοῦ πιστεύοντες Χριστὸν καλοῦσι. καὶ ἀπὸ τούτου ὀνομάζονται, οὐκ ἀπ' ἀνθρώπων. μὴ τοίνυν μόνοι ξενίσητε, ἀσεβῆ καινότητα ἐπεισάγοντες· καὶ οὐκ εἶπεν σὺν πᾶσι τοῖς καλοῦσι τὸ ὄνομα, ἀλλὰ "τοῖς ἐπικαλουμένοις·" Θεὸν δεικνὺς τὸν Υἱὸν τοῦ Θεοῦ. Θεὸν γάρ τις ἐπικαλεῖται, ἐν παντὶ τόπῳ αὐτῶν τε καὶ ἡμῶν. εἰ πᾶς τόπος τὸν Ἰησοῦν Χριστὸν ἐπικαλούμενός ἐστι, μιμεῖσθε τοὺς πολλούς· ἀλλὰ μὴ μόνοι ξένον τί ποιεῖτε[a] παρὰ τοὺς ἄλλους· τὸ δὲ "αὐτῶν τε καὶ ἡμῶν," τῷ Κυρίῳ συνήρμοσται. ἀντὶ τοῦ, καὶ ἡμεῖς οἱ γράφοντες, καὶ ὑμεῖς οἱ τῶν γραμμάτων ἀπολαύοντες, ἕνα Κύριον ἔχομεν Ἰησοῦν.*

[a] *ποιεῖται* Cod.

Ὠριγένους. Εἰ καὶ πρὸς Κορινθίους τὰ γράμματά ἐστι γεγραμμένα, ἀλλὰ καὶ πάντων τῶν ἐν πάσι τῇ γῇ μέμνηται πιστῶν· δεικνὺς ὅτι τὴν ἐπὶ τῆς οἰκουμένης μίαν δεῖ εἶναι Ἐκκλησίαν, τόποις πολλοῖς κεχωρισμένην. καὶ πολλῷ μᾶλλον τὴν ἐν Κορίνθῳ. εἰ δὲ τόπος χωρίζει, ἀλλ' ὁ[b] αὐτοὺς συνάπτει κοινὸς ὤν[c]. τοῦτο οὖν λέγει· χάρις καὶ εἰρήνη ὑμῖν τοῖς Κορινθίοις ἡγιασμένοις κλητοῖς γενομένοις· ἀλλὰ μετὰ πάντων τῶν ἐν παντὶ τόπῳ ἐπικαλουμένων τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν τε καὶ αὐτῶν.

Ὠριγένους. Εἰ πάντες ἦσαν Ἐκκλησία, τίς ἔτι χρεία προκεῖσθαι[d] "σὺν πᾶσι τοῖς ἐπικαλουμένοις;" εἰ πάντες ὁμοίως ἐπεκαλοῦντο, τίς χρεία μὴ πᾶσιν ἢ ἐπικαλουμένοις γεγράφθαι μόνον. ἀλλὰ περὶ αὐτῶν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ παρεστήσαμεν, ὡς μόνους τοὺς ἐπαινετοὺς χρηματίζειν Ἐκκλησίαν ὀφείλονται· τοὺς δὲ ψεκτοὺς οὐκ ἅπαντας μὲν ἔτι πάλαι ὄντας τῇ ἁμαρτίᾳ· ἀλλ' ἐπικαλουμένους· οὐ μὴν ἤδη καὶ Ἐκκλησία. σπεύσωμεν οὖν ἀπὸ τοῦ ἐπικαλεῖσθαι, εἰς τὸ ἀναβῆναι ἐπὶ τὴν Ἐκκλησίαν τὴν ἄσπιλον καὶ ἄμωμον.

Θεοδωρίτου. Ἑκάτερα συνυπακούεται, τά τε τῶν γραφόντων προσώπων τῶν Κορινθίων πρὸς οὓς τὸ γράμμα ἐγίνετο. ἀντὶ τοῦ, ἐγώ τε καὶ Σωσθένης γράφομεν μετὰ πάντων τῶν παρ' ἡμῖν, ταύτην ἀσπαζομένων τὴν ἐπίκλησιν. κοινωνούς τε τῆς τοῦ γράφειν αὐθεντείας τοὺς παρ' ἡμῖν τοιούτους ἅπαντας λαμβάνοντες· καὶ τὸν τῆς προσηγορίας ταύτης ἀλλότριον, εἰς τὴν κοινωνίαν ταύτην οὐκ εἰσδεχόμενοι. ὑμῖν δὲ τοῖς Κορινθίοις ἐπιστέλλομεν ταῦτα τοῖς ἡγιασμένοις ἐν Χρίστῳ, καὶ δι' αὐτοῦ κεκλημένοις, μετὰ πάντων ἅπαξ ἁπλῶς τῶν παρ' ὑμῖν ταύτην ἀσπαζομένων τὴν προσηγορίαν.

Φωτίου. Μὴ γὰρ νομίσῃς ὅτι ἐμαυτῷ περιποιούμενος τὸ τῆς διδασκαλίας ἀξίωμα, ὑμῖν μέλλω καθαίρειν τῆς ἐπὶ τοῦτο φυσιώσεως· ἰδοὺ γὰρ καὶ Σωσθένην ἐμαυτῷ συντάττω, καὶ ἀδελφὸν καλῶ, καὶ σὺν αὐτῷ ἐπιστέλλω, κοινοποιούμενος τὰ ἐμά. διὰ τί οὖν ὑμᾶς ἐγκόπτω; ὅτι ἐπιβλαβὲς ὑμῶν τὸ ἐπὶ τῇ διδασκαλίᾳ φύσημα· ὑμᾶς τὲ γὰρ οὐδὲν ὀνίνησι, τούς τε πειθομένους ἐξίστησι τῆς ὑγιαινούσης διδασκαλίας· καὶ τὸ κοινὸν μερίζει τῆς Ἐκκλησίας σῶμα. "σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου."

[b] Vid. leg. ὁ Χριστός. [c] κοινόων Cod. [d] προκεῖσθε Cod.

ὅσον ἐκεῖνοι καὶ ἀλλήλων διεσχίζοντο, τοσοῦτον αὐτὸς ἐφιλονείκει καὶ τοῖς πόρρω κατοικοῦσι συνάπτων αὐτούς· διὸ μέλλων αὐτοῖς προσφωνεῖν τὴν χάριν καὶ τὴν εἰρήνην τοῦ Θεοῦ, καὶ εἰπὼν "κλη- "τοῖς ἁγίοις," αὐτίκα συνῆψε "σὺν πᾶσι τοῖς ἐπικαλουμένοις" καὶ ἑξῆς. Καὶ ὑμῖν φησὶ καὶ σύμπασιν εἴη ἡ ἀπὸ Θεοῦ Πατρὸς χάρις καὶ εἰρήνη· "ἐν παντὶ τόπῳ αὐτῶν τε καὶ ἡμῶν." ἐπειδὴ εἰπὼν "σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου," ἐπήγαγεν μόνον τὸ ἡμῶν, ἐπιδιορθούμενος καὶ δεικνὺς κοινὸν αὐτὸν Κύριον καὶ δεσπότην ἁπάντων ὄντα, προστίθησιν "αὐτῶν τε καὶ "ἡμῶν·" εἰ δὲ κοινὸς ἁπάντων Κύριος, οὐ μόνον ἡμῶν ἀλλὰ καὶ τὸν ἁπανταχοῦ, τί σχιζόμενοι ἀλλήλων καὶ τὴν κοινὴν ἐξ ὧν τέμνεσθε καθυβρίζοντες κυριότητα, ἑτέροις καὶ ἑτέροις ἑαυτοὺς διανέμετε;

3 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ
4 Κυρίου Ἰησοῦ Χριστοῦ. εὐχαριστῶ τῷ Θεῷ μου πάν-
τοτε περὶ ὑμῶν, ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ τῇ δοθείσῃ
5 ὑμῖν ἐν Χριστῷ Ἰησοῦ, ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν
6 αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει, καθὼς τὸ μαρ-
τύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν.

ΚΥΡΙΛΛΟΥ. Χάριτι στεφανοῖ τοὺς πεπιστευκότας τῇ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ· δι' αὐτοῦ γὰρ καὶ ἐν αὐτῷ τὰ πάντα παρὰ τοῦ Θεοῦ καὶ Πατρός. συνδοτήρ τέ ἐστι καὶ συγχορηγὸς τῷ γεγεννηκότι, τῶν ἄνωθεν ἀγαθῶν, καὶ διανομεὺς τῶν ἐξ οὐρανοῦ χαρισμάτων. καὶ αὐτός ἐστιν ἡ πάντων εἰρήνη. τῇ παρ' ἑαυτοῦ χάριτι καταλαμπρύνων ἀρχὰς θρόνους τε καὶ ἐξουσίας· καὶ ἅπαξ ἁπλῶς εἰπεῖν πᾶσαν κτίσιν λογικήν.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἰς καιρὸν αὐτοῖς καὶ τὴν χάριν ἐπηύξατο καὶ τὴν εἰρήνην, ἅτε δὴ διῃρημένοις καὶ στασιάζουσι πρὸς ἀλλήλους. ταύτης δὲ ἔδειξε χορηγὸν οὐ τὸν Πατέρα μόνον, ἀλλὰ καὶ τὸν Υἱόν· τοῦ Πατερὸς καὶ τοῦ Υἱοῦ δεικνὺς τὴν ἰσότητα.

ΣΕΥΗΡΙΑΝΟΥ. Παρ' οὗ τὴν χάριν καὶ τὴν εἰρήνην ἔχετε ἀπὸ τοῦ ὀνομάζεσθαι· αἱ γὰρ τούτων θέσεις προσλαμβάνουσαι καὶ πρὸ τῆς κατασκευῆς καὶ τῆς τῶν ἀγώνων γυμνασίας απο εισιν[e] εἰς τὸ ζητούμενον.

[e] Fort. ἀπάγουσιν.

Ὠριγένους. Ἀπὸ πολλῆς διαθέσεως τὸ κοινὸν ἁρπάζει "τῷ "Θεῷ μου" λέγων. καὶ ἰδιοποιεῖται, ὃ καὶ προφήταις ἔθος ἀεὶ λέγειν "ὁ Θεὸς, ὁ Θεός μου." καὶ εἰς προτροπὴν αὐτοὺς ἐνάγει, τὸ καὶ αὐτοὺς τοῦτο λέγειν. ὁ γὰρ τοῦτο λέγων, ἀπὸ πάντων τῶν ἀνθρωπίνων ἀναχωρεῖ, καὶ χωρεῖ πρὸς ἐκεῖνον ὃν μετὰ πολλῆς καλεῖ τῆς διαθέσεως.

Σευηριανοῦ. Καὶ τοῦτο οὐκ ἔλαττον εἰς τὴν τῶν προκειμένων ἐπανόρθωσιν· εἰ γὰρ ἡ χάρις ἀπὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ οὐκ ἀπ' ἀνθρώπων, ἀπὸ τούτου φησὶν ὀνομάζεσθαι προσήκει.

Θεοδωρίτου. Μέλλων κατηγορεῖν προθεραπεύει τὴν ἀκοήν· ὥς τε δεκτὴν γενέσθαι τὴν ἰατρείαν. ἔχει δὲ καὶ τὸ ἀψευδὲς τὰ εἰρημένα· ἐπεὶ γὰρ ταῖς δοθείσαις αὐτοῖς ηὐχαρίστησε δωρεαῖς· λέγει δὲ καὶ ταῦτα σαφέστερον· "ὅτι ἐν παντὶ ἐπλουτίσθητε, ἐν "παντὶ λόγῳ καὶ πάσῃ γνώσει, καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ "ἐβεβαιώθη ἐν ὑμῖν·" ταῦτα τὰ εἴδη τῶν τοῦ Πατρὸς χαρισμάτων· "ᾧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ "λόγος γνώσεως, κατὰ τὸ αὐτὸ Πνεῦμα·" "μαρτύριον δὲ Χριστοῦ," τὸ κήρυγμα καλεῖ· διαμαρτύρονται γάρ πως οἱ κηρύττοντες. οὕτω καὶ Τιμοθέῳ γράφων ἔλεγεν· "διαμαρτύρομαι οὖν ἐνώπιον τοῦ Θεοῦ "τοῦ ζωογονηκότος τοὺς νεκρούς·" οὕτω καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις εἶπεν· "κηρυχθήσεται δὲ τὸ εὐαγγέλιον τοῦτο τῆς "βασιλείας εἰς πάντα τὰ ἔθνη, εἰς μαρτύριον αὐτοῖς." βεβαίωσιν δὲ τοῦ Εὐαγγελίου καλεῖ, τὴν τῶν σημείων θαυματουργίαν· δι' ἐκείνων γὰρ ἐδείκνυτο τοῦ κηρύγματος ἡ ἀλήθεια.

Σευηριανοῦ. Ἐπιμένει τῷ αὐτῷ. εἰ γὰρ παρ' αὐτοῦ πλοῦτος· εἰ παρ' αὐτοῦ γνῶσις, διατί τοῦ μὲν ὡς διδασκάλου τὸ ὄνομα ἑαυτῷ ἐπιτιθεῖς· τοῦ δὲ ὡς βαπτίσαντος; διόπερ προϊὼν, φησὶ, "τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς "μὴ λαβών;" "ἐν παντὶ λόγῳ," ἐπειδὴ λόγος σοφίας ἐστὶ καὶ λόγος γνώσεως καὶ πολλοὶ λόγοι χαρισμάτων· διὰ τοῦτο, φησὶν, "ἐν παντί· λόγῳ καὶ πάσῃ γνώσει" ἐπειδὴ καὶ τῆς γνώσεως διαφοραὶ πολλαί· "καὶ πάσῃ γνώσει" Ἕλλησιν ἐγράφη τοῖς ὁμοῦ τὴν παλαιὰν καὶ τὴν καινὴν μὴ δεξαμένοις καὶ τὴν ἑκατέρωθεν γνῶσιν ἡττωμένοις "καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη "ἐν ὑμῖν."

ΦΩΤΙΟΥ. "Μαρτύριον Χριστοῦ." ἢ τὸ ἑκούσιον καὶ σωτήριον πάθος, καὶ ἁπλῶς ἡ ὑπὲρ ἡμῶν τοῦ λόγου κένωσις καὶ ἐνανθρώπησις. ἢ "μαρτύριον Χριστοῦ" ἡ τῶν σημείων χάρις καὶ δωρεά· καὶ γάρ ἐστι ταῦτα μαρτύριον τῆς εἰς Χριστὸν πίστεως καὶ τῆς θεότητος αὐτοῦ καὶ μεγαλειότητος αὐτοῦ. ἦσαν γὰρ ἦσαν οἱ Κορίνθιοι πλουτοῦντες ἐν τούτοις· ἐπεὶ οὖν ταῦτα, φησὶν, ὁρᾶται ἐν ὑμῖν ἐν ἀφθονίᾳ καὶ βεβαιώσει· καλῶς, φησὶν, προείπομεν ὅτι ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει ἐπλουτίσθητε· μέρος γὰρ τῶν χαρισμάτων, ὅ τε λόγος καὶ ἡ γνῶσις· ὁ μὲν λόγος συντελῶν εἰς τὸ διδάσκειν, ἡ δὲ γνῶσις εἰς τὸ συνιέναι· καὶ τὸ "ὥστε μὴ "ὑστερεῖσθαι ὑμᾶς," πρὸς τὴν δευτέραν ἑρμηνείαν μᾶλλον συνᾴδει.

7 Ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι, ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἰ ὁ πλοῦτος ἄνωθεν ὁλόκληρος εἰς ὑμᾶς ἦλθεν, καὶ οὐδὲν ὑμῖν λείπει τῶν χαρισμάτων παρὰ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ δεδομένων· διατί ἀπὸ τῶν μὴ δεδωκότων ὑμῶν ταῦτα, διακωλυομένων δὲ, ὀνομάζεσθαι βούλεσθε; οὐκ ἀνθρώπου προσδοκᾶτε παρουσίαν· οὐ ψιλὸν ἄνθρωπον ἐκδέχεσθε· ἀπὸ τούτου ὀνομάζεσθε· πρὸς τοῦτο γὰρ αὐτῷ πάντα κατεσκεύασται τὰ λεγόμενα νῦν.

ὨΡΙΓΕΝΟΥΣ. Ἀποκάλυψιν λέγει· δεικνὺς ὅτι πᾶν μὴ ὁρᾶται, ἀλλὰ ἔστιν καὶ πάρεστιν. καὶ μὴν καὶ τότε φανήσεται.

ΘΕΟΔΩΡΙΤΟΥ. "Ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χα- "ρίσματι," φησὶ, καὶ γὰρ προφητικῆς μετέλαβον χάριτος, καὶ γλώτταις διαφόροις ἐλάλουν· ὡς ἐν τοῖς μετὰ ταῦτα διδάσκει σαφέστερον. τούτων δὲ ἀπελαύσατε, φησὶν, ἵνα τὴν δευτέραν ἐπιφάνειαν τοῦ Σωτῆρος ὑπομείνητε.

ΘΕΟΔΩΡΙΤΟΥ. Λοιπὸν γὰρ, φησὶ, πεπληρωμένους τῶν καλῶν, πρὸς τὰ μέλλοντα βλέπειν προσήκει, τὴν δευτέραν παρουσίαν τοῦ Χριστοῦ ἀπεκδεχομένους, ὅτε βεβαίαν ἐστὶν ἁπάντων ὁμοῦ δέ-

ξασθαι τῶν καλῶν τὴν ἀπόλαυσιν· ᾐνίξατο γὰρ διὰ τούτου ὡς ἐν τῷ βίῳ τούτῳ καθεστῶτας, οὐ δυνατὸν ἀφρόντιδας εἶναι ἐπὶ τοῖς δοθεῖσιν ἤδη μεγάλα φρονοῦντας. εἶπεν δὴ τὴν δευτέραν αὐτοῦ παρουσίαν ἡμῖν.

Ὠριγένους. Οὔτε ταῦτα ἁμαρτωλοῖς ἁρμόζει, οὔτε ἐκεῖνα δικαίοις. φημὶ δὴ τὸ "παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοὶ, διὰ τοῦ "ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα πάντες τὰ αὐτὰ "λέγητε καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα" καὶ ὅσα τοιαῦτα. ἦν οὖν ἡ Ἐκκλησία ἀναμεμιγμένη· εἴ γε χρὴ Ἐκκλησίαν ὀνομάζειν τὸ ὅλον τοῦτο τὸ μικτὸν ἐκ δικαίων καὶ ἀδίκων. πλὴν οἱ συναγόμενοι ἦσαν ἀναμεμιγμένοι· διὰ τοῦτο μέλλων ὁ Ἀπόστολος ἐπὶ ταῖς ἁμαρτίαις τοὺς συναγομένους μετὰ κακίας ἐλέγχειν, ἀναγκαῖον πρῶτον τοὺς ἐπαίνους ποιεῖται τῶν καλῶς συνερχομένων ἐπὶ τὸ αὐτό· "εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε," ἄξιον εὐχαριστεῖν ἐφ' οἷς λέγει ἐπαινετοῖς. καὶ οὐ ποτὲ μὲν εὐχαριστεῖν, ποτὲ δὲ μὴ, ἀλλὰ πάντοτε εὐχαριστεῖν· ἐάν τινα εἴδω ποτὲ μὲν πράττοντα, ποτὲ δὲ ἁμαρτάνοντα, εὐχαριστῶ περὶ αὐτοῦ οὐ πάντοτε, ἀλλ' ὅτε εὖ ποιεῖ· οὕτω καὶ περὶ ἐμαυτοῦ· ἐν τινὶ δὲ εὐχαριστήσει ὁ εὐχαριστῶν Παῦλος; ἐπὶ τοῖς ἰδίοις ἀκροαταῖς ὧν γέγονε κατὰ Θεὸν πατήρ. ὥσπερ οὖν πατὴρ ἐπὶ υἱοῖς εὐχαριστεῖ, ὅτ' ἂν ὑγιαίνωσιν, ὅτ' ἂν εὖ πράττωσι, τὸν αὐτὸν τρόπον, ὅτ' ἂν βλέπῃ διδάσκαλος τοὺς ἀκροατὰς ζέοντας τῷ πνεύματι, πλουτοῦντας λόγῳ σοφίας, ἀξίους τοῦ ἐπαινεῖσθαι, εὐχαριστεῖ πάντοτε περὶ αὐτῶν.

Ἴδωμεν οὖν τὴν χάριν τῶν ἐπαινετῶν ἐν Κορίνθῳ· ἵνα ζηλώσωμεν "ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ." μακάριοι οἱ ἐν παντὶ πλουτοῦντες, καὶ μηδενὸς τῶν κατὰ Θεὸν ὑστερούμενοι, ἀλλὰ πᾶσαν ἐπιτηδεύοντες ἀρετὴν, καὶ τῶν παρ' αὐτοῦ ἀφθόνως καὶ πλουσίως ἀπολαύοντες δωρεῶν· "ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει." ὥστε εἰς μηδεμίαν γραφὴν ἀπορεῖν· ἀλλὰ πανταχοῦ ζητεῖν καὶ εὑρίσκειν καὶ ὅτε δεῖ ἐξηγήσασθαι γραφὴν, παντὶ λόγῳ κεχρῆσθαι, τῷ τε διεξοδικῷ καλουμένῳ, καὶ τῷ κατὰ ἐρώτησίν τε καὶ ἀπόκρισιν· καὶ παρεσκευάσθαι λέγειν καὶ κατὰ πάσης αἱρέσεως· καὶ τῷ [e] τῆς ἀληθείας συνίστασθαι δόγματι· καὶ ἀναπληρῶσαι τὸ

[e] τὸ Cod.

εἰρημένον ὑπὸ τοῦ Ἀποστόλου· "ἕτοιμοι ἀεὶ πρὸς ἀπολογίαν "παντὶ τῷ ἀπαιτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν πίστεως." οὕτω δὴ καὶ τὸ ἐν πάσῃ γνώσει· οὐ μόνον κατὰ τὰς γραφὰς, ἀλλ' ἵνα καὶ εἴπῃ, αὐτὸς γάρ μοι ἔδωκεν τῶν ὄντων τὴν γνῶσιν ἀψευδῆ καὶ τὰ τούτοις ἀκόλουθα. ὅτι ἡ γνῶσις τὸ εἰδέναι μόνον ἐμφαίνει· ὁ δὲ λόγος καὶ τὸ ἐγνωσμένον ἑρμηνεύει.

"Καθὼς *τὸ μαρτύριον τοῦ* Χριστοῦ *ἐβεβαιώθη ἐν ὑμῖν·" ὁ* Χριστὸς, *ἵν' οὕτως ὀνομάσω, ἀρχίμαρτυρ ἐστί· καὶ πολλῶν ὄντων μαρτύρων εἰς* Χριστὸν *διὰ τοῦ θανάτου αὐτοῦ, ἐκεῖνος ὁ ἄρχων ἐστὶ τῶν μαρτύρων· τοῦτο μὲν τὸ μαρτύριον* Χριστοῦ. *παρ' οἷς μὲν βέβαιόν ἐστι· παρ' οἷς δὲ οὐκ ἔστι βέβαιον, ἀλλὰ σείεται· εἰ μὲν γὰρ ἡ πίστις τοιαύτη ἐστὶν ἡ περὶ τοῦ μαρτυρίου, ὥστε δύνασθαι ἀπὸ διαθέσεως ἀληθοῦς εἰπεῖν, "πέπεισμαι δὲ ὅτι οὔτε "θάνατος, οὔτε ἡ ζωὴ" καὶ τὰ ἑξῆς, "δυνήσεται ὑμᾶς χωρίσαι "τῆς ἀγάπης τοῦ* Θεοῦ *τῆς ἐν* Χριστῷ Ἰησοῦ, *τῷ* Κυρίῳ *ὑμῶν." βέβαιόν ἐστι τὸ μαρτύριον ἐν τῷ τοιούτῳ· εἰ δὲ μὴ τοιοῦτοι ἐσμὲν, ἀλλὰ σειόμεθα ὑπὸ τῶν συμβαινόντων, οὔπω τὸ μαρτύριον τοῦ* Χριστοῦ *ἐβεβαιώθη ἐν ἡμῖν· καὶ πᾶν ἄλλως ἐκληρώμεθα τὸ ῥητόν· πᾶσα γραφὴ ἡ μαρτυροῦσα περὶ* Χριστοῦ, *μαρτύριον ἐστὶ* Χριστοῦ· *καλὸν οὖν ἐστι βεβαιωθῆναι καὶ ἐν τῷ ἀπὸ τῶν γραφῶν μαρτυρίῳ* Χριστοῦ.

Καὶ *ἄλλως. ἴδε τὸ μαρτύριον* Χριστοῦ *συνεπιμαρτυροῦντος αὐτῷ σημείοις καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι, καὶ* Πάτρος Ἁγίου *μερισμοῖς κατὰ τὴν αὐτοῦ θέλησιν. καὶ βέβαιόν ἐστι τὸ μαρτύριον* Χριστοῦ *ἐν τοῖς ἁγίοις, "ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι "ἐν μηδενὶ χαρίσματι·" ὡς πολλῶν ὄντων τῶν χαρισμάτων διαλέγεται· καὶ ἐν τοῖς πο[f] ἑξῆς τῆς ἐπιστολῆς, "ἀπεκδεχομένους "τὴν ἀποκάλυψιν τοῦ* Κυρίου *ἡμῶν* Ἰησοῦ Χριστοῦ." *ὁ δίκαιος οὐκ ἐν τῷ αἰῶνι τούτῳ εἶχε τὰς ἐλπίδας, ἀλλὰ πάσχων, κινδυνεύων, "ἀπεκδέχεται τὴν ἀποκάλυψιν τοῦ* Κυρίου *ἡμῶν* Ἰησοῦ "Χριστοῦ." *ἤτοι* Χριστὸς Ἰησοῦς *ἀποκαλύπτει ὡς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους· τίς βεβαιοῖ;* Χριστὸς Ἰησοῦς, *ὁ* Λόγος, *ἡ σοφία· μαρτύριον δὲ τὸ βεβαιούμενον οὐ πρὸς ἡμέρας, ἀλλ' "ἕως*

[f] Sic.

“ τέλους ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι- “ στοῦ.” ἕως ἔλθωμεν ἐκεῖ, οὔπω ἔχομεν τὸ ἀνέγκλητον. οὐ γὰρ οἴδαμεν τί τέξεται ἡ ἐπιοῦσα. κἂν ἔχειν τίς δοκῇ ἐπὶ τοῦ παρόντος τὸ ἀνέγκλητον ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΚΕΦ. Α.

Περὶ τοῦ μὴ διχονοεῖν πρὸς ἀλλήλους ἐκ φιλοδοξίας τῆς ἐπὶ σοφίᾳ ἀνθρωπίνῃ.

9 Πιστὸς ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ
10 Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοὶ, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα.

ὨΡΙΓΈΝΟΥΣ. Πίστευε αὐτῷ ἀεί. ἐκλήθητε γὰρ, ἵνα ἁπλῶς ὑπὸ τὸν Ἰησοῦν ὦμεν· μέγα ἐστὶν ὃ χαρίζεται ὁ Θεὸς τοῖς ἁγίοις. ἐκλήθημεν εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ. διὸ κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ.

ὨΡΙΓΈΝΟΥΣ. Εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν· εἰ συναποθνήσκομεν, καὶ συζήσομεν.

ΣΕΥΗΡΙΑΝΟΥ. Οἱ δεόμενοι βεβαιώσεως ἀτελεῖς ἤδη· τοίνυν ἔδειξεν ὅτι δέονται διορθώσεως· εὐχαριστῶν μένει ἐφ' οἷς ἔλαβον, διορθούμενος δὲ ἐφ' οἷς οὐκ ἐπλήρωσαν. “ πιστὸς ὁ Θεὸς, δι' οὗ “ ἐκλήθητε.” ἐπειδὴ εἶπεν ὁ Θεὸς βεβαιώσει, ἐπήγαγε, “ πιστὸς ὁ “ Θεός·” ἀληθὴς γὰρ ὁ Θεὸς ὁ ταῦτα παρασχεῖν δυνάμενος, “ δι' “ οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ.” οὐκ εἰς ἀνθρώπου κοινωνίαν, ἀλλὰ εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ. διατί καταλιπόντες τὸ ὀνομάζεσθαι [g] ἀπὸ τοῦ Υἱοῦ, οὗ εἰς τὴν κοινωνίαν ἐκλήθητε, ἀπὸ ἀνθρώπων ὀνομάζεσθε; πάλιν δὲ τὸ “ δι' οὗ” ἐπὶ Πατρὸς κεῖται, οὐ μόνον ἐπὶ Υἱοῦ· καὶ οὐ καθαίρεσις τῷ Πατρί· ἐπειδὴ δι' αὐτοῦ καλούμεθα εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ· οὐδὲ γὰρ ἐν τῇ πρὸς Ῥωμαίους γέγραπται, “ ὅτι δι' αὐτοῦ, καὶ ἐξ αὐτοῦ, καὶ εἰς αὐτὸν

[g] ὀνομάζεσθε Cod.

"τὰ πάντα;" ἤδη ὁ Θεὸς διὰ μὲν τὸ "ἐξ οὗ" μεῖζον ἑαυτοῦ, διὰ δὲ τὸ "δι' οὗ" ἐλάττων ἑαυτοῦ· ὥσπερ οὖν ἐπὶ τοῦ αὐτοῦ κείμενα προσώπου, οὐ ποιεῖ τὸν αὐτὸν ἑαυτοῦ ἐλάττονα καὶ μείζονα, οὕτως οὐδὲ τὸν Υἱὸν ἐλαττοῖ τὸ "δι' οὗ" ἐπ' αὐτῷ λεγόμενον.

Θεοδωρίτου. Τὸ εἰπεῖν "ἀνεγκλήτους" ἔδειξε τέως ὄντας ἐγκλήμασιν ὑπευθύνους. "κοινωνίαν δὲ τοῦ υἱοῦ" τὴν υἱοθεσίαν, φησὶν, ἐκάλεσεν· οὕτω ταῖς εὐφημίαις καὶ ταῖς εὐλογίαις προλεήνας τὴν ἀκοὴν, ἄρχεται τῆς κατηγορίας, οὐ γυμνὴν αὐτὴν εἰσφέρων, ἀλλὰ παραίνεσιν προεισφέρων.

Σευηριανοῦ. Ὅτε εἰς αὐτὸν τὸν ἀγῶνα ἀπήντησεν, ὥστε πεῖσαι μὴ ἀπ' ἀνθρώπων ὀνομάζεσθαι αὐτοὺς, ἀπ' αὐτῆς τῆς ἀρχῆς τῶν ἀγώνων τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ μέμνηται, ἀφ' οὗ προσήκει πάντας καλεῖσθαι· οὐ περὶ δόγματος δὲ τὸ νῦν λεγόμενον, οὐ δὲ περὶ τούτου μέμφεται αὐτοῖς, ἀλλὰ περὶ οὗ προείπομεν, καὶ τὰ ἑξῆς δείκνυσιν.

Ὠριγένους. Ὁ ἐν ἅπασι τῷ ὀρθῷ λόγῳ καὶ τῷ ἐκκλησιαστικῷ δόγματι περὶ τε Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος συμφωνῶν. ἔτι δὲ περὶ τῆς καθ' ἡμῶν οἰκονομίας, περί τε ἀναστάσεως καὶ κρίσεως, καὶ τοῖς κανόσι δὲ τοῖς ἐκκλησιαστικοῖς ἑπομένος, οὐκ ἔστιν ἐν σχίσματι.

Φωτίου. "Δι' οὗ ἐκλήθητε·" "οὐδεὶς γὰρ ἔρχεται πρὸς τὸν "Υἱὸν, εἰ μὴ ἑλκύσῃ αὐτὸν ὁ Πατήρ·" ὡς οὐδὲ πρὸς τὸν Πατέρα ἔρχεταί τις, εἰ μὴ ᾧ ἂν ἀποκαλύπτῃ ὁ Υἱός.

Ἐκ τοῦ αὐτοῦ. "Δι' οὗ ἐκλήθητε," ἀντὶ τοῦ ὑφ' οὗ ἐκλήθητε· οἷον ὁ καλέσας ὑμᾶς. καὶ ἐπίστησον πῶς τὸ "δι' οὗ" τίθησιν ὁ θεῖος Παῦλος καὶ ἐπὶ τοῦ Πατρὸς, καὶ ἀντὶ τίνος αὐτὸ τίθησιν. ἵνα ὅτ' ἂν καὶ ἐπὶ τοῦ Υἱοῦ αὐτὸ ἀκούῃς, μὴ παραλλαγὴν οὐσίας ἀλλὰ ταυτότητα ἐννοεῖς· "εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ." εἰς κοινωνίαν ἐκλήθητε Χριστοῦ· τί ἄλλους καὶ ἄλλους ἐφιστῶντας ἑαυτοῖς προστάτας καὶ διδασκάλους, τῆς ἀθανασίας ἐκείνης καὶ σωτηρίου κοινωνίας ἑαυτοὺς φιλονεικεῖτε διασχίζειν, καὶ ἀποτέμνεσθε.

Ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ
11 γνώμῃ· ἐδηλώθη γάρ μοι περὶ ὑμων, ἀδελφοί μου, ὑπὸ
12 τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσι· λέγω δὲ τοῦτο, ὅτι

ἕκαστος ὑμῶν λέγει· ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλὼ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ.

Κυριλλου. Ὅτι ὀνόματι τῷ δεσπότῃ Κυρίῳ κατασεμνύνεσθαι δεῖν ἀναγκαῖον ἦν, ἅμα καὶ σοφὸν ἀναπεῖσαι, λέγων αὐτὸς δι' ἑνὸς τῶν ἁγίων προφητῶν, "τοῖς δὲ δουλεύουσί μοι κληθήσεται "ὄνομα καινὸν, ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς." Χριστιανοὶ γὰρ ὠνομάσμεθα, καὶ τὸ ὄνομα τὸ καινὸν πεπλουτήκαμεν· οὗ δικαίως ἐστέρηνταί τινες τῶν ὀρθῶν τῆς Ἐκκλησίας ἀποφοιτῶντες, καὶ προσκείμενοι πνεύμασι πλάνοις, καὶ ἀνοσίων τινες ψευδοδιδασκάλων τερατισμοῖς, τὸ αὐτῶν ἐσχήκασιν ὄνομα καὶ μάλα εἰκότως· οὐ γάρ εἰσὶ τοῦ Χριστοῦ· τὴν κατ' αὐτοῦ δυσφημίαν μερισάμενοι, καὶ εἰς διαφόρους δόξας τε καὶ γνώμας κατεσχισμένοι. καί τοι Χριστοῦ τοὺς ἰδίους κεκληκότος ἐν εἰρήνῃ· καὶ ὅτι εἷς ἐστιν αὐτὸς καὶ οὐ μεμέρισται· ἓν οὖν οἱ πάντες ἐσμὲν ἐν Χριστῷ· κατηρτίσμεθά τε πρὸς τοῦτο ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν αὐτῇ γνώμῃ· συνδέοντος ἡμᾶς εἰς ὁμοψυχίαν καθ' ἕνωσιν τὴν πνευματικὴν τοῦ περὶ ἡμῶν λέγοντος τῷ Θεῷ καὶ Πατρὶ, "θέλω ὥσπερ ἐγὼ καὶ σὺ "ἓν ἐσμέν· οὕτως καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν."

Θεοδωρίτου. Ἡ μὲν γὰρ διάνοια, φησὶ, τοῦ κηρύγματος μία. τοῦτο γὰρ δηλοῖ "καὶ ἐν τῇ αὐτῇ γνώμῃ." παρακαλεῖ τοίνυν αὐτοὺς τὰ αὐτὰ νοοῦντας[h], μὴ διεστάναι, καὶ πρὸς ἀλλήλους περὶ τῶν ἡγουμένων φιλονεικεῖν· "ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελ- "φοί μου ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσι." διδάσκει δὲ καὶ τῆς φιλονεικίας τὸ εἶδος· λέγω δὲ "ὅτι ἕκαστος ὑμῶν λέγει· "ἐγὼ μέν εἰμι Παύλου· ἐγὼ δὲ Ἀπολλὼ, ἐγὼ δὲ Κηφᾶ· ἐγὼ δὲ "Χριστοῦ." ἐκεῖνοι μὲν ἀφ' ἑτέρων ἑαυτοὺς ὠνόμαζον διδασκάλων· αὐτὸς δὲ τὸ ἑαυτοῦ καὶ τὸ Ἀπολλὼν τέθεικεν· προστέθεικε δὲ καὶ τὸ τοῦ κορυφαίου τῶν Ἀποστόλων, διδάσκων ὡς οὐδὲ τοῖς αὐτῶν δίκαιόν ἐστιν εἰς τοῦτο κεχρῆσθαι ὀνόμασιν· καὶ τοῦτο ἐν τοῖς ἑξῆς σαφέστερον μαθησόμεθα· σοφῶς δὲ ἄγαν καὶ τὸ τοῦ γινομένου τὸ ἄτοπον· ὅτι ἐν ἴσῃ τάξει καὶ τὸν δεσπότην καὶ τοὺς δούλους ἐτίθεσαν.

Ὠριγένους. Σκόπει τὴν σύνεσιν τοῦ Παύλου· πῶς οὐχ ὡρισμένον ἔθηκε πρόσωπον τοῦ δηλώσαντος, ἀλλ' ὁλόκληρον οἰκίαν·

[h] In marg. τε καὶ φρονοῦντας.

ὥς τε μὴ ἐκπολεμῶσαι αὐτοῖς πρὸς τὸν εἰρηκότα. οὐ περὶ Παύλου δὲ οὐδὲ περὶ Πέτρου, οὐδὲ περὶ Ἀπολλὼ ἔλεγον, ἀλλὰ δεῖξαι βουλόμενος ὅτι εἰ τούτοις ἐπερείδεσθαι οὐ χρὴ, πολλῷ μᾶλλον ἑτέροις· ὅτι γὰρ οὐ περὶ αὐτῶν ἔλεγον, προϊὼν φησὶ, "ταῦτα δὲ "μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ." τίνος δὲ ἕνεκεν προσέθηκεν, "ἐγὼ δὲ Χριστοῦ;" εἰ γὰρ οἱ ἀνθρώποις προσνέμοντες ἑαυτοὺς ἡμάρτανον· οὐ δήπου καὶ οἱ τῷ Χριστῷ ἑαυτοὺς ἀνατιθέντες; ἀλλ' οὐ τοῦτο ἐνεκάλει ὅτι τοῦ Χριστοῦ ἑαυτοὺς ἐπευφήμιζον, ἀλλ' ὅτι μὴ πάντες· οἶμαι δὲ αὐτὸν καὶ οἴκοθεν αὐτὸ προστεθεικέναι, βουλόμενον βαρύτερον ποιῆσαι τὸ ἔγκλημα· καὶ δεῖξαι οὕτως καὶ τὸν Χριστὸν εἰς μέρος δοθέντα, ὅπερ διὰ τῶν ἑξῆς ἐδήλωσεν.

13 Μεμέρισται ὁ Χριστός; μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ
14 ὑμῶν; ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; εὐχαριστῷ
τῷ Θεῷ ὅτι οὐδένα ὑμῶν ἐβάπτισα, εἰ μὴ Κρίσπον καὶ
15 Γαΐον· ἵνα μή τις εἴπῃ· ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα·
16 ἐβάπτισα δὲ τὸν Στεφανᾶ οἶκον· λοιπὸν οὐκ οἶδα εἴ
17 τινα ἄλλον ἐβάπτισα· οὐ γὰρ ἀπέστειλέν με Χριστὸς
βαπτίζειν ἀλλὰ εὐαγγελίζεσθαι.

Σευηριανοῦ. Μὴ συγκληρονόμους, φησὶν, εἶχε Χριστὸς μεθ' ὧν ἐμερίσατο ὑμᾶς πιστεύοντας; οὐ γὰρ εἶπεν ἐμερίσθη Χριστὸς, ἄλλα μὴ ἐμερίσατο Χριστὸς μεθ' ὑμῶν; καὶ τοῦτο ἡ ἐπαγωγὴ δείκνυσιν· λέγει γὰρ "μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ἡμῶν;" ὁ ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας ἀποθανὼν Χριστὸς, ἡμῶν δὲ οὐδέ εἷς.

Θεοδωρίτου. Τοῦτ' ἔστιν κατὰ μερίδα τινὲς μὲν τὸν Χριστὸν ἔλαχον λαβεῖν· ἄλλοι δὲ ἄλλον· οἱ μὲν Κηφᾶν· οἱ δὲ Ἀπολλὼ, ὃς λέγεται πρῶτος Ἐπίσκοπος γεγονέναι ἐν Κορινθίοις.

Κυρίλλου. Εἰ ἕτερος τὸν ὑπὲρ ἡμῶν ἀνέτλη σταυρόν· αὐτοῦ καὶ λεγόμεθα· καὶ ἐβαπτίσμεθα τυχὸν εἰς τὴν ἑτέραν κλῆσιν· ἐκεῖνος ἡμᾶς ἐχέτω, καὶ αὐτὸν ἐπιγραφώμεθα Σωτῆρα καὶ λυτρωτήν· εἰ δὲ Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ αὐτῷ καὶ μόνῳ συντεθάμμεθα διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, πλουτείτω, φησὶ, τοὺς ἠγορασμένους αὐτὸς, σεσώσμεθα γὰρ δι' αὐτοῦ τε καὶ παρ' αὐτοῦ, τεθεικότος ὑπὲρ ἡμῶν τὴν ἰδίαν ψυχήν.

Ὠριγένους. Μεῖζον τὸ εὐαγγελίζεσθαι τοῦ βαπτίζειν· καὶ

ἐπειδὴ ᾔδει ὁ Παῦλος ἀφορισμένους τινὰς πρὸς τὸ βαπτίζειν· εὐχαριστεῖ ἐπὶ τὸ κρείττονα κλῆρον ἔχειν τοῦ βαπτίζειν. ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων, φαίνεταί τινα τῶν Ἀποστόλων ἔργα· οἷον Φίλιππος ἐβάπτιζεν· τὸ Πνεῦμα δὲ οὐ διηκονεῖτο Φίλιππος τῷ βαπτιζομένῳ· ἀλλὰ τοὺς ὑπ' ἐκείνου βαπτιζομένους ἐχειροθέτει ὁ Πέτρος, καὶ τὸ Πνεῦμα ἐπήρχετο ἐπ' αὐτούς· καὶ ὁ μὲν Φίλιππος τοὺς ἀναγεννωμένους ἐξ ὕδατος καὶ Πνεύματος Ἁγίου ἐβάπτιζεν ὕδατι, ὁ δὲ Πέτρος τῷ Πνεύματι.

Κυρίλλου. Ἀπέσταλται μὲν ὁμολογουμένως διακηρύξων τοῖς ἔθνεσι τὸν Ἰησοῦν, ἀλλ' ἔργον εἶναι φαμὲν τῆς ἀποστολῆς τὸ ὡς ἐν καιρῷ τε καὶ χρείαις πληροῦν, εἴτ' οὖν ἕλοιτο καὶ τὸ βαπτίσαι τινάς· ἵνα δὲ μὴ τὸν τοῦ χρῆναι κηρύττειν καιρὸν ἑτέροις φαίνοιτο δαπανῶν σπουδάσμασι, παρεὶς εὖ μάλα τοῖς κατὰ χώρας καὶ πάσῃ τεταγμένοις εἰς ἐπισκοπὴν τὸ ὡς ἐν σχόλῃ τοῦτο δρᾷν· εὐηγγελίζετο μᾶλλον αὐτός. ἅτε δὴ καὶ λόγου χρείαν πεπιστευμένος, καὶ πολὺ λίαν ἠκριβωκὼς τὸ Χριστοῦ μυστήριον· ἀλλ' ὥσπερ ὁ θεσπέσιος Στέφανος καίτοι τραπεζῶν διάκονος προχειρισάμενος οὐκ ἀπόπεμπτον ἐποιεῖτο τὸ χρῆναι μυσταγωγεῖν, οὕτω καὶ ὁ θεσπέσιος Παῦλος καί τοι τεθειμένος εἰς τὸ δεῖν εὐαγγελίζεσθαι τὸ Χριστοῦ μαρτύριον, ἐπλήρου κατὰ καιρὸν καὶ τὴν τοῦ βαπτίσματος χρείαν· προκειμένος ἐπ' ἄμφω τῆς ἐξουσίας αὐτῷ καὶ ἐξείργοντος οὐδενὸς εἶπεν ἕλοιτο τοῦτο δρᾷν.

Σευηριανοῦ. Ἀπὸ τούτου δείκνυσιν ὅτι τινὲς ἀπὸ τοῦ βαπτίσαντος αὐτοὺς ὀνομάζεσθαι ἐβούλοντο· τοῦτο τὸ καλὸν ὃ καὶ προσέταξεν ὁ Σωτὴρ, καὶ σωτηρίαν φέρει, ἐμοὶ, φησὶ, βάρος ἐγένετο· εἰ ἐμέλλετε ἀπ' ἐμοῦ τοῦ βαπτίσαντος καλεῖσθαι. πῶς δὲ νοήσομεν τὸ "οὐκ ἀπέστειλέν με ὁ Χριστὸς βαπτίζειν ἀλλ' "εὐαγγελίζεσθαι;" ἐπεὶ ἐβαπτίζεν μὲν καὶ ὁ μὴ Ἀπόστολος· τὸ δὲ τῆς ἀποστολῆς ἀξίωμα εἶχον ὀλίγοι· καὶ ἄνευ τοῦ εὐαγγελισθῆναι καὶ βαπτισθῆναι οὐκ ἐνῆν [βαπτισθῆναι] φησὶν, εὐαγγελίσασθαι ἀπεστάλην· τοῦτο γὰρ τὸ προηγούμενον, οὐ τὸ βαπτίσαι· λείπει οὖν ἐνταῦθα τὸ προηγουμένως οὐκ ἀπεστάλην βαπτίσαι· οὕτως καὶ ἀλλαχοῦ ὅτ' ἂν λέγῃ "μὴ τῶν βοῶν μέλει τῷ "Θεῷ," οὐκ ἐπειδὴ οὐ μέλει· καὶ γὰρ ἐν τῷ νόμῳ περὶ βοῶν

λέγει Μοϋσῆς ἀληθῶς περὶ τῶν ὑπηρετουμένων τοῖς γεωργοῖς· φησὶ καὶ ὁ Δαβὶδ "ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε, ὡς "ἐμπλήθυνας τὸ ἔλεός σου ὁ Θεός." λέγει δὲ καὶ Σαλομῶν· "οἰκτείρει δίκαιος ψυχὰς κτηνῶν αὐτοῦ· πόσῳ δὲ μᾶλλον ὁ "Θεός·" ἀλλ' ὅ φησι τουτέστιν· ὅτι προηγουμένως τῶν βοῶν οὐ μέλει τῷ Θεῷ· καὶ ἐνταῦθα κατ' ἔλλειψιν, ὡς καὶ τὸ "οὐκ ἀπέ-"στειλέν με Χριστὸς βαπτίζειν."

Θεοδώρου ὁμοῦ καὶ Θεοδωρίτου. Τὸ "μεμέρισται ὁ Χρι-"στός," τινὲς ἀποφατικῶς ἀνέγνωσαν, Χριστὸν ἐνταῦθα τὴν ἐκκλησίαν ὀνομάσθαι φήσαντες, καὶ ἑρμηνεύσαντες οὕτως, ὅτι κακῶς ἐμερίσατε τοῦ Χριστοῦ τὸ σῶμα· ἐγὼ δὲ αὐτὸ κατ' ἐρώτησιν κεῖσθαι νομίζω.

Φωτίου. Τί εὐχαριστεῖς, Παῦλε, ὅτι οὐδένα αὐτῶν ἐβάπτισας πλὴν ὧν εἶπας; μὴ τὸ βάπτισμα ἐν βραχεῖ τιθέμενος λόγῳ; μὴ γένοιτο, φησὶν, ἀλλὰ διὰ δύο ταύτας αἰτίας εὐχαριστῶ. μίαν μὲν ὅτι μὴ βαπτίζων, φησὶν, οὐδὲ ἔδωκά τισιν ἀφορμὴν λέγειν ὅτι διὰ τοῦτο ἐβάπτισα πολλοὺς, ἵνα χορὸν ἐμαυτῷ μαθητῶν ἱστησάμενος, ὄνομα ἐμαυτῷ περιποιήσωμαι διδασκάλου καὶ καθηγητοῦ· δι' ἑτέραν δὲ, ὅτι οὐδ' εἶχον ἐπὶ τούτῳ παρὰ Χριστοῦ ἀποστολήν. ἅμα δεικνὺς ὅτι εἰ ἐγὼ ὁ ἀποσταλεὶς παρὰ Χριστοῦ κηρύσσειν καὶ καταγγέλλειν τὸ αὐτοῦ εὐαγγέλιον, μετὰ φειδοῦς καὶ σπανίως ἐβάπτισα, καίτοι συγγενές ἐστι καὶ συνέχεται τὸ βάπτισμα τῷ κηρύγματι, ὑμεῖς οἱ μηδόλως ἀποσταλέντες, πῶς τολμᾶτε διδασκάλους ἑαυτοὺς ἀποφαίνειν; πῶς δὲ καὶ βαπτίζετε; ἢ ὅλως τί ποιεῖτε, ὧν οὐκ ἐλάβετε χάρισμα καὶ ἀποστολήν;

Οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ.

Θεοδώρου. Ὁ τοῦ Σωτῆρος σταυρὸς οὐκ ἐκενώθη, ὅτι μὴ ἐν ψιλοῖς ἔχει λόγοις, ἀλλ' ἐν αὐτῷ τῷ πράγματι τὸ σεπτόν τε καὶ ἀξιάγαστον· πλὴν λελόγισται μωρία παρά γε τοῖς οὐκ εἰδόσι τὴν ἀλήθειαν· ὅτι μὴ ἔνεστιν αὐτῷ τὸ ὡς ἐν λέξει λαμπρὸν, καθάπερ ἀμέλει καὶ τοῖς παρ' αὐτοῖς λόγοισιν· ἀλλ' ἐκεῖνοι μὲν καλλιλεξίᾳ καταχρωννύντες τὸ ψεῦδος· ἀποδέουσι κατ' οὐδὲν τῶν τὰ

δηλητήρια μέλιτι συγκιρνώντων. οἱ δέ γε τῶν θείων κηρυγμάτων ἱερουργοὶ γεγονότες, ἁπλὴν ὥσπερ καὶ τῶν ὡραϊσμῶν ἐλευθέραν προτιθέασι τὴν ἀλήθειαν.

Σετηριανοῦ. Μεταβαίνων ἐφ' ἕτερον ἔγκλημα, καὶ ἐπ' ἄλλην διόρθωσιν ἐρχόμενος, οὐκ ἀποθέμενος τέλεον τὸ πρῶτον, προοιμίῳ κέχρηται τῷ δευτέρῳ· τὸ μὲν γὰρ "οὐκ ἀπέστειλέν με Χριστὸς "βαπτίζειν," τοῦ πρώτου ἐγκλήματος ἦν τοῦ "ὅτε ἕκαστος ὑμῶν "λέγει ἐγὼ μέν εἰμι Παύλου· ἐγὼ δὲ Ἀπολλώ." τὸ δὲ "οὐκ ἐν "σοφίᾳ λόγου," ἀρχῆς ἑτέρας οἰκονομίας· τέθεικεν οὖν τὸ εὐαγγελίζεσθαι τέλος μὲν τοῦ πρώτου, ἀρχὴν δὲ τοῦ δευτέρου· "ἵνα "μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ." ἐὰν γὰρ τῇ τῶν ἀνθρώπων συνέσει καὶ τῇ παιδεύσει τὸ κήρυγμα ἐπιγράφηται, ἡ δύναμις τοῦ σταυροῦ οὐ δείκνυται.

Ὠριγένους. Τί μέγα φρονεῖς ἐφ' ᾧ ἐγκαλύπτεσθαι ἔδει; εἰ γὰρ πολεμεῖ τῷ σταυρῷ καὶ μάχεται τοῖς εὐαγγελίοις ἡ σοφία, οὐκ αὐχεῖν ἐπ' αὐτῇ, ἀλλὰ καταδύεσθαι ἔδει. τοῦτο γὰρ αἴτιον τοῦ μὴ γενέσθαι τοὺς Ἀποστόλους σοφούς· οὐκ ἀσθενεία τοῦ κηρύγματος, ἀλλ' ἵνα μὴ βλαβῇ τὸ κήρυγμα· καὶ εἰ οὐκ ἐν σοφίᾳ, φησὶ, λόγου, τίνος ἕνεκεν τὸν Ἀπολλὼ λόγιον ὄντα ἔπεμψαν; οὐ τῇ τῶν λόγων δυνάμει θαρροῦντες, ἀλλ' "ὅτι δύνατος ἦν "ἐν ταῖς γραφαῖς, καὶ ἤλεγξεν τοὺς Ἰουδαίους." ἀλλ' ὥστε τὸ ζητούμενον ἦν τοὺς προστάτας καὶ ἀρξαμένους σπείρειν τὸν λόγον, μὴ εἶναι λογίους· οὗτοι γὰρ ἦσαν οἱ πολλῆς δυνάμεως δεόμενοι ὥστε ἀπώσασθαι τὴν πλάνην ἐκ προοιμίων· ὁ τοίνυν μὴ δεχθεὶς εὐπαιδευτῶν ἐκ προοιμίων· εἰ μετὰ ταῦτα λογίους ἐδέξατο, οὐκ ὡς δεόμενος τοῦτο ἐποίησεν, ἀλλ' ὡς μὴ διακρουόμενος.

Ὠριγένους. Χρεία οὐ τοσοῦτον λόγου, ὅσον δυνάμεως· διὸ γέγραπται· "Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει "πολλῇ, ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ." ἀπέστειλεν οὖν με Χριστὸς οὐ βαπτίζειν ἀλλ' εὐαγγελίζεσθαι· οὐκ ἐν σοφίᾳ λόγου, οὐκ ἐν τρανώσει λέξεως· ἐὰν γὰρ τοῦτο ποιῶ, καὶ θέλω οὕτω παραδιδόναι τὸν λόγον, ἡ τοῦ Χριστοῦ δύναμις οὐκ ἀφικνεῖται τῆς ψυχῆς τῶν ἀκουόντων, καὶ ἐκκενῶ καὶ καθαίρω τὴν χάριν τῆς δυνάμεως.

Φωτίου. Οὐκ εἶπεν οὐκ ἐν σοφίᾳ γνώσεως, ἀλλ' "οὐκ ἐν

“σοφίᾳ λόγου,” καλῶς· καὶ γὰρ ἐν σοφίᾳ γνώσεως εὐηγγελίζετο· διὸ καὶ ἀλλαχοῦ· “ἰδιώτης τῷ λόγῳ, ἀλλ’ οὐ τῇ γνώσει·” τί γάρ ἐστι σοφώτερον ἢ εἰς γνῶσιν ἄμεινον καὶ λαμπρότερον τοῦ μαθεῖν καὶ διδάξαι, ὅτι σταυρῷ καὶ θανάτῳ κατήργηται θάνατος, καὶ τὸ ἡμέτερον τῶν ἀνθρώπων γένος μακρᾶς καὶ χαλεπωτάτης τῆς τοῦ διαβόλου τυραννίδος ἠλευθέρωται; “ἵνα μὴ κενώθῃ ὁ “σταυρὸς τοῦ Χριστοῦ· κενοῦται γὰρ καὶ κατευτελίζεται ὁ σταυρὸς τοῦ Χριστοῦ, ἤτοι τὸ ὑπὲρ ἡμῶν ἑκούσιον πάθος αὐτοῦ· τοῖς λόγῳ σοφίας καὶ πιθανότητι πειρωμένοις αὐτοῦ τὸ μεγαλεῖον καὶ τὴν θεότητα παραστῆσαι· πῶς γὰρ τὸ ὑπὲρ λόγον καὶ φύσιν, καὶ λόγοις καὶ τέχνῃ τινὶ παραστῆσαι; τίς δέ ἐστι χρεία λόγων καὶ πειθοῦς, τῶν σημείων καὶ θαυμάτων μεῖζον φωνῆς ἁπάσης κεκραγότων· καὶ πάντα τὸν βουλόμενον ἐπὶ τὴν εὐσέβειαν καὶ τὸ κήρυγμα χειραγωγούντων.

18 Ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις
μωρία ἐστὶ, τοῖς δὲ σωζομένοις ἡμῖν, δύναμις Θεοῦ ἐστι.
19 γέγραπται γὰρ, Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ
τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω.

Ὠριγένους. *Τὸ ὄνομα τοῦ Χριστοῦ δοκεῖ σκάνδαλον εἶναι· ἀλλ’ ἐάν τις παρέχῃ τὰς ἀκοὰς τῷ λόγῳ τοῦ Θεοῦ καὶ τῇ χάριτι, ὄψεται καὶ τοῦτο μέγα μυστήριον· καὶ οἱ ἐθνικοὶ παραδεδώκασιν, ὅτι πολλάκις λοιμῶν μεγάλων γενομένων ἢ ἐπομβριῶν ἢ αὐχμῶν, ταῦτα ἐπαύσατο, ἀνθρώπου αὐτὸν παραδόντος ὑπὲρ τοῦ κοινοῦ. τί οὖν θαυμαστὸν, εἰ ὅλου τοῦ κόσμου λοιμώττοντος τῇ πλάνῃ, ὑπὲρ τοῦ λοιμοῦ τοῦ ἀληθινοῦ, ἐχρῆν ἕνα ἀποθανεῖν ὑπὲρ τοῦ καταλῦσαι τὸν τῆς ἀγνοίας καὶ τοῦ σκότους καὶ τῆς ἀπωλείας λοιμόν; τίς δὲ ἠδύνατο τοῦτο ἀναδέξασθαι; οὐ προφήτης, οὐκ Ἀπόστολος· οὐδέ τις ἄλλος δίκαιος; ἀλλ’ ἔδει ἐξ οὐρανοῦ καταβῆναι θείαν δύναμιν δυναμένην ἀναδέξασθαι ὑπὲρ πάντων ἀποθανεῖν μετά τινος παραδειγματισμοῦ· ἵνα δι’ ἐκείνου τοῦ θανάτου τρόπαιον γένηται κατὰ τοῦ διαβόλου· καὶ γὰρ εἰώθασιν ἐν κόσμῳ θριαμβεύοντες τοὺς πολέμους[i], ἐν τροπαίῳ σταυροῦ τιθέναι τὰ τρόπαια κατὰ*

[i] Leg. vid. πολεμίους.

τῶν νικωμένων. ἐστὶν οὖν ὁ σταυρὸς τοῦ Χριστοῦ τρόπαιον κατὰ τοῦ Σατανᾶ· διὰ τοῦτο λέγω, ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ, τῷ ἐγνωκότι τὴν δύναμιν τοῦ σταυροῦ ὅ τι ἐστιν· ὅτι ἠλευθερώθην ἀπὸ τῶν κακῶν δι' ἐκείνου ἀποθανόντος, ἵνα με ῥύσηται ἀπὸ τοῦ θανάτου· εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ· μέγα ἀγαθὸν ὅτι ἐμοὶ κόσμος ἐσταύρωται· τοῦτο τὸ ἀγαθὸν διὰ τίνος μοι γέγονεν; διὰ τοῦ σταυροῦ τοῦ Χριστοῦ· μέγα μοι ἀγαθὸν τὸ ἐμὲ σταυρωθῆναι τῷ κόσμῳ· εἰ γὰρ ἀπέθανον τῷ κόσμῳ, ἐσταύρωμαι τῷ κόσμῳ μετὰ τοῦ Χριστοῦ· εἰ δὲ ζῶ ταῖς ἁμαρτίαις, οὔπω ἠξιώθην τοῦ ἀγαθοῦ τοῦ κατὰ τὸν σταυρόν. ἅμα δὲ καὶ ἑτοιμαζώμεθα πρὸς πειρασμοὺς, πρὸς μαρτύρια· εἰδότες ὅτι ὃς ἂν ἀρνήσηται, σωτήριαν οὐκ ἔχει.

Ἰωάννου. Τοῖς κάμνουσι καὶ ψυχορραγοῦσι, καὶ αἱ τροφαὶ αἱ ὑγιεῖς ἀηδεῖς, καὶ οἱ φίλοι καὶ οἱ προσήκοντες ἐπαχθεῖς, καὶ ἐνοχλεῖν δοκοῦσιν· οὕτω δὴ καὶ τοῖς τὰς ψυχὰς ἀπολλυμένοις συμβαίνειν εἴωθεν· τὰ γὰρ πρὸς σωτηρίαν φέροντα ἀπωθοῦσιν, καὶ τοὺς κηδομένους ἐνοχλεῖν νομίζουσιν· γίνεται δὲ οὐ παρὰ τὴν τοῦ πράγματος φύσιν, ἀλλὰ παρὰ τὴν ἐκείνων νόσον. τοῦτο τοίνυν καὶ οἱ ἄπιστοι πάσχουσι, μωρίαν νομίζοντες τὸν σταυρὸν τοῦ Χριστοῦ. ἐπειδὴ οὖν εἰκὸς ἦν, τοῦ σταυροῦ παρὰ τῶν Ἑλλήνων χλευαζομένου, τοὺς πιστοὺς τῇ σοφίᾳ τῇ δῆθεν παρ' ἑαυτῶν ἀνθίστασθαι, θορυβουμένους τοῖς παρὰ τῶν Ἑλλήνων λεγομένοις, παραμυθούμενος ὁ Παῦλος, φησὶ, μὴ νομίσητε ξένον τι γίνεσθαι καὶ παράδοξον· ταύτην ἔχει τὴν φύσιν τὸ πρᾶγμα· ὥστε ἀπὸ τῶν ἀπολλυμένων μὴ γνωρίζεσθαι αὐτοῦ τὴν δύναμιν· ἐξεστήκασι γὰρ καὶ παραπαίουσι· διὰ τοῦτο καὶ λοιδοροῦνται καὶ ἐπαχθῶς ἔχουσι πρὸς τὰ σωτήρια φάρμακα.

Σευηριανοῦ. Ὁ λόγος ὁ τοῦ σταυροῦ, οὐ τὸ ῥῆμα λέγει οὐδὲ τὴν προφορὰν, ἀλλὰ τὴν δύναμιν· τὸ μὲν γὰρ ἔργον ἀσθενὲς εἶναι φαίνεται, ἡ δὲ αἰτία ζητουμένη, μέγα μυστήριον δείκνυται· "τοῖς "δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστιν·" ἐπειδὴ τὸ "Χριστὸς "Θεοῦ δύναμις καὶ Θεοῦ σοφία," εἰς τὸν Θεοῦ λόγον λαμβάνειν τίνες βούλονται· ἐντεῦθεν παρατηρητέον ὅτι "δύναμιν Θεοῦ" λέγει, τοῦ σταυροῦ τὸν λόγον· "γέγραπται γὰρ ἀπολῶ τὴν

"σοφίαν τῶν σοφῶν." εἰ καὶ ἀξιόπιστος καθ' ἑαυτὸν διδάσκων ὁ Ἀπόστολος, Χριστὸν γὰρ εἶχεν ἐν ἑαυτῷ λαλοῦντα· ἀλλ' οὖν κέχρηται καὶ τῇ μαρτυρίᾳ τῆς παλαιᾶς διαθήκης, ἰσχυροτέραν τὴν πληροφορίαν ἐργαζόμενος τῶν μαθητῶν· χρησάμενος δὲ τῇ μαρτυρίᾳ τῇ "ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν," λοιπὸν ὡς ἐφ' ὡμολογημένοις ἐπεξέρχεται λέγων· "ποῦ σοφός; ποῦ γραμματεύς;" σοφὸς Ἑλλήνων, γραμματεὺς δὲ τῶν Ἰουδαίων.

ΦΩΤΙΟΥ. *Δείκνυσι λοιπὸν ὅτι οὐδὲν ἦν λόγῳ σοφίας προσαγάγεσθαι τινὰς τῷ κηρύγματι· ἀλλὰ μόνῃ τῇ ἄνωθεν συνεργίᾳ καὶ χάριτι. εἰ γὰρ κεφάλαιόν ἐστι τοῦ κηρύγματος ὁ σταυρὸς, ὁ δὲ περὶ τοῦ σταυροῦ λόγος οὐ μόνον οὐ προσάγει, ἀλλὰ καὶ τοῖς ἀπολλυμένοις μωρία δοκεῖ· τί ἂν τις ἔχοι λέγειν περὶ τοῦ κηρύγματος· μὴ πάντα τῆς χάριτος αὐτῷ χορηγούσης;*

20 Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου;

ὨΡΙΓΕΝΟΥΣ. *Εἰπὼν ὅτι "γέγραπται ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν," τὴν ἀπὸ τῶν πραγμάτων ἀπόδειξιν ἐπάγει λέγων· "ποῦ σοφός; ποῦ γραμματεύς;" ὁμοῦ καὶ Ἑλλήνων καὶ Ἰουδαίων καθαπτόμενος.*

ΚΛΗΜΕΝΤΟΣ. *Πρὸς ἀντιδιαστολὴν τῶν γραμματέων, τοὺς τοῦ αἰῶνος τούτου ζητητὰς, τοὺς ἐξ ἐθνῶν φιλοσόφους τάξας· "οὐχὶ ἐμώρανεν ὁ Θεός·" ἀποφατικὸν ἡγητέον ἐπὶ γῆς τὸ "οὐκ ἐμώρανεν." ἵνα μὴ αἰτία τῆς σκληροκαρδίας αὐτοῖς παρὰ τοῦ Θεοῦ φάνηται τοῦ μωράναντος τὴν σοφίαν· ἔμπαλιν γὰρ καὶ οἱ σοφοὶ ἐν μείζονι αἰτίᾳ γεγόνασι, μὴ πιστεύσαντες τῷ κηρύγματι· ἀλλὰ καὶ τὸ "ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν," τῇ τῆς καταφρονουμένης καὶ ὑπερορωμένης βαρβάρου φιλοσοφίας ἀντιπαραθέσει κατακάλυψαι φησί. ὡς καὶ ὁ λύχνος ὑπὸ τοῦ ἡλίου καταλαμπόμενος ἀπολωλωκέναι λέγεται, τῷ μὴ τὴν ἴσην ἀποτελεῖν ἐνέργειαν· πάντων τοίνυν ἀνθρώπων ἠσκημένων, οἱ ὑπακοῦσαι βουληθέντες κλητοὶ ὠνομάσθησαν.*

ΘΕΟΔΩΡΙΤΟΥ. *Λόγον τοῦ σταυροῦ, τὸ τοῦ σταυροῦ λέγει κήρυγμα· ἀπολλυμένους δὲ τοὺς ἀπιστοῦντας καλεῖ· δεξομένους*

δὲ τοὺς πιστεύσαντας· ἀπὸ τοῦ τέλους τὰς προσηγορίας τιθείς· τὴν δὲ γραφικὴν τέθεικε μαρτυρίαν· διδάσκων ὡς ἄνωθεν ταῦτα προηγόρευσεν ὁ τῶν ὅλων Θεός· εἶτα δείκνυσι τὸ τῆς προρρήσεως ἀψευδές· "ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ "αἰῶνος τούτου." εἰπὼν σοφὸν καὶ γραμματέα, τοῖς προειρημένοις ἀκολούθως ἐπάγει· συζητητής ἐστιν ὁ ἐκ τούτων κἀκείνων διαλεκτικὴν ἠσκημένος τέχνην· εἶτα ἐπάγει· "οὐχὶ ἐμώρανεν ὁ "Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου;" τοῦτ' ἔστι τὴν εὐγλωττίαν· καὶ γὰρ ταύτης χορηγὸς ὁ Θεός· αὐτὸς γὰρ καὶ τὰς γλώττας διεῖλεν· καὶ ἑκάστῃ χαρακτῆρας ἰδίους ἀπένειμεν· καὶ τῇ Ἑλλάδι τοίνυν φωνῇ αὐτὸς ἔδωκεν λαμπρότητα· οἱ δέ γε οὐκ εἰς δέον ταύτῃ χρησάμενοι, δέλεαρ αὐτὴν τῆς ἀπάτης ἀπέφηναν· κατηγορεῖ τοίνυν οὐ τῆς εὐγλωττίας, ἀλλὰ τῆς ἐν αὐτῇ κρυπτομένης ψευδολογίας· ταυτὴν ἐλεγχθῆναι λέγει, καὶ μωρίαν ἀποφανθῆναι.

Κυρίλλου. Τοῖς μὲν μέγα φρονοῦσιν ἐπὶ σοφίᾳ κοσμικῇ, καὶ τὴν πίστιν οὐ προσιεμένοις, δῆλον δὲ ὅτι τὴν εἰς Χριστὸν, μωρία τὸ εὐαγγέλιον· ἡμῖν δὲ οὐχ οὕτως· πολλοῦ γε καὶ δεῖ· διατεθείμεθα γὰρ ὅτι δύναμις Θεοῦ ἐστι καὶ σωτηρίας ὁδὸς, ἀποφέρουσα πρὸς ἁγιασμὸν, καὶ εἰς τὴν τοῖς ἀληθείας ἐπίγνωσιν παιδαγωγοῦσα σοφῶς δαψιλῶν κηρυγμάτων· οἶμαι δὲ ἔγωγε σοφὸς νῦν αὐτὸν ἀποκαλεῖν τοὺς ῥήτορας· οἳ τῇ τῶν λόγων δεινότητι τὸ πιθάνον ἀεὶ τῷ ψεύδει συμπλέκοντες, τῆς ἀληθείας αὐτῷ τὴν δόκησιν περιποιεῖν ἐσπούδαζον· γραμματέας δὲ οἶμαι τοὺς γραμματιστὰς ἤτοι γραμματικούς· οἷς ἦν ἔθος τὰς τῶν ποιητῶν περιεργάζεσθαι συγγραφὰς καὶ διερμηνεύειν τοῖς νέοις· συζητητὰς δὲ φησὶ τοὺς λογομαχεῖν εἰωθότας, καὶ ἀκριβεῖς δῆθεν τῶν πραγμάτων βασανιστάς· οἱ ταῖς τῶν ἐννοιῶν εὑρέσεσιν ὡς ἐνὶ[k] τὸ ἐφ' ἑκάστῳ τῶν προκειμένων ἀδιαβλήτως ἔχειν δοκοῦν, ζητεῖν ὑποκρίνονται τὴν ἀλήθειαν· ἀλλ' οὔτι πω ὀρθῶς, μᾶλλον δὲ εἰς ἅπαν ἠμελημένως· ἠγνοήκασι γὰρ τὸν τῶν ὅλων Θεόν· ὃς τὸ σύμπαν ἀπορρήτοις ἐνεργείαις ἀπονητὶ διεπήξατο, καὶ παρήνεγκεν εἰς τὸ εἶναι τὰ οὐκ ὄντα πάντα, κατανεύσας μόνον· μεμώραται τοίνυν ἀληθῶς ἡ τοῦ κόσμου σοφία.

Ὠριγένους. Οὐ ταυτόν ἐστιν εἶναι σοφόν· καὶ ἐν τῷ αἰῶνι

[k] Fors. ἔνι.

τούτῳ εἶναι σοφόν· τὸ μὲν γὰρ χωρὶς τοιαύτης προσθήκης οὐ περιέχει τὴν ἀληθῆ σοφίαν· παραπλησίως δὲ νοήσεις καὶ μωρίαν· οὐ ταυτόν ἐστι μωρὸν, καὶ μωρὸν ἐν τῷ αἰῶνι τούτῳ· ὁ μὲν γὰρ χωρὶς προσθήκης τῆς τῷ αἰῶνι τούτῳ, ἀληθής ἐστι μωρός· καὶ ἡμεῖς τοίνυν οἱ πιστεύοντες τοῖς λόγοις τῆς σοφίας, κελευόμεθα ἐν τῷ αἰῶνι τούτῳ γίνεσθαι μωροί· τοιοῦτοι γὰρ δοκοῦμεν εἶναι τοῖς ἀνθρώποις, πιστεύοντες εἰς Χριστὸν Ἰησοῦν ἐσταυρωμένον, καὶ πιστεύοντες ἀνάστασιν σωμάτων· πιστεύοντες δὲ ὅτι ζησόμεθα οὐ μόνον οἱ νῦν ὄντες ἐπὶ γῆς ὕστερον ἐν οὐρανοῖς, ἀλλ' ὅτι καὶ ἂν ἁμαρτάνωμεν, πυρὶ αἰωνίῳ παραδοθησόμεθα· τοιούτους ἡμᾶς δοκεῖν εἶναι τοῖς ἀνθρώποις.

21 Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεὸν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας.

ΣΕΥΗΡΙΑΝΟΥ. *Δύο σοφιῶν μέμνηται· μίας τῆς ἐν τοῖς δημιουργήμασι θεωρουμένης ἁρμονίας, ἑτέρας δὲ σοφίας καθ' ἣν λογικοὶ ὄντες οἱ ἄνθρωποι συνετοὶ τυγχάνοντες. ἐπειδὴ τοίνυν, φησὶ, διὰ τῆς προσούσης ἡμῖν συνέσεως οὐκ ἔγνω μὲν τὸν Θεὸν, οὔτε διὰ τῆς ἐν τοῖς δημιουργήμασι θεωρουμένης σοφίας, "εὐδόκησεν ὁ Θεὸς "διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας." μέγα ἐστὶν ὃ λέγει· οὐ δεικνυόμενον τοῖς ἁπλῶς παρατρέχουσι· τὸ γὰρ δυνατὸν τοῦ Θεοῦ καὶ πάνυ σοφὸν δείκνυσιν οὕτως. τὸ μέγεθος καὶ τὸ κάλλος τοῦ κόσμου, φησὶν, ἀμέτρητον ὂν καὶ ἀνέφικτον, οὐκ ἔπεισεν ὑμᾶς ἐπιγνῶναι τὸν Θεόν· ἀλλ' ἀφέντες τὸν ποιήσαντα, προσεκυνήσατε τούτοις δι' ὧν ἐχρῆν ἐπιγνῶναι τὸν ποιητὴν αὐτῶν· δείκνυσι ὑμῖν ὁ Θεὸς τῆς ἑαυτοῦ δυνάμεως τὴν ὑπερβολήν· οὓς οὐκ ἔπεισε κτίσις ἀλλὰ καὶ ἔπληξε· διὰ τῆς ὁμολογουμένης ἀσθενείας τοῦ σταυροῦ κόσμον ἐφώτισεν.*

ΘΕΟΔΩΡΙΤΟΥ. *Ταύταις ταῖς δύο προστίθησι τρίτην τὴν διὰ τῆς οἰκονομίας τοῦ Σωτῆρος ἡμῶν δεικνυμένην, ἣν οἱ ἀπιστοῦντες μωρίαν προσαγορεύουσι· δι' ἧς ὁ Θεὸς τὸν κόσμον ἐπανήγαγεν ἀπὸ πλάνης.*

ὨΡΙΓΕΝΟΥΣ. *Νῦν οὐκ ἔτι λογισμῶν, ἀλλὰ πίστεως δεόμεθα· τὸ γὰρ εἰς τὸν σταυρωθέντα καὶ ταφέντα πιστεύειν, καὶ πεπληρο-*

φορῆσθαι, ὅτι οὗτος αὐτὸς ἀνέστη καὶ ἄνω κάθηται, τοῦτο σοφίας οὐ δεῖται, ἀλλὰ πίστεως. καὶ γὰρ οἱ Ἀπόστολοι οὐ σοφίᾳ προσῆλθον· ἀλλὰ πίστει, καὶ γεγόνασι τῶν ἔξω σοφῶν σοφώτεροι καὶ ὑψηλότεροι· πῶς δὲ ἀπώλεσε τῶν σοφῶν τὴν σοφίαν, διὰ Παύλου καὶ τῶν τοιούτων γνωρισθεὶς ἡμῖν, ἔδειξεν αὐτὴν ἀνόητον οὖσαν. πρὸς γὰρ δέξασθαι τὸ κήρυγμα τὸ εὐαγγελικὸν, οὔτε ὁ σοφὸς ὠφέληται ἀπὸ τῆς σοφίας, οὔτε ὁ ἰδιώτης ἐβλάβη τι ἀπὸ τῆς ἀμαθίας. οὕτως τοίνυν τὴν σοφίαν ἀπώλεσεν· ἐπειδὴ γὰρ προτέρα ἑαυτὴν κατέβαλεν· καὶ ὅτε ἔδει τὰ ἑαυτῆς αὐτὴν ἐνδείξασθαι καὶ διὰ τῶν ἔργων ἰδεῖν τὸν δεσπότην, οὐκ ἠθέλησεν· διὰ τοῦτο κ᾽ἂν θέλῃ νῦν ἐπεισάγειν ἑαυτὴν οὐ δύναται· οὐ γὰρ τοιαῦτα τὰ πράγματα· ἡ γὰρ ὁδὸς αὐτὴ τῆς θεογνωσίας, πολλῷ μεῖζον ἐκείνης· διὰ τοῦτο πίστεως καὶ ἀσφαλείας χρεία. τί δέ ἐστιν "ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου;" μωρὰν ἔδειξεν οὖσαν πρὸς τὴν τῆς πίστεως κατάληψιν· ποία γὰρ σοφία ὅτ᾽ ἂν τὸ κεφάλαιον τῶν ἀγαθῶν μὴ εὑρίσκῃ; μωράνας τοίνυν αὐτὴν ἔδειξεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σώσας. μωρίας δὲ οὐχὶ τῆς οὔσης, ἀλλὰ τῆς εἶναι δοκούσης.

Κλήμεντος. *Ἐπεὶ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ ἐν τῇ τῶν προφητῶν κατηγγελμένῃ εὐδόκησεν διὰ τῆς μωρίας, τῆς δοκούσης Ἕλλησιν εἶναι μωρίας.*

Κυρίλλου. *Σοφίαν Θεοῦ καὶ τὴν ἀνθρωπίνην ὀνομάζει σύνεσιν καὶ τὴν εὐγλωττίαν, ἤτοι αὐτὸ τὸ τῆς λέξεως ἀνθηρόν. ἵνα διδάξῃ ὅτι νοῦ ποιητὴς ὁ Θεὸς καὶ φρονήσεως χορηγὸς καὶ εὐγλωττίας· καὶ εἴ τινες αὐτοῖς ἐχρήσαντο, ἐφ᾽ ἃ μὴ προσῆγεν· μωρίαν δὲ τοῦ κηρύγματος, τῶν λέξεων τὴν ἁπλότητα λέγει. ἰδιῶται μὲν γὰρ τῷ λόγῳ γεγόνασιν οἱ θεσπέσιοι μαθηταὶ, πλούσιοι δὲ τῇ γνώσει.*

22 Ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι, καὶ Ἕλληνες
23 σοφίαν ζητοῦσιν· ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυ-
ρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν·
24 αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι, Χριστὸν
25 Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν. ὅτι τὸ μωρὸν τοῦ Θεοῦ
σοφώτερον τῶν ἀνθρώπων ἐστί· καὶ τὸ ἀσθενὲς τοῦ
Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί.

Ὠριγένους. Πολλὴ ἡ τῶν εἰρημένων σύνεσις· θέλει γὰρ εἰπεῖν πῶς διὰ τῶν ἐναντίων ἐκράτησεν ὁ Θεός· καὶ πῶς οὐκ ἔστιν ἀνθρώπινον τὸ κήρυγμα· ὃ δὲ λέγει τοιοῦτόν ἐστι. ὅταν εἴπω, φησὶν, Ἰουδαίοις, πιστεύσατε· λέγουσιν· ἀναστήσατε νεκροὺς, δείξατε ἡμῖν σημεῖα· ἡμεῖς δὲ τί λέγομεν; ὅτι ἐσταυρώθη καὶ ἀπέθανεν ὁ κηρυττόμενος. πάλιν Ἕλληνες ἡμᾶς ἀπαιτοῦσι ῥητορείαν λόγων καὶ δεινότητα σοφισμάτων. ἡμεῖς δὲ καὶ τούτοις τὸν σταυρὸν κηρύσσομεν· ὅταν ὁ σταυρὸς οὐ δοκεῖ σημεῖον εἶναι κατὰ λογισμὸν ἐξεταζόμενος, ἀλλὰ καὶ σημείου ἀναίρεσις. οὐ μόνον οὐ δοκεῖ δυνάμεως ἀπόδειξις, ἀλλὰ καὶ ἀσθενείας ἔλεγχος. οὐ μόνον οὐ δοκεῖ σοφίας ἐπίδειξις εἶναι, ἀλλὰ καὶ μωρίας ὑπόληψις. ὅταν οὖν ἐνα[k] αων ἐπιθυμῶσιν ἀκούουσιν, εἶτα διὰ τῶν ἐναντίων πείθωνται. πῶς οὐκ ἄφατός ἐστιν ἡ τοῦ κηρυττομένου δύναμις; οὕτω καὶ οἱ Ἀπόστολοι περιεγένοντο· οὕτω καὶ ἐπὶ τῆς κτίσεως ὁ Κύριος ἐποίησεν τὰ ἐναντία διὰ τῶν ἐναντίων κατασκευάζων. ψάμμῳ γοῦν θάλασσαν ἐτείχισε, τῷ ἀσθενεῖ τὸ ἰσχυρὸν χαλίνωσας· ὕδατι γῆν ἐπέθηκε· τῷ χαύνῳ καὶ διαρρέοντι, τὸ πυκνὸν καὶ παχὺ ἐποχεῖσθαι παρασκευάσας· διὰ τῶν προφητῶν πάλιν, σίδηρον ξύλῳ μίκρῳ ἐμετεώρισεν· οὕτω δὴ καὶ σταυρῷ τὴν οἰκουμένην ἐπεσπάσατο. ὥσπερ γὰρ τὸ ὕδωρ βαστάζει τὴν γῆν, οὕτω καὶ ὁ σταυρὸς βαστάζει τὴν οἰκουμένην. μεγάλης τοίνυν δυνάμεως ἀπόδειξις, τὸ διὰ τῶν ἐναντίων πείθειν· καὶ γὰρ σκανδάλου πρᾶγμα ὁ σταυρὸς εἶναι δοκεῖ· ἀλλ' ὅμως οὐ μόνον οὐ σκανδαλίζει, ἀλλὰ καὶ ἐφέλκεται. ταῦτ' οὖν πάντα ἐννοήσας ὁ Παῦλος καὶ ἐκπλαγεὶς ἔλεγεν· "ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον "τῶν ἀνθρώπων ἐστί· καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν "ἀνθρώπων ἐστί·" περὶ τοῦ σταυροῦ λέγων τὸ μωρὸν καὶ τὸ ἀσθενές· οὐ τὸ ὂν, ἀλλὰ τὸ δοκοῦν· πρὸς γὰρ τὴν ἐκείνην ὑπόληψιν ἀποκρίνεται.

Κυρίλλου. Κατ' ἄμφω ἀληθὴς ὁ τοῦ Παύλου λόγος· ἐξελαύνοντος γάρ ποτε τοῦ Χριστοῦ τῶν ἱερῶν περιβόλων τοὺς πωλοῦντας τὰ πρόβατα καὶ τὰς βοῦς τρυγόνας τε καὶ περιστεράς· καὶ φάσκοντος "μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου·"

[k] Est parva lacuna in Cod.

ἀντεφέροντο λέγοντες, "τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα "ποιεῖς; καὶ τίς ἔδωκέν σοι τὴν ἐξουσίαν ταύτην;" προσήεσαν δὲ καὶ τῶν γραμματέων τινὲς μετὰ πλείστην ὅσην σημείων ἐπίδειξιν φιλοκακούργως λέγοντες, "διδάσκαλε, θέλομεν ἀπὸ σοῦ "σημεῖον ἰδεῖν·" ὀλίγου τοίνυν παντελῶς ἀξιοῦντες λόγου τὰς τῶν ἁγίων φωνὰς, δι' ὧν ἦν εἰκὸς αὐτοὺς δύνασθαι μαθεῖν, ὅτι αὐτὸς ἦν ὁ Χριστός· θεοσημείας ἐζήτουν· ὅθεν ἔλεγεν ὁ Σωτὴρ τοῖς ἀποσταλεῖσιν ὑπὸ Ἰωάννου· "ἀπελθόντες ἀπαγγείλατε Ἰω- "άννῃ, ἃ ἀκούετε καὶ βλέπετε· τυφλοὶ ἀναβλέπουσι· χωλοὶ "περιπατοῦσι."

Καὶ οἱ Ἕλληνες τὴν ἐν λέξει τε καὶ λόγοις ζητοῦντες λαμπρότητα, ἡγοῦνται δὲ καὶ μωρίαν τῆς μετὰ σαρκὸς οἰκονομίας τὸν τρόπον, καὶ φασὶ, τί γὰρ ὅλως ἔδει Θεὸν ὄντα κατὰ φύσιν τὸν ἐκ Θεοῦ Λόγον, θελήσει καὶ νεύματι κατορθοῦν ἰσχύοντα τὰ κατὰ γνώμην αὐτῷ, γενέσθαι ἄνθρωπον, καὶ ὑπομεῖναι θάνατον; πῶς δ' ἂν γένοιτό, φασιν, ἀποτεκεῖν παρθένον; πῶς δὲ καὶ ἀναστήσεται τὸ θανάτῳ κατεφθαρμένον; ἀλλ' οὐδὲν αὐτοὺς ἀπεικὸς τοιαῦτα λέγειν. "ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος. μωρία γὰρ αὐτῷ ἐστίν· ἀλλ' ἡμῖν Θεοῦ δύναμίς ἐστι καὶ σοφία." σέσωκε γὰρ δι' αὐτοῦ τὴν ὑπ' οὐρανὸν ὁ Θεὸς καὶ Πατήρ. ὡς διὰ δυνάμεως τῆς ἐνούσης αὐτῷ φυσικῶς, καὶ τῆς ἀπορρήτου σοφίας, τῆς ἑαυτοῦ δηλονότι· σοφία γὰρ καὶ δύναμις τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱός· δι' ἧς τὰ πάντα παρῆκται πρὸς γένεσιν, καὶ πεποιημένα σώζεται. καὶ εἰ δή τις, φησὶν, ἕλοιτο ταῖς ἀνθρώπων δυνάμεσιν ἀντεξετάσαι τὴν ἐν Θεῷ, καταθρήσει δὲ πάντως ὅτι τὸ δοκοῦν τῶν θείων ἔργων ὡς ἐν ἀσθενείᾳ πεπράχθαι τυχὸν, καὶ ἐπ' ἐκεῖνα τε καὶ ἄμεινον τῆς ἀνθρωπίνης ἰσχύος. Κατ' αὐτὸν δὲ τουτονὶ τὸν τρόπον καὶ ἐπὶ τῆς σοφίας νοήσεις ὅτι τὸ μωρὸν εἶναι δοκοῦν, σοφώτερον τῶν ἀνθρώπων ἐστίν· οἱονεὶ πρὸς τὰ μεγέθη καὶ κάλλη τῶν στοιχείων, οὐρανοῦ τε φημὶ καὶ ἡλίου καὶ τῶν λοιπῶν ἄστρων καὶ πυρὸς καὶ ὕδατος καὶ τῶν ἄλλων, συγκρίναι τίς βούλοιτο τὰ μικρὰ τῶν κτισμάτων καὶ ἐλάχιστα, ὀλίγη παντελῶς ἡ ἐν τούτοις εὑρεθήσεται δύναμις τε καὶ σοφία· καὶ ὡς ἀπό γε τοῦ ἡττῆσθαί τις εἶναι δοξείεν· ἀλλ' οὐκ ἂν γένοιτό τις τῶν ἐν ἡμῖν οὐδὲ τῶν οὕτως ἐργάτης. ἀληθῶς οὖν, "ὅτι τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυ-

" ρότερον τῶν ἀνθρώπων ἐστὶν, καὶ τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον " τῶν ἀνθρώπων ἐστίν·" ἔχει τοίνυν τὸ πάνσοφον ἡ οἰκονομία. βεβασίλευκε γὰρ συνετῶς ἁπάσης τῆς ὑφ' οὐρανὸν ἐν σοφίᾳ Χριστός.

Σευηριανοῦ. Δεικνὺς γὰρ τὴν ἀτοπίαν τῶν ἐν λογιότητι τεθαρσηκότων καὶ κοσμεῖν οἰομένων διὰ τῆς εὐγλωττίας τὴν εὐσέβειαν, φησὶν, ὅτι οὐ μόνον σοφίαν τοῖς Ἕλλησι ζητοῦσιν οὐ χρὴ ἀποκρίνεσθαι· ἀλλ' οὐδὲ σημεῖα αἰτοῦσι τοῖς Ἰουδαίοις διδόναι. καὶ μὴν τὰ σημεῖα τοῦ Πνεύματος, ἡ δὲ σοφία τῶν λόγων τῆς ἔξωθεν παιδείας· εἰ δὲ οὐδὲ τὰ τοῦ Πνεύματος θαύματα αἰτοῦσι προσῆκεν, ἧπου τε τὰ τῆς ἔξωθεν σοφίας· οὐ γὰρ πειράζουσι διδόται, ἀλλὰ πιστῶς αἰτοῦσιν· ὁ μέντοι λόγος ἐκβέβληται πάντη ὡς ἐπιβουλεύων τῇ δόξῃ τοῦ σταυροῦ· " ἡμεῖς δὲ κηρύσ- " σομεν Χριστὸν ἐσταυρωμένον" καὶ τὰ ἑξῆς. δηλονότι " Χριστὸν " Θεὸν δύναμιν καὶ Θεοῦ σοφίαν" κατὰ τὸν τοῦ σταυροῦ λόγον, φησὶν ὡς ἀνωτέρω· " ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ, τοῖς μὲν ἀπογνωμένοις " μωρία ἐστί· τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστί." Καὶ τὰ ἑξῆς δείκνυσι τοῦτο τρανότερον· μετὰ γὰρ τὸ φάναι " αὐτοῖς " δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι Χριστὸν Θεοῦ δύνα- " μιν καὶ Θεοῦ σοφίαν," ἐπήγαγεν· " διότι τὸ μωρὸν τοῦ Θεοῦ " σοφώτερον τῶν ἀνθρώπων ἐστί· καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυ- " ρότερον τῶν ἀνθρώπων ἐστίν." τίς δ' ἂν εἴποι τὸν Θεὸν Λόγον τὸ ἀσθενὲς τοῦ Θεοῦ εἰρῆσθαι, καὶ μωρὸν τοῦ Θεοῦ περὶ ἐσταυρωμένου Χριστοῦ τὸ λεγόμενον; Θεὸς Λόγος δυνατὸς ὡς ὁ Πατὴρ, οὐ δύναμις μέρος συμπληρωματικὸν τῆς οὐσίας τῆς πνευματικῆς, ὁμοίως καὶ σοφός· ἐπειδὴ γὰρ ὅπερ οὐκ ἴσχυσεν ἡ ὁρωμένη κτίσις ἡ Ἄγγελοι ἢ ἀρχάγγελοι κατιόντες οὐρανόθεν· πατριαρχαὶ καὶ προφῆται· νόμος ὁ διὰ Μωσέως· φωναὶ αἱ ἐκ μέσου τοῦ πυρὸς ἐνεχθεῖσαι πρὸς τὸν λαὸν, διὰ τὸ μὴ συγχωρεῖν τὴν τῶν ἀγνωμονούντων προαίρεσιν, τοῦτο τοῦ σταυροῦ ἡ μωρία ἴσχυσεν· διὰ τοῦτο Θεοῦ δύναμις καὶ Θεοῦ σοφία Χριστὸς ἐσταυρωμένος, πάσης τῆς οἰκονομίας ἀνυτικώτερος, καὶ πάσης τῆς κτίσεως ἀξιοπιστότερος· καὶ τοῦτο δὲ δύναμις τοῦ οἰκονομήσαντος καὶ κατορθώσαντος ἐν τῷ μηδενὶ σώσαντος τοὺς ἀνθρώπους, καὶ εἰς τὴν εἰς αὐτὸν πίστιν ἀγαγόντος.

Θεοδώρου. Ἀντὶ τοῦ πρὸς ἅπαντας τοὺς ἐναντίους τῆς εὐσε-

βείας, ἡμεῖς τὸν σταυρὸν τοῦ Χριστοῦ προβαλλόμεθα. οἷα δὲ τὰ κατὰ τὸν σταυρὸν ἐξηγούμενος φησὶν, ὅτι οἱ Ἰουδαῖοι νομίζουσι μὲν αὐτὸν ἀτιμίαν, Ἕλληνες δὲ μωρίαν· ἡμεῖς δὲ καὶ δύναμιν καὶ σοφίαν εἶναι τοῦ Θεοῦ πιστεύομεν αὐτὸν, τῶν δι' αὐτοῦ κατορθωθέντων τὸ μέγεθος ἀκριβῶς ἐπιστάμενοι· δύναμιν δὲ Θεοῦ νῦν καὶ σοφίαν οὐ τὴν θεότητα τοῦ μονογενοῦς, ἀλλὰ τὸ περὶ τοῦ σταυροῦ κήρυγμα καὶ οἱονεὶ αὐτὴν τὴν φύσιν τοῦ πράγματος εἰρῆσθαι ὑπολαμβάνοντες· καὶ διελέγχει γε φασὶν, τοὺς Ἀρείου καὶ Εὐνομίου κακῶς ἐντεῦθεν πειρωμένους δεικνύναι σοφίαν τὸν Θεὸν Λόγον ὀνομαζόμενον· ἐντεῦθεν γὰρ καὶ τὴν ἐκ τῆς παροιμιακῆς φωνῆς βλασφημίαν κατασκευάζουσι. δείξας δὲ ὁ θεῖος Ἀπόστολος τὸ τῆς φυσικῆς συνέσεως ἄτονον, καὶ τὸ εὔηθες τῶν ἐπ' αὐτῇ μεγαλοφρονούντων· τοῦτο δὲ ἀπὸ τῆς τῶν πραγμάτων συνεξετάσεως ἐπὶ τὸ καθελεῖν μὲν τὸν τύφον τοῦ διὰ τοῦτο κατάρχειν καὶ πρωτεύειν βουλομένου τῶν λοιπῶν· ἀποδείξας δὲ τὸ εὔηθες τῶν ἐπ' αὐτῷ μεγάλα φρονούντων· ὡς ἐν ἀγαθοῦ δὴ τίθεσθαι μοίρᾳ, τὸ καὶ ἀπ' αὐτοῦ καλεῖσθαι· ἐπὶ τρίτην ἀπόδειξιν μεθίσταται μάλα ἐντρεπτικὴν τὴν ἀπ' αὐτῶν.

Διονυσίου τοῦ Ἀρεοπαγίτου. *Οὐ μόνον ὅτι πᾶσα ἀνθρωπίνη διάνοια πλάνη τις κρινομένη πρὸς τὸ σταθερὸν καὶ μόνιμον τῶν θείων καὶ τελειοτάτων νοήσεων· ἀλλ' ὅτι καὶ σύνηθές ἐστι καὶ τοῖς θεολόγοις ἀντιπεπονθότως ἐπὶ Θεοῦ τὰ τῆς στερήσεως ἀποφάσκειν· οὕτω καὶ ἀόρατον φησὶ τὰ λόγια τὸ παμφαὲς φῶς, καὶ τὸν πολυύμνητον καὶ πολυώνυμον, ἄρρητον καὶ ἀνώνυμον· καὶ τὸν πᾶσι παρόντα καὶ ἐκ πάντων εὑρισκόμενον, ἀκατάληπτον καὶ ἀνεξιχνίαστον.*

26 Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοὶ, ὅτι οὐ πολ-
λοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοὶ, οὐ πολλοὶ
27 εὐγενεῖς· ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς,
ἵνα τοὺς σοφοὺς καταισχύνῃ· καὶ τὰ ἀσθενῆ τοῦ κόσμου
28 ἐξελέξατο ὁ Θεὸς, ἵνα καταισχύνῃ τὰ ἰσχυρά· καὶ τὰ
ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ
29 Θεὸς, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ· ὅπως
μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον τοῦ Θεοῦ.

Θεοδώρου καὶ Θεοδωρίτου. Ἵνα εἴπῃ ἐν ὑμῖν κατὰ τόνδε τὸν βίον· καὶ οὐκ εἶπεν οὐδεὶς σοφὸς, οὐδεὶς δυνατὸς, οὐδεὶς εὐγενής· καὶ γὰρ καὶ ἐκ τούτων ἦσαν πεπιστευκότες· ἀλλ' "οὐ πολλοί·" οἱ πλείους γὰρ τῶν πενεστέρων ἐτύγχανον ὄντες.

Σευηριανοῦ. Τὸ "κατὰ σάρκα" προσέθηκεν· ἀντιδιαστέλλων τῷ Πνεύματι· καὶ τὰ ἑξῆς ὁμοίως κατὰ κοινοῦ ἀποδιδούς.

Ὠριγένους. Ἐν τῇ κλήσει, φησὶ, καὶ τῇ πίστει ταύτῃ, οὐκ ἦλθον "σοφοὶ πολλοί." προσέθηκεν δὲ τὸ "πολλοὶ" ὅτι ἦσαν καί τινες σοφοὶ πιστεύσαντες· οἷον ὁ Ἀρεοπαγίτης, ὁ ἀνθύπατος καὶ ἕτεροι· καὶ πανταχοῦ διὰ τοῦτο τὸ "πολλοὶ" πρόσκειται. ὅτι ἦσαν καί τινες δυνατοὶ καὶ εὐγενεῖς πεπιστευκότες· κατὰ τὸ φαινόμενον, κατὰ τὸν παρόντα βίον καὶ τὴν ἔξωθεν παίδευσιν. οὗτοι γὰρ μάλιστα μωροὶ, οἱ πεπιστευκότες ἑαυτοὺς ὅτι εἰσὶ σοφοί. Διὸ καὶ δυσαποσπάστως ἔχουσι πρὸς τὰ ἅγια δόγματα. Καὶ γὰρ καὶ οἱ δυνατοὶ καὶ οἱ εὐγενεῖς, τύφου πεπληρωμένοι· οἱ μὲν διὰ τὸν πλοῦτον, οἱ δὲ διὰ τοῦ γένους, ἐξέλκουσιν ἑαυτοὺς τῆς θεογνωσίας· καὶ οὐκ αἱροῦνται τῶν παρόντων καταφρονεῖν.

Τοῦ αὐτοῦ. Πανταχοῦ τὰ ἀποβολιμαῖα[1] καὶ εὐτελῆ προσελάβετο, ἵνα τοὺς δυνατοὺς ἀπίστους καταισχύνῃ· ἀκούων δὲ "ἐξε-"λέξατο·" μὴ τοῦτο ὑποπτεύσῃς ὅτι ἔργον ἔσχεν ὁ Θεὸς, τοὺς μὲν πτωχοὺς λαβεῖν, τοὺς δὲ δυνάστας ἀπώσασθαι, ἀλλὰ ὅτι εὐτελεῖς προσέδραμον μᾶλλον τῇ πίστει· οἱ δὲ ἐν δυναστείαις ὄντες καὶ σοφίᾳ ἑαυτοὺς ἀπεσχοίνισαν, ἀπαξιώσαντες παρ' ἰδιωτῶν μαθεῖν· ὡς ὅ γε Θεὸς πάντας σῶσαι ἤθελεν. "καταισχύνει" δὲ πανταχοῦ ἀκούων περὶ ἐκείνων νόει τῶν οἰκείᾳ σοφίᾳ καὶ πλούτῳ πεποιθότων καὶ μὴ πιστευσάντων· αὐτὴ γὰρ νίκη Χριστοῦ μεγίστη διὰ τῶν μωρῶν, τοῦτ' ἔστιν τῶν ἰδιωτῶν, νικῆσαι τοὺς σοφοὺς καὶ καταισχύναι. μεγίστη γὰρ τῶν σοφῶν αἰσχύνη παρὰ ἰδιωτῶν ἡττᾶσθαι· καὶ μέγιστη νίκη Χριστοῦ ἐν μωροῖς νικᾶν τοὺς σοφούς.

Ὠριγένους. Δύναμιν ἐλάβομεν ἀπὸ τοῦ πιστεύειν εἰς Ἰησοῦν Χριστὸν ἐσταυρωμένον. καὶ ὅσον λείπομεν ἐν τῇ πίστει, τοσοῦτον λειπόμεθα ἐν τῇ δυνάμει τοῦ ἔχειν ἐν ἑαυτοῖς τὸ ἀπὸ τοῦ Θεοῦ· εἰ δὲ θέλετε νοῆσαι τί ἐστιν "ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν καὶ "τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω," νοήσατέ μοι πάνυ γενναῖον

[1] ἀποβόλημα Cod.

ἐν τοῖς αἱρετικοῖς λόγοις, φέρε εἰπεῖν Μαρκίωνα *ἢ* Βασιλείδην, *καὶ οὕτω μετὰ δυνάμεως ζητοῦντα ὑπὲρ τῶν αἱρετικῶν λόγων, ὥστε μὴ τὸν τυχόντα δύνασθαι αὐτῷ ἀντιστῆναι. εἶτα, νοήσατέ τινα ἱκανὸν κατὰ τὴν ἀλήθειαν λέγοντα, ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς διαθήκης, καὶ δεικνύντα πάντα ἐκεῖνα μωρίαν ἐφ' οἷς ἐπεποίθει ὁ ἠπατημένος. ἐκείνων οὖν τὴν σοφίαν ἀπόλλυσιν· οὐ τῶν ὄντως σοφῶν,* Ἡσαίου, Ἱερεμίου, *ἢ* Σαλομῶντος· *τὴν δοκοῦσαν ἀπόλλυσι σοφίαν, οὐ τὴν ἀληθῆ. πῶς δὲ καὶ* "*ἐν* "*τῇ σοφίᾳ τοῦ* Θεοῦ, *οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν* "Θεόν;" *ἡ σοφία τοῦ* Θεοῦ *ἐν νόμῳ καὶ προφήταις ἐστίν· ὁ κόσμος οὐκ ἔγνω ἐν νόμῳ καὶ προφήταις κηρυσσόμενον τὸν* Χριστόν. *διὰ τοῦτο ἐπὶ συντελείᾳ τῶν αἰώνων ἔπεμψεν* Ἰησοῦν Χριστὸν *σταυρωθησόμενον ὑπὲρ γένους τῶν ἄνθρωπων· ἵνα τῇ μωρίᾳ τοῦ κηρύγματος πιστεύωσιν οἱ πιστεύσαντες εἰς* Ἰησοῦν Χριστὸν *ἐσταυρωμένον.*

Προσέθηκε *δὲ τὸ* "*οὐ πολλοὶ σοφοὶ τὸ κατὰ σάρκα,*" *εἰδὼς ὅτι τῶν σοφῶν εἰσι διαφοραί. καὶ οἱ μέν εἰσι σοφοὶ κατὰ σάρκα· οἱ δὲ κατὰ* Πνεῦμα· *καὶ κατὰ σάρκα εἰσὶ σοφοὶ οἱ λέξει διὰ μόνα μεμελετηκότες καὶ καλλωπίζοντες, ὅ τι ποτ' οὖν ὡς ἀλήθειαν, οὐκ ὂν ἀλήθειαν. ὅμως δὲ καὶ οὐδὲ οὕτως ἀπέκλεισε τοὺς κατὰ σάρκα σοφοὺς ἀπὸ τῆς πίστεως· οὐ γὰρ εἶπεν οὐδεὶς σοφὸς κατὰ σάρκα προσέρχεται τῷ λόγῳ, ἀλλ' ὅτι σφόδρα ὀλίγοι· δυνατοὶ δὲ κατὰ σάρκα εἰσὶν, οἱ τὰς ἐξουσίας ἔχοντες· κατὰ* Πνεῦμα *δὲ νοήσεις, ἐὰν ἴδῃς τὸν* Σωτῆρα *τίνα τρόπον· οὐκ ἦν μὲν δυνατὸς κατὰ σάρκα· προεδόθη γοῦν καὶ ἐσταυρώθη ἐξ ἀσθενείας· ἦν δὲ δυνατὸς κατὰ* Πνεῦμα· "*πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ θερα-* "*πεύων·*" *οὕτω τὸ κατὰ τοὺς* Ἀποστόλους, *ὅρα τίνα τρόπον ἦσαν δυνατοὶ κατὰ* Πνεῦμα. *ἐστὶν δυνατὸς κατὰ* Πνεῦμα *καὶ ὁ κατὰ τὸ* Πνεῦμα *βίους· καὶ* Πνεύματι *τὰς πράξεις τοῦ σώματος θανατῶν· ὁμοίως καὶ ἐπὶ τῶν εὐγενῶν νοήσεις· εὐγενεῖς κατὰ σάρκα εἰσὶν, οἱ ἐκ πατρῶν πλουσίων καὶ ἐνδόξων· κατὰ δὲ* Πνεῦμα *εὐγενεῖς εἰσὶν οἱ υἱοὶ τοῦ* Θεοῦ, *περὶ ὧν γέγραπται·* "*ὅσοι δὲ ἔλαβον* "*αὐτὸν ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα* Θεοῦ *γενέσθαι.*"

Τίνα *οὖν ἐξελέξατο ὁ* Θεός; *οὐχ ἁπλῶς τὰ μωρά· ἀλλὰ μετὰ προσθήκης τῆς τοῦ κόσμου. ἡμεῖς οἱ πιστεύοντες μωροί ἐσμεν*

ὡς πρὸς τὸν κόσμον. γελῶσιν οὖν ἡμᾶς μωρούς, λέγοντες, Χριστιανοὶ λέγουσιν ἀνάστασιν νεκρῶν· καὶ ὅτι ζῶμεν μετὰ θάνατον· καὶ ὅτι Ἰησοῦς ὃν ἐσταύρωσαν Ἰουδαῖοι ἐκ παρθένου γεγέννηται· καὶ ὅσα τοιαῦτα· ἐκεῖνοι οὖν γελασάτωσαν ἡμᾶς, καὶ μωροὺς λεγέτωσαν· "ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος. "μωρία γὰρ αὐτῷ ἐστιν·" "τὰ μωρὰ οὖν τοῦ κόσμου ἐξελέξατο "ὁ Θεός, ἵνα καταισχύνῃ τοὺς σοφούς." οὐχ ἁπλῶς τοὺς σοφούς, ἀλλὰ κατὰ κοινοῦ τοῦ κόσμου· ἵνα εἴπῃ, "τὰ τοῦ κόσμου μωρὰ "ἐξελέξατο ὁ Θεός· ἵνα καταισχύνῃ τοὺς σοφοὺς τοῦ κόσμου·" ἀληθῶς γὰρ καταισχύνονται οἱ σοφοὶ τοῦ κόσμου, ὅτ' ἂν αὐτοὶ μὲν προσκυνῶσιν εἰδώλοις, οἱ δὲ ἀγράμματοι καὶ ἰδιῶται ἀποθνήκωσιν ὑπὲρ τοῦ μὴ εἰδωλολατρῆσαι. "καὶ τὰ ἀγενῆ τοῦ κόσμου "καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεός·" πάλιν ἐνταῦθα μετὰ προσθήκης τῆς τοῦ κόσμου. τί γὰρ εὐγενέστερον ψυχῆς καταλειπούσης τὰ εἴδωλα καὶ λεγούσης, ὡς ψευδῆ ἐκτήσαντο οἱ πατέρες ἡμῶν εἴδωλα, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ὑετίζων[m]*.*

Τὰ ἀγενῆ οὖν τοῦ κόσμου, εὐγενῆ δὲ τοῦ Θεοῦ, ἐξελέξατο ὁ Θεός· μόνον κατορθωσόμενον ἐξὸν Θεῷ. οὐκ ἐξουδενωθησόμεθα· περὶ οὗ γέγραπται· "ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος." "καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ." τὰ μὴ ὄντα ὠνόμασε τὰ μωρὰ τοῦ κόσμου, τὰ ἀσθενῆ, τὰ ἀγενῆ, τὰ ἐξουθενημένα· τὰ ὄντα, τοὺς εὐγενεῖς τοῦ κόσμου· ἐν γὰρ τῷ κόσμῳ οὗτοι εἰσί τινες· οὐκ ἐσμὲν ἡμεῖς καταπονούμενοι ὑπὸ πάντων καὶ καταφρονούμενοι; τὰ μὴ ὄντα νῦν ἐξελέξατο ὁ Θεός· "ἵνα τὰ ὄντα "καταργήσῃ. ὅπως μὴ καυχήσηται πᾶσα σάρξ," καὶ εἴπῃ, διὰ τοῦτο ἐξελέχθην ὅτι εὐγενής εἰμι· ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη σοφία ἡμῖν ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις. διὰ τοῦτο γὰρ ταῦτα πάντα ἡμῖν ἐστι Χριστός. ἵνα τὸ γεγραμμένον γένηται "ὁ καυχώμενος, ἐν Κυρίῳ "καυχάσθω." εἰ γὰρ ὁ καυχώμενος ἐν σοφίᾳ ὀφείλει καυχᾶσθαι, Χριστὸς δὴ ἡ σοφία· δηλονότι ὁ καυχώμενος ἐν Χριστῷ καυχᾶται. καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως· ἁγιασμοῦ τέ φημι καὶ δικαιοσύνης.

Σευηριανοῦ. *"Ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον "αὐτοῦ·" τουτέστιν, ἵνα μὴ τοῖς οἰκείοις πλεονεκτήμασιν ἐπι-*

m Jerem. xiv. 22. *μὴ ἔστιν ἐν εἰδώλοις τῶν ἐθνῶν ὑετίζων;*

γράψωσι τὸ κατόρθωμα τοῦ κηρύγματος. σὰρξ δὲ εἶπεν καὶ οὐ ψυχὴ, ἐξευτελίζων τὰ ἀνθρώπινα καυχήματα. διατί δὲ "ἐνώπιον "αὐτοῦ," καὶ οὐκ ἐνώπιον ἀνθρώπων; ὅτι τῇ ἐπὶ τῷ Θεῷ καυχήσει ἀντετάττετο ἡ ἐπὶ τοῖς ἡμετέροις πλεονεκτήμασι καύχησις· ἃ γὰρ ἐχρῆν ἐπιγράφειν Θεῷ, ἐπέγραφεν[1] *ἀνθρώποις· διὰ τοῦτο τὸ "ἐνώ-"πιον αὐτοῦ" εἴρηκεν· καὶ γὰρ ἦν ἀσεβὴς ἡ καύχησις ἐνώπιον τοῦ πάντα ὁρῶντος γινομένη· ὅτι δὲ τὸ "ἐνώπιον αὐτοῦ" οὐκ ἐν τῇ παρουσίᾳ εἴρηκεν, αὐτὴ ἡ ὅλη ὑπόθεσις δείκνυσιν. δεῖ*[m] *γὰρ τοῖς ἐπιλόγοις καυχωμένοις καὶ ἐπὶ τὸ βαπτίζειν καὶ ἐφ' ἑτέροις τισὶν ποιεῖται τὸν λόγον.*

ΦΩΤΙΟΥ. *Ἢ καὶ οὕτως βούλει μαθεῖν ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστι, καὶ τὸ ἀσθενὲς ἰσχυρότερον· ἀπ' αὐτῆς καὶ μόνης τῆς κλήσεως ῥᾷόν ἐστι τοῦτο κατανοῆσαι. βλέπε γάρ μοι· οὐχὶ πολλοὶ σοφοὶ ἦσαν τὴν ἐν κόσμῳ σοφίαν; οὐχὶ πολλοὶ δυνατοὶ ταύτην τὴν δύναμιν; οὐχὶ πολλοὶ εὐγενεῖς τὴν ἐπίκαιρον εὐγένειαν; τί οὖν· μὴ τούτους ἐποιήσατο ὁ Χριστὸς ἑαυτοῦ μαθητὰς, καὶ δι' αὐτῶν ἐκλήθητε ὑμεῖς; οὐδαμῶς· ἀλλὰ τοὐναντίον· ἀλλὰ τὰ μωρὰ κατὰ τὸν κόσμον καὶ τὰ ἀσθενῆ καὶ τὰ ἀγενῆ καὶ τὰ ἐξουθενημένα ἐξελέξατο· ἀνθρώπους ἁλιεῖς, πένητας, ἀγραμμάτους· καὶ δι' αὐτῶν ἐποιήσατο τὴν κλῆσιν ὑμῶν πάντων καὶ σοφῶν καὶ ἰδιωτῶν καὶ πενήτων καὶ πλουσίων, καὶ ἀσθενῶν καὶ ἰσχυρῶν· καὶ κατήσχυνεν τοὺς εὐγενεῖς καὶ σοφοὺς καὶ ἰσχυρούς· ὅτι ὅπερ αὐτοὶ οὐκ ἂν οὐδὲ ἐπιχειρῆσαι ἐτόλμησαν κόσμον ὅλον μεταστῆσαι· τοῦτο τὰ ἀσθενῆ καὶ τὰ μωρὰ περιφανῶς*[n] *κατεπράξαντο· ἆρ' οὐ κατῃσχύνθησαν οἱ δοκοῦντες εἶναι σοφοὶ καὶ δυνατοί; ἆρ' οὐχὶ ἐναργῶς ἀποδέδεικται, ὅτι τὸ μωρὸν καὶ ἀσθενὲς τοῦ Θεοῦ σοφώτερον καὶ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστίν; "ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ." οὐκ οὖν οὐδὲ ἡμεῖς φησὶ καυχησώμεθα; ναί φησιν, ὑμεῖς οἱ πιστοὶ καυχᾶσθαι ὀφείλετε· οὐ γάρ ἐστε ὑμεῖς σάρξ· ἀλλ' ἐξ αὐτοῦ διὰ τῆς παλιγγενεσίας ἐγεννήθητε· καὶ σοφοί ἐστε. ἀλλ' αὐτὸν ἔχοντες σοφίαν τὸν ἀπολυτρωσάμενον τῆς τυραννίδος· καὶ οὐ μόνον τοῦτο· ἀλλὰ καὶ ἁγιάσαντα διὰ τοῦ βαπτίσματος· καὶ οὐ μόνον*

[1] Vel *ἐπεγράφη*. [m] Quid hic reponendum sit non plane dispicio. [n] Cod. *περιφαντὲς* potius.

τοῦτο· ἀλλὰ καὶ δικαιώσαντα διὰ τῶν χαρισμάτων. ἡμεῖς διὰ ταῦτα ὀφείλομεν καυχᾶσθαι· καυχᾶσθαι δὲ οὐκ ὅτι κατορθώματι τινὶ ἡμετέρῳ τοῦτο ἠξιώθημεν, ἀλλ᾽ ἐν Κυρίῳ, ὅτι πάντα τῆς αὐτοῦ δωρεᾶς καὶ φιλανθρωπίας τῆς εἰς ἡμᾶς τὰ τοιαῦτα ὑπάρχει πλεονεκτήματα.

30 Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγεν-
νήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς
31 καὶ ἀπολύτρωσις· ἵνα καθὼς γέγραπται, Ὁ καυχώμενος,
1 ἐν Κυρίῳ καυχάσθω. κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοὶ,
ἦλθον οὐ καθ᾽ ὑπεροχὴν λόγου ἢ σοφίας καταγγέλλων
2 ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ. οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι
τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυ-
ρωμένον.

Σευηριανοῦ. "Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε·" πάντες ὁμοίως κατὰ τὸ σεσῶσθαι φασὶν εἰρῆσθαι νῦν· οὐ κατὰ τὸν τῆς δημιουργίας λόγον· ὡς φησὶν ἀλλαχοῦ· "οἱ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ "θελήματος σαρκός· ἀλλ᾽ ἐκ Θεοῦ ἐγεννήθησαν·" οἱ τοινῦν ἐξ αὐτοῦ πῶς καυχησώμεθα ἐν ἰδίοις πλεονεκτήμασιν; τὸ δὲ "ἐν "Χριστῷ Ἰησοῦ ὃς ἐγεννήθη ἡμῖν σοφία καὶ ἁγιασμὸς καὶ ἀπο-"λύτρωσις" οὐκ ἀνθρώπων σύνεσις ἥρπασεν· ἀλλ᾽ Ἰησοῦς σταυρωθείς· οὐκ ἀνθρώπων σοφία ἔσωσεν, ἐπλάνατο γάρ· ἀλλ᾽ αὐτὸς ἡμῖν σοφία γέγονεν εἰς θεογνώσιαν· οὐκ ἄνθρωποι ἀπελυτρώσαντο· ὥστε τὸ καύχημα ἀπὸ τοῦ σώσαντος γενέσθω, μὴ ἀπὸ τῶν σωθέντων.

Ὠριγένους. Δείκνυσιν ὅτι πάντων εἰσὶν εὐγενέστερα, τὸν Θεὸν ἔχοντες Πατέρα· τῆς εὐγενείας ταύτης οὐχ ὁ δεῖνα ἢ ὁ δεῖνα, ἀλλ᾽ ὁ Χριστὸς ὑμῖν ἐστιν αἴτιος, σοφοὺς ὑμᾶς ποιήσας καὶ δικαίους καὶ ἁγίους. τοῦτο γάρ ἐστιν "ὃς ἐγενήθη ἡμῖν σοφία." τὸ δαψιλὲς ἐνδεικνύμενος τῆς δωρεᾶς. ὡσανεὶ ἔλεγεν, ἑαυτὸν ἡμῖν ἔδωκεν· "κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοὶ, ἦλθον οὐ καθ᾽ ὑπεροχὴν "λόγου ἢ σοφίας ἀπαγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ." τί γὰρ εἰπέ μοι, εἰ καὶ ἐβούλου, καθ᾽ ὑπεροχὴν ἐλθεῖν ἐδύνασο; ἐγὼ μὲν εἰ ἐβουλόμην οὐκ ἂν ἠδυνήθην· ὁ δὲ Χριστὸς εἰ ἐβούλετο ἠδύνατο· ἀλλ᾽ οὐκ ἐβουλήθη· ἵνα λαμπρότερον ποιήσῃ τὸ τρό-

παιον· διὸ καὶ ἀνωτέρω δεικνὺς ὅτι αὐτοῦ βούλημα ἦν τὸ οὕτως ἰδιωτικῶς κηρύξαι τὸν λόγον, ἔλεγεν· "οὐ γὰρ ἀπέστειλέν με "Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι·" οὐκ ἐν σοφίᾳ καταγγέλλων ὑμῖν, φησὶν, τὸ μαρτύριον τοῦ Θεοῦ. οὐκ εἶπεν τὸ κήρυγμα· ἀλλὰ τὸ μαρτύριον· ὃ καὶ αὐτὸ ἱκανὸν ἦν ἀποτρέψαι· θάνατον γὰρ περιήει κηρύττων· διὸ καὶ ἐπήγαγεν· "οὐ γὰρ ἔκρινα "εἰδέναι τί ἐν ὑμῖν· εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρω"μένον·" τοῦτο δὲ ἔλεγεν· ὅτι καθόλου τῆς ἔξωθεν σοφίας ἐστὶν ἄμοιρος. ἐμοὶ δὲ δοκεῖ καὶ ταπεινότερον αὐτοῖς διηλέχθαι μᾶλλον ἢ τοῖς ἄλλοις, τὸν τύφον αὐτῶν καταστέλλων. τὸ τοίνυν "οὐδὲν "ἔκρινα εἰδέναι," πρὸς ἀντιδιαστολὴν εἴρηται τῆς ἔξωθεν σοφίας· οὐ γὰρ ἦλθον λογισμοὺς πλέκων οὐδὲ σοφίσματα, ὥσπερ ἐκεῖνοι· οὐδὲ ἄλλό τι λέγων ὑμῖν, ἢ ὅτι Χριστὸς ἐσταυρώθη.

ΚΥΡΙΛΛΟΥ. Μαρτύριον τοῦ Θεοῦ φησὶν τὸν Χριστόν· μεμαρτύρηκε γὰρ ὁ Θεὸς καὶ Πατὴρ ἐπ' αὐτῷ λέγων· "οὗτός ἐστιν "ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα."

ΘΕΟΔΩΡΙΤΟΥ. "Λόγον" τὴν εὐγλωττίαν καλεῖ· "σοφίαν" δὲ τῶν λόγων τὴν τέχνην· καλῶς δὲ τὸ "ἔκρινα" τέθεικεν, διδάσκων ὡς ἠδύνατο καὶ τὸν περὶ τῆς θεολογίας αὐτοῖς λόγον προσενεγκεῖν· ἀλλ' ὅμως μόνην τὴν περὶ τῆς οἰκονομίας ἐποιήσατο διδασκαλίαν, ἐπὶ τῷ δεσποτικῷ σεμνυνόμενος πάθει.

ΦΩΤΙΟΥ. Σοφία ἀπὸ Θεοῦ ἀντὶ τοῦ θεία σοφία· θεϊκὴ, οὐχ οἷα ἀνθρωπίνη.

3 Καὶ ἐγὼ ἐν ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ
4 πολλῷ ἐγενόμην πρὸς ὑμᾶς· καὶ ὁ λόγος μου καὶ τὸ
κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις,
ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως.

ΣΕΥΗΡΙΑΝΟΥ. Ἐφοβούμην ἀεὶ μὴ τῇ ἔξωθεν παιδεύσει ἐπαρθῆτε, αὐτίκα οὐκ ἐχρησάμην τῇ πειθούσῃ σοφίᾳ· "ἐν ἀσθενείᾳ" δὲ λέγει, τῇ ἀπὸ τῶν διωγμῶν· τοῦτο γὰρ πανταχοῦ ἔθος αὐτῷ λέγειν· "ἐν ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ·" τὸ ἀσθενὲς ἐξ ὧν ἐδιωκόμην ἐπεδεικνύμην, τὸν φόβον καὶ τὸν τρόμον τὸν περὶ ὑμῶν· πάντα ἤμην ταπεινός· ἵνα ὑμεῖς τοῦτο διδαχθῆτε καὶ μὴ ἐπαίρεσθε.

ὨΡΙΓΕΝΟΥΣ. Τί λέγεις; καὶ Παῦλος ἐφοβεῖτο καὶ σφόδρα

ἐδεδοίκει; εἰ γὰρ καὶ Παῦλος ἦν· ἀλλ' ἄνθρωπος ἦν· τοῦτο δὲ οὐκ ἔγκλημα τοῦ Παύλου· ἀλλ' ἀσθενεία μὲν τῆς φύσεως, ἐγκώμιον δὲ τῆς προαιρέσεως· ὅτι καὶ δεδοικὼς θάνατον καὶ πληγὰς, οὐδὲν ἀνάξιον διὰ τὸν φόβον τοῦτον ἐποίησεν· ὡς οἱ λέγοντες ὅτι οὐκ ἐφοβεῖτο πληγὰς, οὐ μόνον αὐτὸν οὐ σεμνύνουσιν, ἀλλὰ καὶ ὑποτέμνονται πολὺ τῶν ἐπαίνων.

ΘΕΟΔΩΡΙΤΟΥ. *Αἰκιζόμενος, στρεβλούμενος καὶ καθειργνύμενος διετέλεσα.*

ΚΥΡΙΛΛΟΥ. *Καίτοι γὰρ οὕτω μετρίᾳ χρησάμενος ὑφηγήσει· ἐδειδίεν σφόδρα, φησί· μὴ γὰρ πῶς ἀμείνους τῆς ἐνούσης ἡμῖν εὑρισκόμενοι διανοίας, ὀνήσειαν μὲν οὐδὲν, ἀδικήσειαν δὲ μᾶλλον· τοῖς γὰρ νηπίοις τὴν φρένα, τρυφερός τε καὶ εὐαφὴς πρέποι ἂν εἰς εἴδησιν λόγος· τελείων δέ ἐστιν ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἐξ ὧν*[o] *τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τὲ καὶ κακοῦ. γέγονε τοίνυν, φησὶν, ὡς ἐν ἀσθενείᾳ πολλῇ· καὶ οὐκ ἐν ὅλῃ δυνάμει τοῦ μυσταγωγοῦ πρὸς ὑμᾶς ὁ λόγος. οὔτε μὴν "ἐν πειθοῖς σοφίας ἀνθρωπίνης· ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ "δυνάμεως· ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν "δυνάμει Θεοῦ." τῷ γὰρ κηρύγματι προσεπῆγον οἱ Ἀπόστολοι καὶ θεοσημείας ἀπόδειξιν ἐναργῆ, τὸ χρῆμα ποιούμενοι, τὸ χρῆμα πιστεύειν, ὅτι Θεὸς ἐν τούτοις διὰ τοῦ Πνεύματος, καὶ δι' αὐτῶν μεμαρτύρηται τῶν πραγμάτων, ὡς ἀρρήτῳ τινὶ καὶ ἀφράστῳ δυνάμει τε καὶ ἐνεργείᾳ χρώμενοι καὶ κατορθοῦν εὐκόλως τὰς τερατουργίας· τὰ μὲν γὰρ Ἑλλήνων μυθάρια δέοιντ' ἂν εἰκότως τοῦ συνασπίζοντος λόγου, καὶ τὸ ἐν αὐτοῖς ἀκαλλὲς οἱονεὶ περιστέλλοντος. ἀποχρή γε μὴν τῷ θείῳ κηρύγματι ψιλός τε καὶ εὐαφὴς καὶ ὡς ἐν δυνάμει Θεοῦ μαρτυρούμενος λόγος.*

ΣΕΥΗΡΙΑΝΟΥ. *Ἐπειδὴ εἶπεν "ὁ λόγος μου," ἵνα μὴ δόξῃ τὸ ἐναντίον αὐτῷ παριστᾶν, τοῦτ' ἔστι τὴν εὐγλωττίαν· λέγει καὶ "τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς σοφίας λόγοις·" ἐπειδή ἐστι σοφία οὐ ῥημάτων ἀλλὰ γνώσεως θείας Πνεύματος καὶ δυνάμεως. Ἐπειδὴ γὰρ καὶ λόγον σοφίας χορηγεῖ, ποιεῖ δὲ καὶ θαύματα τὸ Πνεῦμα τὸ Ἅγιον· εἶπεν "ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως·" τὸ γὰρ λεγόμενον, οὔπω ἀπόδειξις· τὸ δὲ θαῦμα τὴν ἀπόδειξιν ἔχει.*

[o] Fors. ἕξιν.

Φωτίου. « Καὶ ἐγὼ ἐν ἀσθενείᾳ·» μονονουχὶ λέγων· τί προσενείματε ἑαυτοὺς, οἱ μὲν τοῖς σοφοῖς, οἱ δὲ τοῖς δυνατοῖς· μή τι ταῦτα συμβάλλεται πρὸς τὸ κήρυγμα ἡ δοκοῦσα σοφία καὶ ὁ πλοῦτος καὶ ἡ δύναμις; ἐνθυμήθητε, πῶς ἦλθον κηρύσσων ὑμῖν ἐν σοφίᾳ; ἀλλ' οὐκ ἔχοιτ' ἂν τοῦτο εἰπεῖν· ἀλλ' ἐν δυναστείᾳ; καὶ μὴν τρέμων καὶ φόβων καὶ ἀπειλῶν γέμων· οὕτως ἐκηρύσσον ἐν ὑμῖν· τί οὖν ὑμεῖς τούτων λήθην λαβόντες, σοφοὺς καὶ πλουσίους καὶ δυνάστας ἐπιζητεῖτε; καὶ τούτους ὑμῖν διδασκάλους καὶ καθηγητὰς ἀποφαίνεσθε;

5 Ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ'
6 ἐν δυνάμει Θεοῦ. σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις·
σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων
τοῦ αἰῶνος τούτου, τῶν καταργουμένων.

Σευηριανοῦ. Ἐπειδὴ γὰρ μόνον λέγων οὐδὲν διήλαττεν τῶν σοφίᾳ χρωμένων καὶ θαρσούντων ἑαυτῶν τῷ λόγῳ· δυνάμεις δὲ ποιῶν ἔδειξε τοῦ Θεοῦ τὴν ἰσχὺν, κακεῖθεν τὸ κήρυγμα, καλῶς ἐπήγαγεν, « ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως· ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπου, ἀλλ' ἐν δυνάμει Θεοῦ.»

Θεοδωρίτου. Τούτου χάριν φησὶν οὐκ εἴασεν ἡμᾶς εὐγλωττίᾳ χρήσασθαι ὁ δεσπότης· ἵνα ἡ πίστις ὑμῶν ἀνύποπτος φαίνηται· οὐ δεινότητι λόγων ὑπαχθεῖσα, ἀλλὰ τῇ δυνάμει ποδηγηθεῖσα τοῦ Πνεύματος.

Ὠριγένους. Ἵνα μὴ εἴποι τίς· ἄρ' οὖν ἐπεὶ τὰς ἀποδείξεις τῆς πίστεως ἐν δυνάμει καὶ ἐν Πνεύματι ἔφερεν, οὐκ εἶχεν σοφίαν οὐδεμίαν; ἀλλὰ τοῦτό ἐστι τὸ μυστήριον τῆς θεοσεβείας, πιστεῦσαι μόνον καὶ οὐκ ἐπαγγελίας σοφίας ἐν αὐτῷ. ἐπιφέρει καὶ λέγει· « σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις· σοφίαν δὲ οὐ τοῦ « αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταρ-« γουμένων» ἄλλο γάρ ἐστιν εἰσαγαγεῖν τινας εἰς τὴν πίστιν· ἄλλο τὴν σοφίαν τοῦ Θεοῦ ἀποκαλύπτειν· ἀναπτύσσομεν οὖν τὴν σοφίαν τοῦ Θεοῦ, οὐ τοῖς εἰσαγομένοις, οὐδὲ τοῖς ἀρχομένοις· οὐδὲ τοῖς μηδέπω ἀπόδειξιν τοῦ ὑγιοῦς βίου δεδωκόσιν· ἀλλ' ὅτ' ἂν γυμνασάμενος ὃν δεῖ τρόπον τὰ αἰσθητήρια, πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ ἐπιτήδειος γένηται, καὶ πρὸς τὸ ἀκοῦσαι σοφιαν·

τότε "λαλοῦμεν σοφίαν ἐν τοῖς τελείοις· σοφίαν δὲ" λέγω "οὐ "τοῦ αἰῶνος τούτου." οὐδὲ παραπλησίαν τῆς[m] *σοφίας τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου. ἅμα δεδήλωκεν ὅτι τὰ φερόμενα παρὰ τοῖς ἄλλοις μαθήματα, οὐκ ἔστιν ἀνθρώπων κατὰ τὴν ἀρχήν· ἀλλὰ δυνάμεων ἀοράτων τῶν καταργουμένων· καὶ εἴποιμι δ' ἂν ὅτι ποιητικὴ σοφία ἐστὶ τοῦ αἰῶνος τούτου· τάχα δὲ καὶ ἡ ῥητορική· σοφία δὲ καὶ ἡ ἐπαγγελλομένη λέγειν περὶ οὐρανοῦ καὶ γῆς καὶ περὶ διοικήσεως τῶν ὅλων. ἡμεῖς οὖν εἰ σοφίαν λαλοῦμεν καὶ λέγομεν αὐτὴν ἐν τοῖς τελείοις· οὐ τὴν τοῦ αἰῶνος τούτου λέγομεν· οὔτε γὰρ διὰ ποιημάτων ἢ διά τινος τοιαύτης τέχνης.*

Ἰωάννου. *Προτέραν ἐλέγξας τὴν νομιζομένην σοφίαν διὰ τῶν πραγμάτων, τότε αὐτὴν ἐκάλεσεν μωρίαν· καὶ πρότερον καλέσας μωρίαν τὴν τοῦ Θεοῦ σοφίαν κατὰ τὴν ἐκείνων ψῆφον, τότε δείκνυσιν αὐτὴν σοφίαν οὖσαν· μετὰ γὰρ τὰς ἀποδείξεις δυνατὸν μάλιστα τοὺς ἀντιλέγοντας ἐντρέπειν· διὸ φησὶ "σοφίαν δὲ "λαλοῦμεν ἐν τοῖς τελείοις·" ὅτ' ἂν γὰρ ἐγὼ ὁ νομιζόμενος μωρὸς καὶ μωρὰ κηρύττειν τοῦ σοφοῦ περιγένωμαι, οὐ διὰ μωρᾶς σοφίας περιεγενόμην· ἀλλὰ διὰ σοφίας τελειοτέρας, καὶ τοσαύτης καὶ οὕτως μείζονος, ὡς ἐκείνην μωρὰν φαίνεσθαι· "οὐδὲ τῶν "ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων·" ἄρχοντας αἰῶνος ἐνταῦθα, οὐ δαίμονας τινὰς λέγει, καθὼς τινὲς ὑποπτεύουσιν· ἀλλὰ τοὺς ἐν ἀξιώμασι, τοὺς ἐν δυναστείαις· τοῦτο πρᾶγμα περιμάχητον νομίζοντας εἶναι, φιλοσόφους καὶ ῥήτορας καὶ λογογράφους· καὶ γὰρ αὐτοὶ ἐκράτουν, καὶ δημαγωγοὶ πολλάκις ἐγίνοντο· τοῦ δὲ αἰῶνος ἐκάλεσεν ἄρχοντας· ἐπειδὴ περαιτέρω τοῦ παρόντος αἰῶνος οὐδὲ πρόσεισιν αὐτῶν ἡ ἀρχή. διὸ καὶ ἐπήγαγε "τῶν καταργουμένων·" οἴκοθέν τε αὐτὴν διαβάλλων καὶ ἀπὸ τῶν χρωμένων· δείξας γὰρ ὅτι ψευδής ἐστιν, ὅτι μωρά, ὅτι οὐδὲν δύναται εὑρεῖν, ὅτι ἀσθενής, δείκνυσιν ὅτι καὶ ὀλιγοχρόνιος.*

7 Ἀλλὰ λαλοῦμεν σοφίαν Θεοῦ ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς
8 δόξαν ἡμῶν, ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου

[m] In marg. τῆς 2ª manu.

ἔγνωκεν, εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν.

Ὠριγένους. "Ἀλλὰ λαλοῦμεν σοφίαν ἐν μυστηρίῳ," ἃ οὐκ ἔγνωσται τοῖς ἄρχουσι τοῦ αἰῶνος τούτου, τοῖς ἐνεργοῦσι τὴν σοφίαν τῶν σοφῶν τοῦ κόσμου τούτου. οὕτω δὲ οὐκ ἔγνωσαν. ἐπεβούλευσαν τῷ Σωτῆρι καὶ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, καὶ ἐσταύρωσαν αὐτόν· "εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης "ἐσταύρωσαν·" οὐκ οὖν ζητητέον καὶ ἐν τῷ λόγῳ σοφίαν· ἀλλὰ μετὰ τὴν πίστιν, μετὰ τὴν πολιτείαν· κατὰ τὸ γεγραμμένον· "ἐπεθύμησας σοφίαν, διατήρησον ἐντολάς."

Κυρίλλου. Ἔχει πολὺ τὸ εἰκὸς ὁ λόγος. τεθριάμβευκε γὰρ ὁ Χριστὸς διὰ τοῦ ἰδίου σταυροῦ τὰς πονηρὰς καὶ ἀντικειμένας δυνάμεις, "προσήλωσας τῷ ξύλῳ τὸ καθ' ἡμῶν χειρόγραφον·" ἀπεσόβησεν τῆς καθ' ἡμῶν τυραννίδος τὸν Σατανᾶν· κατήργηκε τοῦ κόσμου τὴν ἁμαρτίαν· ἀνοίξας τοῖς κάτω πνεύμασι τὰς ᾅδου πύλας, καθεῖλε τοῦ θανάτου τὸ κράτος· εἶτα πῶς οὐκ ἀπηχθημένον τοῖς ἀκαθάρτοις δαίμοσιν ἐστὶ τὸ ἐπὶ τῷ σταυρῷ πάθος; οὐκ ἂν οὖν ἐσταύρωσαν, εἶπεν, εἰ ᾔδεσαν ἀκριβῶς αὐτὸν ὄντα τὸν λυτρωτὴν καὶ τῆς δόξης Κύριον· ὅτι γὰρ διαβολικῆς ἁγιότητος[n] ἔργον ἦν τὸ διὰ τῆς Ἰουδαίων ἀπονοίας σταυροῦσθαι Χριστὸν, παρέδειξεν ἐναργῶς ὁ θεσπέσιος Ἰωάννης, εἰπὼν περὶ τοῦ Ἰούδα· "μετὰ γὰρ "τὸ ψωμίον," φησὶν, "εἰσῆλθεν εἰς αὐτὸν ὁ Σατανᾶς·" ὃς οὐκ ᾔδει Θεὸν ὄντα τὸν Ἰησοῦν· εἰ γὰρ καὶ ἔγνω καὶ ἐπέπειστο, πῶς ἔπραξεν[o] αὐτὸν ἐν τῇ ἐρήμῳ λέγων· "εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ "ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται;" γέγονε δὲ ὁμολογουμένως καὶ αὐτῷ τῷ Σωτῆρι σπουδὴ τὸ λαθεῖν τοὺς ἄρχοντας τοῦ αἰῶνος τούτου· ἵνα καὶ πάθοι λαθὼν, καὶ τῷ ἰδίῳ αἵματι κατακτήσεται τὴν ὑπ' οὐρανοῦ ἑαυτῷ τε καὶ τῷ ἰδίῳ πνεύματι[p].

Ἰωάννου. Μυστήριον αὐτὴν λαλεῖ. ἐπειδὴ οὔτε Ἄγγελος οὔτε ἀρχάγγελος, οὔτε ἄλλός τις αὐτοκτίστη δύναμις ᾔδει πρὶν ἢ γενέσθαι· διὸ φησὶν, "ἵνα γνωρίσθῃ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς "ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς Ἐκκλησίας ἡ πολυποίκιλος "σοφία τοῦ Θεοῦ." τοῦτο δὲ ἐποίησεν ἡμᾶς τιμῶν ὁ Θεὸς, ὥστε

[n] Leg. cred. ἀγνοίας. [o] Leg. ἐπείραζεν. [p] ποιμνίῳ cred. leg.

μεθ' ἡμῶν αὐτοὺς ἀκοῦσαι τῶν μυστηρίων· καὶ γὰρ ἡμεῖς οὓς ἂν ποιησώμεθα φίλους, τοῦτο τεκμήριον πρὸς αὐτοὺς εἶναι φαμὲν τῆς φιλίας, τῷ μηδενὶ πρὸ αὐτῶν εἰπεῖν τὰ ἀπόρρητα· ἀκουέτωσαν οἱ τὸ κήρυγμα ἐκπομπεύοντες, καὶ τοὺς μαργαρίτας καὶ τὰ ἅγια τοῖς κυσὶ καὶ τοῖς χοίροις ῥιπτοῦντες, καὶ λογισμοῖς κεχρημένοι περιττοῖς· τὸ γὰρ μυστήριον κατασκευῆς οὐ δεῖται· ἀλλ' ἅπέρ ἐστι, τοῦτο μόνον καταγγέλλεται· ἐπεὶ οὐκ ἔσται μυστήριον θεῖον καὶ ὁλόκληρον, ὅταν καὶ παρὰ σαυτοῦ τί προσθῇς. καὶ ἄλλως δὲ μυστήριον καλεῖται, ὅτι οὐκ ἅπερ ὁρῶμεν βλέπομεν, ἀλλ' ἕτερα ὁρῶμεν καὶ ἕτερα πιστεύομεν· τοιαύτη γὰρ ἡ τῶν μυστηρίων ἡμῶν φύσις· ἑτέρως γοῦν ἐγὼ, καὶ ἑτέρως ὁ ἄπιστος περὶ ταῦτα διακείμεθα· οὐ γὰρ τῇ ὄψει κρίνω τὰ φαινόμενα, ἀλλὰ τοῖς ὀφθαλμοῖς τῆς διανοίας, τὴν διὰ τοῦ Πνεύματος ἔχων ἐμπειρίαν· καὶ πάντες δὲ οἱ πιστοί.

Τοῦτο γοῦν αὐτὸ δηλῶν ὁ Ἀπόστολος ἔλεγεν· "ὅτι καὶ νῦν τὸ "κηρυττόμενον ἀποκέκρυπται· τοῖς γὰρ ἀπολλυμένοις," φησίν, "ἐστι κεκαλυμμένον·" "ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τού-"του ἔγνωκεν. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης "ἐσταύρωσαν·" οὐκοῦν οὐδὲ ἐγκλημάτων εἰσὶν ἄξιοι, εἴγε μὴ ἔγνωσαν καὶ ἐσταύρωσαν· καὶ εἰ μὴ ᾔδεσαν, πῶς ἔλεγεν αὐτοῖς, "κἀμὲ οἴδατε· καὶ οἴδατε πόθεν εἰμί;" περὶ γὰρ τοῦ Πιλάτου φησὶν ἡ γραφὴ, ὅτι οὐκ εἰ ᾔδει· εἰκὸς δὲ μηδὲ τὸν Ἡρώδην εἰδέναι· τούτους ἂν εἴποι τις ἄρχοντας τοῦ αἰῶνος τούτου. εἰ δὲ καὶ περὶ τῶν Ἰουδαίων καὶ περὶ τῶν ἱερέων εἴποι τις ἂν τοῦτο λέγεσθαι, οὐκ ἂν ἁμάρτοι· καὶ γὰρ καὶ ἐκείνοις φησὶν "οὔτε ἐμὲ "οἴδατε, οὔτε τὸν Πατέρα μου·" πῶς οὖν ἀνωτέρω φησὶ "καὶ ἐμὲ "οἴδατε, καὶ οἴδατε πόθεν εἰμί;" ἀλλὰ τίς ὁ τρόπος τῆς γνώσεως ταύτης, καὶ τίς ἐκείνης, ἐν τοῖς Εὐαγγελίοις ἤδη εἴρηται. τί οὖν; ἀφέθη αὐτοῖς τὸ ἐπὶ τῷ σταυρῷ ἁμάρτημα; καὶ γὰρ εἶπεν "ἄφες "αὐτοῖς·" εἰ μετενόησαν, ἀφέθη. καὶ γὰρ ὁ μυρίαις χερσὶ βαλὼν τὸν Στέφανον, καὶ διώξας τὴν Ἐκκλησίαν Παῦλος, τῆς Ἐκκλησίας προστάτης ἐγένετο. οὕτως οὖν κἀκείνοις ἀφέθη τοῖς βουληθεῖσι μεταγνῶναι· ὃ δὴ καὶ Παῦλος βοῶν ἔλεγεν, "λέγω οὖν· μὴ "ἔπταισαν ἵνα πέσωσι; μὴ γένοιτο· λέγω οὖν· μὴ ἀπώσατο ὁ "Θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω; μὴ γένοιτο·" εἶτα δεικνὺς ὅτι

οὐκ ἀπεκλείσθη αὐτῶν ἡ μετάνοια. τεκμήριον τὴν ἐπιστροφὴν τὴν ἑαυτοῦ παρήγαγεν λέγων· "καὶ γὰρ ἐγὼ Ἰσραελίτης εἰμί." τὸ δὲ "οὐκ ἔγνωσαν" ἐμοὶ δοκεῖ οὐ περὶ Χριστοῦ ἐνταῦθα εἰρῆσθαι, ἀλλὰ περὶ αὐτῆς τοῦ πράγματος τῆς οἰκονομίας· οἷόν, τι ἐβούλετο ὁ θάνατος καὶ ὁ σταυρὸς, οὐκ ᾔδεσαν· καὶ γὰρ καὶ ἐκεῖ οὐκ εἶπεν, ὅτι ἐμὲ οὐκ οἴδασιν· ἀλλ' "οὐκ οἴδασι τί ποιοῦσι·" τοῦτ' ἔστι τὴν οἰκονομίαν τὴν τελουμένην, καὶ τὸ μυστήριον ἀγνοοῦσιν· οὐ γὰρ ᾔδεσαν ὅτι οὕτω εἶχε λάμψαι ὁ σταυρὸς, ὅτι τῆς οἰκουμένης γίνεται σωτηρία, καὶ τοῦ Θεοῦ πρὸς τοὺς ἀνθρώπους καταλλαγή· καὶ ἡ πόλις αὐτῶν ἁλώσεται, καὶ δεινὰ πείσονται τὰ ἔσχατα· σοφίαν δὲ καὶ τὸν Χριστὸν λαλεῖ καὶ τὸν σταυρὸν καὶ τὸ κήρυγμα· εὐκαίρως δὲ "Κύριον δόξης" ἐκάλεσεν. ἐπειδὴ γὰρ ὁ σταυρὸς ἀδοξίαν εἶναι δοκεῖ, δείκνυσιν ὅτι μεγάλη δόξα ὁ σταυρός· ἀλλὰ μεγάλης ἔδει σοφίας, οὐ μόνον πρὸς τὸ τὸν Θεὸν εἰδέναι, ἀλλὰ καὶ πρὸς τὸ μαθεῖν τοῦ Θεοῦ τὴν οἰκονομίαν ταύτην.

Θεοδωρίτου. Εἰ ἔγνωσαν ὡς τὸ σωτήριον πάθος αὐτοὺς μὲν εἰς τὴν οἰκουμένην διασκεδάσει, τῆς δὲ σωτηρίας μεταδώσει τοῖς ἔθνεσιν, οὐκ ἂν τὸ πάθος ἐτόλμησαν· διὰ τοῦτο συγγνώμης αὐτοὺς ὁ δεσπότης ἠξίωσεν· μετὰ μέντοι τὴν ἐκ νεκρῶν ἀνάστασιν καὶ τὴν εἰς οὐρανοὺς ἀνάληψιν, καὶ τὰς παντοδαπὰς τῶν Ἀποστόλων θαυματουργίας ἐπιμείναντας τῇ ἀπιστίᾳ, τῇ πολιορκίᾳ παρέδωκεν.

Οἰκουμενίου. Εἰ μὲν τὸ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου δέξῃ ὡς πρὸς τὸν Ἡρώδην καὶ τὸν Πιλάτον, ἁπλουστέρως νοήσεις τὸ ἑπόμενον. εἰ γὰρ, φησὶν, ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον ἐσταύρωσαν· οὐδὲ γὰρ τοσοῦτον ἐμεμήνεσαν, φθόνου μὴ ὑποκειμένου· εἰ δὲ πρὸς τοὺς ἀρχιερέας καὶ γραμματέας ἐκλάβοις, οἳ ᾔδεσαν ὄντα αὐτὸν τὸν Χριστόν· (καὶ δῆλον ἐξ ὧν ἔλεγον οἱ γεωργοὶ τοῦ ἀμπελῶνος, "οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε ἀποκτείνωμεν αὐτὸν, "καὶ ὁ ἀμπελὼν ἡμῶν ἔσται," ἀλλὰ τῷ φθόνῳ ἀπετυφλώθησαν.) οὕτως νοήσεις τὸ κάτω. ὅτι εἰ ἔγνωσαν, φησὶν, ὅτι τοσαύτη ἔσται τοῖς ἔθνεσι σωτηρία ἐκ τοῦ σταυροῦ, οὐδὲ ἂν ἦλθον εἰς τὸ σταυρῶσαι· ἐκτήκεσθαι μᾶλλον ἐκ τοῦ φθόνου αἱρούμενοι, ἢ ἵνα σωθῇ τὰ ἔθνη, καὶ ἐκβάλῃ αὐτοὺς, καὶ ἀντικαταστήσῃ εἰς τὸν τόπον αὐτῶν.

9 *Ἀλλὰ καθὼς γέγραπται, ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.*

ΘΕΟΔΩΡΙΤΟΥ. *Ἐπειδὴ τῆς τῶν Ἰουδαίων ἐμνήσθη· καὶ τὸ τῆς οἰκονομίας μυστήριον ἀποκεκρύφθαι εἴρηκεν, ἀναγκαίως προστέθηκεν, ὡς ἃ μηδεὶς μήτε εἶδεν μήτε ἤκουσεν πώποτε, μήτε ὁ ἀπληστότατος ἐνενόησε νοῦς, ταῦτα ὁ τῶν ὅλων Θεὸς τοῖς περὶ αὐτὸν θερμῶς διακειμένοις ηὐτρέπισεν. περὶ μέντοι τῆς μαρτυρίας, ἀμφιβάλλειν οὐ δεῖ· ἀρκεῖ γὰρ ἡ μακαρία γλῶττα φήσασα, "καθὼς γέγραπται·" διδάσκει δὲ ἡμᾶς καὶ τῶν Παραλειπομένων ἡ βίβλος· ὡς καὶ ἄλλαι πολλαὶ συνεγράφησαν προφητεῖαι.*

ΩΡΙΓΕΝΟΥΣ. *Λέγεται μὲν γεγράφθαι, καὶ ὅτ' ἂν μὴ διὰ τῶν γραμμάτων, ἀλλὰ δι' αὐτῶν τῶν πραγμάτων κείμενα ᾖ, ὡς ἐπὶ τῶν ἱστοριῶν. ἢ ὅταν τὸ αὐτὸ μὲν νόημα κείμενον ᾖ, μὴ ἐπ' αὐτῶν δὲ τῶν ῥημάτων, ὡς ἐνταῦθα· τὸ γὰρ "οἷς οὐκ ἀνηγγέλη περὶ "αὐτοῦ ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι συνήκουσι·" ταυτόν ἐστιν "ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν·" ἢ τοῦτο τοίνυν φησὶν, ἢ εἰκὸς καὶ γεγράφθαι ἐν βιβλίοις, καὶ ἠφανῆσθαι τὰ βιβλία· καὶ γὰρ πολλὰ διεφθάρη, καὶ ὀλίγα διεσώθη βιβλία, καὶ ἐπὶ τῆς προτέρας αἰχμαλωσίας· ἄλλως δὲ εἰσὶ καὶ διπλαῖ πολλαχοῦ προφητεῖαι τοῖς συνετωτέροις εὐκατάληπτοι· ἐξ ὧν πολλὰ τῶν ἀσαφῶς εἰρημένων ἐστὶν εὑρεῖν· τί οὖν; οὐκ εἶδεν ὀφθαλμὸς ἃ ἡτοίμασεν ὁ Θεός; οὐχί· τίς γὰρ ἀνθρώπων εἶδεν τὰ οἰκονομεῖσθαι μέλλοντα; ἄρα οὖν "οὐδὲ οὖς ἤκουσεν· οὐδὲ ἐπὶ καρδίαν "ἀνθρώπου ἀνέβη·" οὐ γὰρ περὶ αὐτοῦ μόνου φησίν· ἀλλὰ καὶ περὶ πάσης τῆς ἀνθρωπίνης φύσεως· τί οὖν οἱ προφῆται, οὐκ ἤκουσαν; ἤκουσαν μὲν, ἀλλ' οὐκ ἦν ἀνθρώπου οὖς τὸ οὖς τὸ προφητικόν· οὐ γὰρ ὡς ἄνθρωποι ἤκουσαν· ἀλλ' ὡς προφῆται· διὸ φησὶ "προσέθηκέν μοι ὠτίον τοῦ ἀκούειν," τὴν προσθήκην τὴν ἀπὸ τοῦ Πνεύματος λέγων· καθάπερ καὶ αὐτὸς φησὶ "νοῦν Χριστοῦ "ἔχομεν·" ὃ δὲ λέγει, τοῦτο ἐστιν· πρὶν ἢ Πνεύματος ἀπολαῦσαι καὶ μαθεῖν τὰ ἀπόρρητα· οὐδὲ ἡμῶν τις οὐδὲ τῶν προφητῶν αὐτὸς ἐνενόησεν· πῶς γάρ; ὅπου γε οὐδὲ οἱ Ἄγγελοι αὐτοῦ ᾔδεσαν· τί γὰρ χρὴ λέγειν, φησὶ, περὶ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου·*

ὅπου γε οὐδεὶς ἀνθρώπων ταῦτα ἠπίστατο, οὐδὲ αἱ ἄνω δυνάμεις; ποῖα δὴ ταῦτα; ὅτι διὰ τῆς δοκούσης εἶναι ταύτης μωρίας τοῦ κηρύγματος κρατήσει τῆς οἰκουμένης, καὶ τὰ ἔθνη εἰσενεχθήσεται· καὶ καταλλαγὴ τῷ Θεῷ πρὸς τοὺς ἀνθρώπους ἔσται· τοσαῦτα ἡμῖν ἥξει τὰ ἀγαθά· πῶς οὖν ἔγνωμεν; "ἡμῖν δὲ," φησὶν, "ὁ "Θεὸς ἀπεκάλυψεν διὰ τοῦ Πνεύματος αὐτοῦ," οὐ διὰ τῆς ἔξωθεν σοφίας· αὕτη γὰρ καθάπερ τὶς θεραπαινὶς ἠτιμωμένη, οὐκ ἀφέθη ἔνδον εἰσελθεῖν καὶ παρακύψαι εἰς τὰ δεσποτικὰ μυστήρια.

10 Ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψεν διὰ τοῦ Πνεύματος
αὐτοῦ· τὸ γὰρ Πνεῦμα ἐρευνᾷ πάντα, καὶ τὰ βάθη τοῦ
11 Θεοῦ. τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ
μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτως καὶ
τὰ τοῦ Θεοῦ, οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ.

Ὠριγένους. *Οἶδεν διαφορὰν ἡ γραφὴ ἀγαπώντων τὸν Θεὸν καὶ φοβουμένων τὸν Θεόν· καὶ οἶδεν πολλῷ ὑπερέχοντας τῶν φοβουμένων τοὺς ἀγαπῶντας· ἡτοίμασται μὲν οὖν τινα καὶ τοῖς φοβουμένοις· πλὴν μείζονα ἡτοίμασε τοῖς ἀγαπῶσιν, παρὰ τὰ ἡτοιμασμένα τοῖς φοβουμένοις· "τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ "καὶ τὰ βάθη τοῦ Θεοῦ·" ἔστι Πνεῦμα ὅπερ δύναται πάντα ἐρευνᾷν·*[p] *ἀλλ' ἔδει γενέσθαι κρεῖττον ἐν ἡμῖν Πνεῦμα· ἵν' ἐκείνου γενομένου ἐν ἡμῖν, καὶ ἐνευρῶντος πάντα καὶ τὰ βάθη τοῦ Θεοῦ· ἀνακραθέντος τε ἡμῖν, καὶ ἡμεῖς ἐκείνῳ συνερευνήσωμεν πάντα καὶ τὰ βάθη τοῦ Θεοῦ.*

Ἰωάννου. *Οὐκ ἀγνοίας, ἀλλ' ἀκριβοῦς γνώσεως ἐνταῦθα τὸ ἐρευνᾷν δεικτικόν· ταύτῃ γοῦν τῇ λέξει καὶ ἐπὶ τοῦ Θεοῦ κέχρηται λέγων· "ὁ δὲ ἐρευνῶν τὰς καρδίας οἶδεν τί τὸ φρόνημα τοῦ "πνεύματος·" εἰ τοίνυν ἐκεῖνο ἀγνοίας, καὶ τοῦτο ὡσαύτως· εἰ δὲ γνώσεως ἐκεῖνο, καὶ τοῦτο ὁμοίως· καὶ ἡ μὲν γνῶσις τὴν ἰσότητα δείκνυσι· τὴν ἀνισότητα δὲ ἡ ἄγνοια· εὑρεθήσεται γὰρ ὁ μὲν Θεὸς τῶν ἀνθρώπων ἀγνοῶν τὰς καρδίας· τὸ δὲ Πνεῦμα τὰ τοῦ Θεοῦ βάθη· πάλιν εἰ τὸ ἐρευνᾷν ἀγνοίας σημαντικὸν, πάντα δὲ ἐρευνᾷ· πάντα δὲ ὡς ἔοικεν ἀγνοεῖ.*

[p] In marg. *ἡ ψυχὴ τοῦ ἀνθρώπου, οὐ δύναται πάντα ἐρευνᾷν.*

Τούτου καὶ Θεοδωρίτου. Σευηριανοῦ. Βάθη τοῦ Θεοῦ εἶπεν τὰς βαθυτάτας αὐτοῦ καὶ διαλανθανούσας ἡμᾶς οἰκονομίας.

Κυρίλλου. "Βάθη τοῦ Θεοῦ," τῶν ἱερῶν γραμμάτων ἡ κεκρυμμένη καὶ ἀπόθετος γνῶσις· ἣν εἰδὸς τὸ Πνεῦμα, ταῖς τῶν ἁγίων ἀποκαλύπτει ψυχαῖς, θεῖόν τινα νοῦν ἀποφαῖνον τὸν ἐν αὐτοῖς.

Σευηριανοῦ. Διὰ τούτων δείκνυσιν ὅτι ἐρευνᾷ, οὐχ ὡς ἀγνοοῦν, ἀλλ' ὡς ἐπιστάμενον· ἐπειδὴ δὲ οἱ μὲν Πνεῦμα, νῦν τὸν Πατέρα εἰρῆσθαι φασίν· οἱ δὲ τὸν Υἱὸν, ῥητέον πρὸς ἑκάτερα. τὸν μὲν οὖν Πατέρα ἀδύνατον εἰρῆσθαι· λέγει γὰρ, "ἡμεῖς δὲ οὐ τὸ πνεῦμα "τοῦ κόσμου ἐλάβομεν· ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ." οὐδεὶς δὲ ἐξ αὐτοῦ ἐστιν· εἰ γὰρ περὶ Θεοῦ εἴρητο· ἐκ τίνος ὁ Θεός; τὸν δὲ Υἱὸν ὑποπτεύεσθαι μὲν ἐγχωρεῖ· εἶναι δὲ αὐτὸν περὶ οὗ ὁ λόγος, οὐχ οἷόν τε· τίς γὰρ ἂν εἴποι τὸν Θεὸν Λόγον ἐρευνᾷν, ἵνα μάθῃ τὰ τοῦ Θεοῦ· εἰ δὲ λέγοιεν διδάσκεσθαι τὸν Υἱόν· πῶς ἀπὸ τῶν ἑξῆς οὐ συνεῖδον ὅτι ὡς ἀνθρώπου πνεῦμα τὰ ἐν αὐτῷ οἶδεν, οὕτως καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ· χωρὶς δὲ τούτου, δι' ὅλου τοῦ χωρίου τὸ Πνεῦμα τὸ Ἅγιον δείκνυται.

Παρατηρητέον δὲ ὅτι τὸ μὲν Πνεῦμα τὸ Ἅγιον ἐκ Θεοῦ φησὶν εἶναι· τὸ δὲ ἀκάθαρτον οὐκ εἶπεν ἐκ τοῦ κόσμου, ἀλλὰ τοῦ κόσμου· ὁ μὲν γὰρ Παράκλητος οὐκ ἐστὶν μέρος τοῦ Θεοῦ· ὡς μέρος δὲ τῆς κτίσεως ὁ διάβολος, κατὰ τὸ γεγενῆσθαι· τὸ δὲ Πνεῦμα τὸ Ἅγιον ἐκ τοῦ Θεοῦ.

12 Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ
τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ
13 Θεοῦ χαρισθέντα ἡμῖν. ἃ καὶ λαλοῦμεν, οὐκ ἐν διδα-
κτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς
Πνεύματος Ἁγίου, πνευματικοῖς πνευματικὰ συγκρί-
νοντες.

Θεοδωρίτου. Ἔδειξεν οὐδὲ μέρος ὂν τῆς κτίσεως τὸ Πανάγιον Πνεῦμα· ἀλλ' ἐκ τοῦ Θεοῦ τὴν ὕπαρξιν ἔχει· τοῦτο γὰρ λέγει· "ἡμεῖς οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν·" ἀντὶ τοῦ οὐ κτιστὸν ἐλάβομεν πνεῦμα· οὐδὲ δι' ἀγγέλου τὴν τῶν θείων ἀποκάλυψιν ἐδεξάμεθα· ἀλλ' αὐτὸ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον Πνεῦμα ἐδίδαξεν ἡμᾶς τὰ κεκρυμμένα μυστήρια.

Θεοδώρου. Κόσμον γὰρ τὴν σύμπασαν ὀνομάζει κτίσιν· καθὼς ἑτέρωθι φησὶν, "ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ καὶ Ἀγγέ" "λοις καὶ ἀνθρώποις."

Οἰκουμενίου. Πνεῦμα κόσμου λαλεῖ, ὡς οἶμαι, τὴν ἀνθρωπίνην σοφίαν καὶ παίδευσιν· ὅπερ φησὶν, οὐκ ἐλάβομεν, κατήργει γὰρ τὸν σταυρόν· ὡς ἄνω φησὶν, "οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ "κενωθῇ ὁ σταυρός·" ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ φησὶν ἐλάβομεν· "ἵνα," φησὶν, "εἰδῶμεν τὰ χαρισθέντα ἡμῖν ὑπὸ Θεοῦ·" τοῦτ' ἔστι τὰ κατὰ τὴν οἰκονομίαν τοῦ Χριστοῦ.

Θεοδώρου. Διὰ τοῦτο οὐ δεόμεθα τῆς ἀνθρωπίνης σοφίας· ἀρκεῖ γὰρ ἡμῖν ἡ διδασκαλία τοῦ Πνεύματος· "πνευματικοῖς "πνευματικὰ συγκρίνοντες·" ἀντὶ τοῦ διὰ τῶν τοῦ Πνεύματος θαυμάτων [q]· τὴν τοῦ Πνεύματος διδασκαλίαν πιστούμεθα· τὸ γὰρ "συγκρίνοντες" οὐκ ἀντὶ τοῦ παρεξετάζοντες λέγει, ἀλλ' ἀντὶ τοῦ ἀποδεικνύντες, συγκρίνειν τὸ ἀποδεικνύναι εἰρηκὼς ἐπὶ τοῦ παρόντος, ἐκ μεταφορᾶς τῶν τῇ συγκρίσει μείζονα τοῦ δοκιμωτέρου τὴν ἀπόδειξιν ποιουμένων.

Θεοδωρίτου. Ἔχομεν γὰρ καὶ τῆς παλαιᾶς διαθήκης τὴν μαρτυρίαν· καὶ δι' ἐκείνης τὴν καινὴν βεβαιοῦμεν· πνευματικὴ γὰρ κἀκείνη· καὶ γὰρ δεῖξαι βουλόμενος τῶν ἡμετερῶν μυστηρίων τοὺς τύπους, τὸν ἀμνὸν εἰς μέσον φέρομεν, καὶ τὸ αἷμα τὸ ταῖς φλειαῖς ἐπιχρειόμενον· καὶ τὴν τῆς θαλάττης διάβασιν· καὶ τῆς πέτρας τὰ νάματα· καὶ τοῦ μάννα τὴν χορηγίαν· καὶ μυρία τοιαῦτα· καὶ διὰ τῶν τύπων δείκνυμεν τὴν ἀλήθειαν.

Σευηριανοῦ. Οὐχ ἵνα δείξῃ ὡς ἐν ἡμῖν τὸ πνεῦμα ἡμῶν κρεῖττον ἡμῶν· οὕτως καὶ ἐν τῷ Θεῷ τὸ Πνεῦμα κρεῖττον αὐτοῦ· αὐτίκα εἰπὼν, "τίς γὰρ ἀνθρώπων οἶδεν τὰ τοῦ ἀνθρώπου, εἰ μὴ "τὸ πνεῦμα τὸ ἐν αὐτῷ;" ἀλλὰ τί τὸ ἐκ τοῦ Θεοῦ· τὸ μὲν γὰρ "ἐν αὐτῷ μέρος" συμπληρωματικὸν τοῦ ὅλου ἀνθρώπου· τὸ δὲ ἐξ αὐτοῦ τὸ αἴτιον δείκνυσιν· παρατηρητέον δὲ ὅτι ὁ μὲν Θεὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον δύο πρόσωπα· ἄνθρωπος δὲ καὶ τὸ πνεῦμα τὸ ἐν αὐτῷ, οὐ δύο πρόσωπα, ἀλλ' εἷς ἄνθρωπος. δείκνυς τοίνυν τὴν ἀκριβῆ τῆς κατὰ τὴν γνῶσιν Πνεύματος καὶ πνεύματος ταυτότητα·

[q] Cod. θανάτων.

τὴν γνῶσιν τοῦ ἐν ἡμῖν πνεύματος παρέβαλεν τῇ γνώσει πνεύματος καὶ πνεύματος· ἵνα δειχθῇ ὡς ἐν ἡμῖν ἐν τῷ ἑνὶ καὶ τῷ αὐτῷ πνεύματι, τοῦτ' ἐστὶ τῇ ψυχῇ, καὶ τῷ νῷ, οὐκ ἐστὶ διαφωνία ἑνώσεως, ἀλλ' οἴδαμεν ὃ οἴδαμεν. οὕτως καὶ ἐν πνεύματι καὶ Ἁγίῳ Πνεύματι οὐκ ἐστὶ διαφωνία γνώσεως, ἀλλὰ ταυτότης· ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν, Πνεύματος δεδωκότος· τοῦ νοῦ κατειληφότος, ἃ καὶ λαλοῦμεν. πάλιν ἕτερον δείκνυσιν· οὐ μόνον φησὶν οὐχ εὑρίσκομεν ἐν λογισμοῖς τὰ ἀποκαλυφθέντα ἡμῖν, ἀλλὰ καὶ κηρύττομεν αὐτὰ, οὐ λόγοις καλλωπίζοντες· ἀλλὰ "τὰ πνευματικὰ τοῖς πνευματικοῖς συγκρίνοντες·" Πνεύματος δυνάμει τὰς ἐκείνου ἀποκαλύψεις καὶ νοοῦντες καὶ ἐν τάξει κηρύττοντες, "πνευματικὰ πνευματικοῖς συγκρίνοντες." ὅτ' ἂν γὰρ ἡ δευτέρα ἀποκάλυψις ἑρμηνεία ᾖ τοῦ προτέρου καὶ σαφήνεια, συγκρίνοντες οἱ δεχόμενοι τὰς ἀποκαλύψεις, τὰ δεύτερα τοῖς πρώτοις, καὶ τὰ αὐτὰ εὑρίσκοντες, πληροφορίαν μείζονα ἐλάμβανον τῆς ἀποκαλυφθείσης ἀληθείας.

14 Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος
τοῦ Θεοῦ, μωρία γὰρ αὐτῷ ἐστι· καὶ οὐ δύναται γνῶναι,
15 ὅτι πνευματικῶς ἀνακρίνεται. ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται.

Σευηριανοῦ. "Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ "Πνεύματος·" ψυχικὸν λέγει τὸν στοιχοῦντα τοῖς οἰκείοις λογισμοῖς· "μωρία γὰρ αὐτῷ ἐστι·" τοσοῦτον τὸ βάθος τῆς πνευματικῆς ἀποκαλύψεως· ὡς τοῖς σοφοῖς τοῦ κόσμου τούτου μωρίαν φαίνεσθαι· οὕτως ἀχώρητος αὐτοῖς ἡ τοῦ Θεοῦ ἀποκάλυψις.

Ὠριγένους. Κατανοήσωμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν· ἐὰν γὰρ μὴ γένηται τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ διδάσκον ἡμᾶς ἐν ἡμῖν, οὐ δυνάμεθα λέγειν ὅτι οἴδαμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν· καὶ γὰρ "οὐδεὶς οἶδεν τὰ τοῦ Θεοῦ· εἰ μὴ "τὸ Πνεῦμα τοῦ Θεοῦ·" "ἃ καὶ λαλοῦμεν," φησὶν, "οὐκ ἐν "διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις· ἀλλ' ἐν διδακτοῖς Πνεύ-"ματος" καὶ τὰ ἑξῆς· αἱ σοφίαι πᾶσαι τοῦ κόσμου τούτου, λόγοι εἰσὶ διδακτοὶ ἀνθρώπων, ἃ μανθάνει τις καθ' ἕκαστον τῶν λογικῶν τεχνῶν· τὰ δὲ διδακτὰ τοῦ Πνεύματος οὐ διδάσκει· καὶ

οὐκ ἂν λέγοις ὅτι ὁ διδάσκαλος ὑπὸ τοῦ πνεύματος περὶ ὧν λέγει διδαχθεὶς ἐδίδαξεν· τὸ γὰρ πνεῦμα ἐν αὐτῷ τυγχάνον, ζητοῦντι καὶ ἐνευρῶντι τὴν ἀλήθειαν ἐλλάμπει· καὶ οὕτως ἀεὶ τῇ ἀνακαινώσει τοῦ νοὸς εὑρίσκει, ἃ μεμάθηκεν παρὰ τῶν ἀνθρώπων.

Διὰ τοῦτο ὁ Σωτὴρ φησί, “μὴ ζητήσῃς διδάσκαλον ἐπὶ τῆς “γῆς· εἷς γὰρ ἐστὶν ὑμῶν ὁ διδάσκαλος ὁ Πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς· ἢ εἷς ἐστιν ὑμῶν ὁ καθηγητὴς ὁ Χριστός.” ὀλίγα τινὰ ὑποβάλλει ἄνθρωπος, φέρε εἰπεῖν, Παῦλος διδάσκων Τιμόθεον καὶ λαβὼν ἀφορμὰς ὁ Τιμόθεος, ἔρχεται καὶ αὐτὸς ἐπὶ τὴν πηγήν, ὅπου ἐλήλυθεν ὁ Παῦλος, καὶ ἀρύεται καὶ γίνεται Τιμόθεος ἴσος Παύλου. πῶς δὲ διδάσκεταί τις ἀπὸ τοῦ Πνεύματος, κατανοητέον ἀπὸ τῶν ἀποστολικῶν λόγων· “πνευματικοῖς γὰρ “πνευματικὰ συγκρίνοντες” τῷ συνεξετάζειν τήνδε τὴν λέξιν τῇδε τῇ λέξει, καὶ τὰ ὅμοια συνάγειν, ἀνακαλύπτεται ὡσπερεὶ ὁ νοῦς τῆς γραφῆς· οὕτω γὰρ συνίημι τὰ τοῦ Θεοῦ, καὶ γίνομαι διδακτὸς Πνεύματος· οὐ μόνον τὰ τοῦ Πνεύματος μεμαθηκέναι τοῦ κινήσαντος τὸν Ἡσαΐαν· ἀλλὰ καὶ τῷ τὸ αὐτὸ Πνεῦμα ἐσχηκέναι, ὅπερ ἔκλεισεν καὶ ἐσφράγισεν τοὺς Ἡσαΐου λόγους· εἰ μὴ γὰρ τὸ Πνεῦμα ἀνοίξῃ τοὺς λόγους τῶν προφητῶν, οὐ δύναται ἀνοιχθῆναι τὰ κεκλεισμένα.

Ἐπεὶ δὲ ταῦτα εἶπεν, ἀναγκαίως ἐπιφέρει, ὅτι εἰσί τινες ἄνθρωποι μὴ παραδεχόμενοι τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ· οὐ διὰ τὴν φύσιν, ὡς οἴονται οἱ ἑτερόδοξοι· ἀλλὰ διὰ τὸ μὴ παρασκευακέναι ἑαυτούς· “ψυχικὸς γὰρ ἄνθρωπος, οὐ δέχεται τὰ τοῦ Πνεύ“ματος·” ψυχικὸς γὰρ ἦν· ὅτε ἔκλινεν εἰς θεοσέβειαν, καὶ παρεδέξατο τὸ Πνεῦμα, γέγονε πνευματικός· “καὶ οὐ δύναται γνῶναι “ὁ ψυχικὸς, ὅτι πνευματικῶς ἀνακρίνεται” οὐκ οἶδεν· διὰ τοῦτο ἀκούει “ὅτι ἀνακρίνεται πνευματικῶς.” καὶ δοκιμαζομένη γε ἡ δύναμις ἐλέγκει τοὺς ἄφρονας· οἷον ἐὰν λέγω ἀπὸ τοῦ Πνεύματος διδαχθείς, καὶ δυνάμει λέγω· καὶ ὁ ἀκροατὴς δοκιμάζων τὴν δύναμιν δοκεῖ καὶ μὴ συγκατάθηται· δοκιμαζομένη ἡ δύναμις ἐλέγχει τοὺς ἄφρονας· καὶ ἔστιν οὐχ ὡς ἐκεῖνος ἀποδοκιμάσας τὸ λεγόμενον· ὅσον τὸ λεγόμενον ἀπεδοκίμασεν ἐκεῖνον· “εἰς γὰρ “κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐ δὲ κατοικήσει ἐν “σώματι καταχρέῳ ἁμαρτίας.”

"Ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα· αὐτὸς δὲ ὑπ' οὐδενὸς "ἀνακρίνεται·" ὁ μηκέτι κατὰ σάρκα περιπατῶν ἀλλὰ κατὰ Πνεῦμα, καὶ ἀεὶ τῇ ἐπιμελείᾳ αὔξων αὐτὸ καὶ ἀναζωπυρῶν τὸ χάρισμα τοῦ Θεοῦ, ἐπὶ πλεῖον ἑαυτῷ κατασκευάζει τὸ γενέσθαι πνευματικός· γενόμενος δὲ, ἱκανός ἐστιν ἀνακρίνειν τὰ πάντα, τὰ Ἑλλήνων, τὰ βαρβάρων, τὰ σοφῶν, τὰ ἀνοήτων· αὐτὸν δὲ οὐδεὶς δύναται ἀνακρῖναι, διὰ τὸ μέγεθος τῆς διανοίας αὐτοῦ καὶ διαλογισμῶν αὐτοῦ· εἰ δὲ θέλεις ἐπιγινώσκειν τὸν πνευματικὸν, "ἀπὸ "τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς·" τίνες δὲ οἱ καρποὶ τοῦ Πνεύματος ἀφ' ὧν δεῖ νοεῖν τίς ὁ πνευματικός; ἄκουε τοῦ Ἀποστόλου λέγοντος· "ὁ δὲ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, "χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, "πραότης, ἐγκράτεια." ὅπου ταῦτα, ἐκεῖ τὸ Πνεῦμα· ἐκεῖνος πνευματικός· ὅπου δὲ τούτων τί λείπει, οὔπω πνευματικός ἐστιν ἐκεῖνος.

Σευηριανοῦ. Τοῦ γὰρ Ἁγίου Πνεύματος χάρις δύναμιν ἐπιδεικνυμένη ἤλεγκεν τὸν τεχνικόν· οὐ τεχνικῶς, ἀλλ' ἰσχύϊ τῶν θαυμάτων.

Θεοδωρίτου. Ὁ τῆς τοῦ Πνεύματος χάριτος ἠξιωμένος, αὐτὸς μὲν ἱκανὸς ἑτέρους διδάξαι· τῆς δὲ ἑτέρων διδασκαλίας οὐκ ἐνδεής.

Ὠριγένους. Πνευματικοῖς πνευματικὰ συγκρίνομεν· ὅτ' ἂν ἄπορόν τι πνευματικὸν ᾖ, ἀπὸ τῶν πνευματικῶν τὰς ἀπορίας ἄγομεν· οἷον, ὅτι ἀνέστη Χριστός· ὅτι ἀπὸ παρθένου ἐγεννήθη· παράγω μαρτυρίας καὶ τύπους καὶ ἀποδείξεις, τοῦ Ἰωνᾶ τὴν ἐν τῷ κήτει διατριβὴν, καὶ τὴν μετὰ ταῦτα ἀπαλλαγήν· τῶν στειρῶν τοὺς τοκετοὺς, τῆς Σαρρᾶς, τῆς Ῥεβέκκας καὶ τῶν λοιπῶν· τὴν ἐν τῷ παραδείσῳ τῶν δένδρων βλάστην γεγενημένην, οὐ σπερμάτων καταβληθέντων, οὐχ ὑετῶν κατενεχθέντων· τὰ γὰρ μέλλοντα διεπλάττετο καὶ διεγράφετο ὡς ἐν σκιᾷ τοῖς προτέροις· "ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν τὰ πάντα" καὶ τὰ ἑξῆς· ὁ γὰρ βλέπων πάντα μὲν αὐτὸς καθορᾷ τὰ τοῦ μὴ βλέποντος, τὰ δὲ ἐκείνου τῶν μὴ βλεπόντων οὐδείς· οὕτω καὶ νῦν τὰ μὲν ἡμέτερα καὶ τὰ τῶν ἀπίστων πάντα ἴσμεν· τὰ δὲ ἡμῶν λοιπὸν ἐκεῖνοι οὐκ ἔτι· καὶ γὰρ ἴσμεν, τίς μὲν ἡ τῶν παρόντων πραγμάτων φύσις·

τίς δὲ ἡ τῶν μελλόντων ἀξία· καὶ τί ποτε ὁ κόσμος μετὰ ταῦτα γενήσεται· καὶ τί μὲν οἱ ἁμαρτωλοὶ πείσονται· τίνος δὲ ἀπολαύσουσιν οἱ δίκαιοι· ἐλέγχομεν δὲ καὶ τῶν μὴ πνευματικῶν τὴν εὐτέλειαν· τὸ γὰρ ἀνακρίνειν καὶ ἐλέγχειν ἐστίν· καὶ τί πείσεται ὁ ψυχικὸς ἀπελθὼν ἐκεῖ· τῶν οὐδὲν οἶδεν ὁ ψυχικός· διὸ καὶ σαφῆ τῶν εἰρημένων ἀπόδειξιν ἐπάγων λέγει τὸ ἑξῆς.

Κυρίλλου. *Ψυχικός ἐστιν, ὁ κατὰ σάρκα ζῶν καὶ μήπω τὸν νοῦν φωτισθεὶς διὰ τοῦ* Πνεύματος· *ἀλλὰ μόνην τὴν ἔμφυτον καὶ ἀνθρωπίνην σύνεσιν ἔχων· ἣν ταῖς ἁπάντων ψυχαῖς ἐμβάλλει ὁ δημιουργός.*

Φωτίου. Ὁ *ψυχικὸς χρείαν ἔχει ἀνακρίσεως καὶ ἐξετάσεως καὶ μαθήσεως πνευματικῆς, ἵνα παραδέξηται τὰ τοῦ* Πνεύματος· *ἀλλὰ πρὸς ταύτην ἀπαυθαδιζόμενος καὶ δοκῶν ἀρκεῖσθαι τοῖς ἀνθρωπίνοις λογισμοῖς, οὐ μόνον οὐδὲν ὧν ἀγνοεῖ καταλαμβάνει, ἀλλὰ καὶ τοὐναντίον εἰς πλείονα καταβαπτιζόμενος ἄγνοιαν, τὸ ἐκείνου πάθος καὶ νόσημα τοῖς τοῦ πνεύματος νόμοις περιάπτει, καὶ ἡγεῖται αὐτὰ μωρίαν· δέον ἑαυτῷ μέμφεσθαι, ταπεινοῖς καὶ ἀνθρωπίνοις μέτροις τὰ ὑπερφυῆ καὶ κρείττονα λογισμῶν μετρεῖν καὶ καταλαμβάνειν ἐγχειρήσαντι· ὁ δὲ πνευματικὸς, οὐ δεῖται ἀνακρίσεως· ἀλλὰ αὐτὸς πνευματικῶς καὶ θεοσόφως ἅπαντα δοκιμάζων καὶ κρίνων, τελειοῦται τῇ γνώσει τοῦ* Πνεύματος· *διὸ ὑπ' οὐδενὸς ἀνακρίνεται· ὑπὸ μὲν τῶν πίστων, ὅτι οὐ διαφορεῖ ἢ διαστασιάζει πρὸς αὐτούς· ὑπὸ δὲ τῶν ἀπίστων, ὅτι πολλῷ κρεῖττόν ἐστι τῆς ἐκείνων ἀνακρίσεως· καὶ ὅτι οὐ μόνον οὐ δεῖται ταύτης· ἀλλὰ καὶ σύνοιδεν ἀκριβῶς ἀνακρίνων, ὅτι καὶ τοῖς ταύτῃ χρωμένοις, μέγιστον ἐμπόδιον αὐτὴ καθέστηκεν εἰς τὸ πνευματικῶς ἀνακρίνεσθαι καὶ δέξασθαι τὰ τοῦ* Πνεύματος· *διὸ χηρεύουσιν οὗτοι τοῦ κυριακοῦ νοῦ· ἤτοι τῶν ἐντολῶν καὶ τῆς ἐκεῖθεν νομοθεσίας, τῆς φερούσης εἰς τὴν τῶν πνευματικῶν ζητημάτων κατάληψιν. αὗται γὰρ αἱ κυριακαὶ ἐντολαὶ συμβιβάζουσαι ἡμᾶς καὶ καταλλάσσουσαι πρὸς αὐτὸν, παρασκευάζουσιν ἐπιτηδείους εἰς τὴν ἐκεῖθεν τοῖς ἀξίοις χορηγουμένην ἔλλαμψίν τε καὶ κατανόησιν· διὸ οἱ ταύταις ἑαυτοὺς καταρτίσαντες, εἰκότως νοῦν* Χριστοῦ *ἔχομεν· τὰ γὰρ τοῦ* Χριστοῦ *φρονοῦντες καὶ νοοῦντες, οὐκ ἔτι ἀνθρωπίνῳ καὶ σαρκικῷ λογισμῷ σαλεύοντες κυμαινόμεθα, ταῖς*

ἑκατέρωθεν ἀντιπνοίαις χειμαζόμενοι, ἀλλὰ πάγιοι καὶ ἀμετάπιστοι γεγονότες ἐνουρανίῳ καὶ θείῳ νοῒ, καὶ τῆς ἀληθείας καρπούμεθα τὴν κατάληψιν.

16 Τίς γὰρ ἔγνω νοῦν Κυρίου, ὃς συμβιβάσει αὐτόν;
1 ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν. καὶ ἐγὼ, ἀδελφοὶ, οὐκ
ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρ-
2 κικοῖς, ὡς νηπίοις ἐν Χριστῷ. γάλα ὑμᾶς ἐπότισα, καὶ
οὐ βρῶμα· οὔπω γὰρ ἐδύνασθε, ἀλλ' οὔτε ἔτι νῦν δύν-
3 ασθε· ἔτι γὰρ σαρκικοί ἐστε.

Ἰωάννου. "Νοῦν Χριστοῦ" τὸν ἡμέτερον νοῦν τὸν περὶ τούτων, ἐκείνου λέγων νοῦν· καὶ τὸ "ὃς συμβιβάσει αὐτὸν," οὐκ ἁπλῶς προσέθηκεν, ἀλλὰ πρὸς ὃν εἶπεν ἤδη, τὸν πνευματικὸν οὐδεὶς ἀνακρίνει· εἰ γὰρ εἰδέναι δύναται τοῦ Θεοῦ τὸν νοῦν, πολλῷ μᾶλλον διδάσκειν καὶ διορθοῦσθαι· τοῦτο γάρ ἐστιν "ὃς συμβιβάσει "αὐτόν·" τὸ δὲ "νοῦν Χριστοῦ ἔχομεν" τοῦτ' ἔστιν, τὰ ἐν τῷ νῷ τοῦ Χριστοῦ ταῦτα ἡμεῖς ἴσμεν.

Σευηριανοῦ. Οἱ πνευματικοὶ οὐ λογισμοῖς τοὺς λογισμοὺς ἀνατρέπουσιν· ἀλλὰ τὸν παρὰ τοῦ Θεοῦ δεχόμενοι νοῦν, καὶ τὴν ἐκεῖθεν ἀποκάλυψιν διαλέγονται· ὥστε ὁ ἀντιτασσόμενος οὐ λογισμοὺς ἐλέγχει· ἀλλ' ἐναντιοῦται τῇ τοῦ Θεοῦ γνώσει· διὸ τοῦτο φησὶ, "τίς γὰρ ἔγνω νοῦν Κυρίου ὃς συμβιβάσει αὐτόν; ἡμεῖς δὲ "νοῦν Χριστοῦ ἔχομεν." τοῦτ' ἔστι τὴν γνῶσιν.

Οἰκουμενίου. Ἢ "νοῦν Χριστοῦ," τὸν Πατέρα καλεῖ· ἔχομεν φησὶν, ἐν ἑαυτοῖς τὸν τοῦ Χριστοῦ Πατέρα, κατὰ τὸ "ἐνοι"κήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω·" νοῦν γὰρ τὸν Πατέρα λέγειν ἔθος τοῖς ἁγίοις.

Κυρίλλου. Ὁ πνευματικὸς ἀνακρίνει μὲν πάντα καὶ οἷον καταλεπτύνει ταῖς ἀκριβείαις· ἀνακρίνεται δὲ ὑπ' οὐδενὸς αὐτός· ὅτι δὲ τοῖς λεγομένοις εἶναι ψυχικοῖς δεῖ δὴ πάντως εἰς ὄνησιν καὶ παιδαγωγίαν πνευματικῶν διδασκάλων, καθίστησιν ἐναργὲς, προστιθείς τε καὶ λέγων· "τίς γὰρ ἔγνω νοῦν Κυριοῦ, ὃς συμ"βιβάσει αὐτόν;" ὅμοιον ὡσεὶ λέγοι τὸν ψυχικὸν ἄνθρωπον συμβιβάσειεν ἂν οὐδεὶς, εἰ μὴ νοῦν ἔχοι Χριστοῦ· τὸ δὲ "συμβι"βάσαι" φησὶν ἀντὶ τοῦ νοῆσαι παρασκευάσει· καὶ τίνες ἂν εἶεν

οἱ νοῦν ἔχοντες Κυρίου, πάλιν αὐτὸς παρέδειξεν εἰπών· “ἡμεῖς δὲ “νοῦν Χριστοῦ ἔχομεν·” τοῦτ᾿ ἔστι, τὸ Πνεῦμα τὸ λαλοῦν ἐν ἁγίοις καὶ ἐκκαλύπτον αὐτοῖς μυστήρια· καὶ θεῖόν τινα νοῦν ἀποφαῖνον τὸν ἐν αὐτοῖς.

ʼΩΡΙΓΕΝΟΥΣ. *Τῶν ἀκουόντων οἱ μὲν τέλειοί εἰσιν, οἱ πνευματικοὶ, περὶ ὧν καὶ πρώην ἐλέγομεν· οἱ δὲ μὴ ὄντες πνευματικοὶ, πιστεύοντες δὲ ἐπὶ τὸν Χριστὸν, ὡς λέγει ὁ Ἀπόστολος· νήπιοι ἐν Χριστῷ καὶ σαρκίνοι ἐν Χριστῷ· ἐγὼ γὰρ ἀπὸ κοινοῦ ἀκούω τοῦ “ἐν Χριστῷ·” χρεία οὖν μαθημάτων τοῖς μὴ τελειοτέροις καὶ μηδέπω γεγυμνασμένοις ἐν ταῖς ἱεραῖς γραφαῖς, ὑποδεεστέρων*[q], *ἅτινα ὠνόμασεν ὁ Ἀπόστολος γάλα εἶναι· “γάλα γὰρ,” φησὶν, “ἐπότισα ὑμᾶς· οὐ βρῶμα, οὔπω γὰρ ἐδύνασθε· ἀλλ᾿ οὐ δὲ ἔτι “νῦν δύνασθε·” ἀναφορὰν δὲ νομίζω εἶναι ἐν ταῖς πνευματικαῖς γραφαῖς γάλακτος, βρώματος, βρώσεως ἀληθινῆς, στερεᾶς τροφῆς, σαρκὸς τοῦ λόγου καὶ λαχάνου πνευματικοῦ· καὶ ταῦτα τολμῶ λέγειν πειθόμενος ταῖς γραφαῖς· οὐ γὰρ εἶπεν πᾶσαν πνευματικὴν τροφὴν ἀληθῆ εἶναι βρῶσιν λέγων, “ἡ σάρξ μου ἀληθής “ἐστι βρῶσις.” ποία οὖν οὐ στερεὰ τροφή; τὰ ἠθικώτερα καὶ ὅσα ἐν τοῖς ἠθικοῖς ἀσθενέστερα κατὰ συγγνώμην λεγόμενα, οὐ κατ᾿ ἐπιταγήν· διὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων οἰκονομούμενα· ὅσα δὲ ἐν ἠθικοῖς τελειοτέρα διδασκαλία ἐν ἀκροαταῖς φιλομαθέσι καὶ φιλοπόνοις, ταῦτα εἴποιμι ἂν ἐν ἠθικοῖς στερεὰν τροφήν· τὴν περὶ ἁγνείας τελείας· τὴν περὶ παρθενίας ἢ σωφροσύνης· τὴν περὶ μαρτυρίου· ταῦτα στερεὰ τροφή· στερεὰ δὲ τροφὴ ἐν μυστικοῖς ἡ περὶ Πατρὸς καὶ Υἱοῦ· οὕτω δὲ καὶ ὁ νόμος· ὅτε μὲν στερεὰν παραδίδωσι τροφήν· ὅτε δὲ ὑποδεεστέραν*[r]*· οἷον ἐρχόμεθα ἐπὶ τὸν λόγον τὸν περὶ τῶν ὄφεων τῶν ἀναιρούντων τοὺς υἱοὺς Ἰσραὴλ διὰ τὸν γογγυσμόν· ἐὰν ἁπλούστερον ἀναγινώσκωμεν, λέγομεν. “μὴ “δὲ γογγύζωμεν, καθάπερ τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο “ὑπὸ τῶν ὄφεων.” ἐὰν δὲ μυστικὸν λόγον δύναται ἀκούειν ὁ ἀκροατής· λέγομεν, τίνες οἱ ὄφεις· καὶ τίς ὁ ὄφις ὁ ἐπὶ τοῦ ξύλου κρεμασθείς· καὶ πῶς σώζεται, πρὸς ἐκεῖνον τὸν ὄφιν ἰδών· καὶ οὕτως καθ᾿ ἑκάστην γραφὴν πνευματικήν.*

[q] *ὑπὸ δὲ ἑτέρων* Cod. [r] *ὑπὸ δὲ στέραν* Cod.

Τίνες δὲ εἰσὶν οἱ γάλακτι ποτιζόμενοι, δηλώσει ὁ Πέτρος ἐν τῇ Ἐπιστολῇ λέγων· "ὡς ἀρτιγέννητα βρέφη τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε·" καὶ ἐν τῇ πρὸς Ἑβραίους δὲ "καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς· πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος λόγου δικαιοσύνης· νήπιος γάρ ἐστιν· τελείων δέ ἐστιν ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ."

ΘΕΟΔΩΡΙΤΟΥ. Σαρκικοὺς αὐτοὺς ἐκάλεσεν· ὡς περὶ τὸν βίον τοῦτον ἐπτοημένους, καὶ κεχηνότας περὶ τὰ δοκοῦντα λαμπρὰ, καὶ τῷ πλούτῳ καὶ τῇ εὐγλωττίᾳ τῶν διδασκάλων προσεσχηκότας· καὶ ἐπειδὴ πλῆξαι ἱκανὸν ἦν τὸ εἰρημένον, διά τινος εἰκόνος τὴν πληγὴν θεραπεύει· διὰ γὰρ τὸ ἀρτιγενὲς ὑμῶν, φησὶ, καὶ τὸ ἀτελὲς, ἐμέτρησα τὴν διδασκαλίαν τῇ ἀσθενείᾳ τῆς ἀκοῆς· καὶ ἐμιμησάμην πατέρα, κατάλληλον τροφὴν τοῖς ἀρτιτόκοις προσφέροντα βρέφεσιν· "ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε· ἔτι γὰρ σαρκικοί ἐστε."

ΦΩΤΙΟΥ. Καθ' ὑπερβατὸν τὸ "τίς ἔγνω νοῦν Κυρίου." ἐφ' ἑξῆς γὰρ ὀφείλει συντάττεσθαι τοῦ "οὐ δύναται γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται." δύναται δὲ καὶ χωρὶς ὑπερβατοῦ· ὡς ἔχει φράσεως τὸ χωρίον ἐκλαβεῖν.

Ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις καὶ διχοστασίαι,
οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε;
4 ὅταν γὰρ λέγῃ τις, Ἐγὼ μέν εἰμι Παύλου, ἕτερος δὲ,
5 Ἐγὼ Ἀπολλῶ, οὐχὶ σαρκικοί ἐστε; τίς οὖν ἐστι Παῦ-
λος, τίς δὲ Ἀπολλὼς, ἀλλ' ἢ διάκονοί ἐστε, δι' ὧν ἐπι-
6 στεύσατε, καὶ ἑκάστῳ ὡς ὁ Κύριος ἔδωκεν; ἐγὼ ἐφύ-
τευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξανεν.

ὩΡΙΓΕΝΟΥΣ. Τῶν ἐν ἀνθρώποις ἁμαρτημάτων τὰ ἐλάττομενά ἐστι ζῆλος καὶ ἔρεις· ἐὰν ἐν πορνείᾳ τίς ἔσται· οὐκ ἔτι σάρκινος ὁ τοιοῦτός ἐστιν, ἀλλὰ χείρων ἢ σάρκινος· τί δ' ἂν εἴη ὁ τοιοῦτος, εἴδωμεν· ἐγὼ νομίζω διαφορὰν εἶναι σαρκίνου καὶ χοϊκοῦ· "ὡς ἐφορέσαμεν," φησὶ, "τὴν εἰκόνα τοῦ χοϊκοῦ· φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου" ἐὰν οὖν τὰ πρὸς θάνατον ἁμαρτάνῃς.

οὐκ εἶ σάρκινος, ἀλλὰ χοϊκός· ἐὰν δὲ ἁμαρτάνῃς μὲν, οὐ πρὸς θάνατον δὲ, οὐ χοϊκὸς τέλεον, οὐ δὲ ἀποπέπτωκας τῆς χάριτος τοῦ Χριστοῦ· ἀλλὰ σάρκινος εἶ τότε· καὶ τῶν περιπάτων δὲ ἡμῶν ὁ μὲν τίς ἐστι κατὰ ἄνθρωπον, ὁ δὲ κατὰ Θεόν· ἐὰν ὡς πολλοὶ τῶν ἀνθρώπων περιπατῶμεν· κατὰ ἄνθρωπον περιπατοῦμεν. ἐὰν δὲ κατὰ τὸ "λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων," διαφέρομεν τῶν πολλῶν· καὶ οὐ κατὰ ἄνθρωπον περιπατοῦμεν. σαφὴς οὖν ὁ βίος τῷ δυναμένῳ βλέπειν, ποῖός ἐστιν ὁ κατὰ ἄνθρωπον, καὶ ποῖος ὁ κατὰ Θεόν. ὅτ' ἂν γάρ τίς λέγῃ, ἐγὼ μέν εἰμι Παύλου· ἐγὼ δὲ Ἀπολλώ· ἐγὼ δὲ Κηφᾶ· καὶ τούτοις προσέχωμεν, ὀψόμεθα ὅτι ἡμεῖς ἐνίοτε οὐδὲ ἄνθρωποι, ἀλλὰ χεῖρον ἢ ἄνθρωποι ἐσμέν· ὁ γὰρ λέγων τότε, ἐγώ εἰμι Ἀπολλὼ, ἔλεγεν περὶ ἀνδρὸς ἐλλογίμου καὶ ἁγίου καὶ μακαρίου· ὁ λέγων, ἐγώ εἰμι Παύλου· περὶ ἀνδρὸς λέγει Ἀποστόλου ἱεροῦ καὶ μακαρίου. ἐνίοτε δὲ γίνονται προσκλίσεις οὐ παραπλησίως τῇ προσκλίσει Παύλου ἢ Ἀπολλώ· ἀλλὰ προσκλίνεταί τις ἁμαρτωλῷ ἐνίοτε καὶ ἑτεροδόξῳ· οἱ οὖν οὗτοι ἄνθρωποί εἰσι, καὶ κατὰ σάρκα περιπατοῦσιν, οἱ λέγοντες ἐγὼ Ἀπολλὼ, ἐγὼ δὲ Παύλου· ὅτ' ἂν σὺ λέγῃς σαυτὸν τινὸς ὑποδεεστέρον εἶναι· δῆλον ὅτι οὐκ ἔτι οὐδε ἄνθρωπος, ἀλλὰ καὶ χεῖρον ἢ ἄνθρωπος, καὶ ἴσως λελέξεται πρὸς τοὺς "ὄφεις, γεν- "νήματα ἐχιδνῶν."

Θεοδωρίτου. *Τούτων ἕκαστον, φησὶ, δείκνυσιν ὑμᾶς οὐδὲν πνευματικὸν φρονοῦντας, ἀλλὰ τοῖς γηΐνοις πράγμασι προστετηκότας.*

7 Ὥστε οὔτε ὁ φυτεύων ἐστί τι, οὔτε ὁ ποτίζων, ἀλλ' ὁ
8 αὐξάνων Θεός. ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων ἕν εἰσιν, ἕκα-
στος δὲ τὸν ἴδιον μισθὸν λήψεται, κατὰ τὸν ἴδιον κόπον.

Θεοδωρίτου. *Πάλιν τὸ οἰκεῖον τίθησιν ὄνομα, καὶ τὸ τοῦ Ἀπολλὼ συντάττει· τοῦ γινομένου τὴν ἀτοπίαν δεικνύς· εἰ γὰρ ἐπ' ἐμοῦ, φησὶ, τοῦ τῆς ἀποστολικῆς χάριτος ἠξιωμένου καὶ φυτουργοῦ ὑμῶν γεγενημένου· καὶ Ἀπολλὼ τοῦ τὴν ἀρδείαν ὑμῖν προσενεγκόντος, τοῦτο γίνεσθαι τῶν ἀτοπωτάτων, πολλῷ μᾶλλον ἐφ' ἑτέρῳ τοῦτο γινόμενον δυσσεβὲς ἐστὶ καὶ ἀνόσιον. "τίς οὖν ἐστι*

"Παῦλος· τίς δὲ Ἀπολλὼς, ἀλλ' ἢ διάκονοι, δι' ὧν ἐπιστεύσατε;" ἄλλος ἐστὶν ὁ δεσπότης· ἡμεῖς ἐκείνου δοῦλοι, καὶ τῆς ὑμέτερας σωτηρίας διάκονοι· "καὶ ἑκάστῳ ὡς ὁ Κύριος ἔδωκεν·" καὶ γὰρ ἐν ἡμῖν διαφορά· εἰ γὰρ καὶ τῆς διακονίας κοινωνοῦμεν ἀλλήλοις. ἀλλὰ μέτρῳ τινὶ τὴν χάριν ἐκομισάμεθα· "ἐγὼ ἐφύτευσα·" πρῶτος γὰρ ἐκήρυξα· "Ἀπολλὼς ἐπότισεν," μετ' ἐμὲ γὰρ τὴν ἐμὴν διακονίαν ἐκράτυνεν· ἀλλ' "ὁ Θεὸς ηὔξανεν." τῆς γὰρ αὐτοῦ χάριτος τὸ κατόρθωμα· "ὥστε οὔτε ὁ φυτεύων ἐστί τι· οὔτε ὁ "ποτίζων· ἀλλ' ὁ αὐξάνων Θεός." Θεοῦ γὰρ μὴ συνεργοῦντος, μάταιος ὁ ἡμέτερος πόνος.

Ὠριγένους. Εἰ ἐφύτευσεν ὁ Παῦλος, συνεφύτευσε τῷ φυτεύοντι προηγουμένως Θεῷ· εἰ ἐπότισεν Ἀπολλὼς, συνεπότισε τῷ προηγουμένως ποτίσαντι Χριστῷ· φυτεύει γὰρ ὁ Θεός· διὸ γέγραπται· "πᾶσα φύτεια, ἣν οὐκ ἐφύτευσεν ὁ Πατήρ μοῦ ὁ οὐράνιος, ἐκρι-"ζωθήσεται·" καὶ πάλιν, "ὁ Πατήρ μοῦ ὁ γεωργός ἐστιν·" ποιήσωμεν οὖν καρποὺς, ἵνα μὴ ἐκκοπῶμεν κατὰ τὴν ἄκαρπον συκῆν· "πᾶν γὰρ δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται, καὶ εἰς "πῦρ βάλλεται·" ἐπέχωμεν μὴ λεχθῇ περὶ ἡμῶν, "ἔμεινα ἵνα "ποιήσῃ σταφυλήν· ἐποίησεν δὲ ἀκάνθας·" ἐὰν γὰρ ταῦτα εἴπῃ περὶ ἡμῶν· ἐρεῖ καὶ τὰ ἑξῆς· "νῦν οὖν ἀναγγελῶ τί ποιήσω τῷ "ἀμπελῶνί μου· ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς "διαρπαγήν· καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ· καὶ ἔσται εἰς κατα-"πάτημα."

Ἰωάννου. Ὅρα πῶς ἀνεπαχθῆ ποιεῖται τὴν ἐξουδένωσιν τῶν προεστώτων αὐτῶν καὶ σοφῶν καὶ πλουσίων· ἑαυτὸν καὶ Ἀπολλὼ εἰς τὸ φαινόμενον ἐξουδενώσας, καὶ διδάξας ὡς χρὴ μόνῳ Θεῷ προσέχειν, καὶ εἰς αὐτὸν ἀναντιθέναι πάντα τὰ συμβαίνοντα ἀγαθά· "ὁ φυτεύων," φησὶ, "καὶ ὁ ποτίζων, ἕν εἰσιν," ὅσον ἧκεν εἰς τὸ μηδὲν δύνασθαι πλέον, ἄνευ τοῦ αὐξάνοντος Θεοῦ.

Τοῦ αὐτοῦ. Ἓν εἶναι αὐτοὺς φησὶ, πρὸς τὸ μηδὲν δύνασθαι ἄνευ τοῦ αὐξάνοντος Θεοῦ.

Τοῦ αὐτοῦ. Ἐπειδὴ εἰκὸς ἦν τοὺς πλείω καμόντας περὶ τὴν ἐκείνων πίστιν, ῥαθυμοτέρους γενέσθαι, ἀκούσαντας ἓν εἶναι πάντας, κἂν μικρὸν, κἂν μέγα τίς ἔτυχε συνεισενεγκὼν, εὐθέως αὐτὸ

διορθοῦται· "ἕν εἰσι," φησὶ, πρὸς τὸ μὴ δύνασθαι ἄνευ τοῦ αὐξάνοντος Θεοῦ πλέον τί ποιῆσαι, ἐπεὶ, ὅσον πρὸς τὴν ἀνταπάδοσιν, "ἕκαστος," φησὶ, "κατὰ τὸν ἴδιον κόπον τὸν μισθὸν ἕξει."

ΦΩΤΙΟΥ. *Ἐπειδὴ πολλὰ κατέδραμεν τῶν διδασκάλων, λέγων "τίς ἐστι Παῦλος; τίς δὲ Ἀπολλώς; καὶ πάλιν "ὥστε οὔτε ὁ "ποτίζων ἔστι τι, οὔτε ὁ φυτεύων." τοῦτο δὲ ποιεῖ· πραῦναι θέλων τὴν φλεγμονὴν τῶν ἐπὶ τῇ διδασκαλίᾳ καταλαζονευομένων, καὶ εἰς ἔρεις καὶ στάσεις τὸν λαὸν τοῦ Χριστοῦ καταδιελόντων· ἐπεὶ οὖν ἱκανῶς ἔδοξεν τὸν ἐκείνων τύφον καθαίρειν, διὰ τὸ καὶ ἑαυτὸν συνευτελίσαι καὶ τὸν Ἀπολλώ· ἵνα μή τινες εἴπωσιν, οὐκοῦν μάτην διδάσκεις; μάτην τοὺς ὑπὲρ τοῦ κηρύγματος πόνους ἀναδεχόμεθα; ἐπήγαγεν, τὰς τοιαύτας ἀποκρονόμενος λαβάς· "ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον." μόνον οὐχὶ λέγων· μηδὲν ἀθυμείτω ὁ καλῶς διδάσκων· εἰ γὰρ καὶ κεκώλυται μερίζειν τὸν λαὸν τοῦ Χριστοῦ, καὶ ἰδιοποιεῖσθαι, καὶ σεμνολογεῖσθαι ἐν αὐτοῖς ὡς διδάσκαλος· ἀλλ' οὖν γε μισθὸν λήψεται· καὶ οὐχ ἁπλῶς, ἀλλὰ κατὰ τὸν ἴδιον κόπον· εἶτα ἐπαίρων ἐπὶ πλέον τὸ πρᾶγμα, καὶ πιστούμενος ὅτι πάντως ἔσται ὁ μισθός· "Θεοῦ γὰρ," φησὶν, "ἐσμὲν συνεργοί." ἅμα μὲν, ὥσπερ εἶπον, καὶ λαμπρύνων τὸ τῆς διδασκαλίας, ἅμα δὲ καὶ πάλιν ὑποδεικνὺς ὅτι Θεοῦ ἐστι τὸ ἔργον· ὥστε οὐ δεῖ ἰδιοποιεῖσθαι αὐτὸ καὶ κατατέμνειν αὐτό· μᾶλλον δὲ συνάπτειν καὶ ἑνοποιεῖν· τοῦτο γὰρ συνεργῶν· τὸ δὲ ἰδιοποιεῖσθαι καὶ μερίζειν, ἐχθρῶν καὶ πολεμίων· εἶτα ἐπιμένει τῷ αὐτῷ τῆς ἀποδείξεως χρώμενος κανόνι· ὅτι οὐ χρὴ κατανεμέσθαι τὸν λαὸν προσώποις ὅλως· "Θεοῦ γεώργιον "ἐστὲ," φησὶ, "Θεοῦ οἰκοδομή." τί κατευτελίζετε ἑαυτούς; ἐμὸν Θεὸν[r] εἶναι τοῖς ὁμοδούλοις ἀνατιθέμενοι.*

9 Θεοῦ γάρ ἐσμεν συνεργοί· Θεοῦ γεώργιον, Θεοῦ
10 οἰκοδομή ἐστε. κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν
μοι, ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα· ἄλλος δὲ
ἐποικοδομεῖ· ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ.
11 θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν
κείμενον, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστός. εἴ δέ τις ἐποι-

[r] Ed. Œcum. ἑνὸν Θεοῦ.

12 κοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσὸν, ἄργυρον, λί-
13 θους τιμίους, ξύλα, χόρτον, καλάμην, ἑκάστου τὸ ἔργον
φανερὸν γενήσεται· ἡ γὰρ ἡμέρα δηλώσει· ὅτι ἐν πυρὶ
ἀποκαλύπτεται· καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι, τὸ
14 πῦρ δοκιμάσει. εἴ τινος τὸ ἔργον μένει, ὃ ἐπῳκοδόμησε,
15 μισθὸν λήψεται. εἴ τινος τὸ ἔργον κατακαήσεται, ζη-
μιωθήσεται· αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ
πυρός.

Ὠριγένους. Ἐπεὶ οὐ μόνον γεώργιον ἀλλὰ καὶ Θεοῦ οἰκοδομοὶ ἐσμὲν, ζητῶ τὸν ἀρχιτέκτονα τῆς οἰκοδομῆς καὶ τοὺς συνεργοῦντας αὐτῷ· τοῦτο γὰρ νοῶν ὁ Ἀπόστολος φησὶ, "κατὰ τὴν "χάριν τὴν δοθεῖσάν μοι, ὡς σοφὸς ἀρχιτέκτων, θεμέλιον τέθεικα." τὴν γὰρ ἐν Κορίνθῳ ἐκκλησίαν πρὸ τῆς ἀποστολῆς, οὐδαμῶς ὑπέστησεν ὁ Παῦλος· καὶ ἐπειδὴ σχίσματα ἦν ἐν αὐτοῖς φησὶν, ὅτι δοθείσης μοι χάριτος ὑπὸ τοῦ Θεοῦ· ἄλλος δὲ ἐποικοδομεῖ· εἰ γὰρ ἕτερος μετελθὼν ἐπὶ τὸν θεμέλιον τῆς ἐκκλησίας ἐποικοδομεῖ· ἐκεῖνος οὐκ ἔστιν ἀρχιτέκτων τῆς ἐκκλησίας· ἀλλὰ ἐποικοδομεῖ τῇ ἐκκλησίᾳ· εἰ θέλεις οὖν ἰδεῖν ὅτι σοφὸς ἀρχιτέκτων ὁ Παῦλος· ἄκουε αὐτοῦ "ὅτι ἀπὸ Ἱηρυσαλὴμ καὶ μεχρὶ τοῦ Ἰλλυρικοῦ "πεπλήρωκα τὸ εὐαγγέλιον τοῦ Θεοῦ· φιλοτιμούμενος εὐαγγελί-"ζεσθαι, οὐχ ὅπου ὠνομάσθη Χριστὸς, ἵνα μὴ ἐπ' ἀλλότριον θεμέ-"λιον οἰκοδομῶ·" καὶ οὐ μόνον ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον κατεβάλλετο, ἀλλὰ καὶ ἀρχιτεκτονικὰ οἱονεὶ βιβλία ἔγραψεν πῶς δεῖ τὸν ἀρχιτέκτονα οἰκοδομεῖν οἰκείαν· ὁποῖον δεῖ τὸν ἐπίσκοπον εἶναι, πρεσβυτέρον τε καὶ διακόνους, καὶ τὸ ὑπόλειπον τῆς ἐκκλησίας πλήρωμα· ταῦτα γὰρ πάντα οἱονει νόμοι ἀρχιτεκτονικοὶ ἦσαν.

"Ἄλλος οὖν," φησὶν, "ἐποικοδομεῖ· ἕκαστος δὲ βλεπέτω πῶς "ἐποικοδομεῖ," τοῦτο γὰρ κἀμοὶ λέγει· ἵνα μὴ ἀμεριμνῶν ἐποικοδομῶ· εἰδὼς ὅτι τὸ ἔργον ὃ ἐποικοδομῶ, ὁποῖόν ἐστι, τὸ πῦρ αὐτὸ δοκημάσει ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· φροντίζω δὲ μήποτε ἐποικοδομῶν, ξύλα, χόρτον, καλάμην, ἐποικοδομήσω· ἐὰν γὰρ προσαγάγω ψυχὰς ἀκρίτως τῇ ἐκκλησίᾳ φαύλας, προσήγαγον τῷ καλῷ θεμελίῳ Χριστοῦ Ἰησοῦ ξύλα· ἄλλους χόρτον, καὶ ἄλλους καλάμην· ὥσπερ πάλιν ἐάν τινες διαλάμψωσιν ἐκ τῆς οἰκοδομῆς· καὶ τοσοῦ-

τον διαλάμψουσιν ὥστε εὑρεθῆναί τινας ἀνάλογον τοῖς γεγραμμένοις περὶ τῆς Ἱερουσαλὴμ καὶ τοῦ ναοῦ· λίθους ἐκλεκτοὺς, καὶ λίθους κρυστάλλου, καὶ λίθους σαφείρου· καὶ λίθους ὅσους ὠνόμασεν ἐκεῖ, δῆλον ὅτι ἐπῳκοδόμησα τῷ θεμελίῳ λίθους τιμίους· καὶ ἐπειδὴ[r] τὸν νάον τοῦ Θεοῦ καὶ τὴν οἰκοδομὴν καὶ χρυσίον ἔχειν, ὥσπερ ὁ ναὸς ὃν Σολομῶν ᾠκοδόμησεν σύμβολον ναοῦ ἔχοντος χρυσὸν καὶ ἄργυρον πολύν· ἐὰν ἄλλος τις ἔλθῃ ἐποικοδομούμενος, τιμιώτερος ἀργυρίου εὑρεθείη ἂν χρυσός. εὐλαβουμένος δὲ ἐγὼ μήποτε δι' ἐμοῦ ξύλον εἰσέλθῃ καὶ χόρτος καὶ καλάμη· καὶ ὁ ταλαίπωρος ἐγὼ κἂν ἄλλως κριθῶ ἄξιος σωτηρίας· ἐπεὶ γέγραπται "αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός." οὕτως σωθῇ, ὡς αἴτιος γενόμενος τῷ μὴ κεχωρηκέναι τὴν χάριν· μὴ δὲ καλῶς ᾠκοδομηκέναι, τοῦ τὴν οἰκοδομίαν πεπληρωκέναι ξύλων, χόρτου, καλάμης· ὥσπερ οὐ βούλεται ὁ λόγος τοῦ Θεοῦ· "τὸ γὰρ ἔργον ὁποῖόν ἐστιν ἑκάστου, τὸ πῦρ δοκιμάσει."

Θέλω δὲ καὶ ἄλλως ἀπογράψασθαι· "τὸ θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός," καὶ τὰ ἑξῆς. ἐξ οὗ ὁ Κύριός μου Ἰησοῦς Χριστὸς ἐπεδήμησεν· οὕτως θεμέλιος εἰς τὸν κόσμον κεκήρυκται· καὶ τοῦτον τὸν θεμέλιον ἐν μὲν τῇ Ἰουδαίᾳ οἱ Ἀπόστολοι ἔθηκαν· ἐν δὲ τοῖς ἔθνεσιν ὁ Ἀπόστολος τῶν ἐθνῶν καὶ ὁ συνεργὸς αὐτοῦ Βαρνάβας. "δεξιὰς γὰρ ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας· ἵνα ἡμεῖς εἰς τὰ ἔθνη· αὐτοὶ δὲ εἰς τὴν περιτομήν."

Κηρυχθέντος τοίνυν Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ Λόγου· καὶ τοῦ θεμελίου τούτου καταβληθέντος· οὐδεὶς δύναται ἄλλον θεμέλιον θεῖναι παρὰ Ἰησοῦν Χριστόν. οἱ δὲ ἐποικοδομοῦντες, εἰ μὲν ὀρθοδοξοῦσι διὰ τῶν ἰδίων δογμάτων καὶ τῶν θείων νοημάτων καὶ τῶν καλῶν λόγων καὶ τῶν ἱερῶν πράξεων, ἐποικοδομοῦσι τῷ θεμελίῳ χρυσὸν, ἄργυρον, λίθον τιμίον· χρυσὸς γὰρ πολλάκις τετήρηται, ἀντὶ νοῦ λαμβανόμενος καὶ νοημάτων· εἰ λέγω καλῶς, ἐποικοδομῶ ἄργυρον· εἰ διηγοῦμαι δεόντως, καὶ εἰς πολιτείαν προτρέπω καλῶς τοὺς ἀκροατὰς, λίθους τιμίους ἐποικοδομῶ. ὅσοι μέντοι γε τῶν διδασκόντων Ἰησοῦν Χριστὸν ἐσφάλησαν τῆς ἀληθείας· ἐπῳκοδόμησαν τῷ θεμελίῳ, ξύλα, χόρτον, καλάμην· καὶ εἴποιμι ἄν,

[r] Fors. ἐπεὶ δεῖ.

ὅτι οἱ ἀπὸ τῶν αἱρέσεων πάντες, οἱ μὲν βλασφημότεροι, ξύλα· οἱ δὲ ἔλαττον ἁμαρτήσαντες ἐν τῇ διδασκαλίᾳ, χόρτον· οἱ δὲ ἰσχνά τινα, καὶ ἵν' οὕτως ὀνομάσω ἐλάττονα, καλάμην.

Φέρε δὲ καὶ κατὰ τὸ ῥητὸν εἴδωμεν. τοῦτο τὸ λεχθησόμενον, ἑνὸς ἑκάστου ἡμῶν ἅπτεται· ἕκαστος ἡμῶν παραδεξάμενος τὸν λόγον τοῦ εὐαγγελίου, παρεδέξατο Ἰησοῦν Χριστὸν θεμέλιον· ἵν' ἐν πᾶσιν οἷς πράττει καὶ λέγει καὶ διανοεῖται, ἐποικοδομεῖ τούτῳ τῷ θεμελίῳ. εἰ μὲν οὖν καλὰ νοοῦμεν καὶ διανοούμεθα, ἐποικοδομοῦμεν χρυσόν· εἰ ἁγνῶς λέγοντες πάντα λόγον λεγόμενον ἁγίως λέγομεν, ἐποικοδομοῦμεν ὡς ἀργύριον· εἰ πᾶσαν πρᾶξιν ἣν πράττομεν, καλή ἐστιν· ἐποικοδομοῦμεν ὡς λίθον τίμιον. τὴν δὲ τιμὴν τῶν λίθων καὶ τὴν ποιότητα ὁ Θεὸς κρίνει. εἰ μέντοι γε ἁμαρτάνω μετὰ τὸν θεμέλιον· τὰ μὲν μεγάλα μοι τῶν ἁμαρτημάτων, ξύλα ἔσται· τὰ δὲ ὑποδεέστερα, χόρτος· τὰ δὲ ἔτι ὑποδεέστερα, καλαμή. καὶ ζητῶ μήποτε αἱ μὲν ῥίζαι καὶ τὰ νοήματα, ὅτ' ἂν ἦν ἐσφαλμένα, ξύλα ἐστί· πηγὴ γάρ ἐστι τῶν κακῶν τὰ νοήματα. οἱ δὲ λόγοι, χόρτος· ἡ δὲ πρᾶξις, ἡ καλάμη· ὑποδεέστερα γάρ ἐστι τῇ ἀξίᾳ τῆς πράξεως, παρὰ τὸν λογισμόν, “ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων ἕν εἰσιν.

Κυρίλλου. Ἐπειδὴ οἶκον ὠνόμασεν Θεοῦ τοὺς πεπιστευκότας, θεμέλιον εἰκότως ὀνομάζει Χριστόν· αὐχεῖ δὲ ὁ Παῦλος τὸ πρῶτος εἶναι τῶν ἄλλων· καὶ οἱόν τις ἀπαρχὴ τῶν εὐαγγελισαμένων αὐτοῖς τοῦ Χριστοῦ μυστήριον· ὅς ἐστι θεμέλιος ἀκατάσειστος, ἀνέχων τοὺς ἐποικοδομουμένους αὐτῷ, καὶ ναοὺς ὑποφαίνων, συναρμολογουμένους τε ἀλλήλοις διὰ τῆς πίστεως καὶ τῇ τοῦ Ἁγίου Πνεύματος χάριτι συμβαίνοντος εἰς ὁμοψυχίαν. περὶ τούτου τοῦ θεμελίου ἔφασκεν ὁ Θεὸς καὶ Πατὴρ διὰ προφήτου· “ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ, ἀκρογωνιαῖον, ἔντιμον, εἰς τὰ θεμέλια αὐτῆς· καὶ ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ μὴ καταισχυνθῇ.” τεθεικέναι τοίνυν ὁ Παῦλος εὖ μάλα φησὶ τὸν θεμελίον αὐτός· καὶ δύνασθαι μὲν ἑτέρους ἐπεργάζεσθαί τε καὶ οἰκοδομεῖν· οὐ μὴν ἔτι καταθεῖναι καὶ ἕτερον παρὰ τὸν ἤδη κείμενον· “οὐ γάρ ἐστιν ἕτερον ὄνομα ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς.” “εἷς γὰρ Θεὸς καὶ Πατήρ, ἐξ οὗ τὰ πάντα· καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς Κύριος

“ Ἰησοῦς Χριστὸς δι’ οὗ τὰ πάντα· καὶ ἡμεῖς δι’ αὐτοῦ· καὶ αὐ- “ τός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας.” εἴτις οὖν ἀρνεῖται τὸν θεμέλιον, καὶ παραιτεῖται τὴν πέτραν· οὐκ οἰκοδομεῖ ἐπ’ αὐτῇ, ἀλλ’ εἰς τὴν ἄμμον· ταύτῃ τοι καὶ λίαν εὐκόλως κατασεισθήσεται· ὃ γὰρ μὴ ἀνέχῃ Χριστός· τοῦτο δὴ πάντως κινηθήσεται, οὐχ ἑδραίαν ἔχων τὴν στάσιν.

Θεοδωρίτου. Κατὰ τὴν ὑπουργίαν· ἀμφότεροι γὰρ τῷ θείῳ διακονοῦσι βουλήματι· οὐ μὴν κατὰ τὸ ἔργον, ἢ κατὰ τὴν προθυμίαν· ἐν γὰρ τούτοις πολλὴ ἡ τῶν διακονούντων διαφορά· τοῦτο γὰρ καὶ αὐτὸς φησὶν, “ ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λήψεται κατὰ “ τὸν ἴδιον κόπον·” “ Θεοῦ γὰρ ἐσμὲν συνεργοί.” οἱ τὰ Ἀρείου καὶ Εὐνομίου φρονοῦντες οὐδὲ τῷ Υἱῷ ταύτης τῆς προσηγορίας μετέδοσαν, ἀλλ’ ὑπουργὸν αὐτὸν ὀνομάζουσιν. ὁ δὲ θεῖος Ἀπόστολος καὶ τοὺς κήρυκας τῆς ἀληθείας συνεργοὺς προσαγορεύει Θεοῦ· ἀλλὰ πολὺ τὸ διάφορον. ὁ μὲν γὰρ ὡς Υἱὸς συνεργεῖ· οἱ δὲ ὡς σύνδουλοι, τοῦ Θεοῦ πληροῦσι τὸ βούλημα· “ θεμέλιον γὰρ ἄλλον “ οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον· ὅς ἐστιν Ἰησοῦς Χρι- “ στός.” ἐποικοδομεῖν δεῖ, οὐ θεμέλιον καταβάλλειν· τοῦτον γὰρ ὁ μακάριος Πέτρος τέθεικεν τὸν θεμέλιον, μᾶλλον δὲ ὁ δεσπότης Χριστός· Πέτρου γὰρ εἰρηκότος, “ σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ “ Θεοῦ τοῦ ζῶντος·” ὁ Κύριος εἶπεν, “ ἐπὶ ταύτῃ τῇ πέτρᾳ “ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν.” μὴ τοίνυν ἐξ ἀνθρώπων ἑαυτοὺς ὀνομάζετε· Χριστὸς γάρ ἐστιν ὁ θεμέλιος· “ εἰ δέ τις “ ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον” καὶ τὰ ἑξῆς· τινὲς περὶ δογμάτων εἰρῆσθαι ταῦτα τῷ Ἀποστόλῳ φασίν· ἐγὼ δὲ οἶμαι περὶ τῆς πρακτικῆς ἀρετῆς τε καὶ κακίας ταῦτα λέγειν αὐτὸν, καὶ προκατασκευάζειν τὴν κατὰ τοῦ πεπορνευκότος κατηγορίαν· ταῦτα δὲ οὐ τῆς τῶν διδασκάλων κακίας· ἀλλὰ τῆς τῶν μαθητῶν ἐξήρτηται προαιρέσεως· τὴν δὲ τῶν ὅλων διαφορὰν οὐχ ὁ παρὼν βίος, ἀλλ’ ὁ μέλλων ἐλέγξει.

Τοῦ αὐτοῦ. Οἱ διδάσκαλοί, φησι, τὰ θεῖα παιδεύουσιν· οἱ δὲ ἀκούοντες κατὰ τὸ τῆς γνώμης ἀνθαίρετον τὸ πρακτέον αἱροῦνται· ἀλλὰ κατὰ τὴν τῆς ἐπιφανείας ἡμέραν, βάσανός ἐστιν καὶ ἐξέτασις ἀκριβής· καὶ τοὺς μὲν εὖ βεβιωκότας, καθάπερ χρυσὸν καὶ ἄργυρον τὸ πῦρ λαμπροτέρους ἀποφαίνει· τοὺς δὲ τῆς κακίας

ἐργάτας, δίκην ξύλου καὶ χόρτου καὶ καλάμης καταναλώσει· ὁ δέ γε διδάσκαλος τὰ προσήκοντα διδάξας, οὐκ εἰσπραχθήσεται δίκας, ἀλλὰ τῆς σωτηρίας ἀξιωθήσεται· τοῦτο γὰρ λέγει, αὐτὸς δὲ σωθήσεται, τουτέστιν ὁ διδάσκαλος· τὸ δὲ ἔργον κατακαήσεται· ἀντὶ τοῦ οἱ πονηρὸν ἑαυτοῖς κατασκευάσαντες ἔργον. οὕτω δὲ ἀναγνόντες ἀκριβῶς, εὑρήσομεν τὴν τῶν γραμμάτων διάνοιαν· "εἴ "τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται· οὕτως δὲ, ὡς διὰ "πυρός·" αὐτὸς γὰρ σωθήσεται, τοῦτ' ἐστιν ὁ διδάσκαλος· οὐ γὰρ αἴτιος τῆς τούτων ἐπὶ τὸ χεῖρον ῥοπῆς· αὐτὸς γὰρ τὴν προσήκουσαν διδασκαλίαν προσήνεγκεν· εἰ δέ τις οὐ βούλεταί τι διὰ πυρὸς τῷ ἔργῳ προσαρμόσαι, ἀλλὰ τῷ διδασκάλῳ ουτ [a]

Ὑπὲρ μὲν ἐκείνων εἰσπραχθήσεται δίκας· σωθήσεται δὲ, διὰ πυρὸς καὶ αὐτὸς δοκιμαζόμενος· εἴπερ ἄρα ἔχει τὸν βίον τῇ διδασκαλίᾳ κατάλληλον· ὅτι δὲ οὐ περὶ δογμάτων ἀλλὰ περὶ ἔργων ταῦτα εἴρηται, καὶ τὰ ἐπαγόμενα μαρτυρεῖ· "οὐκ οἴδατε ὅτι "ναὸς Θεοῦ ἐστε," καὶ τὰ ἑξῆς.

Σευηριανοῦ. Οὐ τῆς κτίσεως λέγεται θεμέλιος ὁ Χριστὸς, ὡς ψευδόμενοι οἱ Ἀρειανοὶ διϊσχυρίζονται, ἀλλὰ τῆς πίστεως· ἐκηρύχθη γὰρ ὁ Χριστός· καὶ πᾶσα ἡ οἰκοδομὴ ἐπὶ τοῦτον γίνεται τὸν θεμέλιον· καὶ οἱ μὲν διδάσκοντες μίαν πίστιν κηρύττουσιν· καὶ τὸν εὐαγγελικὸν βίον καταγγέλλουσιν· ἡμῶν δέ ἐστιν ἑαυτοὺς ἢ λίθους ποιεῖν τιμίους, ἢ ξύλα ἢ χόρτον ἢ καλάμην· ὅτ' ἂν οὖν εἴπῃ, "ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ·" οὐ κατὰ τὸν βίον· ἀλλὰ κατὰ τί; "θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν "κείμενον·" ὁ διδάσκων τὸν Χριστὸν καταγγέλλει καὶ τὰ παραγγέλματα αὐτοῦ δίδωσι· λοιπόν ἐστι ἀφομοιωθῆναι ἢ χρυσῷ διὰ τὴν καθαρότητα· ἢ χόρτῳ διὰ τὴν ἀσθένειαν· ἐὰν οὖν παραγγέλλῃ ὅτι "ἕκαστος βλεπέτω" καὶ τὰ ἑξῆς, πρὸς τοὺς βουλομένους ἐπονομάζεσθαι ἀπὸ τῶν βαπτιζόντων ἢ διδασκόντων· εἴ τινος τὸ ἔργον μένει ὃ ἐπωκοδόμησεν· ὁρᾷς ὅτι καλὸν οἰκοδομεῖ ὁ οἰκοδομῶν, ἐκεῖνο δὲ οὐ μένει κατὰ μεταβολὴν ἐνίοτε χείρονος προαιρέσεως· "εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται· αὐτὸς δὲ σωθή-"σεται· οὕτως δὲ ὡς διὰ πυρός·" ὑπερβατόν ἐστιν· οὕτως γὰρ ἀναγνωστέον· εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται·

[a] Cætera desunt.

οὕτως δὲ ὡς διὰ πυρός· ἀντὶ τοῦ οὕτως κατακαυθήσεται καὶ ζημιωθήσεται ὡς διὰ πυρός· αὐτὸς μέντοι σωθήσεται· οὐ γὰρ παρ' αὐτὸν γεγένηται ἡ ἐπὶ τὸ χεῖρον παρατροπή.

Θεοδώρου. Τὰ κάλλιστα τῶν διδαγμάτων οὐ συγκαταλύεται τῷ παρόντι βίῳ. μένει δὲ λαμπρότερα ἐπὶ τῶν ἔργων τότε δεικνύμενα· ὃς ἂν οὖν ταῦτα διδάσκει, φησὶν, ἃ καὶ τότε δύναται μένειν μειζόνως, τοῦ δεσπότου φανέντος Κυρίου, κομιεῖται τὸν ὑπὲρ τούτων πάντως μισθόν· ὃς δ' ἂν τὰ ἐναντία διδάσκει, φησὶν, ἄχρι μὲν τοῦ παρόντος βίου δύναται πῶς κρατεῖν· ἀφανίζεται δὲ πάντως τῷ τῆς συντελείας καιρῷ· οὐ μόνον ζημιοῦται τῶν ἐνταῦθα πόνων τὸν μισθὸν, ὃν ἠδύνατο καρποῦσθαι, πονεῖν ὑπὲρ τῶν καλλίστων αἱρούμενος, ἀλλὰ καὶ ἂν σώζηται διά τινα ἑτέραν αἰτίαν σώζειν αὐτὸν δυναμένην[t], οὐ διαφυγὼν τὴν διὰ πυρὸς ἐξέτασιν, ἣν ὑποσχεῖν αὐτὸν ὑπὲρ τῶν χειρίστων ἀνάγκη διδαγμάτων· τοῦτο γὰρ λέγει τὸ "οὕτως δὲ ὡς διὰ πυρός."

Ἰωάννου. Σοφὸν ἑαυτὸν ἐκάλεσεν ἐνταῦθα, οὐκ ἐπαίρων ἑαυτὸν, ἀλλὰ τύπον αὐτοῖς διδοὺς, καὶ δεικνὺς ὅτι τοῦτό ἐστι σοφοῦ τὸ ἕνα θεῖναι θεμέλιον. ὅρα γοῦν πῶς μετριάζει· ὅλον γὰρ ἑαυτὸν πρότερον ἀναθεὶς τῷ Θεῷ· τότε ἑαυτὸν οὕτως ἐκάλεσεν· "κατὰ γὰρ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι" φησίν· ὁμοῦ γὰρ δείκνυσιν, ὅτι καὶ τὸ πᾶν ἐστι τοῦ Θεοῦ· καὶ ὅτι τοῦ Θεοῦ τοῦτο μάλιστά ἐστιν χάρις, τὸ μὴ διῃρῆσθαι· ἀλλ' ἐφ' ἑνὶ κεῖσθαι θεμελίῳ· ἄλλως δὲ ἐποικοδομεῖ· "ἕκαστος δὲ βλεπέτω "πῶς ἐποικοδομεῖ· ἐνταῦθά μοι δοκεῖ εἰς τὸν περὶ τῆς πολιτείας λοιπὸν αὐτοὺς ἐμβάλλειν ἀγῶνα· ὃ δὲ λέγει, τοῦτό ἐστιν· κατήγγειλα τὸν Χριστόν· παρέδωκα ὑμῖν τὸν θεμέλιον· σκοπεῖτε, πῶς ἐποικοδομεῖτε· εἰ κενοδόξως· εἰ πρὸς ἀνθρώπους ἀποσπῶντες μαθητάς· "εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον," καὶ τὰ ἑξῆς.

Οὐ μικρὸν ἡμῖν τὸ προκείμενον ζήτημα ἐντεῦθεν, ἀλλὰ καὶ περὶ τῶν σφόδρα ἀναγκαίων, καὶ ὧν ἅπαντες ζητοῦσι ἄνθρωποι· εἰ τέλος ἔχει τὸ τῆς γεέννης πῦρ· ὅτι μὲν γὰρ οὐχ οὕτως ἔχει· ὁ Χριστὸς ἀπεφήνατο λέγων· "τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ "ὡς κώληξ αὐτῶν οὐ τελευτήσει" καὶ ὁ Παῦλος δὲ δεικνὺς ἀθάνατον τὴν κόλασιν φησὶν, "οἱ ἁμαρτάνοντες, δίκην τίσουσιν ὀλέθριον,

[t] δυναμένων Cod.

“ αἰώνιον·” ἐπειδὴ δοκεῖ τισι τὸ τοῦ Παύλου τοῦτο ῥῆμα ἀντιπίπτειν· φέρε καὶ αὐτὸ καταμάθωμεν ἀγαγόντες εἰς μέσον. περὶ πράξεων ὁ λόγος τῷ Παύλῳ· μέγα γὰρ τὸν θεμέλιον καὶ τὴν πίστιν, οἰκοδομῆς χρεία· διὸ καὶ ἀλλαχοῦ λέγει, “ οἰκοδομεῖτε ἀλλήλους ἐν “ τοῖς λόγοις τούτοις.” πίστις μὲν γὰρ οὐκ ἔστιν, ἡ μὲν ἐλάττων, ἡ δὲ βελτίων· ἀλλ᾽ ἡ αὐτῶν πάντων τῶν ἀληθῶς πιστευόντων. ἐπεὶ δὲ βίους ἔστιν τοὺς μὲν σπουδαιοτέρους εἶναι· τοὺς δὲ ῥαθυμοτέρους· καὶ τοὺς μὲν ἀκριβεστέρους, τοὺς δὲ καταδεεστέρους· καὶ τοὺς μὲν χαλεπώτερα· τοὺς δὲ καταδεεστέρα πεπλημμεληκέναι· διὰ τοῦτο εἶπεν, χρυσίον, ἀργύριον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην. εἴ τις οὖν, φησὶ, βίον κακὸν ἔχει μετὰ πίστεως ὀρθῆς· οὐ προστήσεται αὐτοῦ ἡ πίστις εἰς τὸ μὴ κολάζεσθαι, τοῦ ἔργου κατακαιομένου· τὸ δὲ κατακαήσεται, τοῦτ᾽ ἔστιν, οὐκ οἴσει τοῦ πυρὸς τὴν ῥύμην· ἀλλ᾽ ὥσπερ εἴ τις χρυσᾶ ἔχων ὅπλα ποταμὸν διέλθοι πυρὸς, φαιδρότερος διαβαίνει· εἰ δὲ χόρτον ἔχων διέλθοι, οὐ μόνον οὐδὲν ὀνίνησιν, ἀλλὰ καὶ ἑαυτὸν ἀπόλλυσιν· οὕτως καὶ ἐπὶ τῶν ἔργων ἐστίν· οὐ γὰρ ὡς περὶ ἐνυποστάτων διαλεγόμενος καὶ ἰδίᾳ καιομένων τοῦτο λέγει· ἀλλὰ τὸν φόβον μᾶλλον ἐπιτεῖναι θέλων, καὶ δεῖξαι γυμνὸν ἀσφαλείας τὸν ἐν κακίᾳ ὄντα· διὸ καὶ ἔλεγεν ζημιωθήσεται· τὸ δὲ “ αὐτὸς “ δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός·” τουτέστιν οὐχὶ καὶ αὐτὸς οὕτως ἀπολεῖται ὥσπερ τὰ ἔργα εἰς τὸ μηδὲν χωρῶν, ἀλλὰ μενεῖ ἐν τῷ πυρί· σωτηρίαν οὖν τὸ πρᾶγμα καλεῖ, φησίν· ἀλλὰ διὰ τοῦτο προσέθηκεν, “ ὡς διὰ πυρός·” καὶ γὰρ ἡμῖν ἔθος λέγειν ἐν τῷ πυρὶ σώζεται περὶ τῶν μὴ κατακαιομένων καὶ τεφρωμένων εὐθέως ὑλῶν· οὕτως οὖν καὶ ἐνταῦθα εἰπὼν “ σωθήσεται·” οὐδὲν ἕτερον ἢ τὴν ἐπίτασιν τῆς τιμωρίας ἠνίξατο· ἔθος γὰρ αὐτῷ καὶ ἐπὶ τῶν κακεμφάτων καλοῖς ὀνόμασι κεχρῆσθαι· καὶ ἐπὶ τῶν χρηστῶν τοῖς ἐναντίοις· οἷον τὸ τῆς αἰχμαλωσίας ὄνομα πονηροῦ πράγματος εἶναι δοκεῖ ὄνομα· ἀλλ᾽ ἐπὶ καλῷ Παῦλος αὐτῷ κεχρῆται λέγων, “ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ “ Χριστοῦ·” καὶ ἐπὶ κακῷ πάλιν, εὐφήμῳ ὀνόματι κέχρηται λέγων. “ ἐβασίλευσεν ἡ ἁμαρτία” καίτοι γε τὸ τῆς βασιλείας ὄνομα, εὐφημίας ἐστὶ μᾶλλον· οὕτω καὶ ἐνταῦθα εἰπὼν “ σωθήσεται·” οὐδὲν ἕτερον ἢ τὴν ἐπίτασιν τῆς τιμωρίας ἠνίξατο. ὡσανεὶ ἔλεγεν,

αὐτὸς δὲ μενεῖ διηνεκῶς κολαζόμενος· ὅθεν δηλονότι περὶ πράξεων ὁ λόγος· ἐπειδὴ γὰρ μέλλει λοιπὸν πρὸς τὸν πεπορνευκότα ἀποτείνεσθαι· ἄνωθεν καὶ πρὸ πολλοῦ καταβάλλεται τὰ προοίμια· διασαλεύων ἤδη τῷ φόβῳ τὴν ψυχὴν αὐτοῦ.

Οἰκουμενίου. *Ἆρα μὴ καὶ οὕτως δυνάμεθα νοῆσαι· οἱ μὲν οἰκοδομήσαντες τὴν εὐκατάπρηστον ὕλην τέλεον ἐκβέβληνται· ἐζημίωνται γὰρ αὐτῶν πάντα τὰ σπουδάσματα· "αὐτὸς δὲ σωθή-" "σεται·" αὐτὸς τίς; ὁ ἐποικοδομήσας τὸν χρυσὸν, καὶ τὸν ἄργυρον καὶ τοὺς τιμίους λίθους· εἰπὼν γὰρ περὶ αὐτοῦ ὅτι μισθὸν λήψεται, νῦν λέγει ποῖον μισθόν· τὴν σωτηρίαν· τουτέστιν σωθήσεται δέ γε ἐπωδύνως καὶ αὐτός· καὶ ὡς εἰκὸς τὸν διὰ πυρὸς παριόντα καὶ ἐκκαθαιρόμενον, τὸν ἐνόντα αὐτῷ βραχὺν ῥύπον· Θεοῦ γὰρ μόνου τὸ τελέως ἀναμάρτητον· οἱ δὲ ἄνθρωποι κἂν ὅτι μάλιστά εἰσι δίκαιοι, οὐ τέλεον εἰσὶ καθαροί. εἴρηται γὰρ "ὅτι" "πολλὰ πταίομεν ἅπαντες·" καὶ "οὐδεὶς καθαρὸς ἀπὸ ἁμαρτίας·" "οὐδ' ἂν μία ἡμέρα ὁ βίος αὐτοῦ." καὶ γὰρ καὶ εἴρηται τῷ Μαλαχίᾳ· "ὅτι ὡς πῦρ ἐν χωνευτηρίῳ καὶ ὡς πόαν πλυνόντων" "πλυνεῖ καὶ καθαρίσει ὁ Θεὸς τινάς."*

Φωτίου. *Τὸ "σωθήσεται·" τουτέστιν οὐκ ἀφανισθήσεται· οὐδὲ εἰς τὸ μὴ ὂν χωρήσει, ὥσπερ αἱ πράξεις αὐτοῦ αἱ πονηραί· αὗται γὰρ μέχρι μὲν τοῦ καιροῦ ἐκείνου τὴν ὕπαρξιν ἐδόκουν ἔχειν, καὶ ἐπράττοντο· ἐλθούσης δὲ τῆς ἡμέρας ἐκείνης καὶ τοῦ πυρὸς, αὗται μὲν φροῦδοι γεγόνασι, μήτε εἶναι μήτε πράττεσθαι δυνάμεναι· ὁ μέντοι καταπραξάμενος αὐτὰς ἄνθρωπος, οὐ συναναιρεῖται ταύταις καὶ συναφανίζεται· ἀλλὰ μένει καὶ σώζεται, τὴν διὰ πυρὸς δίκην τιννύς· διὰ τοῦτο γὰρ καὶ εἰπὼν σωθήσεται· τουτέστιν εἰς τοῦτο μένει καὶ σώζεται· εἰς τὸ διὰ πυρὸς τὸν αἰῶνα κολάζεσθαι.*

16 Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ
17 Θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει,
φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός
18 ἐστιν, οἵτινές ἐστε ὑμεῖς. μηδεὶς ἑαυτὸν ἐξαπατάτω· εἴ
τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν, ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς
19 γενέσθω, ἵνα γένηται σοφός. ἡ γὰρ σοφία τοῦ κόσμου

τούτου, μωρία παρὰ τῷ Θεῷ ἐστί. γέγραπται γάρ, Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν. καὶ πάλιν, Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι.

Ὠριγένους. Εἰ θέλεις ἀληθινὸν ναὸν τοῦ Θεοῦ μαθεῖν· ζήτει λίθους ζῶντας καὶ καθαροὺς λελατομημένους, ὑπὸ τοῦ λόγου βεβηκότας καὶ ἑστῶτας τετραγώνους, μηδὲν ἔχοντας ἄστατον, μηδὲ κυλιόμενον· εἰ γὰρ καὶ λίθοι ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς· ἀλλ' οἱ λατόμοι οὐκ ἐῶσιν αὐτοὺς μέχρι τέλους κυλίεσθαι· ὑμεῖς οὖν ὡς λίθοι ζῶντες, οἰκοδομεῖσθε οἶκος πνευματικὸς εἰς ἱεράτευμα ἅγιον, ἀνενέγκαι πνευματικὰς θυσίας εὐπροσδέκτους Θεῷ διὰ Ἰησοῦ Χριστοῦ. καὶ παρὰ τῷ Ἀποστόλῳ δὲ λέγεται, ὅτι ἐσμὲν ναὸς οἱ πάντες εἷς· ἑκάστου ἡμῶν λίθου τινὸς ὄντος ἀπὸ τοῦ ναοῦ· φησὶ δὲ οὕτως ἐν τῇ πρὸς Ἐφεσίους· "ἄρα οὐκ ἐστὲ ξένοι καὶ "πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων, καὶ οἰκεῖοι τοῦ Θεοῦ· "ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ τῶν προ-"φητῶν· ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ, ἐν ᾧ πᾶσα "οἰκοδομὴ συναρμολογουμένη, αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ· ἐν "ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν "Πνεύματι."

Δεῖ οὖν μηδένα λίθον ἀνάρμοστον εἶναι τῇ οἰκοδομῇ· "ἐὰν γὰρ "δύο," φησί, "συμφωνήσωσιν ἐξ ὑμῶν ἐπὶ τῆς γῆς περὶ παντὸς "πράγματος οὗ ἐὰν αἰτήσωνται· γενήσεται αὐτοῖς παρὰ τοῦ "Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς·" πόσῳ οὖν πλέον, ἐὰν πάντες οἱ λίθοι συμφωνήσωσιν εἰς μίαν ἁρμονίαν, καὶ γένηται πάντων ἡ καρδία καὶ ἡ ψυχὴ μία, ἡ εὐχὴ αὐτῶν δυνήσεται καὶ ἰσχύσει; καλὸν οὖν ἐστι τὸ αὐτὸ λέγειν πάντας ἡμᾶς· ἵνα ὦμεν κατηρτημένοι ἐν τῷ αὐτῷ νοῒ καὶ τῇ αὐτῇ γνώμῃ. οὕτως γάρ ἐστε οἰκοδομὴ συναρμολογουμένη εἰς ναὸν ἅγιον ἐν Κυρίῳ.

Δύναται δὲ καὶ ἕκαστος ἡμῶν καθ' ἑαυτὸν εἶναι ναὸς ἑτέρῳ λόγῳ. εἰ γὰρ ναός ἐστιν ὁ ἔχων δόξαν Θεοῦ· πᾶς ὁ ἔχων ἐν ἑαυτῷ δόξαν Θεοῦ ναός ἐστι κατὰ τοῦτο τοῦ Θεοῦ· δόξαν δὲ ἔχει πλείονα ἢ ἐλάττονα, ὁ ποιῶν δοξάζεσθαι τὸ ὄνομα τοῦ ἐν τοῖς οὐρανοῖς Πατρὸς διὰ τὰς πράξεις αὐτοῦ. διὸ γέγραπται, "τοὺς

“ δοξάζοντάς με δοξάσω·” τότε οὖν μάλιστα ἐσόμεθα ναὸς Θεοῦ· ἐὰν χωρητικοὺς ἑαυτοὺς κατασκευάσωμεν τοῦ Πνεύματος τοῦ Θεοῦ· οὐ δύναται μέντοι γε ἔχων τις πνεῦμα ἁμαρτίας τινὸς εἶναι ναὸς Θεοῦ· ἐπειδήπερ τὸ Πνεῦμα τοῦ Θεοῦ μόνον οἰκεῖ ἐν ᾧ κρίνει κατοικεῖν. “ εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει· φθερεῖ τοῦ- “ τον ὁ Θεός·” τὸ ὅσον ἐφ᾽ αὐτῷ ἕκαστος κἂν λίθος ᾖν, φθείρει τὸν ναὸν τοῦ Θεοῦ ἁμαρτήσας· καὶ ὁ σκάνδαλον δέ τι παρέχων τῇ Ἐκκλησίᾳ, φθείρει τὸν ναὸν τοῦ Θεοῦ· κυριώτερον δὲ φθείρει τὸν ναὸν τοῦ Θεοῦ, ὁ πορνεύων, ἐπειδήπερ τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν Ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ τοῦ Θεοῦ· λέγεται οὖν ἄφθορος ὁ καθαρός· ἐφθαρμένη δὲ ἡ μηκέτι παρθένος, ὡς δὴ τοῦ ἔργου τούτου μόνου φθείροντος. εἴπερ οὖν τοῦτο ἔργον φθορᾶς ἐστιν· τοῦτο μάλιστα φυλαξώμεθα· ἐπεὶ καὶ ὁ Κύριος μετὰ πάντων τῶν ἀγαπώντων τὸν Θεόν ἐστιν ἐν ἀφθαρσίᾳ. Καὶ ταῦτα μὲν ἰδίαν ἔσχεν περιγραφήν.

Ἐπειδὴ δὲ Κορίνθιοι μέγα ἐφρόνουν ἐπὶ τῇ τοῦ κόσμου σοφίᾳ· διὰ τοῦτο φησὶ πρὸς αὐτούς· “ εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν·” οὐχὶ εἴ τις σοφός ἐστιν· ἀλλὰ “ δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν· ἐν τῷ αἰῶνι “ τούτῳ μωρὸς γενέσθω·” οὐκ εἶπεν ἁπλῶς μωρός· ἀλλ᾽ “ ἐν τῷ αἰῶνι “ τούτῳ·” ὡς γὰρ πρὸς τὸν αἰῶνα τοῦτον μωροὺς ἡμᾶς λέγουσιν, μωρὸς οὖν γενέσθω ἐν τῷ αἰῶνι τούτῳ· ἵν᾽ ἐκ τοῦ τῷ αἰῶνι τούτῳ μωρὸς γεγονέναι, γένηται ἀληθῶς σοφός· “ ἡ γὰρ σοφία τοῦ “ κόσμου τούτου, μωρία παρὰ Θεῷ ἐστιν·” πῶς γὰρ οὐ μωρὸς, ὁ μὴ λέγων μὴ εἶναι πρόνοιαν, ἢ ἐξ ἀτόμων καὶ κενοῦ τὰ πάντα συνεστηκέναι; ἢ τὴν ἡδονὴν τέλος εἶναι τῶν ἀγαθῶν; καὶ τἆλλα λέγων ὅσα τῆς ἔξω καὶ δοκούσης σοφίας ὕθλοι καὶ λῆροι τυγχάνουσιν· οὗτος γὰρ ἀληθῶς μωρός ἐστιν· καὶ ταῦτα τὰ δόγματα μωρία εἰσίν· καὶ ἅπαξ ἁπλῶς πᾶσαν Ἑλληνικὴν καὶ βαρβαρικὴν ἐξετάζων φιλοσοφίαν, ἐρεῖς ὅτι ἐν οἷς διαφωνεῖ πρὸς τὴν Χριστοῦ διδασκαλίαν μωρία ἐστίν· γέγραπται γὰρ “ ὁ δρασσόμενος τοὺς “ σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν·” ἐγώ φημι οὐ μέγα πρᾶγμα εἶναι ἐὰν ὁ Θεὸς ὡς Θεὸς δράξηται[t] τοὺς σοφοὺς ἐν τῇ παρουργίᾳ αὐτῶν ἐν Παύλῳ τῷ λέγοντι “ ἐν σαρκὶ γὰρ ζῶντες “ οὐ κατὰ σάρκα στρατευόμεθα· τὰ γὰρ ὅπλα τῆς στρατείας

[t] δράξη τε Cod.

“ ἡμῶν οὐ σαρκικά· ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρω-“ μάτων· λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον “ κατὰ τῆς γνώσεως τοῦ Θεοῦ.”

Ἵνα δὲ τοῦτο σαφέστερον νοήσῃς, ἴδε μοι τὸν Παῦλον ἐπιδημήσαντα ταῖς Ἀθήναις καὶ ζητοῦντα πρὸς τοὺς παρατυγχάνοντας ὥστε καί τινας τῶν Ἐπικουρείων καὶ Στοϊκῶν φιλοσόφων συμβαλεῖν αὐτῷ· τότε γὰρ τῇ χάριτι τοῦ Χριστοῦ περιεδράσσετο αὐτῶν, καὶ ἐδείκνυεν αὐτῶν τὰ σοφίσματα· ἐνταῦθα δὲ τοὺς σοφοὺς ὠνομᾶσθαι νομίζω τοὺς σοφιστὰς, ὅσοι σοφίσματα περιπεπλεγμένα λέγουσιν, οὐκ ἀλήθειαν δὲ διδάσκουσιν. καὶ πάλιν· “ Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι·” οὐ θαυμαστὸν ἐὰν ὁ Κύριος καθ’ ἑαυτοῦ γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι· ἀλλὰ θέλω ἐν ἐμοὶ γενόμενον τὸν Κύριον γινώσκειν τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι· ἐὰν γὰρ γένηται ἐν ἐμοὶ Χριστός· δύναταί μοι παραστῆσαι πῶς οἱ διαλογισμοὶ τῶν τοῦ κόσμου σοφῶν εἰσὶ μάταιοι· καὶ πῶς λάμπει ἡ σοφία μόνη τοῦ Θεοῦ, νικῶσα καὶ καταπατοῦσα πᾶσαν δοκοῦσαν σοφίαν.

Σευηριανοῦ. Πάλιν μεταβαίνει ἐπὶ τοὺς θαρσοῦντας τῇ ἑαυτῶν σοφίᾳ· ὅτι δὲ ναοὺς μὲν τοῦ Θεοῦ λέγει τοὺς πιστεύοντας, φθείρειν δὲ τὸν ναὸν τοῦ Θεοῦ λέγει τοὺς λόγοις θαρσοῦντας, τὰ ἑξῆς δηλώσει· “ εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν· ἐν τῷ αἰῶνι “ τούτῳ γενέσθω μωρός·” διὰ τί οὖν φθείρει τὸν ναὸν ὁ θαρσῶν τῇ ἔξωθεν σοφίᾳ; εἰ Θεοῦ ναὸς εἶ, ἐκεῖνον ὀφείλεις ἔχειν διδάσκοντα καὶ ἀποκαλύπτοντα· εἰ δὲ ἀφεὶς τὸν ἐνοικοῦντα, τῇ σῇ συνέσει κέχρησαι· οὐκ ἔτι ναὸν ποιεῖς τὸν ναὸν, ἀλλὰ φθείρεις αὐτόν· “ εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν,” τοῖς πλησσομένοις καὶ βλαπτομένοις ὑπὸ τῆς ἔξωθεν παιδείας. διεστείλατο γὰρ εἰπὼν “ ἐν ὑμῖν.”

Θεοδωρίτου. Ἐπισημήνασθαι προσήκει, ὡς ναοὺς Θεοῦ προσηγόρευσεν τοὺς ἔνοικον ἔχοντας τὴν τοῦ Πνεύματος χάριν· μαρτυρεῖ γὰρ ὁ λόγος, ὅτι Θεὸς τὸ Πανάγιον Πνεῦμα· “ μηδεὶς ἑαυτὸν “ ἐξαπατάτω·” τουτέστιν ἐπ’ εὐγλωττίᾳ μέγα φρονῶν ἢ γένους περιφανείᾳ· τοῦτο γὰρ ἐπάγει, “ εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν,” καὶ τὰ ἑξῆς· σοφίαν τοῦ κόσμου καλεῖ τὴν ἔρημον τῆς τοῦ

Πνεύματος χάριτος· τὴν μόνην τοῖς ἀνθρωπίνοις λογισμοῖς κεχρημένην· ταύτῃ παρεγγυᾷ μὴ θαρρεῖν· ἀλλ' ἐπὶ τῇ καλουμένῃ τοῦ κηρύγματος μωρίᾳ σεμνύνεσθαι.

Ἰωάννου. Ὥσπερ νεκρὸν κελεύει γενέσθαι τῷ κόσμῳ· καὶ ἡ νεκρότης αὕτη οὐδὲν παραβλάπτει, ἀλλὰ καὶ ὠφελεῖ, ζωῆς αἰτία γινομένη, οὕτω καὶ μωρὸν κελεύει τῷ αἰῶνι τούτῳ γενέσθαι, σοφίαν ἡμῖν ἐντεῦθεν τὴν ἀληθῆ προξενῶν· μωρὸς δὲ τῷ κόσμῳ γίνεται, ὁ τὴν ἔξωθεν ἀτιμάζων σοφίαν, καὶ πεπεισμένος μηδὲν αὐτῷ συντελεῖν πρὸς τὴν τῆς πίστεως κατάληψιν. καὶ διατί μὴ εἶπεν ἀποθέσθω τὴν σοφίαν, ἀλλὰ γενέσθω μωρός; ἵνα μεθ' ὑπερβολῆς ἀτιμάσῃ τὴν ἔξωθεν παίδευσιν· ἄλλως τε καὶ παιδεύει μὴ ἐπαισχύνεσθαι τὰ ἡμέτερα ἐν ἰδιωτίᾳ. πάνυ γὰρ καταγελᾷ τῶν ἔξωθεν· διόπερ οὐδὲ τὰ ὀνόματα δέδοικεν· θαρρεῖ γὰρ τῇ τῶν πραγμάτων δυνάμει. ὥσπερ γὰρ ὁ σταυρὸς δοκῶν ἐπονείδιστον εἶναι, μυρίων γέγονεν αἴτιος ἀγαθῶν, καὶ δόξης ὑπόθεσις ἀφάτου καὶ ῥίζα· οὕτω καὶ ἡ δοκοῦσα μωρία εἶναι, σοφίας ἡμῖν αἰτία κατέστη. καθάπερ γὰρ ὁ κακόν τι μεμαθηκὼς, ἂν μὴ τὸ πᾶν ἀπώσηται καὶ λειαίνῃ τὴν ψυχὴν καὶ καθαρὰν παράσχῃ τῷ μέλλοντι γράφειν, οὐδὲν εἴσεται σαφῶς τῶν ὑγιεινῶν· οὕτω καὶ ἐπὶ τῆς ἔξωθεν σοφίας, ἐὰν μὴ τὸ πᾶν ἐξέλῃς καὶ σαρώσῃς σου τὴν διάνοιαν, καὶ ἐξ ἴσης τῷ ἰδιώτῃ παράσχῃς ἑαυτὸν τῇ πίστει· οὐδὲν εἴσῃ[u] γενναιῶν ἀκριβῶς.

Καὶ πῶς ἂν εἴη τὴν σοφίαν ταύτην ἀποθέσθαι, φησὶ, μὴ κεχρημένον αὐτῶν τοῖς δόγμασιν; ἔπειτα ἐπειδὴ οὕτω σφοδρῶς αὐτῆς ἀποστῆναι ἐκέλευσε, καὶ τὴν αἰτίαν τίθησι λέγων· "ἡ γὰρ "σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ τῷ Θεῷ ἐστιν·" οὐ γὰρ μόνον οὐδὲν συντελεῖ, ἀλλὰ καὶ ἐμποδίζει· δεῖ τοίνυν αὐτῆς ἀποστῆναι· γέγραπται γὰρ "ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ "πανουργίᾳ αὐτῶν·" ἢ σοφοὺς ἐν τῇ πανουργίᾳ· ἢ δρασσόμενος ἐν τῇ πανουργίᾳ· τουτέστι τοῖς οἰκείοις ὅπλοις αὐτοὺς χειρούμενος. ἐπειδὴ γὰρ τῇ σοφίᾳ ἐχρήσαντο εἰς τὸ μὴ δεηθῆναι τοῦ Θεοῦ· δι' αὐτῆς ἤλεγξεν αὐτοὺς ὅτι μάλιστα δέονται Θεοῦ· πῶς καὶ τίνι τρόπῳ; ὅτι μωροὶ γενόμενοι, εἰκότως δι' αὐτῆς ἑάλωσαν· οἱ γὰρ

[u] εἴσῃν Cod.

νομίζοντες μὴ δεῖσθαι Θεοῦ, εἰς τοσαύτην κατέστησαν χρείαν, ὡς ἁλιέων καὶ ἀγραμμάτων ἐλάττους φανῆναι· διὰ τοῦτο φησὶν, ἐν τῇ πανουργίᾳ αὐτῶν.

Οἰκουμενίου. *Εἰ δὲ ναὸς Θεοῦ ἐσμὲν, ἐπειδὴ τὸ Πνεῦμα οἰκεῖ ἐν ἡμῖν, ἄρα Θεὸς τὸ Πνεῦμα.*

Φωτίου. *Πῶς ἐδράξαντο τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν; ἐνόμισαν διὰ τῆς προσούσης αὐτοῖς ἀνθρωπίνης γνώσεως, τοῦ κατὰ Χριστὸν μυστηρίου τὴν δύναμιν καταλήψεσθαι· οἱ δὲ οὐ μόνον οὐκ ἔτυχον ὧνπερ ἤλπισαν, ἀνθρωπίνοις λογισμοῖς ἑαυτοὺς ἐπιτρέψαντες· ἀλλὰ καὶ εἰς τοὐναντίον ᾗ ἔσπευδον τὰ τῆς πανουργίας αὐτοῖς ἐχώρησεν· ἀγνοίᾳ καὶ ἀπορίᾳ πλείονι τῆς ἀπὸ τῶν λογισμῶν ἀσθενείας αὐτοὺς περιβαλούσης.*

21 *Ὥστε μηδεὶς καυχάσθω ἐν ἀνθρώποις. πάντα γὰρ*
22 *ὑμῶν ἐστιν· εἴτε* Παῦλος, *εἴτε* Ἀπολλὼς, *εἴτε* Κηφᾶς,
εἴτε κόσμος, εἴτε ζωὴ, εἴτε θάνατος· εἴτε ἐνεστῶτα, εἴτε
23 *μέλλοντα· πάντα ὑμῶν ἐστιν. ὑμεῖς δὲ* Χριστοῦ· Χριστὸς *δὲ* Θεοῦ.

Ἰωάννου. *Καθαίρων τὸν τύφον τῶν διδασκάλων, καὶ δεικνὺς ὅτι οὐ μόνον οὐδὲν αὐτοῖς χαρίζονται, ἀλλ' ὅτι καὶ αὐτοὶ ἐκείνοις χάριν εἰδέναι ὀφείλουσι, τοῦτο φησίν· εἶτα ἐπειδὴ ἔμελλον καὶ αὐτοὶ καυχᾶσθαι, προεξέκοψε τοῦτο τὸ νόσημα, εἰπὼν "ἑκάστῳ "ὡς ὁ* Κύριος *ἔδωκεν." καὶ πάλιν· ὅτι "ὁ* Θεὸς *ηὔξανεν·" ἵνα μήτε ἐκεῖνοι ὡς παρέχοντες μέγα φρονῶσι· μήτε οὗτοι διὰ τὸ ἀκοῦσαι "πάντα ὑμῶν ἐστι," πάλιν ἐπαίρωνται. "εἴτε ζωή· εἴτε θάνατος·" τουτέστιν ὅτι κἂν ἀποθνήσκωσιν οἱ διδάσκαλοι κινδυνεύοντες ὑπὲρ τῆς ὑμετέρας σωτηρίας. ἔστιν δὲ καὶ ἑτέρως εἰπεῖν· ὅτι καὶ ὁ τοῦ* Ἀδὰμ *θάνατος δι' ἡμᾶς, ἵνα σωφρονισθῶμεν· καὶ ὁ τοῦ* Χριστοῦ, *ἵνα σωθῶμεν· ἑτέρως δὲ ἡμεῖς τοῦ* Χριστοῦ· *καὶ ἑτέρως ὁ* Χριστὸς *τοῦ* Θεοῦ· *καὶ ἑτέρως ἡμῶν ὁ κόσμος· ἡμεῖς μὲν γὰρ τοῦ* Χριστοῦ, *ὡς ἔργον. ὥσπερ οὖν οὐδὲ ὁ κόσμος ἡμῶν· ὥστε εἰ καὶ μία λέξις, ἀλλὰ διάφορος ἡ ἔννοια· ἡμῶν μὲν γὰρ ὁ κόσμος, ὡς δι' ἡμᾶς γεγενημένος· ὁ δὲ* Χριστὸς *τοῦ* Θεοῦ, *ὡς αὐτὸν αἴτιον ἔχων κατὰ τὸ* Πνεῦμα *εἶναι· ἡμεῖς δὲ τοῦ* Χριστοῦ, *ὡς ὑπ' αὐτοῦ*

κατασκευασθέντες· εἰ δὲ ἐκεῖνα ὑμῶν φησιν· τί τοὐναντίον ἐποιήσατε αὐτοῖς ἐπονομαζόμενοι· ἀλλ' οὐχὶ τῷ Χριστῷ καὶ τῷ Θεῷ.

Θεοδωρίτου. Ὑπέδειξε τὸν ἀληθῆ πλοῦτον τοῦ πλούτου τὸν χορηγόν· καὶ καταφρονῆσαι τῶν οὐδὲν ὄντων ἐδίδαξεν· καὶ γὰρ καὶ ὑμεῖς, φησὶν, οἱ Ἀπόστολοι ὑμῶν ἕνεκα τῆς ἀποστολικῆς ἠξιώθημεν χαρίτος· ἵνα ὑμῖν τὸν λόγον κηρύξωμεν· ὑμῖν δέδοται καὶ ἡ παροῦσα καὶ ἡ προσδοκωμένη ζωή· καὶ αὐτὸς ὁ θάνατος τῆς ὑμετέρας ἕνεκα ὠφελείας ἐπηνέχθη τῇ φύσει· καὶ τὰ ἡμέτερα πάντα, εἰς ἡμέτεραν δεδημιούργηται χρείαν· καὶ τὰ προσδοκώμενα, ὑμῶν χάριν ηὐτρέπισται. προσήκει τοίνυν ὑμᾶς τῷ δεσπότῃ συνῆφθαι Χριστῷ· ὃς τούτων ἐστὶ τῶν ἀγαθῶν χορηγός· καὶ δι' αὐτοῦ τῷ τῶν ὅλων Θεῷ· ἡμῖν μὲν γὰρ ἥνωται κατὰ τὴν φύσιν, ἣν ἀνέλαβεν παρ' ἡμῶν· τῷ δὲ Πατρὶ κατὰ τὴν θείαν οὐσίαν· ἐξ αὐτοῦ γὰρ φύσει γεγέννηται. Χριστὸς γὰρ Θεοῦ· οὐχ ὡς κτίσμα Θεοῦ· ἀλλ' ὡς Υἱὸς τοῦ Θεοῦ.

Εἰ δὲ ἀντιλέγουσιν οἱ τὰ Ἀρείου φρονοῦντες· καὶ οὐ βούλονται δοῦναι τῆς σχέσεως τὴν διαφοράν· καλείτωσαν καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα καὶ τοὺς Ἀποστόλους καὶ τὴν ζωὴν καὶ τὸν θάνατον ἡμέτερα ποιήματα. ἐπειδήπερ ὁ θεῖος Ἀπόστολος εἶπεν "πάντα ὑμῶν ἐστιν." ἀλλ' οὐκ ἂν εἴποιεν· οὐκοῦν ταῦτα μὲν ὑμῶν διὰ τὴν θείαν φιλοτιμίαν· ἡμεῖς δὲ Χριστοῦ, ὡς μὲν ἀνθρώπου μέλη, ὡς δὲ Θεοῦ ποιήματα· Χριστὸς δὲ Θεοῦ, ὡς Υἱὸς γνησίος ἐξ αὐτοῦ γεγεννημένος κατὰ τὴν θεότητα.

Ὠριγένους. Ὁ δυνάμενος ἀποτάξασθαι πᾶσιν ἀνθρώποις καὶ ὅλος γενέσθαι ἄξιος τῆς ἐν Χριστῷ καυχήσεως· οὕτως οὐκ ἐν ἀνθρώπῳ καυχᾶσαι. πῶς δὲ ὁ θάνατος ἐμός ἐστιν; ἵνα ἀποθάνω τῇ ἁμαρτίᾳ· ἵνα εἴπω εἰ καὶ συναπεθάνομεν καὶ συζήσομεν· ὁ γὰρ ἄλλος θάνατος, καθ' ὃν ἡ ψυχὴ ἡ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται, οὐκ ἔστιν ἐμός. καὶ τὰ ἐνεστῶτα δὲ ἡμῶν ἐστιν· ὅτι συναγόμεθα ἐν τῷ ἐνεστῶτι αἰῶνι· ὅτι ἀκούομεν γραφῶν ἱερῶν· ὅτι εὐχόμεθα· τὰ δὲ μέλλοντα· "ὅτ' ἂν γὰρ ἔλθῃ τὸ τέλειον· τότε τὸ ἐκ "μέρους καταργηθήσεται·" καὶ οὐχ οἷόν τέ ἐστιν ἐπὶ τὰ μέλλοντα ἐλθεῖν, ἐὰν μὴ πρῶτον γένηταί μοι τὰ ἐνεστῶτα· "πάντα "ὑμῶν·" θαυμάζεταί τις λόγος παρ' Ἕλλησιν εἰρημένος τοιοῦτος· πάντα τοῦ σοφοῦ, καὶ οὐδὲν τοῦ φαύλου· ταῦτα δὲ ὁ Λόγος τοῦ

Θεοῦ πρῶτος ἐδίδαξεν, ὅτι πάντα τοῦ ἁγίου ἐστίν. τοῦ οὖν πιστοῦ, φησὶν, ὅλος ὁ κόσμος τῶν χρημάτων· τοῦ δὲ ἀπίστου οὐδὲ ὀβολός· ὡς γὰρ ληστὴς ἔχει ἃ ἔχει ὁ ἄπιστος· οὐ γὰρ εἰδὼς αὐτοῖς χρῆσθαι, οὐδὲ τὸν κτίσαντα ταῦτα Θεόν· οὐδὲ ἀκούων τοῦ λέγοντος “ἐμὸν τὸ ἀργύριον καὶ ἐμὸν τὸ χρυσίον,” οὐχ ὡς αὐτοῦ ἐκεῖνα ἔχει· ἡμεῖς δὲ ὁρῶμεν ὅτι πάντα ἡμῶν ἐστίν· καὶ ἔστι τοῦ σοφοῦ ὅλος ὁ κόσμος τῶν χρημάτων· τοῦ δὲ ἀπίστου οὐδὲ ὀβολός.

ΦΩΤΙΟΥ. Εἰ οὖν οἱ διαλογισμοὶ τῶν ἀνθρώπων ματαιοί εἰσι, καὶ οἱ σοφοὶ ἐν τῇ πανουργίᾳ αὐτῶν μᾶλλον ἁλίσκονται, ἤπερ τι κέρδος ἐξ αὐτῆς ἔχουσιν, δῆλον ὅτι οὔτε σοφία ἀνθρωπίνη, οὔτε λογισμῶν δεινότης ἰσχύει ἢ συντελεῖ πρὸς τὴν τῶν πνευματικῶν διδασκαλίαν καὶ μάθησιν. εἰ δὲ μηδὲν τούτων πρὸς ταῦτα συντελεῖ· πῶς ἄν τις διδάσκων καυχήσαιτο μηδὲν τῶν ἐν ἀνθρώποις δοκούντων ἰσχύειν ἀποδεδειγμένων ὡς συντελοῦσι πρὸς ὄνησιν; δῆλον γὰρ ὡς εἴ τίς τι καὶ διδάσκει, χάριτός ἐστι καὶ δωρεᾶς τῆς ἄνωθεν· ἀλλ' οὐχὶ οἰκείας σοφίας ἔργον, ἢ τῆς κατὰ διάνοιαν ὀξύτητος· τὰ δὲ χαρίσματα οὐχ ἵνα τούτοις ἐπαιρώμεθα λαμβάνομεν· ἀλλ' ἐπὶ κοινῇ τῶν ἀνθρώπων ὠφελείᾳ, ἐν ἀνθρώποις καὶ ἐπὶ τοῖς διδασκάλοις· οὐ γάρ τι ἔχουσιν αὐτοὶ οἴκοθεν· ἢ ἐπὶ τοῖς ἀνθρωπίνοις λογισμοῖς· οὐ γάρ ἐστι δι' αὐτῶν καταλαβεῖν τὴν ἀλήθειαν. μᾶλλον δὲ ἡ ἀνωτέρω ἐκδοχὴ καὶ τῇ λέξει τοῦ χωρίου καὶ τοῖς ἐφεξῆς ἐστιν ἐφαρμόζουσα· “ὑμεῖς δὲ Χριστοῦ· Χριστὸς δὲ Θεοῦ·” πάντα ὑμῶν ὡς εὐεργεσίαι καὶ δωρεαί· “ὑμεῖς δὲ Χριστοῦ·” ὡς κτήματα καὶ ποιήματα· “Χριστὸς δὲ Θεοῦ,” ὡς γέννημα καὶ Υἱός. καλῶς δὲ τοῦτο προσέθηκεν· ἐπειδὴ γὰρ εἶπεν πάντα ὑμῶν, ὑμεῖς δὲ Χριστοῦ· ἵνα μὴ στάντος αὐτοῦ ἐνταῦθα ἀγέννητον καὶ ἀναίτιον νομίσωσι τὸν Υἱὸν, ἐπήγαγεν “Χριστὸς δὲ Θεοῦ.”

1 Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας Χρι-
2 στοῦ, καὶ οἰκονόμους μυστηρίων Θεοῦ· ὃ δὲ λοιπὸν,
3 ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ· ἐμοὶ
δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ
4 ἀνθρωπίνης ἡμέρας· ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω· οὐδὲν
γὰρ ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι·

5 ὁ δὲ ἀνακρίνων με, Κύριός ἐστιν. ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ Θεοῦ.

Ὠριγένους. Ὁ μὴ διαβεβηκὼς τῷ λόγῳ περὶ τὴν κατάληψιν τῶν ἐγκεκρυμμένων ἐν τῇ γραφῇ μυστηρίων, δύναται μὲν ὑπηρέτης εἶναι Χριστοῦ, οὐ δύναται δὲ οἰκονόμος εἶναι μυστηρίων Θεοῦ· ὁ γὰρ οἰκονόμος ὧν ἔχει τὰ οἰκονομούμενα καὶ οἶδεν τὰ μυστήρια τοῦ Θεοῦ· μήποτε οὖν ὁ μὲν ὑπηρέτης Χριστοῦ κατὰ τὴν κοινοτέραν νοεῖται διακονίαν προστὰς, ὁ δὲ οἰκονόμος μυστηρίων Θεοῦ κατὰ τὴν διοίκησιν τὴν περὶ τὰ γνωσθέντα μυστηρία· ἵνα μὴ παραρίπτῃ ταῦτα ὡς ἔτυχεν· μὴ δὲ ἀνεξετάστως αὐτὰ παραδίδω· ἀλλὰ προκαθάρας, προευτρεπίσας, προαποστήσας τοῦ κόσμου τὸν μέλλοντα ἀκούειν μαθημάτων ὑπερκοσμίων, τότε αὐτὴ λέγει·. ἡμεῖς, φησὶν, ἐσμὲν ὑπηρέται Χριστοῦ· καὶ τὰ πλείονα μᾶλλον ὁ Ἀπόστολος τῇ ὑπηρεσίᾳ τοῦ Χριστοῦ διηκονεῖτο, ἤπερ τῇ οἰκονομίᾳ τῶν μυστηρίων τοῦ Θεοῦ· οἰκονομεῖ δὲ τὰ μυστήρια τοῦ Θεοῦ, φέρε εἰπεῖν, πρὸς Λουκᾶν, ἵνα γράψαι τὸ Εὐαγγέλιον δυνηθῇ· πρὸς Τιμόθεον, ἵνα ἄρξαι τῶν ἐν Ἐφέσῳ πλείονα παρειληφότων οἷός τε γένηται οἰκονομεῖν τὰ μυστήρια τοῦ Θεοῦ· τολμῶ δὲ καὶ λέγειν, ὅτι ἐν Κορίνθῳ μὲν ὑπηρέτης γέγονε τοῦ Χριστοῦ· ἐν Ἐφέσῳ δὲ οἰκονόμος μυστηρίων Θεοῦ.

Μαθὼν δὲ ἀπὸ τῶν τοῦ Σωτῆρος λόγων ὁ Παῦλος τὸ "τίς ἄρα "ὁ πιστὸς καὶ φρόνιμος οἰκονόμος, ὃν καταστήσει ὁ Κύριος ἐπὶ "τῆς οἰκίας αὐτοῦ, τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον τοῖς συν-"δούλοις αὐτοῦ·" φησὶν, "ὃ δὲ λοιπὸν ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ·" οὔτε γὰρ ἀρκεῖ τὸ ἐγνωκέναι· οὔτε δεῖ τὸν ἐγνωκότα ὡς ἔτυχεν λέγειν· ἀλλὰ νοοῦντα τὸ ἐν καιρῷ διδόναι τὸ σιτομέτριον τοῖς συνδούλοις αὐτοῦ, βλέπειν, τίς τῶν συνδούλων ὀφείλει λαβεῖν πλεῖον σιτομέτριον μυστηρίων Θεοῦ ἢ ἔλαττον καὶ πότε· ἐὰν γὰρ καλῶς τὴν οἰκονομίαν καὶ ἀμέμπτως διοικήσωσι, ποίαν ἔχει ἐπαγγελίαν; "ἐπὶ πᾶσι" φησὶ "τοῖς ὑπάρχουσιν ὁ "οἰκοδεσπότης καταστήσει αὐτόν."

Εἰ δὲ Παῦλος φοβεῖται, καὶ λέγει ταῦτα περὶ ἑαυτοῦ καὶ περὶ Κηφᾶ καὶ Ἀπολλώ· πόσῳ μᾶλλον τοὺς καθ' ἡμᾶς οἰκονόμους δεήσει φοβεῖσθαι· ὅπως εὑρεθῶσι πιστοὶ οἰκονόμοι; εἶτα περὶ ἑαυτοῦ φησίν· "ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστι, ἵνα ὑφ' ὑμῶν ἀνα- "κριθῶ ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας·" οἱ ἐν Κορίνθῳ ἀνεκρίνοντο ὅσον ἐφ' ἑαυτοῖς οὐκ ἀληθῶς ἀνακρίνοντες· ἀνακρίνοντος γὰρ ἦν τὸ λέγειν, ὅτι κρείττων ἐστὶν ὁ Παῦλος Κηφᾶ καὶ Ἀπολλώ· καὶ ἄλλου τὸ λέγειν ὁ Πέτρος πολλῷ διαφέρει τοῦ Παύλου· ἐν γὰρ τῷ Εὐαγγελίῳ Παῦλος οὐκ εἴρηται Ἀπόστολος· φησὶν οὖν ὁ Παῦλος, "ὅτι ἐμοὶ εἰς ἐλάχιστόν ἐστιν ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ·" συνῄδει ἑαυτῷ τὰ κάλλιστα· καὶ ὅτι οὐχ ὑπέπιπτεν Κορινθίοις ὡς δυναμένοις αὐτὸν ἀνακρίναι· ὁ γὰρ πνευματικὸς ἀνακρίνει τὰ πάντα· αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται· ὥσπερ ἀλλαχοῦ φησίν· "γέγονα ἄφρων· ὑμεῖς με ἠναγκάσατε·" τοιοῦτόν τι καὶ ἐνθάδε νοήσας λέγει. ἔστι τις ἀνθρωπίνη ἡμέρα· περὶ ἧς γέγραπται μυρία ὅσα· καὶ τὸ "ἰδοὺ ἡμέρα Κυρίου ἀνίατος ἔρχεται·" ἡ οὖν ἀνάκρισίς μου φησίν· οὐ δύναται γένεσθαι ἐν ἀνθρωπίνῃ ἡμέρᾳ· οὐ χωρεῖ γὰρ ἀνθρωπίνη ἡμέρα τὴν ἀνάκρισίν μου. εἰ ἀνακρίνεσθαι μέλλω, ἐν τῇ τοῦ Κυρίου ἡμέρᾳ ἀνακριθήσομαι· εἶτα παραδοξότερόν τι ἑαυτῷ συνειδὼς λέγει· "ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω· "οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα·" πολὺ ἐνταῦθα τὸ συνειδὸς τοῦ Ἀποστόλου φαίνεται καθαρὸν γεγονέναι· ὥστε αὐτὸν τολμῆσαι οὐ μόνον τοῖς τότε γράψαι· ἀλλ' ἵνα καὶ αἱ μέχρι συντελείας γενεαὶ ἀναγινώσκωσι τὸ λεγόμενον.

Ἀληθὴς οὖν ὁ Παῦλος λέγων "μιμηταί μου γίνεσθε, καθὼς "κἀγὼ Χριστοῦ·" πῶς δὲ Χριστὸν ἐμιμήσατο Παῦλος ἄκουε· "ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ ἔχει οὐδέν." καὶ ὁ Παῦλος φησὶν "οὐδὲν ἐμαυτῷ σύνοιδα·" καὶ οὐκ εἶπεν οὐδὲν ἐμαυτῷ σύνοιδα ἔργον φαῦλον· εἰ γὰρ τοῦτο εἰρήκει, ἐδυνάμεθα λέγειν ὅτι τοῖς μὲν ἔργοις κεκάθαρται, τοῖς δὲ λόγοις οὐδέπω· ἢ πάλιν τούτοις μὲν κεκάθαρται· ἡ δὲ καρδία αὐτοῦ ἡμάρτανεν· νῦν δὲ ἔοικεν εἰς ὑπερβολὴν συνειδέναι ἑαυτῷ καθαρότητα· οὐ πρώην ὅτε ἐδίωκεν· ἢ ὅτε προσῆλθεν τῇ πίστει, ἀλλὰ νῦν ὅτε ταῦτα ἔλεγεν· εἶτα ἵνα μὴ δόξῃ ὑπὲρ ἄνθρωπον λελαληκέναι· ἐπιφέρει καὶ λέγει· "ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι." ἐγὼ μὲν

“γὰρ” φησὶν “οὐδὲν ἐμαυτῷ σύνοιδα· ἀλλ᾽ οὐκ ἐν τούτῳ δεδι-“καίωμαι·” ἐνδέχεται γὰρ ἐμὲ μηδὲν ἐμαυτῷ συνειδέναι, λανθάνειν δέ με ἡμαρτημένον τί μοι· πολλὰ γὰρ γίνεται ἐν τῇ ἀνθρωπίνῃ φύσει τοιαῦτα, ὥστε ἁμαρτάνειν κατὰ τὸν λόγον, οὐ μετὰ τοῦ καταλαμβάνειν ἢ κατὰ τὴν συγκατάθεσιν· οὐ μετὰ τὸ θεωρεῖν ὅτι ἡμάρτομεν· ἐκεῖνος οὖν ὁ ἐν πᾶσι μηδὲν ἑαυτῷ συνειδὼς φησίν· “ἀλλ᾽ οὐκ ἐν τούτῳ δεδικαίωμαι· ὁ δὲ ἀνακρίνων με Κύριός ἐστιν·” ὡς γὰρ ὑπερβὰς τὴν ἀνάκρισιν τὴν ἀγγελικὴν καὶ τὴν τῶν ἄλλων δυνάμεων· τοῦτο φησὶν, ἕως ἂν ἔλθῃ ὁ Κύριος· ἐπεὶ οὖν κρίσις ἐπίκειται καὶ ἀληθινή[y] γε ἐστὶν ἐκείνη ἡ μόνη τοῦ Κυρίου, ἐπισταμένου καὶ τοὺς λογισμοὺς σταθμῆσαι, καὶ ἐν ζυγῷ στῆσαι τοὺς λόγους, καὶ ἐρευνῆσαι πάσας τὰς πράξεις, καὶ ἐφ᾽ ἑκάστῳ ἡμῶν τὸ δέον ἀποδοῦναι· διὰ τοῦτο κἂν καταγινώσκωμέν τινος, μὴ κατακρίνωμεν· οὐ γὰρ ἴσμεν ᾧ μέτρῳ ἥμαρτεν· οὐ δὲ οἴδαμεν οἵᾳ διαθέσει ἥμαρτεν· καὶ εἰ ἔχει ἀντίρροπα χρηστὰ τῇ ἁμαρτίᾳ αὐτοῦ· ἐὰν γὰρ εὐλαβεῖς γενώμεθα, οὐ πρὸ καιροῦ τί κρινοῦμεν· ἀλλὰ πάντα μαθήσομεν τῇ κρίσει τοῦ Θεοῦ διὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ τιμῆσαι βουλόμενος, ὡς ὑπηρέτας Χριστοῦ τιμάτω· ὡς οἰκονόμους αἰδέσθω· μετρείτω τῇ φύσει τὸ γέρας· καὶ ταῦτα οὐ μόνον γέγραφεν ὁ θεῖος Ἀπόστολος, ἀλλὰ καὶ δέδρακεν· τοὺς γὰρ Λυκάονας θῦσαι πειραθέντας διεκώλυσεν, τὴν ἐσθῆτα σὺν Βαρνάβᾳ διαρρήξας καὶ βοήσας ὅτι “ὁμοιοπαθεῖς ἐσμὲν ὑμῖν “ἄνθρωποι.” οὕτως ὁ μακάριος Πέτρος ἔφη τῷ Κορνηλίῳ· “καὶ “αὐτὸς ἐγὼ ἄνθρωπός εἰμι.” “ὃ δὲ λοιπὸν ζητεῖται ἐν τοῖς οἰκο-“νόμοις ἵνα πιστός τις εὑρεθῇ” καὶ τὰ ἑξῆς· οὐχ ἵνα τοῦ δεσπότου τὴν ἀξίαν ἁρπάσῃ· ἀλλ᾽ ἵνα τῷ δεσπότῃ τὴν εὔνοιαν φυλάξῃ. διπλῆν δὲ αὐτῶν ποιεῖται κατηγορίαν· καὶ ὅτι τὴν τιμὴν οὐ μετροῦσιν· καὶ ὅτι τοῦ κρίνειν τὴν ἐξουσίαν οὐκ ἔχοντες, κρίνουσι· καὶ οὐ τοῖς τυχοῦσιν, ἀλλὰ τοῖς διδασκάλοις· οὐ γὰρ ἂν οἱ μὲν τοῦτον, οἱ δὲ ἐκεῖνον προέκριναν· εἰ μὴ σφίσιν αὐτοῖς τὸ κρίνειν ἀπένειμαν· τούτου χάριν τῆς τοῦ κρίνειν αὐτοὺς ἐξουσίας ἐγύμνωσεν· εὐτέλειαν τῶν διδασκάλων καλέσας τῷ τῇ κρίσει τῶν μαθητῶν ὑποκεῖσθαι τὰ κατ᾽ αὐτούς· εἶτα θεραπεύων αὐτοὺς, κοινὸν

[y] ἀληθηνή Cod.

ποιεῖται τὸν λόγον· "ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας." ἀνθρωπίνην δὲ ἡμέραν ἐκάλεσεν, τὸ τῆς φύσεως ὀλιγόβιον.

Τοῦ αὐτοῦ. *Ὑμεῖς, φησὶν, ὁρᾶτε τὰ φαινόμενα· Θεῷ δὲ δῆλα, καὶ τὰ κρυπτόμενα· ἀλλὰ κατὰ τὸν παρόντα βίον οὐ πάντα γυμνοῖ· ἐν ἐκείνῳ δὲ πάντα δῆλα γενήσεται· τὸ δίκαιον τοίνυν κριτήριον ἀναμείνατε· ὄψεσθε γὰρ τηνικαῦτα δικαίας τὰς ἀναρρήσεις· καὶ ἐπειδὴ ἐν τοῖς πρόσθεν ἑαυτὸν εἰς μέσον προτέθηκεν, καὶ τὸν Ἀπολλὼ καὶ τὸν Κηφᾶν· ἀπὸ τῶν μειζόνων δεικνὺς τοῦ γινομένου τὴν ἀτοπίαν, ἀναγκαίως λοιπὸν τὴν κατηγορίαν γυμνοῖ.*

Σευηριανοῦ. *Οἱ τιμώμενοι οὐ πάντως ἦσαν καλοί· ἀλλ' ἕως σχήματος ἐπεῖχον τὴν ἀρετήν· παρεώρων τόδε οἱ φύσει καλοί· οὐ γὰρ ἂν ταῦτα εἶπεν.*

Ὠριγένους. *Ἐνθάδε μὲν λέγεται, "μὴ πρὸ καιροῦ τί κρίνετε" καὶ τὰ ἑξῆς· ἐν ἄλλῳ δὲ τόπῳ τῆς Ἐπιστολῆς "οὐχὶ τοὺς ἔσω "ὑμεῖς κρίνετε, τοὺς δὲ ἔξω ὁ Θεὸς κρίνει" ἆρ' οὖν ἐναντιώματα ἔχουσιν αἱ γραφαὶ, καὶ δεῖ ἡμᾶς κρίνειν καὶ μὴ κρίνειν, κατὰ τὸ αὐτὸ τῆς κρίσεως σημαινόμενον; ἐὰν μὴ τοὺς ἔσω ἡ ἐκκλησία μέλλει ἀντὶ Ἐκκλησίας Θεοῦ γίνεσθαι συναγωγὴ πονηρευομένων· εἶτα τῶν ἔσω κρινομένων, πῶς ἀληθές ἐστι τὸ "μὴ κρίνετε, ἵνα "μὴ κριθῆτε;" φαμὲν οὖν οἱ πεπιστευμένοι κρίνειν τοὺς ἔσω οὐχ οὕτως εἰσὶν ἀνόητοι, ὡς κρίνοντες τοὺς ἔσω λέγειν, ὅτι τὴν κρίσιν τοῦ Θεοῦ κρίνομεν. ἀλλὰ πρὸς τὴν οἰκονομίαν τοῦ συμφέροντος τῇ Ἐκκλησίᾳ τὴν κρίσιν ποιοῦνται· εἰ συμφέρει τόνδε ἀποσυνάγωγον εἶναι, κρίναντες αὐτὸ ποιοῦσιν· καὶ πάλιν πρὸς τὸ συμφέρον προστήσονται, οὐ τὴν τοῦ Θεοῦ κρίνοντες κρίσιν, ἀλλὰ τὴν δεδομένην αὐτοῖς· τὴν γὰρ κρίσιν ἣν ὁ Θεὸς κρίνει ἐν Χριστῷ, ἀμήχανόν ἐστι κρίνειν ἡμᾶς. οὔτε γὰρ οἴδαμεν· οὔτε καρδίας ἐρευνῶμεν· οὔτε τοῖς λογισμοῖς τὰ πεπραγμένα ἑκάστῳ πέπρακται· τὰ κρυπτὰ γὰρ Κυρίῳ τῷ Θεῷ παραχωροῦσιν οἱ κριταὶ οἱ κατὰ τὸ Εὐαγγέλιον· "τὰ δὲ φανερὰ," ὡς εἴρηται, "ὑμῖν καὶ "τοῖς τέκνοις ὑμῶν·" ὅσα ἔφθασεν εἰς αὐτοὺς, καὶ γνωστά ἐστιν ἐν αὐτοῖς, ταῦτα κρίνουσιν.*

Μηδέποτε οὖν τὴν κρίσιν τοῦ Θεοῦ προλαβόντες λέγωμεν, ὁ δεῖνα ἀπόλλυται· ἢ μακαρίζοντες λέγωμεν, ὁ δεῖνα σώζεται· οὐδὲ γὰρ ἀντιμετρεῖν καὶ ἀντεξετάζειν ἴσμεν τὰς πράξεις ταῖς πράξε-

σιν, ἢ λογισμοὺς ἢ ἐνθυμήματα· "μὴ πρὸ καιροῦ οὖν τι κρίνετε· "ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους· "καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν." δύο δὲ λεγομένων πραγμάτων, ὀφείλει τις εἶναι τούτων διαφορά· ἃ μὲν γὰρ ὠνόμασε "κρυπτὰ σκότους·" ἃ δὲ "βουλὰς καρδιῶν·" ὅρα οὖν μὴ τὰ ἁμαρτήματα ἡμῶν κρυπτὰ σκότους ἐστίν· τὰ δὲ ἀνδραγαθήματα βουλαὶ τῶν καρδιῶν· ὅσα γὰρ καλῶς πράττομεν, μετὰ βουλῆς πράττομεν· ὅσα δὲ ἁμαρτάνομεν, ἐν σκότῳ ὄντες ἁμαρτάνομεν.

Ἐπειδὴ τοίνυν τινὲς ἢ ταῦτα ἔχουσιν ἢ ἐκεῖνα· ταῦτα δὲ ἄνθρωπος οὐκ οἶδεν· "μὴ πρὸ καιροῦ τί κρίνωμεν, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ ἀποκαλύψει τὰς βουλὰς τῶν καρδιῶν· "δεῖ γὰρ τοὺς πάντας ἡμᾶς φανερω-"θῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ· ἵνα κομίσηται "ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν, "εἴτε φαῦλον·" εὗρον εὐαγγελικὸν παραπλησίως τούτῳ διηγήσασθαι· "οὐδὲν κρυπτὸν, ὃ οὐ φανερωθήσεται· καὶ κεκαλυμμένον, "ὃ οὐκ ἀποκαλυφθήσεται·" ὅρα τὸν Σωτῆρα διδόντα διαφορὰν κρυπτῶν φανερουμένων, καὶ κεκαλυμμένων ἀποκαλυπτομένων· τίνα οὖν ἐστι τὰ κρυπτὰ καὶ φανερούμενα, ἢ τὰ καλά; καὶ τίνα τὰ κεκαλυμμένα καὶ ἀποκαλυπτόμενα, ἀλλ' ἢ τὰ κακά;

Εἴποι τις ἂν τῶν πάντα ἐρευνώντων, διατί οὐκ εἶπεν καὶ τότε ὁ ἔπαινος γενήσεται, ἢ ὁ ψόγος ἑκάστῳ ἀπὸ τοῦ Θεοῦ· ἀλλὰ μόνον "ὁ ἔπαινος;" ὁ μὲν οὖν τις οὕτω διηγήσεται· ὅτι τὸ εὐφημότερον προσῆψεν τῷ Θεῷ, παρασιωπήσας τὸ λοιπὸν, ὡς οὐχ ἁρμόζον αὐτῷ· ἐγὼ δὲ τολμήσω καὶ εἴποιμι ἂν, ὅτι τὰ μὲν ἀγαθὰ ἐπαινεῖ καὶ ἀποδέχεται ὁ Θεός· τὰ δὲ κακὰ ἡμῶν ὁ τῶν κακῶν πατὴρ διάβολος. καὶ ὁ μὲν ἔπαινος ἀπὸ τοῦ Θεοῦ τοῖς ἁγίοις· ὁ δὲ ψόγος τοῖς ἄξια ψόγου πεποιηκόσιν ἀπὸ τοῦ διαβόλου γίνεται· διὰ τοῦτο λέγεταί σοι παρὰ τῷ Ἀποστόλῳ· ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ, μηδὲν ἔχων λέγειν περὶ ἡμῶν φαῦλον.

Εὐσεβίου. Παραινεῖ μὴ σπουδαῖον ἡγεῖσθαι τὸ ἑαυτοὺς ἐκδικεῖν· μηδὲ τὸ κρίνειν τοὺς ἡμαρτηκέναι δοκοῦντας· μηδὲ ταράσσεσθαι τοῖς ἐπὶ τοῦ παρόντος τὰς τῶν θνητῶν ὄψεις διαλανθανόντων· ἐπείπερ αὐτὸς ὁ Κύριος ἐπιστὰς, τῶν μὲν ἀσεβῶν φωτίσει τὰ κρυπτὰ τοῦ σκότους· τῶν δὲ κοσμίων καὶ θεοσεβῶν δι' ἐπιεί-

κειαν καὶ ἰδιοπραγμοσύνην, καὶ λανθανόντων τοὺς πολλοὺς φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· οἷς καὶ τὸν ἔπαινον γενήσεσθαι φησὶν ἀπὸ τοῦ Θεοῦ.

Φωτίου. Τοῦτο γάρ ἐστι, φησὶν, τὸ ζητούμενον καὶ ὀφεῖλον παντὶ τρόπῳ φυλάττεσθαι παρὰ τῶν οἰκονόμων· τὸ πιστοὺς εἶναι, καὶ ὑπηρέτας ἡγεῖσθαι ἑαυτούς· καὶ μὴ ἰδιοποιεῖσθαι καὶ σφετερίζεσθαι τὰ τοῦ δεσπότου. ἢ καὶ οὕτως. λογιζέσθω ἡμᾶς, ἄνθρωπος τά τε ἄλλα, ἅπερ, φησὶν, εἶπον· καὶ ὃ λοιπὸν ζητεῖται ἐν τοις οἰκονόμοις, κἀκεῖνο ἡμᾶς λογιζέσθω· ἵνα ᾖ ἀπὸ κοινοῦ τὸ λογιζέσθω· τί δέ ἐστι τοῦτο τὸ ἐν τοῖς οἰκονόμοις ζητούμενον; ἵνα πιστὸς φησὶν, εὑρεθῇ· εἶτα πρὸς τοὺς ἀναισχυντεῖν μέλλοντας καὶ λέγειν ἐπιχειροῦντας· τί οὖν; σὺ τοιοῦτος εἶ; προαπαντῶν; φησὶν, "ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ·" τοῦτο δὲ φησὶν, οὐκ ἐπαίρων ἑαυτόν· ἀλλὰ τὸ πρέπον ἀξίωμα τῷ κηρύγματι καὶ τῇ διδασκαλίᾳ φυλάττων. εἰ γὰρ αὐτὸν ἐπολυπραγμόνουν καὶ ἐξήταζον, καὶ ἐν δισταγμῷ εἶχον· σχολῇ γ' ἂν τὰ παρ' αὐτοῦ[y] κηρυσσόμενα καὶ διδασκόμενα παρεδέξαντ' ἄν.

Εὐλόγως ἄρα καὶ σοφῶς καὶ ἐπὶ τῇ σφῶν αὐτῶν σωτηρίᾳ τὴν τοιαύτην ὑπόληψιν καὶ περιπέτειαν αὐτῶν ἀναστέλλει καὶ ἐπιρραπίζει, καὶ ἐπιμόνως ἀναιρεῖ· εἶτα ἵνα μὴ δόξῃ οὐχὶ τοῦ κηρύγματος ἕνεκα ταῦτα εἰπεῖν καὶ τῆς κοινῆς ὠφελείας, ἀλλὰ σεμνολογῶν καὶ ἐπαίρων ἑαυτὸν ἐπάγει· "ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι·" εἰ γὰρ καὶ μὴ ἔξεστιν ὑμῖν ἀνακρίνειν ἐμὲ, μήτε ἁπλῶς ἄλλοις ἀνθρώποις· ἀλλὰ πεπιστευκόσιν ὑμῖν καὶ ἀναμφιβόλας διακειμένοις πρὸς ἐμὲ, δεῖ καρποῦσθαι τοῦ κηρύγματος τὴν ὠφέλειαν καὶ διδασκαλίαν· καὶ τοσοῦτον πιστῶς καὶ ἀναμφιβόλως, ὡς εἰδότας, ὅτι οὐδὲ ἐμαυτὸν αὐτὸς ἀνακρίνειν ἔχω· ὅπερ ἐστὶ μέγιστον καὶ ἀπαράγραπτον ἀρετῆς μαρτύριον· εἴπερ κατὰ ἀλήθειαν "οὐδεὶς "οἶδεν τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ οἰκοῦν "ἐν αὐτῷ·" ἀλλ' οὖν ἐν αὐτῷ εἰ καὶ ταῦτα ἐστὶ μοὶ, φησὶν, οὐκ ἐν τούτῳ δεδικαίωμαι· ἔτι γὰρ τοῦ κοινοῦ κριτοῦ δέομαι· ἐκείνου δέ μήπω πάσης ἀφέντος αἰτίας, ἐν ἀγῶνι καὶ ἐν φόβῳ εἰμί· ὡς μήπω δεδικαιωμένος· ἀλλ' οὐδὲ διὰ τοῦτο προσῆκεν ὑμᾶς τοὺς ὑποδεχομένους τὸ κήρυγμα, ἀμφιβόλως ἔχειν περὶ ἐμὲ, καὶ κρίνειν

[y] αὐτοῖς Ed. Œcum.

καὶ ἀνακρίνειν κατατολμᾶν· καὶ ὃ μόνον ἐστὶ τοῦ κοινοῦ κριτοῦ, εἰς τοῦτο ἑαυτοὺς ἀναισθητοῦντας συνωθεῖν, καὶ τὸν καιρὸν ἑαυτοῖς προαρπάζειν τῆς κρίσεως· εἰ δὲ τὸ “ζητεῖται” ὡς προστακτικὸν ἐκληφθῇ, ἥ τε σύμφρασις, ὡς δῆλον, οὐδὲν ἀσαφὲς ἕξει, καὶ ὁ νοῦς πρόχειρος.

6 Ταῦτα δὲ, ἀδελφοὶ, μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ
Ἀπολλὼ δι' ὑμᾶς, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ἃ
γέγραπται φρονεῖν, ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς φυσιοῦσθε
7 κατὰ τοῦ ἑτέρου. τίς γάρ σε διακρίνει; τί δὲ ἔχεις ὃ
οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λα-
8 βών; ἤδη κεκορεσμένοι ἐστὲ, ἤδη ἐπλουτήσατε, χωρὶς
ἡμῶν ἐβασιλεύσατε· καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα
καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν.

ὨΡΙΓΕΝΟΥΣ. *Γέγραπται ταῦτα, φησὶν, ἐν μετασχηματισμῷ τῷ κατὰ τὰ τότε πράγματα· οὐχ ἵνα περὶ Παύλου καὶ Ἀπολλὼ ταῦτα γινώσκωμεν μόνον· ἀλλ' ἵνα καθ' ἑκάστην γενεὰν τὰ γινόμενα ἀνάλογον τούτοις προοῶντες ὀρθῶς προσέχωμεν· μήποτε καὶ αὐτοὶ ἐμπέσωμεν εἰς τὰ τοιαῦτα· καὶ ὡς ἐν θεάτροις τοῖς διασχιζομένοις περὶ τὰ ἀκροάματα διασχίζονται περὶ τοὺς διδασκάλους· ἀλλ' εἴδωμεν τὸ “ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ “γέγραπται,” ἐάν τις ἕξιν ἔχων ὑποδεεστέραν, πρὶν πληρῶσαι τὰ γεγραμμένα, θέλει ἀναβῆναι εἰς τὰ ὑπὲρ ἃ γέγραπται, οὐδὲ νοήσει ἃ γέγραπται· ὥσπερ γὰρ κλίμακα οὐχ οἷόν τε ἔστιν ἀναβῆναί τινα, μὴ ὁδῷ ἀναβαίνοντα ἀπὸ τῶν κατωτέρω κατὰ τὸ δυνατὸν, τὸν αὐτὸν τρόπον ἐπὶ τῶν μαθημάτων τῶν θείων.*

Τοῦτο μὴ καλῶς νοήσαντες οἱ ἀπὸ τῶν αἱρέσεων, ἐπαγγέλλονται παραδόσεις, καὶ λέγουσιν αὗται ὑπὲρ τὰ γεγραμμένα εἰσίν· ταύτας γὰρ παρέδωκεν ὁ Σωτὴρ ἡμῶν τοῖς Ἀποστόλοις ἐν ἀπορρήτῳ, καὶ οἱ Ἀπόστολοι τῷ δεῖνι ἢ τῷ δεῖνι· καὶ οὕτως διὰ ταύτης τῆς μυθολογίας ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων. οἱ δὲ λοιποὶ φασίν· γέγραπται, “τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ “τοῦ ἀδελφοῦ σοῦ, τὴν δὲ ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐ κατανοεῖς;” καὶ “μὴ κρίνετε ἵνα μὴ κριθῆτε·” εἰ γὰρ ἐσμὲν ἓν, καὶ συνδεδέμεθα ἀλλήλοις, ἐπανίστασθαι ἀλλήλοις οὐ χρή· “ὁ ταπεινῶν

“γὰρ ἑαυτὸν ὑψωθήσεται” καὶ “ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω “πάντων ἔσχατος·” καὶ ἕκαστος ἐν ᾧ ἐκλήθη ἐν τούτῳ μενέτω.

Ταῦτα ἐστι καὶ τὰ τοιαῦτα, ἃ γέγραπται, ἵνα ὑπὲρ τοῦ ἑνὸς μὴ φυσιοῦσθαι κατὰ τοῦ ἑτέρου· οἱ γὰρ ἑαυτοὺς διανείμαντες· καὶ οἱ μὲν ἐκ τούτου, οἱ δὲ ἐξ ἐκείνου καλεῖσθαι βουληθέντες, ἀλλήλοις διεμάχοντο· τοὺς σφετέρους ἕκαστοι διδασκάλους ὑπερτιθέναι τῶν ἄλλων φιλονεικοῦντες· εἶτα πρὸς αὐτοὺς λοιπὸν τοὺς διδασκάλους· τίς γάρ σε διακρίνει; τίς σε μέρους ἐχειροτόνησεν; διὰ τί μὴ πάντων διδάσκαλος ὁμοίως καλῇ; τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες; ἐπὶ τίνι δὲ μέγα φρονεῖς; ἐπ' εὐγλωττίᾳ; ἀλλ' ὁ Θεός σοι ταύτην κεχάρισται· ἀλλ' ἐπὶ γνώσει; καὶ τοῦτο θεῖον τὸ δῶρον· ἀλλ' ἐπὶ θαυματουργίαις; καὶ ταύτη τοῦ Πνεύματος ἡ ἐνέργεια· “εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;” οὐδεὶς ἐπ' ἀλλοτρίαις παρακαταθήκαις μέγα φρονεῖ· ἐπαγρυπνεῖ δὲ ταύταις, ἵνα φυλάξῃ τῷ δεδωκότι.

Σευηριανοῦ. Σὲ τὸν βουλόμενον ἀπὸ τοῦδε καλεῖσθαι ἢ τόνδε καταλιμπάνειν, τίς διακρίνει; οὐχὶ ἀναμένεις τὸν κριτήν; σὺ ὁ ὑπακούων ἀνακρίνεις τὸν κριτὴν, καὶ τὸν διδάσκαλον τῇ σῇ κρίσει ὑποβάλλεις.

Ἰωάννου. Ἀφεὶς τοὺς ἀρχομένους, ἐπὶ τοὺς ἄρχοντας τρέπεται καὶ φησί· πόθεν δῆλον ὅτι ἄξιος εἶ τοῦ ἐπαινεῖσθαι; κρίσις γέγονεν; ἐξέτασις παρηκολούθησεν; δοκιμασία, βάσανος ἀκριβής; ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν· εἰ δὲ ἄνθρωποι ψηφίζονται· ἀλλ' οὐκ ὀρθὴ τούτων ἡ κρίσις· θῶμεν δὲ ὅτι καὶ ἄξιος ἐπαίνων, καὶ ἔχεις ὄντως τὸ χάρισμα· ἀλλ' οὐδὲ οὕτως ἐχρῆν μέγα φρονεῖν· οὐδὲν γὰρ οἴκοθεν ἔχεις· ἀλλὰ παρὰ τοῦ Θεοῦ λαβών.

Ὠριγένους. Δεήσει ἀπὸ τῶν γραφῶν συναγαγεῖν τί σημαίνει τὸ διακρίνειν, ἵν' οὕτως ἐφαρμόσωμεν τοῖς νῦν λεγομένοις· “ὁ “Θεὸς ἔστη,” φησὶν, ἐν συναγωγῇ θεῶν· ἐν μέσῳ δὲ θεοὺς δια-“κρινεῖ.” ἐν τούτῳ φαίνεται ἔργον Θεοῦ τὸ διακρίνειν· ἄλλου γὰρ ὄντος τοῦ κρίνειν, ὅπερ συμβαίνει περὶ τοὺς ἀξίους κρίσεως· ἀγαθόν ἐστι τὸ ἐν συναγωγῇ θεῶν εὑρεθῆναι Θεόν· ἵνα μηκέτι κριθῇ τις, ἀλλ' διακριθῇ, καὶ οἱονεὶ τάξιν πιστευθῇ μίαν τινὰ, ὧν πιστεύονται οἱ ἐν συναγωγῇ θεοί· ἀλλὰ καὶ ἐν τῷ “προφῆται “δύο ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν·” ἔοικεν

τὸ διακρίνειν ἐκεῖ ἐπὶ τοῦ διάρθρου λαμβάνειν· οἱονεὶ τρανόντωσαν τὰ λεγόμενα καὶ διακρινέτωσαν καὶ νοείτωσαν· ἐν δὲ τῷ "ὁ δια-"κρινόμενος ἐὰν φάγῃ κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως·" τὸ διακρινόμενον φαίνεται ὅτι ἐπὶ ψόγου λέλεκται· καὶ πάλιν "προ-"λαμβάνεσθε ἀλλήλους μὴ εἰς διακρίσεις διαλογισμῶν ἁμαρ-"τάνοντες."

Εὑρέθη τοίνυν ἀπὸ τῆς γραφῆς ἡ λέξις, ὅτε μὲν ἐπὶ τῶν κρειττόνων τεταγμένη, ὅτε δὲ ἐπὶ τῶν ἐναντίων. ἐνθάδε οὖν λέγεται τὸ διακρίνειν ἀντὶ τοῦ σὲ μὲν οὐδεὶς διακρίνει τῶν ἐν Κορίνθῳ οὐδὲ κρίνει· σὺ δὲ διακρίνεις οἰκονόμους μυστηρίων Θεοῦ· καὶ λέγεις, ἐγὼ εἰμὶ Παύλου, καὶ φάσκεις ἐγὼ Κηφᾶ· ἢ φῄς, ἐγὼ εἰμὶ Ἀπολλώ· Θεοῦ ἔργον ἐστὶ τὸ διακρίνειν τοὺς Ἀποστόλους, οὐ σόν· ὥσπερ οὖν οὐ χρήσει κρίνειν οὐδὲ διακρίνειν τοὺς ὑπηρέτας τοῦ Εὐαγγελίου· ἐν τῇ γὰρ διακρίσει ᾗ διακρίνεις τοὺς Ἀποστόλους, αὐτὸς σαυτὸν διακρίνεις καὶ χωρίζεις ἁμαρτάνων· Χριστὸς γὰρ ἦλθεν τὰ διακεκριμένα ἑνῶσαι· ἵνα μηκέτι ἦμεν διῃρημένοι· ἐὰν τελειωθῶμεν, ὥστε τὴν σάρκα μηκέτι ἐπιθυμεῖν κατὰ τοῦ πνεύματος· τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκὸς, τῷ νενεκρῶσθαι τὰ μέλη τὰ ἐπὶ τῆς γῆς· οὐκ ἔτι ἐσόμεθα ἐν διακρίσει, ἀλλ' οἱονεὶ ἐν ἐγκρίσει[z] καὶ τῇ ἐπὶ τὸ αὐτὸ συναγωγῇ ἡμῶν.

Νοείσθω δὲ καὶ ἁπλούστερον ἐπὶ διαφόρων σχισμάτων. εἴδωμεν δὲ καὶ τὸ "τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες;" ἀμφίβολος γὰρ ἡ λέξις· δύναται γὰρ νοεῖσθαι, ὅτι πᾶν κτῆμα ὃ ἔχομεν λαβόντες, ἀπὸ Θεοῦ ἔχομεν. καὶ πάλιν· "τί προσποιῇ ἔχειν, ὃ μὴ ἔλαβες;" οἷον ἐάν τις μὴ λαβὼν χάρισμα ἄνωθεν παρὰ Θεοῦ, προσποιεῖται ἐν χαρίσματι εἶναι. λέγεται πρὸς τὸν τοιοῦτον μὴ λαβόντα, "τί "δὲ ἔχεις, ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες· τί καυχᾶσαι ὡς μὴ "λαβών; ἤδη κεκορεσμένοι ἐστὲ, ἤδη ἐπλουτήσατε· χωρὶς ἡμῶν "ἐβασιλεύσατε·" ὁ πεινῶν καὶ διψῶν τὴν δικαιοσύνην καὶ τῶν λογίων τῆς ἀληθείας, οὐκ ἀρκεῖται ἑνὶ διδασκάλῳ· ἀλλ' ἐὰν εὕρῃ δεύτερον· συγχρῆται καὶ τούτῳ· ἀκορέστως γὰρ ἔχει τῶν καλῶν· ἐὰν καὶ τρίτου εὐπορήσῃ· γίνεται καὶ παρὰ τὸν τρίτον, οὐκ ἀποδιελὼν ἑαυτῷ ἕνα λέγει, ἐγώ εἰμι Παύλου, ἢ Κηφᾶ ἢ Ἀπολλώ. ἐπεὶ οὖν ἐμφαίνει τὸ κεκορέσθαι τῶν πλειόνων[a] τῶν διδασκάλων

[z] ἐναγκράσει Cod.   [a] Deest aliquid.

καὶ Παύλου διδάσκοντος καὶ Κηφᾶ καὶ Ἀπολλὼ ἑνὶ προκλινόμενον μὴ ὠφελεῖσθαι ἀπὸ πάντων.

Διὰ τοῦτο λέγει Κορινθίοις "ἤδη κεκορεσμένοι ἐστέ;" ἀκόλουθον δὲ τούτῳ τὸ "ἤδη ἐπλουτήσατε," οἷον συνηγάγετε τὸν πλοῦτον τὸν ἀπὸ τῶν μαθημάτων τῶν ἀπὸ Παύλου· καὶ οὐκ ἔτι χρήσετε τῶν Ἀπολλὼ ἢ τῶν ἀπὸ Κηφᾶ· ἢ πάντων καταφρονεῖτε, ὡς ἐμπεφορημένοι καὶ πλουτοῦντες ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει· ἀκολούθως δὲ καὶ τοῦ "χωρὶς ἡμῶν ἐβασιλεύσατε·" ἐμὲ γὰρ τὸ ὅσον ἐφ' ὑμῖν ἀπεχωρίσατε τῆς βασιλείας, καὶ ἑαυτοὺς δὲ ἀπὸ τῶν λοιπῶν, ἑνί τινι προσκλιθέντες· καὶ οὐ λέγει χωρὶς ἐμοῦ· ἀλλ' "ἡμῶν," ἵνα ἐμπεριλάβῃ, καὶ κοινὸν αὐτὸ ποιήσῃ· "καὶ ὄφελόν γε ἐβασιλεύσατε· ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύ-"σωμεν·" ἅμα δὲ τάχα καὶ μυστήριόν τι ὑποβάλλει κατὰ τὸν τόπον· οἱ γὰρ ὑποδεέστεροι τάχιον ἐν τῇ ἐπαγγελίᾳ γίνονται· οἱ δὲ τελειότεροι βράδιον ἀπολαμβάνουσι τὰς ἐπαγγελίας. καὶ τοῦτο ἀπὸ γραφῆς δείξω. οἱ ὑπὸ τῷ Μωσῇ κληροδοτούμενοι, πρῶτοι εἰλήφασι τὴν ἐπαγγελίαν· οἱ δὲ ὑπὸ τοῦ Ἰησοῦ κληροδοτούμενοι, ὕστερον εἰλήφασιν· ἀλλὰ καὶ περὶ πάντων τῶν δικαίων λέγεται τὸ "οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομί-"σαντο τὴν ἐπαγγελίαν· τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προ-"βλεψαμένου· ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν·" διὰ τοῦτο φησί, "χωρὶς ἡμῶν ἐβασιλεύσατε· καὶ ὄφελόν γε ἐβασιλεύσατε· ἵνα "καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν·" ὅτ' ἂν γὰρ ὑμεῖς οἱ μαθηταὶ καὶ ἀκροαταὶ βασιλεύσητε· τότε ἀναγκαῖόν ἐστι καὶ ἡμῖν καταντῆσαι ἐπὶ τὴν τοῦ Θεοῦ καὶ Κυρίου Ἰησοῦ τελείαν βασιλείαν.

ἸΩΑΝΝΟΥ. "Ἤδη κεκορεσμένοι ἐστέ· ἤδη ἐπλουτήσατε·" τοῦτ' ἔστιν, οὐδενὸς δεῖσθε λοιπόν· τέλειοι ἐγένεσθε· τὴν κορυφὴν[b] αὐτὴν κατέχετε· οὐδενὸς ἐν χρείᾳ καθεστηκέναι νομίζετε· οὐκ Ἀποστόλων, οὐ διδασκάλων· καλῶς δὲ τὸ "ἤδη" εἶπεν· ἀπὸ τοῦ χρόνου δεικνὺς τὸ ἀπίθανον αὐτῶν καὶ τὴν ἄλογον αὐτῶν οἴησιν· τὰ γὰρ τελειότερα ἐν τῷ μέλλοντι αἰῶνι μένει· τὸ δὲ ἀπὸ ὀλίγων κορεσθῆναι, ψυχῆς ἐστιν ἀσθενοῦς· τὸ δὲ ἀπὸ ὀλίγων νομίζειν πράττειν, ναυτιώσης καὶ ταλαιπώρου· ἀκόρεστον γὰρ ἡ εὐλάβεια.

[b] κοριφὴν Cod.

Τοῦ αὐτοῦ. Κατὰ ἦθος ὁ λόγος προκεῖται· καὶ πρῶτον μὲν τὸ ἀσυνείδητον αὐτῶν ἐνδείκνυται, ὅτι φησὶ, τηλικούτων ἀξιωθέντες δωρεῶν, οὐ βούλεσθε ἡμᾶς κοινωνοὺς καὶ μετόχους τῶν δοθέντων ὑμῖν ποιῆσαι· ἀλγῶν, φησὶ, ταῦτα λέγω· εἴθε γὰρ ἦτε, φησὶ, βασιλεύσαντες· ἀλλ' οὐκ ἔσται· εἶτα, ἵνα μὴ δόξῃ κατὰ εἰρωνείαν τοῦτο εἰρηκὼς τὸ "καὶ ὄφελόν γε ἐβασιλεύσατε" δείκνυσιν ὅτι καὶ πάνυ τοῦτο ἤθελεν· πῶς; ὅτι, φησὶν, ἡ ὑμῶν βασιλεία, ἐμὴ ἦν· δόξα γὰρ διδασκάλῳ, τῶν μαθητῶν ἐν πίστει πλουτησάντων.

Φωτίου. Διατί "δι' ὑμᾶς μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλώ;" "δι' ὑμᾶς," φησὶν, ἵνα μὴ ἀνιάσω ὑμᾶς, ὀνόματι καθαπτόμενος· διορθοῦσθαι μὲν γὰρ ἔσπευδεν· ἀνιᾶν δὲ ἐφυλάττετο· διὰ δὲ τοῦ μετασχηματισμοῦ, φησὶν, ἀμφότερα ὑμῖν βουλομένοις ἔσται· καὶ τὸ διορθωθῆναι, καὶ τὸ ἀλυπώτερον ἀκοῦσαι τῶν ἐπὶ τῇ διορθώσει ἐλέγχων· ἐποίει δὲ τοῦτο καὶ ἵνα μὴ ὡρισμένα πρόσωπα τῷ ἐλέγχῳ καθυποβάλλων, δόξῃ ἀνθρωπίνῃ τινὶ προσπαθείᾳ ἢ ἀντιπαθείᾳ τοὺς μὲν ἐᾶν, τῶν δὲ κατατρέχειν· ἄλλως τε δὲ καὶ ἵνα μὴ ἐν τῇ τοιαύτῃ διακρίσει, ὧν μὲν καθήψατο, τούτους εἰς ἀπόγνωσιν ἐμβάλλῃ, ἢ εἰς ὀργὴν καὶ φιλονεικίαν μείζονα ἀνάψῃ· ὧν δ' οὐκ ἐπὶ τοῖς ἐλέγχοις οὐκ ἐμνήσθη, τούτους δὲ ἄρα διὰ τοῦτο τύφου μᾶλλον καὶ ἀπονοίας ἐμπλήσῃ. διὸ εἰκότως ἐξ ὀνόματος οὐ καθήψατο· ἀλλ' εἰς ἑαυτὸν καὶ Ἀπολλὼ τὸν ἔλεγχον μετασχηματίσας, καθαρὰν καὶ εὐπρόσοδον τὴν νουθέτησιν κοινὴν ἅπασιν ἐποιήσατο.

9 Δοκῶ γὰρ ὅτι ὁ Θεὸς ἡμᾶς τοὺς Ἀποστόλους ἐσχά-
τους ἀπέδειξεν ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν
10 τῷ κόσμῳ καὶ Ἀγγέλοις καὶ ἀνθρώποις. ἡμεῖς μωροὶ
διὰ Χριστὸν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθε-
νεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι.
11 ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ
12 γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ
κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσί· λοιδορούμενοι,
13 εὐλογοῦμεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι,

παρακαλοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι.

Ἰωάννου[b]. Πολλὴν τὴν ἔμφασιν καὶ τὴν βαρύτητα ἐπιδείκνυται πάλιν τῷ εἰπεῖν "ἡμᾶς·" καὶ οὐδὲ τούτῳ ἠρκέσθη· ἀλλὰ καὶ τὸ ἀξίωμα ἐπήγαγεν, σφόδρα αὐτῶν καθικνούμενος· ἡμᾶς, φησὶ, τοὺς Ἀποστόλους τοὺς τὰ μυστήρια[c] ὑπομένοντας κακά· τοὺς σπείροντας τὸ κήρυγμα τῆς εὐσεβείας· τούτους "ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους," τοῦτ' ἔστιν ὡς καταδίκους· ἐπειδὴ γὰρ εἶπεν, "ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν καὶ ἐχάλεσεν[d] τῷ λόγῳ τῷ σφοδρῷ· ἵνα μὴ αὐτοὺς ἐκλύσῃ, ἀναλαμβάνει πάλιν αὐτὸ μετὰ πλείονος βαρυθυμίας, καὶ φησίν· "δοκῶ γὰρ ὅτι ὁ Θεὸς ὑμᾶς τοὺς Ἀποστόλους, ἐσχάτους ἀπέδει-" ξεν ὡς ἐπιθανατίους·" ὡς γὰρ ὁρῶ, φησὶ, καὶ ἐξ ὧν ὑμεῖς φατὲ, οἱ πάντων ἀτιμότεροι καὶ κατάδικοι ἡμεῖς ἐσμέν· εἴ γε ἡμεῖς μὲν εἰς τὸ πάσχειν ἀεὶ κακῶς προβεβλήμεθα, ὑμεῖς δὲ ἤδη βασιλείαν καὶ τιμὰς καὶ τὰ ἔπαθλα φαντάζεσθε. βουλόμενος δὲ εἰς πλείονα ἀτοπίαν ἐπαγαγεῖν τὸν λόγον, καὶ δεῖξαι αὐτὸν ἀπίθανον μεθ' ὑπερβολῆς· οὐκ εἶπεν ἁπλῶς ἡμεῖς ἐσμὲν ἔσχατοι· ἀλλ' ὁ Θεὸς ἡμᾶς ἐσχάτους ἐποίησεν· καὶ οὐκ ἠρκέσθη τῷ εἰπεῖν ἐσχάτους· ἀλλὰ καὶ "ἐπιθανατίους," ἵνα καὶ ὁ σφόδρα ἀνόητος συνίδῃ τῶν εἰρημένων τὸ ἀπίθανον, καὶ ὅτι ἀλγοῦντος ἦν τὰ λεγόμενα.

"Ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ καὶ Ἀγγέλοις καὶ ἀνθρώ-" ποις·" οὐκ ἐν γωνίᾳ, φησὶ, μιᾷ οὐδὲ ἐν μικρῷ τῆς οἰκουμένης μέρει ταῦτα πάσχομεν· ἀλλὰ πανταχοῦ καὶ ἐπὶ πάντος· τί δέ ἐστι "καὶ Ἀγγέλοις;" ἔστιν μὲν ἀνθρώποις εἶναι θέατρον, μηκέτι δὲ Ἀγγέλοις, ὅταν εὐτελῆ τὰ γενόμενα ᾖ· τὰ δὲ ἡμῶν παλαίσματα τοιαῦτα, ὡς καὶ τῆς ἀγγελικῆς θεωρίας ἄξια εἶναι. "ἡμεῖς μωροὶ" διὰ Χριστόν· ὑμεῖς δὲ φρόνιμοι·" καὶ τοῦτο ἐντρεπτικῶς εἴρηκε· δεικνὺς ὅτι πρᾶγμά ἐστιν ἀδύνατον ταῦτα συμβῆναι· καὶ οὐκ ἔστιν ἐν τοῖς αὐτοῖς τὰ τοσοῦτον ἀλλήλων ἀπέχοντα συνελθεῖν· πῶς γὰρ[e] φησὶν, ὑμᾶς μὲν φρονίμους εἶναι, ἡμᾶς δὲ μωροὺς ἐν τοῖς κατὰ Χριστὸν πράγμασιν· ἐπειδὴ γὰρ ἐτύπτοντο καὶ

[b] Ψ Cod. [c] Deest aliquid. [d] Sic. an ἐχαλίνωσεν? [e] Sic.

κατεφρονοῦντο καὶ ἠτιμάζοντο· ἐκεῖνοι δὲ τιμῆς ἀπήλαυον, καὶ σοφοί τινες καὶ συνετοὶ παρὰ πολλοῖς ὑπωπτεύοντο, ταῦτα φησίν· ὅτι πῶς ἔνι τοὺς τὰ τοιαῦτα κηρύσσοντας, ἐπὶ τοῖς ἐναντίοις ὑποπτεύεσθαι εἶναι.

Θεοδωρίτου. Τὴν γὰρ παρὰ τοῖς πιστοῖς ὑπειλημμένην μωρίαν κηρύττομεν· "ὑμεῖς δὲ φρόνιμοι·" καὶ ἵνα μὴ σφόδρα πλήξῃ, προστέθεικεν "ἐν Χριστῷ·" ἀντὶ τοῦ γένοιτο ὑμᾶς τὴν ἀληθῆ φρόνησιν ἔχειν· "ἡμεῖς ἀσθενεῖς· ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς "ἔνδοξοι· ἡμεῖς δὲ ἄτιμοι·" εἶτα κατ' εἶδος ἀπαριθμεῖται τὰ παθήματα· "μέχρι τῆς ἄρτι ὥρας" καὶ πεινῶμεν, καὶ διψῶμεν, "καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ "κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσίν." διὰ δὲ τούτων ἁπάντων τὴν καρτερίαν ἐγύμνωσεν· διὰ δὲ τῶν ἑξῆς, τὴν τελειοτέραν φιλοσοφίαν.

Θεοδώρου. Τὸ γὰρ ἐπὶ τοσούτοις μηδεμίαν ἔχειν ἔξωθεν παραμυθίαν, ἀλλὰ καμάτῳ πορίζεσθαι τὴν ἐφήμερον τροφήν· ἀνυποίστως ἐποίει τῶν κακῶν τὴν πεῖραν· "λοιδορούμενοι, εὐλο-"γοῦμεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦ-"μεν·" λοιδορίαν λέγει, τὰς εἰς αὐτὸν ὕβρεις· βλασφημίαν δὲ, τὰ παρὰ τῶν ἐναντίων λεγόμενα ἐπὶ διαβολῇ βίου· ὅθεν ἐπὶ μὲν τοῦ πρώτου τὸ "εὐλογοῦμεν" τέθεικεν· ἀντὶ τοῦ εὐχόμεθα ὑπὲρ τῶν ὑβριζόντων· ἐπὶ δὲ τοῦ δευτέρου "παρακαλοῦμεν" ἀντὶ τοῦ ἠπίως τοῖς διαβάλλουσι διαλεγόμεθα, παρακαλοῦντες μὴ καταψεύδεσθαι ἡμῶν.

Θεοδωρίτου. Οὐδὲν φησὶ διαφέρομεν τῶν ἐν ταῖς οἰκίαις ὡς περιττῶν ἀπορριπτομένων λαχάνων ἢ λεμμάτων ἢ ἄλλων τοιούτων τινῶν· οὕτως εὐτελεῖς τινες τοῖς πλείοσιν ὑπειλήμμεθα· "πάν-"των περίψημα ἕως ἄρτι" ἀντὶ τοῦ χάριν πολλὴν ὁμολογῶ· τοῦτο οὐ περὶ τῶν διωκόντων ἔφη, ἀλλὰ περὶ τῶν τὸ κήρυγμα δεξαμένων.

Θεοδώρου. Τὸ "περίψημα" ἐκ μεταφορᾶς εἴρηται ταύτας τὰς τραπέζας μετὰ τὸν τοῦ φαγεῖν καιρὸν ἀποψώντων καὶ ἀπορριπτόντων ὡς περιττὰ ψήγματα.

Ἰωάννου. "Ὡς περικαθάρματα ἐγενήθημεν τῷ κόσμῳ·" τοῦτ' ἔστι μωροὶ διὰ Χριστόν· ὁ γὰρ κακῶς παθὼν καὶ μήτε

ἀμυνόμενος μήτε ἀλγῶν, μωρὸς εἶναι δοκεῖ παρὰ τοῖς ἔξωθεν καὶ ἄτιμος καὶ ἀσθενής· "πάντων περίψημα ἕως ἄρτι·" εὔτονον τὴν πληγὴν ἔδωκεν πρὸς τῷ τέλει· "πάντων περίψημα ἕως ἄρτι" δὲ οὐ τῶν διωκόντων φησίν· ἀλλὰ τῶν δι' οὓς πάσχομεν· τοῦτ' ἔστι χάριν ἔχω πολλὴν αὐτοῖς· βαρυθυμοῦντος τὰ ῥήματα· οὐκ αὐτοῦ ἀλγοῦντος, ἀλλ' ἐκείνους πλῆξαι βουλομένου· ὁ γὰρ μυρία ἔχων ἐγκαλεῖν ἀσπάζεται.

ʼΩΡΙΓΈΝΟΥΣ. *Ὅσῳ τίς ἐπιδικάζεται τῶν ἀληθινῶν καὶ ἐπουρανίων πρωτείων, τοσούτῳ ἀπὸ τῆς ταπεινοφροσύνης ἔσχατος γίνεται πάντων ἀνθρώπων· οἶμαι καὶ τοιοῦτόν τι τὸν Ἀπόστολον νενοηκότα εἰρηκέναι· ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἀνθρώπων ἐδόθη ἡ χάρις αὐτή· οὐχ ὅτι κατὰ τὸν ἁγιασμὸν ἐλάττων ἦν πάντων ἁγίων· τοῦτο γὰρ οὔτε ἐφρόνει, οὔτε εἰ ἔλεγεν ἠλήθευεν· ἀλλ' ἐπὶ πάντων τῶν πιστευόντων ταπεινότερον ἑαυτὸν ἐποίει, γενόμενος ἤπιος ἐν μέσῳ πάντων, ὡς ἐὰν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα· ἐπεὶ οὖν ἐπετήδευον οἱ Ἀπόστολοι ἔσχατοι εἶναι τῇ ἑαυτῶν προαιρέσει· πάντι δὲ ἐπιτηδεύματι καλῷ, ἐὰν μὴ μαρτυρήσῃ ὁ Θεὸς, καὶ πληρώσῃ τὸ βούλημα τοῦ ἐπιτηδεύοντος, οὐκ ἀκολούθει τὸ ἀγαθὸν τέλος διὰ τοῦ ἐπιτηδεύοντος· διὰ τοῦτο τυχὸν εἴρηκεν ὁ Ἀπόστολος· "δοκῶ γὰρ ὁ Θεὸς ἡμᾶς τοὺς Ἀποστόλους ἐσχά- "τους ἀπέδειξεν ὡς ἐπιθανατίους·" εἰ γὰρ καὶ ἐγὼ, φησὶν, πεποίηκα, καὶ οἱ Ἀπόστολοι, ἵνα ἔσχατοι γινώμεθα· ἀλλ' ἀποδείξεως ἐδεόμεθα καὶ τῆς ἀπὸ Θεοῦ χάριτος, ἵνα τελειωθῶμεν ἐν τῷ ἔσχατοι εἶναι τῷ κόσμῳ· τὸ δὲ "δοκῶ" ὥσπερ ἀλλαχοῦ εἶπεν "δοκῶ δὲ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν."*

Ἁρμόζον δὲ καὶ τοῖς ἀπὸ Θεοῦ ἀποδεδειγμένοις ἐσχάτοις τὸ γενέσθαι πρώτοις παρὰ τῷ Θεῷ· ἀληθὲς γὰρ ὅτι οἱ ἔσχατοι γίνονται πρῶτοι· ἁρμόζει δὲ αὐτοῖς καὶ τὸ εἶναι "ἐπιθανατίους." ὅσῳ γάρ τις τελειότερον χριστιανίζει· τοσούτῳ μᾶλλον ἐπιθανάτιός ἐστιν· πότε γὰρ οὐ κινδυνεύει, ἐλέγχων τὸν ἁμαρτάνοντα, πολλάκις[f] ἰσχυρότερον ὑπάρχοντα ἐν τῷ βίῳ, καὶ κολάσαι δυνάμενον; ἐπιδημῶν τόποις ὅπου οὐκ ὠνομάσθη Χριστὸς, καὶ τιθεὶς θεμέλιον ξένιζοντα καὶ ταράσσοντα τοὺς ἀκούοντας; ἀληθῶς γὰρ ἔλεγεν ὁ Παῦλος, "καθ' ἡμέραν ἀποθνήσκων, καὶ τὴν ἡμετέραν

[f] πολλάκης Cod.

“καύχησιν ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.” ἀλλ’ ὑποφαίνον[g] τί μοι ἐρευνῶντι τὸν λόγον διχῶς δύνασθαι τὸν ἐπιθανάτιον λαμβάνεσθαι· καθ’ ἕνα μὲν τὸν εἰρημένον τρόπον καθ’ ὃν δεῖ πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέρειν· καθ’ ἕτερον δὲ ἐπιθανάτιός ἐστιν ὁ δίκαιος, σύμμορφος ὢν τοῦ θανάτου τοῦ Χριστοῦ ἀεὶ ἀποθνήσκοντος τῷ κόσμῳ· οὕτω δὲ πρέπον ἐστὶ Θέον ἀποδεικνύναι καὶ ἐσχάτους καὶ ἐπιθανατίους τοὺς Ἀποστόλους τοῦ Χριστοῦ ὄντας.

Εἶτα ἀναγκαῖόν ἐστιν ἰδεῖν τὸ “ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ καὶ Ἀγγέλοις καὶ ἀνθρώποις·” ἐὰν Παῦλος ἀγωνίζηται καὶ Πέτρος, οἱ Ἄγγελοι τοῦ Θεοῦ ἐπὶ τὴν καινὴν θέαν ταύτην ἐπείγονται, ἵνα εἴδωσιν ἄνθρωπον σάρκα περιβεβλημένον, “παλαίοντα πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ κόσμου τούτου· πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.” καὶ οἱ ἄνθρωποι δὲ παρεγίνοντο καινὸν θέαμα ἰδεῖν, κήρυκα καὶ διδάσκαλον καινοῦ λόγου· οὕτως ὁ Παῦλος θέατρον ἦν ὅλων τῶν ἐπὶ γῆς καὶ “τῶν Ἀγγέλων τῶν εὐφραινομένων ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.” εἶτα ὁ τηλικοῦτος ὡς ἔσχατος ἐν κόσμῳ ἐπιπλήσσει τοῖς πεφυσιωμένοις, καὶ φησὶν πρὸς αὐτούς· “ἡμεῖς μωροὶ διὰ Χριστόν·” Παῦλος γὰρ διδούς μοι ἐντολὴν καὶ λέγων· “εἴ τις δοκεῖ ἐν ὑμῖν σοφὸς εἶναι, ἐν τῷ αἰῶνι τούτῳ μωρὸς γενέσθω, ἵνα γένηται σοφός·” πολλῷ πλέον αὐτὸς ἐτήρει τὸ ἐν κόσμῳ τούτῳ μωρὸς γενέσθαι· πῶς γὰρ οὐκ ἦν ἐν τῷ κόσμῳ τούτῳ μωρός; καταγγέλλων τὸν ἐσταυρωμένον καὶ ἀνάστασιν νεκρῶν καὶ τὰ περὶ τοῦ μέλλοντος αἰῶνος, καὶ πείθων τοὺς ἀνθρώπους καταφρονεῖν τῆς παρούσης ζωῆς. εἶτα εἰρωνεία “ὑμεῖς φρόνιμοι, φησὶν, ἐν Χριστῷ.” οὐ γὰρ ἦσαν ἀληθῶς φρόνιμοι ἐν Χριστῷ, ἀλλὰ ταῦτα λέγων εἰρωνικῶς, προέτρεπεν αὐτοὺς γενέσθαι φρονίμους ἐν Χριστῷ· “ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι·” οὐκ ἔτι προσέθηκεν· ὑμεῖς ἔνδοξοι ἐν Χριστῷ· ἐὰν γὰρ ἴδῃς πολλοὺς τῶν πιστεύειν δοκούντων ἔχοντες ἀξιώματα κοσμικά· λέγε πρὸς αὐτοὺς, ἐὰν σὺ ταπεινὸς ἦς ἐν κόσμῳ· “ὑμεῖς ἔνδοξοι· ἡμεῖς δὲ ἄτιμοι· ἡμεῖς ἀσθενεῖς· ὑμεῖς δὲ ἰσχυροί·” οὐδὲν γὰρ ἀσθενέστερον ἀληθινοῦ Χριστιανοῦ· ὡς πρὸς τὸν κόσμον τοῦτον.

[g] Fors. ὑπέφαινεν.

Σευηριανου. Ἀντὶ τοῦ ἀποψήγματα, ὥσπερ ἀποσαρώματα καὶ κόπρος ἐξ οἴκου ἀποκαθαρθέντος λειφθεῖσα γεγόναμεν, ἀπὸ πάντων εὐτελιζόμενοι· καὶ ἐσμὲν πάντων ἀποκαθάρματα, πᾶσιν ἀνθρώποις ὑποτιθέντες ἑαυτοὺς διὰ Χριστόν.

Φωτίου. Δυνατὸν δὲ καὶ κατὰ ἀπόφασιν ἐξ εὐθείας λαβεῖν τὸ ῥητόν· δοκῶ γάρ, φησίν, ὅτι ἡμᾶς τοὺς Ἀποστόλους ἐσχάτους κηρύκας καὶ διδασκάλους ὑμῶν προεστήσατο· μεθ' οὓς οὐκ ἄν τις ἄλλους ἀλλαχόθεν ποθὲν ἀναφανέντας ὀφείλει προσδέχεσθαι· οὐ γὰρ ἂν εἴποιεν ὅτι καὶ αὐτοὶ ἀπὸ Χριστοῦ ἀπεστάλησαν· ἡμεῖς γάρ ἐσμεν οἱ ἐπιθανάτιοι ἀποσταλέντες· τὸ δὲ οἱ ἐπιθανάτιοι διχῶς ἂν νοηθείη· ἢ ὅτι οἱ κατ' αὐτὸν τὸν θάνατον κυρωθέντες εἶναι μαθηταί, συντάττων καὶ ἑαυτὸν τοῖς ἄλλοις μαθηταῖς, καὶ ἀπὸ τῶν πλειόνων οὕτως πάντας ὀνομάζων· ἢ μεταφορικῶς τὸ ἐπιθανάτιοι, οἷον οἱ βέβαιοι, οἱ ἀληθινοί, μεθ' οὓς οὐκ εἰσὶν ἄλλοι· ἀπὸ τῶν ἐπιθανατίων διαθηκῶν· αὗται γάρ εἰσι βέβαιοι καὶ ἀμετακίνητοι· αἵ τε γὰρ πρὸ αὐτῶν κινοῦνται, καὶ αἱ μετὰ ταύτας πλασταὶ καὶ κίβδηλοι καὶ ἀπόβλητοι νόμῳ τυγχάνουσιν· καὶ τὸ "δοκῶ" δὲ οὐ δισταγμοῦ, ἀλλ' ἤθους ἐστὶν ἐμφατικόν· εἶτα καὶ πόθεν δῆλον, φησίν, ὅτι ἔσχατοι καὶ τελευταῖοι, καὶ μεθ' οὓς οὐκ ἔστιν ἄλλους ἀλλὰ κηρύσσοντας ἀποδειχθῆναι· "θέατρον ἐγενήθημεν τῷ κόσμῳ" φησίν· ὁ κόσμος ὁ αὐτὸς καὶ ἡ οἰκουμένη τοῦτο μαρτυρεῖ· καὶ οὐ μόνον ἄνθρωποι, ἀλλὰ καὶ αἱ ἄνω τῶν Ἀγγέλων τάξεις· πῶς οὖν ὑμεῖς ὡς ἀρχηγοὶ καινῆς διδασκαλίας καὶ καθηγηταὶ φυσιοῦσθε καὶ ἐπαίρεσθε; εἰ μὲν γὰρ ἃ παρ' ἡμῶν παρειλήφατε διδάσκετε· μαθηταὶ ἐστὲ καὶ μάτην ἐφυσιώθητε· εἰ δὲ ἕτερα παρ' ἃ παρειλήφατε· γινώσκετε ὅτι ἡμεῖς ἐσμὲν οὓς ἐσχάτους καὶ τελευταίους καὶ ἐπιθανατίους ὁ Θεὸς ἀπέδειξεν· πόθεν οὖν ὑμεῖς παρειληφότες διδάσκετε; εἰ γὰρ ἡμεῖς ἐσμέν, οὓς ὁ Χριστὸς ἐσχάτους καὶ ἐπιθανατίους Ἀποστόλους ἀπέδειξεν, δῆλον ὅτε[h] χρηστὸν παρειλήφατε μάθημα καὶ κατόρθωμα, ἐκ τῶν ἡμετέρων πόνων καὶ τῆς διδασκαλίας ὑμῖν προσγεγόνασιν[i]· εἴθε οὖν ἐν τούτοις ἐπλουτίσατε· εἴθε ἐβασιλεύσατε· ἵνα καὶ ἡμεῖς ὑμῖν οἱ τὰ σπέρματα τῆς θεογνωσίας καὶ τῶν ἀρετῶν καταβάλ-

[h] εἴτε Cod. [i] προσγέγονεν Ed. Œcum.

λοντες συμβασιλεύσωμεν· ἀλλὰ δέδοικα μὴ οὐχ οὕτως ἔχει τὰ ὑμέτερα.

14 Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ' ὡς τέκνα
15 μου ἀγαπητὰ νουθετῶ. ἐὰν γὰρ μυρίους παιδαγωγοὺς
ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ
Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα·
16 παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε· διὰ τοῦτο
17 ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστι τέκνον μου ἀγαπητὸν
καὶ πιστὸν ἐν Κυρίῳ, ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου
τὰς ἐν Χριστῷ, καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ
18 διδάσκω· ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς ἐφυσιώ-
19 θησάν τινες· ἐλεύσομαι δὲ ταχέως πρὸς ὑμᾶς, ἐὰν ὁ
Κύριος θελήσῃ, καὶ γνώσομαι, οὐ τὸν λόγον τῶν πεφυ-
20 σιωμένων, ἀλλὰ τὴν δύναμιν. οὐ γὰρ ἐν λόγῳ ἡ βασι-
λεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει.

Ὠριγένους. *Ταῦτα ἁπλούστατα δοκεῖ εἶναι. καὶ μὴ δεόμενα τινος διηγήσεως· ἔχει δὲ κεκρυμμένα νοήματα· οὐδεὶς ἀνὴρ παιδαγωγεῖται, ἀλλ' εἴ τις νήπιος καὶ ἀτελής· καὶ οὐκ ἂν ἔγραφεν Ἐφεσίοις ταῦτα, ἀλλὰ Κορινθίοις, πρὸς οὓς "γάλα ὑμῖν ἐπότισα, "οὐ βρῶμα· οὔπω γὰρ ἐδύνασθε· ἀλλ' οὐ δὲ ἔτι νῦν δύνασθε· ἔτι "γὰρ ἐστε σαρκικοί· κἀγὼ οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευμα-"τικοῖς· ὡς νηπίοις ἐν Χριστῷ·" ἔτι δὲ καὶ τοῦτο κατανοητέον ἐὰν καὶ δεώμεθα παιδαγωγοῦ πάντες οἱ πεπιστευμένοι· τοῦτο παράδειγμα τὸν λόγον τὸν βίον διδότω τῇ ἡμετέρᾳ εὐταξίᾳ· ἔστιν οὖν πατὴρ μὲν ὁ πρῶτος σπείρας τὸν Χριστιανισμὸν ἐν ψυχῇ· παιδαγωγὸς δὲ, ὁ μετὰ τοῦτο παραλαβὼν παῖδα καὶ ἄγων αὐτόν.*

"Παρακαλῶ οὖν ὑμᾶς ἀδελφοὶ μιμηταί μου γίνεσθε·" τοῦτ' ἔστιν, ὡς μετριάζω μετριάζετε, ὡς πάσχω πάσχετε· ἀπὸ τῶν παθημάτων, μὴ ἀπὸ τῶν χαρισμάτων σεμνύνεσθε· "διὰ τοῦτο "ἔπεμψα ὑμῖν Τιμόθεον ὃς τέκνον μοῦ ἀγαπητὸν καὶ πιστὸν ἐν "Χριστῷ· ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδοὺς μοῦ τὰς ἐν Χριστῷ· "καθῶς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω." καὶ τὴν περὶ αὐτοὺς διάθεσιν ἔδειξε τοῦ Τιμοθέου φιλοστοργίαν, "τέκνον ἀγαπητὸν"

ὀνομάσας· καὶ τὴν ἄλλην δὲ αὐτοῦ δεδήλωκεν ἀρετὴν, "πιστὸν "ἐν Κυρίῳ" καλέσας· οὗτος, φησὶ, τὰς ἐμὰς διηγήσεται πράξεις· ὁδοὺς γὰρ τὰς πράξεις καλεῖ· ταύτας δὲ οὐκ εἶπεν διδάξει· ἀλλ' ὅτι "ἀναμνήσει·" λήθην δὲ αὐτῶν ὁ λόγος κατηγόρει· αὐτόπται γὰρ ἐγεγόνεσαν τῆς ἀποστολικῆς ἀρετῆς· προστέθεικεν δὲ ὅτι καὶ ταῖς ἐκκλησίαις πάσαις τήνδε προφέρειν εἴωθεν τὴν διδασκαλίαν. ταῦτα κοινῇ πάντων κατηγορήσας, κατὰ τοῦ πεπορνευκότος λοιπὸν ἐκφέρει τὴν ψῆφον· "ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώ-"θησάν τινες·" προειδὼς αὐτοῦ τὴν μεταμέλειαν ὁ θεσπέσιος Παῦλος οὐ τίθησι τὴν προσηγορίαν· ἵνα μὴ πᾶσιν ἀνθρώποις κατάδηλος γένηται· ἀλλ' ἀορίστως ἔφη "τινές."

Σευηριανοῦ. Ὁρᾷς ὅτι ἐκεῖνα τὰ λεγόμενα αὐτῷ τὸ "ἡμεῖς "ἀσθενεῖς, ὑμεῖς δυνατοὶ" καὶ τὰ ἄλλα πάντα· πρὸς τὸ πεφυσιῶσθαι τινὰς ἐλέγετο καὶ ἐπῆρθαι· "ἐλεύσομαι δὲ ταχέως πρὸς "ὑμᾶς, ἐὰν ὁ Κύριος θελήσῃ· καὶ γνώσομαι οὐ τὸν λόγον τῶν "πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν." δι' ὧν φησὶ καὶ ἐλέγχει ἰσχυρῶς, καὶ μαρτυρεῖ αὐτὸς ἐπιτηδειότητα πρὸς ἐπανόρθωσιν τῷ τὴν παρουσίαν ἑαυτοῦ ἀπειλεῖν· ὡς γὰρ ἐφανείη τὰ [h] ταπεινουμένων ἐπαγγέλλεται τὴν παρουσίαν τῷ λόγῳ, πρὸ τῆς παρουσίας διορθούμενος· πλὴν ἀλλὰ προσέθηκεν τὸ "ἐὰν ὁ Κύριος θελήσῃ·" ὑπὸ μὲν τῆς ἀγανακτήσεως ἠπείχθη εἰπεῖν ὅτι ἐλεύσομαι· "ὑπὸ δὲ τῆς [i] ἐλεὺλαβείας ὑπεμνήσθη προσθεῖναι τὴν καλλίστην "προσθήκην τὴν ἐὰν ὁ Κύριος θέλει." ἐνταῦθα δὲ ὃ πρότερον ἐπεσκιασμένως ἔλεγεν, ἵνα μὴ δόξῃ σφοδρῶς ἐλέγχειν ἀνακαλύπτει· οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, δηλονότι τῷ εὐπαιδεύτῳ· οὐ γὰρ ἄνευ λόγου ἐδίδασκον οἱ Ἀπόστολοι καὶ ἐκήρυττον.

Θεοδωρίτου. Οὐ γὰρ εὐγλωττίαν ἀλλὰ πρᾶξιν ἐπιζητῶ. οὐκ ἀπόχρη γὰρ εἰς σωτηρίαν τὸ τοῦ Θεοῦ τὴν βασιλείαν κηρύττειν· ἀλλὰ προσήκει καὶ ἄξια πράττειν τῆς βασιλείας.

Ὠριγένους. Λόγον μὲν φησὶ τὴν εὐγλωττίαν ὡς καὶ ἑτέρωθι· "εἰ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει." δύναμιν δὲ τὴν ἀπὸ Θεοῦ· ὅταν γὰρ ἀπὸ Θεοῦ ᾖ ὁ λόγος, δύναμιν ἔχει· διὸ γέγραπται· "Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζόμενοις δυνάμει

h Sic. i Sic.

“ πολλῇ·” καὶ δυνάμει μᾶλλον πεποιθότες οἱ Ἀπόστολοι ἐπεδήμευσαν ταῖς ἐκκλησίαις καὶ ταῖς πόλεσιν, ἤπερ τῷ λόγῳ· οὐ γὰρ εἴ τις καλῶς φράζει, παρὰ τοῦτο τὴν βασιλείαν ἔχει τοῦ Θεοῦ· ἀλλ᾽ ὅπου δύναμις ἐν λόγῳ, ἐκεῖ ἡ βασιλεία τοῦ Θεοῦ· ἥτις καὶ τὴν ἐν ταῖς ψυχαῖς βασιλεύουσαν ἁμαρτίαν ἐξορίζει, καὶ τὴν τοῦ Θεοῦ βασιλείαν ἐντὸς ἡμῶν γενέσθαι παρασκευάζει.

Κυρίλλου. Τίς ἡ ὄνησις λέξεως λαμπρᾶς ἐχούσης τῶν ἀγαθῶν οὐδὲν, ὁποῖα ἡ τῶν Ἑλλήνων ἐστίν· ἡ δέ γε τῆς θεοπνεύστου γραφῆς ἁπλὴ μέν ἐστιν καὶ κατειθισμένη· πλουσίως γε μὴν ὀνίνησι καὶ ἀποφέρει λαμπρῶς εἰς ἐπίγνωσιν ἀληθῆ τοῦ κατὰ φύσιν ὄντος Θεοῦ· ἀποτελεῖ δὲ πρὸς τοῦτο καὶ πάντως ἄξια τοῦ πράγματος ἐπιμελητάς· οὗ δὴ γεγονότος καταπλουτήσειεν ἄν τις καὶ τῶν διὰ Πνεύματος χαρισμάτων τὴν ἀξιόληπτον χάριν· οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τῶν οὐράνων· ἀλλ᾽ ἐν δυνάμει· τὸ δὲ “ ἐν “ δυνάμει” νοήσεις, εἰ μὲν ἐπ᾽ αὐτῶν φέροιτο τῶν ἁγίων Ἀποστόλων, ὡς ἐν ἰσχύϊ τε καὶ ἐνεργείᾳ τῇ διὰ τοῦ Πνεύματος καθ᾽ ἣν εἰσι καὶ θαυματουργοί· εἰ δὲ ἐφ᾽ ἡμῶν αὐτῶν, ὡς ἐν δυνάμει ζωῆς τῆς ἁγίας καὶ εἰλικρινοῦς ἐκδέξει τὸ εἰρημένον.

ΚΕΦ. Β.

Κατὰ πορνῶν καὶ πορνείας, καὶ τῶν τούτοις κοινωνούντων.

21 Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ,
1 πνεύματί τε πρᾳότητος; ὅλως ἀκούεται ἐν ὑμῖν πορ-
νεία, καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνο-
2 μάζεται, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν· καὶ ὑμεῖς
πεφυσιωμένοι ἐστὲ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα
3 ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας. ἐγὼ
μὲν γὰρ ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι,
ἤδη κέκρικα ὡς παρὼν, τὸν οὕτω τοῦτο κατεργασάμενον,
4 ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, συν-
αχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος, σὺν τῇ δυνάμει
5 τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, παραδοῦναι τὸν τοι-

οὗτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ.

Κυρίλλου. Βούλεσθε, φησὶν, σοφὴν ἐπίπληξιν οἵᾳ τινὶ ῥάβδῳ ἐπάγω τοῖς ἡμαρτηκόσιν· ἢ ἐν Πνεύματι πρᾳότητος καὶ ὡς ἐν ἀγάπῃ προσενεχθεὶς παραδράμω σεσιγηκώς; ἀλλ' ἦν ἄμεινον αὐτοῖς ἡ ἐπίπληξις ἅμα κόπτουσα τὸ δεινὸν καὶ τὸ ῥάθυμον καὶ τοιαύτης παρανομίας τὴν ἐπιχείρησιν, περὶ ἧς καὶ ἡ θεόπνευστος ἔφη γραφὴ περὶ τῶν ἐξ Ἱερουσαλὴμ διὰ φωνῆς Ἰωὴλ[j], "καὶ υἱὸς "καὶ πατὴρ αὐτοῦ εἰσεπορεύοντο πρὸς τὴν αὐτὴν παιδίσκην, ὅπως βεβηλώσωσι τὸ ὄνομα τοῦ Θεοῦ αὐτοῦ·" ταύτην φησὶ, τὴν πορνείαν, "οὐδὲ ἐν τοῖς ἔθνεσίν ἐστιν ἀκοῦσαι·" Θησέα γὰρ ἠκηκόει που κατὰ τὸ εἰκὸς τεθηγμένον ἐπὶ τῷ ἰδίῳ παιδί· ἐπαρασάμενόν τε αὐτῷ· καὶ δὴ καὶ ἀπεκτονότα διαβεβλημένον ἐκ μητρυιᾶς, καὶ ἑτέρους τινὰς ἐπὶ τοιοῖσδε αἰτιάμασι ταῖς τῶν ποιητῶν εὐστομίαις κατεσκωμμένους.

Ὠριγένους. Οὐκ ἀεὶ οὔτε ὁ Θεὸς οὔτε οἱ τούτου θεσπέσιοι μαθηταὶ κέχρηνται χρηστοῖς λόγοις πρὸς τοὺς ἀκούοντας· οὐ δὲ ἀεὶ τοῖς ἀποτόμοις· ἀλλὰ πότε μὲν τούτῳ, ποτὲ δὲ ἐκείνῳ[k]. ἐπεὶ οὖν εἶχε ῥάβδον ὁ Παύλου λόγος· εἶχε δὲ καὶ πνεῦμα πραΰτητος καὶ χρηστότητος, πυνθάνεται Κορινθίων μὴ θέλων προπεπέστερον χρήσασθαι τῷ ἀποτομωτέρῳ· οὐχ ὅτι χωρὶς ἀγάπης γίνεται ἡ ῥάβδος· ἀλλ' ὅτι ἡ ἀγάπη κέκρυπται ἐν τῷ τὴν ῥάβδον ἔχοντι· καὶ οὐ δείκνυσι τὴν ἀγάπην ἐν τῇ ἀποτομίᾳ τῆς ἐπιπλήξεως· εἶτα τὴν αἰτίαν τῆς τοιαύτης πεύσεως ἐπιφέρει λέγων, "ὅλως "ἀκούεται ἐν ὑμῖν πορνεία ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν." μανθάνομεν ὅτι περὶ πορνείας ἡμᾶς κατεπᾴδεσθαι δεῖ, ἵνα μὴ πέσωμεν· καὶ ἄλλο δὲ μαθεῖν, ἵνα καὶ οἱ μὴ συνειδότες ἑαυτοῖς πορνείαν, συνειδότες δὲ συναγομένους πορνεύουσιν, μὴ φυσιῶνται· εἰδότες ὅτι καὶ αὐτοὶ ἁμαρτωλοί[l] εἰσι τῷ ἁμαρτωλὸν εἶναι τὸν συναγόμενον μετ' αὐτῶν· ὅλῃ γὰρ τῇ ἐκκλησίᾳ ἐγκαλεῖ περὶ ἑνὸς πορνεύσαντος· καὶ τῇ φυσιώσει αὐτῶν ἐγκαλεῖ, ὡς οὐ κατὰ λόγον γινομένῃ, μάλιστα διὰ τὸ εἶναι πόρνον ἐν αὐτοῖς· καὶ τρίτον

j Amos ii. 7. k δὲ ἐκοίνως l ἁμαρτολοὶ Cod.

μανθάνομεν ὅτι καὶ πορνειῶν εἰσι διαφοραί· ὥστε εἶναι πορνείαν βαρυτάτην[m] *τινὰ, καὶ ἄλλην ἐλάττονα· καὶ ἄλλην ἔτι ἐλάττονα· οὐκ οὖν ἐν τῇ κρίσει τοῦ Θεοῦ οὐχ ἁπλῶς οἱ πόρνοι κρίνονται, οὐ δὲ τὴν αὐτὴν καταδίκην λήψονται διὰ τὸ πεπορνευκέναι· ἀλλὰ καὶ ἡ ποσότης καὶ ἡ ποιότης αὔξει τὴν κόλασιν καὶ ἡ προαίρεσις καὶ ὁ χρόνος. ἐν* Κορίνθῳ *τοίνυν εἰ τίς*[n] *παράνομον γάμον ἐγάμησεν· τὴν γὰρ μητρυιὰν αὐτοῦ ἠγάγετο· ἀλλὰ τὸν τοιοῦτον γάμον, πορνείαν ὁ Ἀπόστολος καλεῖ· καὶ τοιαύτην οἵαν " μὴ δὲ ἐν τοῖς " ἔθνεσίν ἐστιν ἀκούειν·" ἵνα διδάξῃ ἡμᾶς ὅτι ἐάν ποτε παρανόμως γαμῶμεν, οὐ λογίζεται ἡμῖν εἰς γάμον τὸν νομιζόμενον γάμον εἶναι, ἀλλ' εἰς πορνείαν.*

Εἶτα *τοῦτον καταλιπὼν, κατὰ τῆς τούτου συμμορίας τὴν κατηγορίαν εἰσφέρει· " καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ, καὶ οὐχὶ " μᾶλλον ἐπενθήσατε, ἵνα ἀρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο " ποιήσας;" πᾶσιν ἐπιπλήσσει ὡς κακῶς αὐτὸν παραδεξαμένοις· ἐπὰν γὰρ ὄντος τοῦ ἁμαρτήσαντος φυσιώμεθα, ἡμεῖς οἱ δοκοῦντες ἑαυτοῖς συνειδέναι τὰ κρείττονα, λέγετε τὸ " καὶ ὑμεῖς πεφυσιω- " μένοι ἐστέ."*

Θεοδωρίτου. Μέγα *ἐφρόνουν ὡς πεπαιδευμένον διδάσκαλον ἔχοντες· οὐκ ἐναντία δὲ νομοθετεῖ· οὐ γὰρ εἶπεν, τί δήποτε οὐκ ἐξηλάσατε; ἀπηγόρευσεν ἄνω τὸ κρίνειν τοῖς διδασκάλοις· ἀλλὰ τίνος χάριν οὐκ ἐθρηνήσατε τὸν Θεὸν ἱκετεύοντες· ὥστε τῆς τούτου λώβης ἀπαλλαγῆναι.*

Σευηριανοῦ. Οὐκ *ἐπειδὴ γυναῖκα τὸν εἰρημένον τρόπον εἶχεν ἐκεῖνος· ἀλλ' ὅτι ἐλλόγιμος ἦν, καὶ οὐχὶ ἐπένθουν ὅτι γυναῖκα τοῦ πατρὸς εἶχεν· ἀλλ' ἐπεφυσίωντο, ὅτι εὐπαίδευτος ἦν· τὸ γὰρ πένθος αὐτῶν, ἢ ἐχώριζεν τὸν πορνεύσαντα ἐπιμένοντα, ἢ τοῦ πράγματος τὴν ἀτοπίαν ἐξώριζεν καὶ ἐπανῆγεν αὐτόν.*

Θεοδωρίτου. Μηδεὶς *ὑμῶν ἕτερόν τι βουλεύσηται· ἐκφέρω γὰρ παραυτίκα τὴν ψῆφον.*

Σευηριανοῦ. Οὐχ *ἁπλῶς ἐργασάμενον, ἀλλὰ " κατεργασά- " μενον·" οὐ γὰρ συναρπασθεὶς ἔπεσεν· ἀλλ' ἔργῳ ἐχρήσατο τῷ κακῷ· καὶ* Πνεύματι *δὲ παρεῖναι λέγει συμψηφιζόμενος καὶ συγκατακρίνων·* Πνεῦμα *δὲ τὸ χάρισμα λέγει· συναχθέντων σὺν τῇ*

[m] *βαριτάτην* Cod. [n] Fors. *εἷς τις*.

δυνάμει τοῦ Χριστοῦ· οἱ φυσιούμενοι ἐπὶ τῷ πορνεύσαντι διὰ τὴν ἐλλογιμότητα, μέρος ἦσαν τοῦ παντός· πάντας δὲ πρὸς τὴν κατάκρισιν τὴν ἐπὶ τῇ πορνείᾳ συναχθῆναι καλεῖ.

Θεοδώρου. *Ἐδυσώπησεν τῇ μνήμῃ τοῦ Χριστοῦ· ὥστε μὴ τῇ χάριτι τῇ πρὸς ἐκεῖνον παριδεῖν τὸ δέον· "παραδοῦναι τὸν "τοιοῦτον τῷ Σατανᾷ, εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα "σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ." τὸ μὲν παραδοῦναι τῷ Σατανᾷ, οὐχ ὡς αὐτὸς τοῦτο γενέσθαι ὁρίζων εἶπεν· ἀλλ' ὡς ἂν τῷ τῆς ἐκκλησίας ἐξεωθῆναι διὰ τῆς τοῦ Θεοῦ ἀλλοτριώσεως ὑπὸ τὴν τοῦ Σατανᾷ γενομένην ἐξουσίαν· ἡ μὲν γὰρ παρ' αὐτοῦ τιμωρία ἦν τὸ τῆς ἐκκλησίας αὐτὸν ἐξῶσαι· ἐκ δὲ τούτου πάντως ἐκεῖνο συνέβαινεν· ὁ μέντοι Ἀπόστολος, ἀντὶ τῆς τιμωρίας γὰρ ἀποβαῖνον εἶπεν, ὥστε φοβῆσαι μᾶλλον· ἐξῶσαι δὲ φησὶν αὐτὸν, οὐκ ἀλλοτριῶσαι πάντῃ βουλόμενος· ἀλλὰ τοῦ οἰκείου αἰσθόμενος πλημμελήματος, μεταμελείᾳ τινὶ κατὰ τὸν παρόντα βίον σύντριψας ἑαυτὸν, δυνηθῇ τῆς μελλούσης σωτηρίας ἄξιον ἑαυτὸν καταστῆσαι· ὄλεθρον εἶπεν σαρκὸς, τὴν κατὰ τὸν παρόντα βίον διὰ τῆς μεταμελείας συντριβήν· καὶ ἐπειδὴ ἡ ἀνάστασις ἡμῶν τῇ τοῦ Πνεύματος δυνάμει γενέσθαι μέλλει· πολλάκις ἐπὶ τῆς ἀναστάσεως καὶ τῆς ἀθανασίας τὴν τοῦ Πνεύματος λαμβάνει σημασίαν. οὕτως ἐν τῇ πρὸς Ῥωμαίους φησὶν, "ὑμεῖς δὲ οὐκ "ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι·" ἀντὶ τοῦ ἔξω τῆς τοῦ θανάτου γεγονότες ἀποφάσεως, ἐν ἐλπίδι τῆς ἀθανασίας καθεστήκατε.*

Ἰωάννου. *Ὥσπερ ἐπὶ τοῦ Ἰὼβ γέγονεν, ἀλλ' οὐχ ὑπὲρ τῆς αὐτῆς ὑποθέσεως· ἐκεῖ μὲν γὰρ ὑπὲρ στεφάνων λαμπροτέρων, ἐνταῦθα δὲ ὑπὲρ ἁμαρτημάτων λύσεως· ἵνα μαστίζῃ αὐτὸν ἕλκει πονήρῳ ἢ νόσῳ ἑτέρᾳ· καὶ μὴν ἀλλαχοῦ φησὶν, "ὅτι ὑπὸ τοῦ Κυρίου κρινόμεθα ταῦτα πάσχοντες·" ἀλλ' ἐνταῦθα ὥστε μᾶλλον καθάψασθαι, τῷ Σατανᾷ παραδίδωσιν· καὶ τοῦτο δὲ τὸ τῷ Θεῷ δοκοῦν ἐγίνετο, ὥστε κολάζεσθαι αὐτοῦ τὴν σάρκα· ἐπειδὴ γὰρ ἀπὸ τῆς ἀδηφαγίας καὶ τῆς τρυφῆς τῆς κατὰ τὴν σάρκα ἐπιθυμίαι τίκτονται, ταύτην κολάζει, ἵνα τὸ πνεῦμα σωθῇ, τοῦτ' ἔστιν ἡ ψυχή· οὐχ ὡς ταύτης σωζομένης μόνης· ἀλλ' ὡς ὡμολογημένου τούτου, ὅτι σωζομένης ἐκείνης, ἀναντιρρήτως καὶ τὸ σῶμα κοινωνήσει τῆς σωτηρίας· καὶ γὰρ θνητὸν δι' αὐτὴν*

ἐγένετο ἁμαρτήσασαν· κἂν αὐτὴ δικαιοπραγήσῃ πάλιν, πολλῆς καὶ αὐτὸ ἀπολαύσεται δόξης. τινὲς δὲ, τὸ πνεῦμα, τὸ χάρισμα φησὶν, ὅπερ σβέννυται ἁμαρτανόντων ἡμῶν· ἵν' οὖν μὴ τοῦτο γένηται φησὶ, τιμωρείσθω, ἵνα ταύτῃ βελτίων γενόμενος, ἐπισπάσηται τὴν χάριν, καὶ εὑρεθῇ σῶον αὐτὸ παρεχόμενος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.

'Ωριγένους. Οὐκ εἰς ὄλεθρον τῆς ψυχῆς· οὐκ εἰς ὄλεθρον τοῦ πνεύματος, ἀλλ' εἰς ὄλεθρον τῆς σάρκος. ἵνα γὰρ τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου, παραδίδοται· ἐξέβαλεν γὰρ ὁ Παῦλος τὸν τοιοῦτον, οὐκ εἰδὼς ὅτι μετανοήσει καὶ ἐπιστρέψει· ἀλλὰ θέλων αὐτὸν παιδεῦσαι. ἄλλο γάρ ἐστιν ἐκκόψαι τινὰ ὡς ἀνεπίδεκτον μετανοίας καὶ ἐπιστροφῆς· ἄλλο παραιτήσασθαι ἐπὶ τοῦ παρόντος, καὶ ἐκβάλλειν τῆς ποίμνης. ὡς ποιμὴν ἐκβάλλει πρόβατον ψώραν ἔχον· ἵνα μὴ ἡ νομὴ τοῦ τραύματος ἐκείνου ἐφ' ὅλον τὸ ποίμνιον νεμηθῇ.

Θεραπευέσθωσαν οὖν οἱ κακῶς διάγοντες, ἔξω γενόμενοι τῆς ποίμνης, ἐξομολογούμενοι καὶ πενθοῦντες τὰ ἴδια ἁμαρτήματα, ἐν νηστείαις καὶ πένθεσι καὶ κλαυθμοῖς καὶ τοῖς παραπλησίοις τὰ τῆς μετανοίας προσάγοντες· παραδίδονται γάρ, ἵνα παιδευθῶσιν ὥστε αὐτῶν ὀλοθρευθῆναι τὴν σάρκα, τοῦτ' ἔστι τὸ φρόνημα τῆς σαρκός· οὐχ ἵνα ἐκστήσῃ αὐτούς· οὐχ ἵνα ἄλλό τι ποιήσῃ· ἀλλ' ἵνα ἐξουσίαν λάβῃ μόνης τῆς ψυχῆς αὐτῶν· οὐκ ἐμοῦ διδόντος τὴν ἐξουσίαν· ἀλλὰ τῆς ἐν ἐμοὶ δυνάμεως τοῦ Ἰησοῦ. ἀπὸ τοῦ κρείττονος αὐτοῦ ὅλην ὠνόμασε τὴν σωτηρίαν· ἵνα μὴ εἴπῃ καὶ τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου· ἀλλὰ τὸ πνεῦμα σωθῇ· ἀπὸ τοῦ κρείττονος ὀνομάσας ὅλου τοῦ ἀνθρώπου τὴν σωτηρίαν. ὡς γὰρ σωθησόμενος αὐτὸς κελεύει παραληφθῆναι εἰς τὴν ἐκκλησίαν ἐν τῇ δευτέρᾳ Ἐπιστολῇ· ἀπεῖναι δὲ τῷ σώματι καὶ παρεῖναι τῷ Πνεύματι, Παύλου ἐστὶ καὶ τῶν παραπλησίων αὐτῷ· ἔφη γὰρ καὶ ἑτέρωθι· "εἰ γὰρ καὶ "τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ Πνεύματι σὺν ὑμῖν εἰμὶ χαίρων καὶ "βλέπων τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως ὑμῶν." οὐδεὶς δὲ ἡμῶν δύναται εἰπεῖν ὅτι πάρειμι καὶ βλέπω τῆς ἐκκλησίας τὰ προτερήματα, ἢ τὴν τάξιν καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν

πίστεως. τοιοῦτος ἦν Ἐλισσαῖος[n]*· εἰ γὰρ καὶ μὴ παρῆν τῷ σώματι,* Πνεύματι *συναπῆλθεν τῷ*[o] *καὶ φησὶν πρὸς αὐτόν· οὐχὶ ἡ καρδία μου ἦν μετὰ σοῦ, ἡνίκα ἔλαβες τὸ διτάλαντον τοῦ ἀργυρίου, καὶ ἔλαβες τὰς στολὰς ἀπὸ τοῦ* Σύρου; *ἆρ' οὖν* Ἐλισσαῖος *μὲν ταύτην τὴν χάριν εἶχεν·* Παῦλος *δὲ ὁ τοῦ* Χριστοῦ Ἀπόστολος, *ὁ ζηλῶν τὰ χαρίσματα τὰ μείζονα, μᾶλλον δὲ ἵνα προφητεύῃ, οὐκ εἶχεν τοιαύτην χάριν; ἀλλ' ἀποφαίνομαι καὶ τεθαρρηκότως λέγω, ὅτι ἦν* Παῦλος *οὐ μόνον* Ἀπόστολος, *ἀλλὰ καὶ προφήτης. τοιοῦτος ἦν ὅτε φησὶν, "ἔπονται οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς·" ταῦτα γὰρ οὐχ ὡς* Ἀπόστολος, *ἀλλ' ὡς προφήτης εἶπεν· καὶ τὸ* Πνεῦμα *δὲ φησὶ ῥητῶς λέγει "ὅτι ἐν ἐσχάτοις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως." ποῖον δὲ* Πνεῦμα; *ὡσεὶ ἔλεγε τὸ ἐν ἐμοὶ* Πνεῦμα. *ἔχων οὖν ταύτην τὴν χάριν, εἰ καὶ ἀπῆν τῷ σώματι, ὅπου ἐβούλετο παρῆν τῷ* Πνεύματι· *οὐ μόνος γὰρ παρῆν τῷ* Πνεύματι, *ἀλλὰ καὶ ἡ δύναμις* Ἰησοῦ.

Σευηριανοῦ καὶ Θεοδωρίτου. Τὸ *πνεῦμα οὐ τὴν ψυχὴν, ἀλλὰ τὸ χάρισμα ἔφασαν.*

Φωτίου. Εἰ *ἃ πράττεται ἐν τοῖς ἔθνεσι, ταῦτα καὶ ἐν ὑμῖν μόνον ἀκουόμενα μέγα ὄνειδος φέρει· τὸ καὶ ὁμοίως ἔν τε τοῖς ἔθνεσιν καὶ ἐν ὑμῖν τοῖς πιστοῖς ταῦτα τὰ αἴσχη πράττεσθαι· πόσην τὴν κατηγορίαν αὔξει; εἰ δὲ τοῦτο τὸ πράττεσθαι ἐν ὑμῖν ἃ μήδ' ἐν ἐκείνοις, τίνα κακίαν οὐκ ὑπερακοντίζει; τόδε "ὅλως ἀκούεται," ὡς ἐκπεπληγμένου ἐπὶ τῇ φήμῃ καὶ ἀσχάλλοντος. φεῦ τῆς ἀτοπίας· ὅλως, φησὶν, ἀκούεται, ὅλως ἐπὶ γλώσσης τινὸς ταῦτα λέγειν περὶ ὑμῶν ἐγκατέσκηψεν.*

6 *Οὐ καλὸν τὸ καύχημα ὑμῶν. οὐκ οἴδατε ὅτι μικρὰ*
7 *ζύμη ὅλον τὸ φύραμα ζυμοῖ; ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε ἄζυμοι· καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη,* Χριστός.

[n] Ἐλισσεος (αι) Cod. [o] Suppl. Γιεζί.

8 *ὥστε ἑορτάζωμεν, μὴ ἐν ζύμῃ παλαιᾷ. μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας.*

Ὠριγένους. Ὁ ἀποθέμενος τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ τῆς παλαιᾶς ζύμης ἔχων [p] ἐν ἑαυτῷ, ἀλλὰ καινὸν φύραμα ποιήσας τὸ κατὰ Χριστὸν Ἰησοῦν, οὗτος πεποίηκε τὴν τῶν ἀζύμων ἑορτήν. ἡ νέα ζύμη φαίνεται· Ἰησοῦς ὁ Χριστός ἐστιν ἡ νέα ζύμη· ἐσθίομεν οὖν πρῶτον ἄζυμα· ἀπεχόμενοι πάσης κακίας καὶ πονηρίας. περὶ τούτων ὁ Ἀπόστολος διδάσκων φησίν· "ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα· "καθώς ἐστε ἄζυμοι·" οἷόν τι παρὰ Ἰουδαίοις γίνεται· ἐὰν ἐπιφώσκῃ ἡ ἡμέρα ἡ τῶν ἀζύμων, ἐκκαθαίρουσι πᾶσαν παλαιὰν ζύμην· πάντα τόπον τῆς οἰκίας περιαθροῦντες, μήποτε ζύμη ἐκεῖ εὑρεθῇ· οὕτως καὶ σὺ τὰ ἐν σοὶ ταμιεῖα κατανόησον, μήπου ζύμη ἐκεῖ, "ἵνα ἦτε τελέον φύραμα, καθώς ἐστε ἄζυμοι." ἐπεὶ ἦσαν ἐν Κορίνθῳ, οἱ μὲν ἅγιοι, οἱ δὲ οὐ τοιοῦτοι ἀλλ' ἁμαρτωλοὶ, καθὰ ἐν προοιμίοις τῆς Ἐπιστολῆς φθάσαντες ἔφαμεν· διὰ τοὺς ἐπαινετοὺς, φησὶ, "καθώς ἐστε ἄζυμοι· καὶ γὰρ τὸ πάσχα ἡμῶν ἐτύθη "Χριστός·" ὁρῶν ὅτι κατὰ τὸν Μωσέως νόμον πρῶτον τὸ πάσχα γίνεται, καὶ θύεται τὸ πρόβατον· εἶτα μετὰ τὸ πρόβατον, ἄζυμα ἐσθιοῦσι· διὰ τοῦτο εἶπεν "ἤδη τὸ πάσχα τέθυται Χριστός· ὥστε "ἑορτάζωμεν, μὴ ἐν ζύμῃ παλαιᾷ, μὴ δὲ ἐν ζύμῃ κακίας καὶ "πονηρίας· ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας·" εἰλικρινείας, κατὰ τὴν πολιτείαν· ἀληθείας, κατὰ τὴν γνῶσιν· ἐν γὰρ ἀμφοτέροις χαρακτηρίζεται τὰ ἄζυμα τὰ ἀληθινά.

Θεοδώρου. Ἀκολούθως καὶ νῦν ἐχρήσατο τῇ ἐπαγωγῇ μετὰ τὴν ἀπόφασιν· ὡς γὰρ παρὼν, οὕτω πρὸς τοὺς παρόντας λοιπὸν διαλέγεται, καὶ φησὶν, ὁ τῷ κακῷ συνημμένος κατὰ διάθεσιν ἀναγκαίαν δέχεται τῷ χρόνῳ τὴν πρὸς αὐτὸν κοινωνίαν· καὶ ἀκολουθῶν τῷ παραδείγματι, ἀπὸ τῶν πραγμάτων τὴν πρὸς αὐτοὺς ποιεῖται παραίνεσιν.

Σευηριανοῦ. Ὁρᾷς ὅτι ἐκαυχῶντο ἐπ' ἐκείνῳ, οὐ τῇ ἀτοπίᾳ τοῦ πταίσματος προσέχοντες, ἀλλ' ὑπὸ τῆς ἐλλογιμότητος αὐτοῦ φυσιούμενοι.

p Leg. οὐκ ἔχων τι.

ἸΩΑΝΝΟΥ. Ἵνα, φησὶ, πάντες ἦτε τοῦ νέου φυράματος· νέον γὰρ ἄνθρωπον οἶδεν ἡ γραφὴ τὸν ἄρτιον, παλαιὸν δὲ τὸν ἀσεβῆ· δηλοῖ δὲ ὅτι οὐ πολλοὶ ἦσαν παρ' αὐτοῖς ἁμαρτωλοί· "ἵνα," φησὶν, "ἦτε·" τοῦτ' ἔστιν ἐκτὸς τῆς παλαιᾶς ζύμης ἐκείνης, περὶ ἧς εἶπεν.

ΤΟΥ ΑΥΤΟΥ. Ὁ "γὰρ" σύνδεσμός ἐστιν αἰτιολογικός· ἐπὶ αἰτίᾳ οὖν κεῖται τὸ "γὰρ τὸ πάσχα ἡμῶν ἐτύθη Χριστός·" ἐπειδὴ γὰρ ὁ νόμος διαγορεύει μετὰ τὴν τοῦ πρωτοτόκου θυσίαν ἐν τῷ πάσχα ἑπτὰ ἡμέρας ἄζυμα ἐσθίειν, φησὶν ὅτι τύπος ἦν ἐκεῖνα τὰ ἄζυμα τοῦ ἡμᾶς μὴ ἔχειν ἐν ἑαυτῷ τῆς κακίας, περὶ ἧς φησίν· ὁ γὰρ Χριστὸς τυθεὶς, φησὶν, εἰς τύπον τοῦ πρωτοτόκου ἀμνοῦ τέθυται. ἐπάναγκες οὖν καὶ ἡμᾶς τὸν τύπον τῶν ἀζύμων πληροῦν ἐν τῷ ἐκκαθαίρειν ἑαυτοὺς ἀπὸ τῆς ζύμης τῆς πονηρίας· ἵνα τελείως ἐπιτελεσθῇ τὸ νοητὸν πάσχα.

ΦΩΤΙΟΥ. "Καθώς ἐστε ἄζυμοι·" καθὼς, φησὶν, χρέος ὑμῖν ἐστιν ἀζύμοις εἶναι· πόθεν δὲ δῆλον ὅτι ἄζυμοι ὀφείλομεν εἶναι; αὐτόθεν φανερόν· "τὸ γὰρ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός·" ὥσπερ οὖν οἱ ἐν τῷ νόμῳ βιοῦντες, θυομένου αὐτοῖς τοῦ προσκαίρου καὶ ἀλόγου ἀμνοῦ ἐν ἑπτὰ ἡμέραις ἄζυμοι ἦσαν· οὐ γὰρ ἐξῆν αὐτοῖς ἐζυμωμένον οὔτε ἔχειν οἴκοι οὔτε φαγεῖν· οὕτως καὶ ὑμεῖς τοῦ λογικοῦ καὶ αἰωνίου ἀμνοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, ὑπὲρ ἡμῶν τυθέντος, τοῦτο γάρ ἐστι τὸ ἡμέτερον πάσχα· οὕτως ὀφείλομεν ἄζυμοι εἶναι ἀεὶ καὶ καινὸν φύραμα· μηδὲν τῆς παλαιᾶς ζύμης, ἤτοι τῆς ἁμαρτίας, ἑαυτοῖς συνεπιφερόμενοι. ὅρα δὲ πῶς καταλλήλως καὶ προσφυῶς ἐπέμεινεν τῇ τροπῇ· ἐπειδὴ γὰρ τοῦ πεπορνευκότος τὴν ἁμαρτίαν ζύμην ἐκάλεσεν· ἐμφαίνων ὅτι μὴ ἐκκαθαιρομένης ταύτης ταχὺ καὶ τὸ ἄλλο συναναζυμοῦται φύραμα· ἀκολούθως ἥρμοσεν καὶ τὰ ἐφεξῆς, ζύμην παλαιὰν καὶ νέον φύραμα καὶ ἀζύμους τὰς ἀρετὰς καὶ κακίας, τούτοις τοῖς ὀνόμασιν ὑποδηλῶν.

9 Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ, μὴ συναναμίγνυσθαι
10 πόρνοις. καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου,
ἢ τοῖς πλεονέκταις, ἢ ἅρπαξιν, ἢ εἰδωλολάτραις· ἐπεὶ
11 ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν. νυνὶ δὲ ἔγραψα

ὑμῖν μὴ συναναμίγνυσθαι· ἐάν τις ἀδελφὸς ὀνομαζό-
μενος ᾖ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοί-
δορος, ἢ μέθυσος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν.
12 τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν; οὐχὶ τοὺς ἔσω ὑμεῖς
13 κρίνετε, τοὺς δὲ ἔξω ὁ Θεὸς κρινεῖ· καὶ ἐξαρεῖτε τὸν
πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

Ὠριγένους. Ὑπέλαβον τινὲς ἐκ τούτου γὰρ ῥητοῦ, ὅτι πρὸ τῆς προτέρας πρὸς Κορινθίους Ἐπιστολῆς ἐγέγραπτο ἄλλη τις Ἐπιστολὴ τῷ Ἀποστόλῳ, ἥ τις νῦν οὐ σώζεται· καὶ ἔγραψεν αὐτοῖς μὴ συναναμίγνυσθαι πόρνοις ὅσον ἐπὶ τῇ προκειμένῃ λέξει. ἀκούσας δὲ Κορινθίους τεταράχθαι, οἰομένους λέγεσθαι μὴ συναναμίγνυσθαι πόρνοις μηδὲ τοῖς τοῦ κόσμου, ὅπερ ἀδύνατόν ἐστιν ἐν τῷ βίῳ ὄντας, μὴ ὁμιλεῖν ἐθνικοῖς συνεργοῖς πραγματευταῖς, καὶ τοιούτοις τισὶν ἑτέροις, σαφηνίζων φασὶ τὸ τότε παραλελειμμένον· οὐ περὶ πόρνων λέγω, φησὶ, τοῦ κόσμου τούτου· ἀλλὰ περὶ τῶν ὀνομαζομένων μὲν ἀδελφῶν, οὐκ ὄντων δὲ σεμνῶν. οἱ δὲ μὴ βουλόμενοι ἐπιστολὴν ἑτέραν εἶναι πρὸ ταύτης, ἐροῦσι, ταύτην τὴν λέξιν ἐπὶ ταύτην τὴν Ἐπιστολὴν ἀναφέρεσθαι· ὅτι ἐν ταύτῃ τῇ Ἐπιστολῇ ἔγραψα μὴ συναναμίγνυσθαι ὑμᾶς πόρνοις· πόρνοις δὲ λέγω τοῖσδε, οὐ τοῖσδε.

Ἔοικεν δὲ ὁ Ἀπόστολος συγκρίσει πόρνων πολλῷ χείρονας λέγειν εἶναι τοὺς ἐν ὑμῖν πόρνους· ὁ γὰρ ἔξωθεν πορνεύων, οὐ ναὸν τοῦ Θεοῦ φθείρει; οὐκ ἄρα τὰ μέλη τοῦ Χριστοῦ ποιεῖ πόρνης μέλη; οὐχ ὅλον τὸ φύραμα ζυμοῖ; κακεῖνος μὲν ὅτε θέλει μετανοεῖ· καὶ ἄφεσιν ἔχει ἁμαρτημάτων· ὁ δὲ μετὰ τὴν πίστιν πορνεύσας, κἂν μετανοήσῃ πάλιν ὕστερον, ἄφεσιν μὲν οὐκ ἔχει ἁμαρτημάτων. δύναται δὲ τὴν ἁμαρτίαν ἐπικαλύψαι· "μακάριοι "γὰρ φησὶν, ὧν ἀφέσθησαν αἱ ἁμαρτίαι," τῶν ἀπὸ τῶν ἐθνῶν προσελθόντων· καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι, τῶν μετὰ τὴν πίστιν ἁμαρτανόντων, ἐπικαλυπτόντων δὲ τοῖς ἀγαθοῖς ἔργοις· οἷον τὴν ἀκολασίαν τῇ πολλῇ σωφροσύνῃ.

"Καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου· ἢ πλεον-"έκταις, ἢ ἅρπαξιν, ἢ εἰδωλολάτραις." ὥς εἰσὶ πόρνοι τοῦ κόσμου καὶ πόρνοι ἐπὶ Χριστὸν κληθέντες· οὕτως καὶ πλεονέκται, οἱ μὲν

τοῦ κόσμου τούτου, οἱ δὲ τῆς ἐκκλησίας. φυλαξώμεθα οὖν μέχρι τοῦ ἐλαχίστου τὴν πλεονεξίαν· συνέζευκται γὰρ καὶ αὐτῷ τῷ τῆς πορνείας ἁμαρτήματι. καὶ τρίτον ἅρπαγάς τινας ὀνομάζει· ὅταν ἁρπάζωσι τὰ τῶν πέλας. καὶ εἰδωλολάτραι δέ τινές εἰσι μεθ' ἡμῶν παρὰ τοὺς εἰδωλολάτρας τοῦ κόσμου τούτου· οἱ θέλοντες διδάσκειν ὅτι ἀδιάφορόν ἐστι τὸ εἰδωλολατρεῖν. μάλιστα δὲ τοῦτο τὸ ἁμάρτημα εὑρίσκεται ἐν τοῖς στρατευομένοις· ἀνάγκη μοι, λέγοντες, ἐπίκειται· ἡ στρατιὰ τοῦτο ἀπαιτεῖ· κινδυνεύω τῇ κεφαλῇ, ἐὰν μὴ θύσω, ἢ μὴ λευχειμονήσας τὸν λίβανον ἐπιθῶ κατὰ τὰ νενομισμένα τοῦ κόσμου· καὶ πρὸς τούτοις ὁ τοιοῦτος λέγει ἑαυτὸν Χριστιανόν· τῷ τοιούτῳ φησὶ, μηδὲ συνεσθίειν. ἔστιν δὲ καὶ ὁ ἀρνησίθεος ἐν καιρῷ διωγμῶν εἰδωλολάτρης ἡμῶν· ἔγραψα οὖν φησὶ τῷ τοιούτῳ ἐκ τοῦ κόσμου ὄντι μὴ συναναμίγνυσθαι· ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν.

"Νυνὶ *δὲ ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι, ἐάν τις ἀδελφὸς* "*ὀνομαζόμενος·" καλῶς τὸν τοιοῦτον, οὐκ ἔτι δὲ ἀδελφὸν εἶπεν. ἀλλὰ μέχρις ὀνόματος μόνον ἀδελφόν· ἀλλὰ ταῦτα μὲν δυνάμεθα ἑαυτοῖς συνειδέναι οἱ πολλοὶ, ὅτι οὐκ ἔχομεν τὰ κατὰ ταῦτα· ἐπὶ δὲ τῶν ἑξῆς καὶ ἐμαυτὸν φοβοῦμαι, μή πως ἔνοχός εἰμι τοῖς ἄλλοις ἁμαρτήμασιν· λέγει γὰρ ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ.* "*τῷ τοιούτῳ μηδὲ συνεσθίειν.*" *ἡλίκοις κακοῖς τὸν λοίδορον συνηρίθμησεν; τῷ πόρνῳ, τῷ πλεονέκτῃ, τῷ εἰδωλολάτρῃ; οὐκοῦν καὶ ὁ λοίδορος ἤδη ἐχθρός ἐστι τῆς ἐκκλησίας; διὰ τοῦτο ἀκούομεν τοῦ* Κυρίου *λέγοντος·* "*εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς·" καὶ τοῦ* Ἀποστόλου *λέγοντος,* "*λοιδορούμενοι εὐλογοῦμεν·" λοίδορος γὰρ βασιλείαν* Θεοῦ *οὐ κληρονομεῖ. δεῖ τοίνυν τὸ στόμα καθαρὸν τηρεῖν· τί γάρ μοι τοὺς ἔξω κρίνειν· μέθυσοι ἔστωσαν ἔξω· πόρνοις συνεσθίω καὶ συνδιατρίβω· οὐ βλάπτει με ἡ ἐκείνων μικρὰ ζύμη· ὅλον τὸ φύραμα τοῦτο οὐ ζυμοῖ.*

"Τί *γάρ μοι τοὺς ἔξω κρινεῖν; οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε;* "*τοὺς δὲ ἔξω ὁ* Θεὸς *κρινεῖ" ἐπέτρεψεν πᾶσιν ὑμῖν κρίνειν τοὺς ἔσω ἁμαρτάνοντας· ἀναφέρομεν αὐτὸ τὸ ἁμάρτημα ἐπὶ τὸν* Ἐπίσκοπον· *ἵνα νόμῳ ἐκβληθῇ ὁ τοιοῦτος ἀπὸ τῆς ἐκκλησίας·* "*καὶ* "*ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν·" καὶ ἐκ τούτων μὲν ἐξάρατε τὸν πονηρόν· ἀλλὰ ζήτει μήποτε θέλων ἔξωθεν τὸν πονηρὸν*

ἐξάραι, ἔχεις ἐν ἑαυτῷ τὸν πονηρόν. διὰ τοῦτο πάντα ποιεῖ, ἵνα ἐξάρῃς τὸν πονηρὸν ἀπὸ σεαυτοῦ· ἐκείνου γὰρ ἐξελθόντος, Χριστὸς Ἰησοῦς ἐν σοὶ κατοικήσει.

Σευηριανοῦ. Τὸ "ἔγραψα" οὐχ ἑτέρας ἐστὶν Ἐπιστολῆς, ἀλλὰ ταύτης· λέγει γὰρ "νῦν δὲ ἔγραψα ὑμῖν" τὸ δὲ "ἐξαρεῖτε "τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν·" Μωσέως ἐστὶν φωνὴ, ἣν δευτεροῖ Παῦλος.

Θεοδωρίτου. Ἐπειδὴ τοῖς τὸν πλεονέκτην ἀνέμιξεν ἀναγκαίως καὶ τὴν περὶ τούτου διδασκαλίαν.

Ἰωάννου. Καὶ πῶς ἐνῆν ἀδελφὸν ὄντα, τοῦτ' ἔστιν πιστὸν, εἶναι εἰδωλολάτρην; ὅτι τινὲς καὶ ἐπίστευσαν, καὶ τῶν εἰδώλων εἴχοντο· διὸ καὶ φησὶν, ἀδελφὸς ὀνομαζόμενος· καὶ γὰρ κατὰ τὴν ἀλήθειαν, ὁ τοιοῦτος οὐδὲ πιστός ἐστιν.

Τοῦ αὐτοῦ. Λοιπὸν τὴν αἰτίαν λέγει τοῦ μὴ κωλύειν τοῖς Ἑλλήνων πόρνοις ἢ πλεονέκταις ἢ λοιποῖς συναναμίγνυσθαι· ὅτι φησὶ τὴν περὶ αὐτῶν κρίσιν τῷ Θεῷ ἑαυτῷ· ἡμεῖς δὲ τοὺς ἀδελφοὺς διορθούμεθα ἐν τῷ κρίνειν καὶ ἀνακρίνειν αὐτῶν τὸν βίον ἐπὶ διορθώσει· εἶτα ἵνα μὴ νομίσῃς ἀτιμωρήτους ἔσεσθαι τοὺς Ἕλληνας παίοντας, φοβερώτερον αὐτοῖς ἐπέστησε δικαστήριον τὸ τοῦ Θεοῦ.

Φωτίου. "Ἔγραψα ὑμῖν·" ποῦ ἔγραψεν; ἐν οἷς λέγει, "καὶ "οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τοιοῦτος·" οὐχὶ ὁ δεῖνα, ἢ ὁ δεῖνα, ἀλλ' ὅστις ἂν ᾖ τοιοῦτος. καὶ πάλιν· "ἐκκαθάρατε τὴν παλαιὰν ζύμην·" οὐχὶ τήνδε ἢ τήνδε, ἀλλ' ὅλην τὴν παλαιὰν ζύμην· λαβὼν γὰρ ἀφορμὴν ἀπὸ τοῦ ἑνὸς τοῦ πεπορνευκότος, ἐπὶ τὸ κοινὸν ἀνεβίβασεν τὸν λόγον, τοῦτ' ἔστιν ἐπὶ πάντα πόρνον· κἀκεῖθεν πάλιν κοινότερον ἔτι τὸν λόγον ἀποφαίνει, ἐπάγων τὸ αὐτὸ παράγγελμα καὶ ἐπὶ τῶν τὰ ὅμοια πλημμελούντων, οἷον πλεονεκτούντων, εἰδωλολατρούντων, καὶ εἴ τι ὅμοιον.

Τοῦ αὐτοῦ. "Ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος." τὸ ὀνομαζόμενος τινὲς μὲν τῇ προηγουμένῃ λέξει συνάπτουσι, καὶ δηλοῦσθαι βούλονται δι' αὐτοῦ ὅτι ἀδελφὸς μὲν ὀνομαζόμενος καὶ μέχρι κλήσεως ἔχων τὴν κοινωνίαν, τῷ ὄντι δὲ διὰ τῶν ἔργων ἐχθρὸς ὑπάρχων καὶ διϊστάμενος· ἐμοὶ δὲ εὖ ἔχειν δοκεῖ, καὶ εἰ

τις αὐτὸς τοῖς ἑπομένοις συνάψας ἐκλάβοι, οὐκ ἔτι τοῦ ὀνομαζομένου τὴν αὐτὴν σημαίνοντος ἔννοιαν, ἀλλὰ τουναντίον τὸν ἐπὶ προδήλοις τοῖς ἔργοις ἤδη καὶ παρὰ πᾶσι κατὰ τὰ οἰκεῖα ἔργα ὀνομαζόμενον· καὶ γὰρ ἡ τῆς λέξεως αὐτὴ σημασία ὥσπερ καὶ ἄλλαι πολλαὶ λέξεις διχῇ σχίζεται· ἐνίοτε μὲν ὡς ἔφημεν τὸν νόμῳ κοινωνοῦντα τῷ ὀνόματι προδηλοῦσα· ἐνίοτε δὲ τὸν εἰς ἄκρον ἐλθόντα τῆς πράξεως· ὥστε καὶ τὴν κοινὴν προσηγορίαν εἰς ἑαυτὸν ἐπισπάσαντα, ἐκ ταύτης μᾶλλον ἢ ἐκ τοῦ Κυρίου ἐπιγινώσκεσθαί τε καὶ ὀνομάζεσθαι· τὸν οὖν τοιοῦτον πόρνον καὶ πλεονέκτην καὶ λοίδορον καὶ μέθυσον, τοῦτ' ἔστιν τὸν πρόδηλον καὶ φανερὸν οὕτως, ὥστε παρὰ πᾶσι γινώσκεσθαι καὶ ὀνομάζεσθαι, τοῦτον ἐκτρέπεσθαι παρακελεύεται καὶ μηδὲ συνεσθίειν αὐτῷ μήτε κοινολογεῖσθαι, μήτε συναστρέφεσθαι· οὐχὶ δὲ τὸν ὑπ' ἐνίων ὑποψιθυριζόμενον ἢ λοιδορούμενον.

Διὸ σοφῶς ἄγαν καὶ δραστηρίως τοῖς ἄλλοις ἀτόποις ἐργάταις συνῆψε καὶ τὸν λοίδορον· ἵνα τὸ αὐτὸ εἰδὼς ἔχειν ἐπιτίμιον, ὅπερ ὁ πόρνος καὶ ὁ εἰδωλολάτρης, ὥστε εἰς τὸ ὑπὸ πάντων ἀποτρόπαιος εἶναι, χαλινοῖ τὴν γλῶσσαν καὶ κατέχει, καὶ μὴ ἐπαφίησιν αὐτὸς καταβόσκεσθαι τοὺς τῶν πλησίον βίους. καὶ τὸ εἰδωλολάτρης δὲ διὰ τοῦτό μοι δοκεῖ ἐνταῦθα συναριθμῆσαι· διδάσκων καὶ ἀσφαλιζόμενος, ὡς εἰ καὶ μέγα εἴη καὶ τῶν ἀπὸ ἀτοπωτάτων ἐν ᾧ τινὲς αἰτιῶνται τὸν ἄνθρωπον· μὴ ᾖ δὲ εἰς φῶς ἠγμένον τὸ τόλμημα. οὐδ' οὕτω χρὴ τὸν τοιοῦτον ἐξ ὑποψίας μόνης ἐκτρέπεσθαι· ἐπεὶ οὕτω κατὰ γενεὰν ταῖς εἰς ἀλλήλους ὑποψίαις καὶ διαβολαῖς ἐξερεθιζόμενοι ἄνθρωποι εἰς πολεμίων, μᾶλλον δὲ εἰς θηρίων βίον, τὴν πολιτείαν αὐτοῖς μεταστήσονται· ἀλλ' ἐκείνων δεῖ ἑαυτῶν ἐξαίρειν καὶ ἀποχωρίζειν· ὃς ἐπίδηλος καὶ τοῖς ἔργοις καὶ τῇ παρὰ πάντων ὀνομασίᾳ καθέστηκεν.

ΚΕΦ. Γ.

Περὶ τοῦ μὴ δεῖσθαι δικῶν, καὶ ταῦτα ἐπὶ ἀπίστων.

1 Τολμᾷ τις ὑμῶν, πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον,
2 κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; οὐκ
οἴδατε ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσι; καὶ εἰ ἐν ὑμῖν

κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων;
3 *οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν; μήτι γε βιωτικά;*

ΘΕΟΔΩΡΟΥ. *Ζητήσειεν ἄν τις τίνος ἕνεκεν ἐν τῇ πρὸς Ῥωμαίους πᾶσαν ἐξουσίαν ἀπὸ Θεοῦ φάσκων εἶναι, καὶ σφοδρα γὲ ἐπαίρων, ἐνταῦθα ἀδίκους αὐτοὺς ἐκάλεσεν καθόλου; ὅτι ἐκεῖ μὲν περὶ τοῦ δεῖν τὰ ὀφειλόμενα κἀκείνους πληροῦν διαλεγόμενος ὑπὸ Θεοῦ κἀκεῖνα, εἰκότως τετάχθαι λέγει αὐτὰ καθ᾽ αὗτα, ἀπὸ τοῦ σκοποῦ καθ᾽ ὃν τέτακται κρίνων αὐτά· ἐνταῦθα δὲ πρὸς τοὺς διὰ τοῦ βούλεσθαι τῷ τε χρόνῳ καὶ τῇ περιουσίᾳ καὶ τῇ δυναστείᾳ συντρίβειν αὐτούς· πρὸς γὰρ οὐδὲν τούτων οἱ πένητες ἐξαρκεῖν δυνάμενοι, οὐ ῥαδίως τοῦ δικαίου τυγχάνειν δύνανται· ἀδίκους ἐκάλεσεν ἀπὸ τῆς τούτων γνώμης· ἀντὶ τοῦ καταφεύγειν ἐπ᾽ ἐκείνους παρ᾽ οἷς δύνῃ συγκαλύψαι τὴν κατὰ τοῦ πένητος ἀδικίαν διὰ πολλῶν· ὅθεν καὶ καλῶς εἶπεν "τολμᾷ." "οὐκ οἴδατε ὅτι οἱ ἅγιοι τὸν κόσμον "κρινοῦσι;" παραιτεῖσθε*[q] *φησὶ τούτους ὑμεῖς, ὧν ἡ ἀρετὴ πάντα κρίνει τὸν κόσμον, οὐ κατὰ ἐξέτασιν, ἀλλὰ κατὰ παράθεσιν.*

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ *κρινοῦσιν, ἀντὶ τοῦ κατακρινοῦσι τέθεικεν.*

ΚΥΡΙΛΛΟΥ. Ἁ*γίους καλεῖ τοὺς ἡγιασμένους ἐν* Πνεύματι· *ἀδίκους δὲ τοὺς οὕτω πεπιστευκότας ὡς ἑτοιμότατα λίαν πρὸς πᾶν ὁτιοῦν ἰόντας τῶν κακῶν· ἀνεπιτήδευτον γὰρ τῶν ἀτόπων οὐδὲν τοῖς οὔπω τὸν*[r] *φησὶ καὶ ἀληθῶς εἰδόσι* Θεόν.

ἸΩΑΝΝΟΥ. Σὺ *τοίνυν ὁ μέλλων ἐκείνους τότε κρίνειν, πῶς ὑπ᾽ ἐκείνων ἀνέχῃ κρίνεσθαι; κρινοῦσι δὲ οὐκ αὐτοὶ καθήμενοι καὶ λόγον ἀπαιτοῦντες· ἀλλὰ κατακρινοῦσιν· τοῦτο γοῦν δηλῶν ἐπήγαγεν. "καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων "ἐλαχίστων;" οὐ γὰρ εἶπεν ὑφ᾽ ὑμῶν ἀλλ᾽ "ἐν ὑμῖν·" ὥσπερ καὶ ὅταν λέγῃ "βασίλισσα νότου ἐγερθήσεται καὶ κατακρινεῖ "τὴν γενεὰν ταύτην."*

ΣΕΥΗΡΙΑΝΟΥ. Τ*ινὲς ἐνταῦθα, φησὶ, τοὺς ἱερέας αἰνίττεσθαι· ἀλλ᾽ ἄπαγε· περὶ γὰρ δαιμόνων ὁ λόγος αὐτῷ· περὶ ἐκείνων τῶν* Ἀγγέλων *περὶ ὧν φησὶν ὁ* Χριστὸς, "*πορεύεσθε εἰς τὸ πῦρ τὸ "αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ." καὶ ὁ* Παῦλος· *ὅτι καὶ "οἱ* Ἄγγελοι *αὐτοῦ μετασχηματίζονται*

[q] παρετεῖσθε Cod. [r] Aliquid excidit.

"ὡς διάκονοι δικαιοσύνης." ὅταν γὰρ αἱ ἀσώματοι δυνάμεις ἔλαττον ἡμῶν εὑρεθῶσιν ἔχουσαι τῶν σάρκα περιβεβλημένων, χαλεπωτέραν δώσουσι δίκην.

Ὠριγένους ὁμοίως καὶ Κυρίλλου. Εἰ δὲ ἔτι φιλονεικοῖεν τινὲς ἱερέας λέγειν αὐτὸν, ἐρώμεθα, ποίους ἱερέας; τοὺς βιωτικῶς περιπατήσαντας πάντως; πῶς οὖν φησὶν, "Ἀγγέλους κρινοῦμεν, "μήτι γε βιωτικά;" πρὸς ἀντιδιαστολὴν τῶν βιωτικῶν τιθεὶς τοὺς Ἀγγέλους εἰκότως· ἅτε τῆς τούτων χρείας ἐκτὸς γενομένους, διὰ τὴν τῆς φύσεως ὑπεροχήν.

Θεοδώρου. Ὑφ' ὧν ἅπας ὁ κόσμος κρίνεται· χρημάτων ἀμβισβήτησις ὑπὸ τούτων οὐ δύναται διαλύεσθαι; ἐντρεπτικώτατον δὲ μάλιστα τὸ "εἰ ἐν ὑμῖν" συμπεριλαβὼν καὶ τοὺς παραιτουμένους· ὡς ἂν αὐτῶν ἑαυτοὺς παραιτούμενων ἐν τῷ παραιτεῖσθαι τοὺς ὁμοπίστους· κατὰ αὔξησιν δὲ φησὶν, "οὐκ οἴδατε ὅτι Ἀγγέ-"λους κρινοῦμεν," ὡς γὰρ μεῖζον τοῦτο ἐπήγαγεν· ἐπὶ μὲν οὖν τοῦ κόσμου ἐλάχιστα κριτήρια τὰ περὶ τῶν χρημάτων ἐκάλεσεν· ὡς ἄγαν ὄντα μικρὰ τῇ πρὸς ἐκεῖνον συγκρίσει. ἐπὶ δὲ τῶν Ἀγγέλων βιωτικά· ὡς ἂν ἐκείνων οὐ κατὰ τὸν βίον τοῦτον ὄντων.

Φωτίου. "Τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων," τούτων οὕτως φησὶ κατὰ τὸ προσῆκον ἐχόντων. καὶ τοὺς μὲν ἐν ὑμῖν ἀδελφοὺς κρίνειν ἐχόντων τὴν ἐξουσίαν· ἐπὶ δὲ τοὺς ἔξω τοῦτο πράττειν οὐ συγχωρουμένων· τολμᾷ τις τοὺς ἔξω καλεῖν κριτὰς ἑαυτοῖς γενέσθαι ὑμῖν, καὶ οὐ καταδύεται κἂν εἰς λογισμοὺς τοῦτο λαβεῖν; οἱ πιστοὶ τοὺς πιστοὺς ἑαυτοῖς καθίσουσι κριτὰς, ἐκλέξονται δὲ ἀντὶ τῶν ἁγίων τοὺς ἀδίκους; σφοδρῶς δὲ τοῦτό φησι πανταχόθεν ἀσφαλιζόμενος περιστέλλειν ἑαυτοὺς, καὶ μὴ διδόναι τοῖς ἀπίστοις λαβὴν ἐν μηδενὶ, μήτε δικαζομένους, μήτε ἀλλό τι τῶν οὐχὶ σεμνῶν καὶ εἰρηνικῶν διαπραττομένους· τοῦτο γὰρ οὔτε τὸ ὄνομα τοῦ Θεοῦ δι' αὐτοὺς βλασφημεῖσθαι παρεσκεύασεν· κἀκείνους ἐποίει πρὸς τὸν ἔρωτα διανίστασθαι καὶ τὸν θειασμὸν τῆς θρησκείας.

Τοῦ αὐτοῦ. "Οὐκ οἴδατε ὅτι Ἀγγέλους κρινοῦμεν;" Εἰ Ἀγγέλους τοὺς ἐκπεπτωκότας τῆς οἰκείας τάξεως γνώμης ἰδίας μοχθηρίᾳ· εἰ τούτους κρινοῦμεν, ἤτοι ἐλέγξομεν, αὐτοὶ μετὰ σώματος ὄντες, τὸν οἰκεῖον θεσμὸν οὐκ ἐτήρησαν· ἡμεῖς δὲ κατὰ τοὺς δοθέντας ἡμῖν ὑπὸ

τοῦ Κυρίου νόμους, κακείνων ἐπηρεαζόντων ἐπολιτευσάμεθα· εἰ οὖν ἐκείνους ἐλέγξομεν καὶ ἀναπολόγητον ἑαυτοῖς καταστησόμεθα τὸ ἁμάρτημα, πόσῳ μᾶλλον ἐσμὲν ἱκανοὶ τὰ βιωτικὰ διαλύειν φιλονεικήματα, καὶ τὰς πρὸς ἀλλήλους δίκας καὶ ἔριδας; εἰ δ' οὔπω τοῖς εἰρημένοις δυσωπεῖσθε[8]· ἀλλ' ἔτι νομίζετε ὅτι τῶν πιστῶν τὸ δικαστήριον ἀσθενὲς ἔτι, καὶ ἀδύνατον εἰς τὸ διαλύειν τὰς δίκας ὑμῶν, καὶ τὰς φιλονεικίας, ἀλλ' οὖν εἰ καὶ ἀσθενεῖς καθ' ὑμᾶς καὶ ἐξουθενημένοι ὦσιν οἱ πιστοὶ, καὶ ἀδύνατοι συνιδεῖν δικαιοκρισίαν, ἄμεινόν ἐστι τούτους καθίζειν δικαστὰς ὅταν ἔχητε χρείαν βιωτικῶν κριτηρίων· ἢ τοῖς ἀπίστοις εἰς κρίσιν ἑαυτοῖς ἐκδιδόναι· ἐξουθενημένους δὲ εἶπον φησὶν, ἐντρέπων ὑμᾶς καὶ αἰσχύνων· ἐπεὶ πολλοί εἰσι διαλύειν ἐν ὑμῖν δίκας ἰσχύοντες καὶ φιλονεικίας· πόσης γὰρ οὐκ ἔστιν αἰσχύνης καὶ καταγνώσεως τοῦτο; εἰ οὐκ ἔνι σοφὸς ἐν ὑμῖν, φησὶν, οὐδὲ εἷς, ὃς δυνήσεται δικάσαι ἀνὰ μέσον ἀδελφῶν δικαζομένων;

Διαφόρους δὲ ἀποδείξεις τίθησιν· τὸ μὴ δεῖν καταλιπόντας τοὺς πιστοὺς, ἐπὶ τὸ τῶν ἀπίστων βαδίζειν κριτήριον· ἃ μὲν, ὅτι εἰ ἡμεῖς νῦν οὐ κρίνομεν ἐκείνους, οἱ πιστοὶ τοὺς ἀπίστους· τί γάρ μοι φησὶ καὶ τοὺς ἔξω κρίνειν; πῶς οὐ μέγα ὄνειδος ὑπὸ τῶν ἀπίστων κρίνεσθαι τοὺς πιστούς; εἰ οἱ μὲν ἄδικοι, οἱ δὲ ἅγιοι, πῶς οὐκ ἔστιν ἠλίθιον καταλιπόντα τοὺς ἁγίους, ἐπὶ τοὺς ἀδίκους τρέχειν; καὶ ταῦτα τυχεῖν ἐλπίζοντα τοῦ δικαίου. εἰ γὰρ οἱ ἅγιοι τὸν κόσμον ἐλέγξουσι καὶ ἀναπόδραστον αὐτοῖς τὴν δίκην παρασκευάσουσιν, ἐφ' οἷς τῆς αὐτῆς φύσεως ὄντες καὶ τὰς ἀρετὰς πράττοντες, οὐκ ἔσχον μιμουμένους τοὺς ἐλεγχομένους· πόσῳ μᾶλλον εἰσὶ δυνατώτεροι ἀναμεταξὺ δύο δικάζειν καὶ διακρίνειν; εἰ γὰρ Ἀγγέλους, τοὺς ἀσωμάτους δαίμονας ἐλέγχειν ἐσμὲν δύνατοι· πόσῳ μᾶλλον τοὺς ὁμοφυεῖς καὶ ὁμοδιαίτους;

Εἰ καὶ μὴ ἴσχυον οἱ πιστοὶ δικάζειν, ἄμεινον ἦν καὶ οὕτως ἐπὶ αὐτῶν ἢ ἐπὶ τῶν ἀπίστων κρίνεσθαι· καὶ πρὸ τούτων εἰ τὸν κόσμον κρίνομεν φησὶ, πῶς οὐκ ἔστιν ἀνάξιον ὑμῶν κρίνεσθαι ὑπὸ τῶν ἀπίστων· τοῦτο γὰρ δηλοῖ διὰ τὸ εἰπεῖν, "καὶ εἰ ἐν ὑμῖν κρί- "νεται ὁ κόσμος· ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων·" παραθεὶς δὲ τὰς τοσαύτας ἀποδείξεις, ὅτι οὐ δεῖ κρίνεσθαι ἐπὶ ἀπίστων· ἐπὶ

[8] Cod. δυσωπήσθεαι, ded. ex Ed.

τὸ τελειότερον ἀνάγει τὸν λόγον· καὶ φησὶ, τί λέγω ὅτι οὐ δεῖ κρίνεσθαι ὑμᾶς ἐπὶ ἀπίστων; ἄμεινον ἦν μηδὲ ἐπὶ πιστῶν· ἀλλὰ πολλῷ ἄμεινον ἦν μηδὲ δίκας ἔχειν πρὸς ἀλλήλους· αὐτὸ γὰρ τὸ αἰτιᾶσθαι πρὸς ἀλλήλους, ἥττημα ὑμῶν ἐστιν. ἄριστον μὲν οὖν μηδένα μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι· οὕτω γὰρ κοινὴ πάντων ἦν ἡ ἀρετὴ καὶ ἡ σωτηρία. εἰ δὲ δυοῖν ἀνάγκη θάτερον, αἱρετώτερον τοῦ ἀδικεῖν τὸ ἀδικεῖσθαι· τὸ μὲν γὰρ ἐκβάλλει τῆς βασιλείας, τὸ δὲ ταυτὴν προξενεῖ. εἰ δὲ οὐ μόνον οὐχ αἱρεῖσθε ἀδικεῖσθαι, ἀλλὰ καὶ ἀδικεῖτε, καὶ τότε ἀδελφοὺς καὶ ὁμοπίστους· εἰς οἷον ὑμῖν τὰ τῆς τιμωρίας χωρήσει;

4 Βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε, τοὺς ἐξουθενη-
5 μένους ἐν τῇ ἐκκλησίᾳ, τούτους καθίζετε. πρὸς ἐντροπὴν
ὑμῖν λέγω· οὕτως οὐκ ἔστιν ἐν ὑμῖν σοφὸς οὐδὲ εἷς, ὃς
δυνήσεται διακρῖναι ἀνὰ μέσον τὸν ἀδελφὸν αὐτοῦ;
6 ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ
7 ἀπίστων; ἤδη μὲν οὖν ὅλως ἥττημα ἐν ὑμῖν ἐστι, ὅτι
κρίματα ἔχετε μεθ' ἑαυτῶν. διατί οὐχὶ μᾶλλον ἀδι-
8 κεῖσθε; διατί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; ἀλλὰ ὑμεῖς
9 ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς. ἢ οὐκ
οἴδατε ὅτι ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν;

Θεοδώρου. "Βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε, τοὺς ἐξουθενημένους ἐν τῇ Ἐκκλησίᾳ, τούτους καθίζετε·" καὶ ἵνα μὴ δοκῇ κελεύειν αὐτοῖς ἀληθῶς τοὺς ἁπάντων εὐτελεστέρους ἐπιζητεῖν οἵτινές εἰσι, καὶ τούτους ἐπὶ τῶν τοιούτων αἱρεῖσθαι κριτὰς, "πρὸς ἐντροπὴν ὑμῖν," φησὶν "λέγω·" τίνες δὲ οἱ κρίνειν ὀφείλοντες ἐπάγει.

Θεοδωρίτου. Ὁ πάντων εὐτελέστατος καὶ τῆς Ἐκκλησίας ἔσχατος κρείττων ἐστὶ τῶν παρ' ἐκείνοις νομιζομένων ἐπιστημόνων· οὐ γὰρ τοὺς εὐτελεστάτους τῆς Ἐκκλησίας κρίνειν κελεύει· καὶ τοῦτο δηλοῖ τὰ ἑξῆς· "πρὸς ἐντροπὴν ὑμῖν λέγω οὕτως· οὐκ ἔνι ἐν ὑμῖν σοφὸς οὐδὲ εἷς, ὃς οὐ δυνήσεται ἀνακρῖναι ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ· ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται· καὶ τοῦτο "ἐπὶ ἀπίστων." πολλὰ τὰ ἄτοπα ἔδειξεν· πρῶτον μὲν τὸ πιστὸν ὄντα δικάζεσθαι· τοῦτο γὰρ λέγει ἀδελφόν· εἶτα τῷ ὁμοπίστῳ·

πάντων δὲ χαλεπώτατον τὸ καὶ ἀπίστῳ κριτῇ· εἰδέναι μέντοι χρὴ ὡς οὐκ ἐναντία ταῦτα τοῖς πρὸς Ῥωμαίους γράφεσθαι· οὐ γὰρ ἀντιτείνειν κελεύει τοῖς ἄρχουσιν· τὸ γὰρ αἱρεῖσθαι ἢ παρὰ τοῖς ὁμοπίστοις δικάζεσθαι, ἐξήρτητο γνώμης τῆς αὐτῶν.

Κυρίλλου. Μικρὸν κομιδῇ καὶ τοῦ μηδενὸς ἄξιον τοῖς ἄγαν ἐπιεικέσιν ἐν ἐκκλησίᾳ τὸ κρίνειν ἐστὶ τὰ βιωτικά. πεπαιδεύμεθα δὲ καὶ τοῦτο παρὰ τοῦ Κυρίου· προσῄει μὲν γάρ τις αὐτῷ λέγων· "διδάσκαλε, εἰπὲ τῷ ἀδελφῷ μοῦ μερίσασθαι μετ' ἐμοῦ τὴν "κληρονομίαν·" ὁ δὲ πρὸς αὐτὸν φησὶ, "τίς με κατέστησε "κριτὴν ἢ μεριστὴν ἐφ' ὑμᾶς;" πρέποι γὰρ ἂν μᾶλλον καὶ νουνεχεστέροις ἐν ἐκκλησίᾳ τὸ κρίνειν τὰ πνευματικά· τὸ βασανίζειν εὐτέχνως τὸν περὶ πίστεως λόγον· ἐνηρίθμηται δὲ τοῦτο τοῖς ἄνωθεν καὶ διὰ τοῦ Πνεύματος ἀγαθοῖς· δίδοται γάρ τισι λόγος σοφίας καὶ λόγος γνώσεως· ἑτέροις δὲ καὶ διάκρισις πνευμάτων.

Ὠριγένους[s]. Δυσωπεῖ τοὺς ἐν Κορίνθῳ ἁμαρτάνοντας καὶ ἀσχολουμένους περὶ δικαστήρια καὶ βιωτικὰς χρείας καὶ ταλαιπωρίας, καὶ φησὶν ὅτι ἐκλήθητε ἐπὶ τοῦτο, ἵνα τελειωθέντες κρίνητε Ἀγγέλους, οὐχὶ δὲ μᾶλλον δυνήσεσθαι ἐάν ποτε ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνηται κρίνειν τὰ βιωτικὰ τῶν ἀδελφῶν· "βιω- "τικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε" καὶ τὰ ἑξῆς· ἀληθῶς μὲν ἐνίοτε τοιαῦτα εστο[t] ἐστὶ τὰ τῶν κρινομένων, ὡς μὴ δεῖσθαι σοφοῦ τοῦ δικάζοντος· ἀλλὰ μᾶλλον τοὺς ἐξουθενημένους ἐν τῇ ἐκκλησίᾳ. γένοιτο δ' ἂν ποτε τὰ τῶν δικαζομένων, ὡς καὶ σοφοῦ δεῖσθαι δικαστοῦ. ὃ δὲ λέγω οὕτως ἔσται σαφὲς, ἐὰν οἱ δικαζόμενοι δέονται νόμων κοσμικῶν καὶ ἐμπείρων δικαστῶν, οὐ γραφῆς οὐδὲ νόμου τοῦ ἐν τῇ γραφῇ, ἀλλ' οἱονεὶ υἱῶν τοῦ αἰῶνος τούτου φρονιμωτέρων δοκῶσιν εἶναι. πιστοὶ ἔσονται κριταὶ οἱ ἐξουθενημένοι ἐν τῇ ἐκκλησίᾳ· καὶ ἔσται ψόγος τῶν κρινομένων, ὅτε δέονται καὶ τῶν ἐξουθενημένων μᾶλλον ἢ τῶν σοφῶν· ὁ μὲν γὰρ τῷ λόγῳ ἀκολουθῶν, εἰ καὶ δεῖται κριτοῦ, δεῖται μᾶλλον σοφοῦ, ἵνα νουθετηθῇ ἀπὸ τῆς σοφίας τοῦ σοφοῦ εἰσφέροντος αὐτῷ λόγους οἰκοδομοῦντας.

"Τοὺς ἐξουθενημένους οὖν ἐν τῇ ἐκκλησίᾳ τούτους καθίζετε[u]· "πρὸς ἐντροπὴν ὑμῖν λέγω οὕτως· οὐκ ἔνι ἐν ὑμῖν οὐδεὶς σοφὸς ὃς

[s] ꝸ Cod. [t] Sic. [u] Sic.

"δυνήσεται ἀνακρῖναι ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ;" ἐγκαλεῖ τῇ Κορινθίων ἐκκλησίᾳ, ὅτι καίτοι ἐν μέσῃ τῇ Ἑλλάδι καθεζόμενοι, σοφοὺς οὐκ εἶχον ἀληθινούς· καίτοι γε προειπὼν ὅτι πολλοὶ ἐπαγγέλλονται σοφίαν παρ' αὐτοῖς, δι' οὓς καὶ εἶπεν τὸ "ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν." ἀλλ' οἱ μὲν εἰσὶ σοφοὶ τοῦ αἰῶνος τούτου· οἱ δὲ σοφοὶ κατὰ Θεόν. ᾔδει δὲ ὁ Παῦλος ἐκείνους· διὰ τοῦτο φησὶν οὕτως, "οὐκ ἔνι ἐν ὑμῖν σοφὸς ὃς δυνήσεται ἀνακρῖναι ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ· ἀλλ' ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων;" ἔχομεν ἄρχοντας τῆς ἐκκλησίας ἐφ' οὓς ὀφείλομεν ἀναφέρειν τὰς ἡμετέρας κρίσεις· ἵνα μὴ καταγελώμεθα ἐν τοῖς τῶν ἐθνῶν δικαστηρίοις. "ἤδη μὲν οὖν ἥττημα ὑμῖν ἐστιν ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν·" οὐ μεμνημένοι τοῦ "διατί οὐχὶ μᾶλλον ἀποστερεῖσθε;" ἀποστῶμεν τῶν κριμάτων, τῶν βημάτων τῶν ἐθνικῶν, τοῦ ἔχειν δίκας καὶ πράγματα. ὁ γὰρ κρίματα ἔχων μετὰ τοῦ ἀδελφοῦ ἤδη ἥττηται, καὶ ὁ ἀδικούμενος νενίκηκεν· ὁ τυπτόμενος καὶ κακολογούμενος μηδὲ ἀμειβόμενος τὸν ταῦτα ποιοῦντα, νενίκηκεν· φυλάττει γὰρ τὴν ἐντολὴν τὴν λέγουσαν "διατί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διατί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε· καὶ τοῦτο ἀδελφούς." πῶς μὲν οὖν ὁ ταῦτα ποιῶν ἁμαρτάνει, ὅσῳ δὲ τιμιώτερον ἔστι τὸ ἀδικούμενον πρόσωπον· τοσούτῳ τὸ ἁμάρτημα χαλεπώτερον. καὶ γὰρ εἰ ἀδικεῖ τις τὸν μακάριον δυνάμει, Χριστὸν ἀδικεῖ, καὶ Χριστὸν ἀποστερεῖ· "ἢ οὐκ οἴδατε ὅτι ἄδικοι Θεοῦ βασιλείαν οὐ κληρονομήσουσιν·" εἰ ἡ βασιλεία τοῦ Θεοῦ ἐν Χριστῷ ἔστιν· Χριστὸς δὲ ἡ δικαιοσύνη ἐστίν· ὁ δίκαιος βασιλείαν Θεοῦ κληρονομεῖ ἐν Χριστῷ δικαιοσύνῃ ὄντι· καὶ ἀκολούθως ὁ ἐν τῇ ἐναντίᾳ καταστάσει, οὗτος οὐ κληρονομεῖ βασιλείαν Θεοῦ· "μὴ πλανᾶσθε· οὔτε πόρνοι·" μηδεὶς ὑμᾶς πλανάτω πιθανοῖς λόγοις· ἐλεήμων, χρηστὸς, φιλάνθρωπός ἐστιν ὁ Θεὸς, ἀφίησι τὰ ἁμαρτήματα· "πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ· ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν· εἴτε ἀγαθὸν εἴτε κακόν·" μηδεὶς προφασιζέσθω, νέος ἤμην, ἄγαμος ἤμην, πρὶν γυναῖκα λαβεῖν πεπόρνευκα· διατί δὲ οὐκ ἔλαβες γυναῖκα· οὐ πιστεύεις, ὅτι εἴ τις τὸν ναὸν τοῦ Θεοῦ

φθείρει, τοῦτον ὁ Θεός; "ἀλλ' αἴρεις τὰ μέλη τοῦ Χριστοῦ καὶ "ποιεῖς πόρνης μέλη;" ὁ πορνεύων εἰς τὸν τῶν ὅλων Θεὸν ἀσεβεῖ.

ΦΩΤΙΟΥ· *"Βιωτικὰ μὲν οὖν ἐὰν ἔχητε κριτήρια·" τοῦτ' ἔστιν, ἐὰν χρείαν αὐτῶν ἔχητε· ἐὰν ἀνάγκη εἶναι αὐτὰ ἐν ὑμῖν· ἐὰν δὲ συστῆναι αὐτά· καὶ ἡ μὲν πρόχειρος ἔννοιά τε καὶ σύνταξις αὐτή· ἔνι δὲ καὶ βαθύτεραν τὴν λέξιν διελόντα συνιδεῖν καὶ τὸ νόημα ἀναπτύξαι.*

Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε
10 μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε κλέπται,
οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ
11 ἅρπαγες, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. καὶ
ταῦτά τινες ἦτε· ἀλλὰ ἀπελούσασθε, ἀλλὰ ἡγιάσθητε,
ἀλλ' ἐδικαιώθητε, ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ,
καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν.

ὨΡΙΓΕΝΟΥΣ. *"Μὴ πλανᾶσθε οὖν, οὔτε πόρνοι οὔτε εἰδωλο-"λάτραι, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν·" οὕτω δὲ οὐδὲ μοιχοί. ὁ πορνεύων φθείρει τὸν ναὸν τοῦ Θεοῦ· ὁ δὲ μοιχεύων, πρὸς τούτους καὶ εἰς τὸν ἄνδρα πλημμελεῖ· οὐδὲ μοιχοὶ οὖν· ἀλλ' οὐδὲ "μαλακοί·" παρακαλοῦμεν οὖν καὶ ὑμᾶς ὦ παῖδες, τηρῆσαι τὴν ἑαυτῶν ὥραν καθαρὰν, καὶ μὴ μολυνθῆναι τοιούτῳ γυναικείῳ μολυσμῷ· οὐδὲ "ἀρσενοκοῖται" βασιλείαν Θεοῦ κληρονομήσουσιν· ἀλλ' ἀπείη ἐν τῇ Ἐκκλησίᾳ κἂν ἕνα τοιοῦτον εὑρεθῆναι. εἶτα ἐπικαταβαίνει καὶ ἐπὶ τὰ ἐλάττονα δοκοῦντα εἶναι ἁμαρτήματα λέγων· "οὔτε κλέπται·" τοῦτο δὲ ἁμάρτημα τὸ τῆς κλοπῆς· σχεδὸν πάντες οἱ στρατευόμενοι ἁμαρτάνουσι· μὴ ἀρκούμενοι τοῖς ὀψωνίοις, ὡς ἐδίδαξε τὸ Εὐαγγέλιον· ἀλλὰ διασείοντες καὶ συκοφαντοῦντες· ἀλλὰ καὶ οἱ ἐν ταῖς πραγματείαις ψεῦσται εἰσὶν, οὐ κληρονομοῦντες τὴν βασιλείαν τοῦ Θεοῦ· οὕτως δὲ καὶ οἱ ἐν ταις πραγματείαις πλεονεκτοῦντες, πλεονέκται εἰσίν· καὶ ἄλλοι μέθυσοι· ἀλλὰ καὶ λοιδόρους φησὶ μὴ κληρονομεῖν τὴν βασιλείαν τοῦ Θεοῦ· μηδενὸς οὖν βασιλεύει ἡ ἁμαρτία· δεῖ γὰρ καθαρὰν εἶναι τὴν βασιλείαν τοῦ Θεοῦ ἀπὸ πάντων ἁμαρτημάτων καὶ πταισμάτων, ἵνα ὁ Θεὸς βασιλεύῃ.*

ΘΕΟΔΩΡΙΤΟΥ. *Ἵνα δὲ μὴ τῶν πρὸ τοῦ ἁγίου βαπτίσματος*

μνημονεύοντες ἀπαγορεύσωσι τὴν σωτηρίαν ἀναγκαίαν, ἐπήγαγεν, "καὶ ταῦτά τινες ἦτε· ἀλλ' ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε· ἀλλ' "ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν·" σαφῶς ἔδειξε τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος τὴν ἰσότητα· συνέταξεν δὲ καὶ τοῦ Θεοῦ καὶ Πατρὸς τὴν μνήμην· τῇ γὰρ ἐπικλήσει τῆς Τριάδος ἁγιάζεται τῶν ὑδάτων ἡ φύσις, καὶ χορηγεῖται τῶν ἁμαρτημάτων ἡ ἄφεσις.

Θεοδώρου. *Ταῦτα γάρ φησιν· εἰ καὶ πρότερον ἐπράττετε· ἀλλὰ νῦν τετυχηκότες ἁγιασμοῦ τῇ τοῦ Πνεύματος μετουσίᾳ, διὰ τῆς ἐπὶ τὸν Χριστὸν πίστεως, μετὰ πάσης ἀποφεύγειν προσήκει τῆς σπουδῆς.*

Θεοδωρίτου. *Εἶτα πάλιν τὸν περὶ τῆς πορνείας ἀνέλαβεν λόγον· ὡς εἶναι κατὰ παρέκβασιν κείμενα τὰ πρὸς τοὺς ἀδικοῦντας μὲν, οὐκ ἐμμένοντας δὲ τοῖς ἐκκλησιαστικοῖς κριτηρίοις καὶ φησὶ "πάντα μοι ἔξεστιν."*

12 Πάντα μοι ἔξεστιν· ἀλλ' οὐ πάντα συμφέρει. πάντα
μοι ἔξεστιν· ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος.
13 τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν·
ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει. τὸ δὲ
σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ, καὶ ὁ Κύριος τῷ
14 σώματι· ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἤγειρεν, καὶ ἡμᾶς
ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ.

Θεοδωρίτου. *"Πάντα μοι ἔξεστιν;" κατ' ἐρώτησιν ἀναγνωστέον· εἶτα κατὰ ἀπόκρισιν, "ἀλλ' οὐ πάντα συμφέρει·" οὕτω δὲ καὶ τὰ ἑξῆς· "πάντα μοι ἔξεστιν; ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος." τοῦτο λέγει ὅτι οὐκ ὑπὸ τῷ νόμῳ πολιτεύει, καὶ ὅτι αὐτεξούσιος εἶ, καὶ αὐθαίρετον ἔχεις τὴν γνώμην· ἀλλ' οὐ λυσιτελεῖ σοι πανταχοῦ κεχρῆσθαι· ὅτ' ἂν γάρ τι τῶν ἀτόπων ἐπιτελέσῃς, ἀποβάλλεις τὴν ἐξουσίαν, καὶ δοῦλος γίνῃ τῆς ἁμαρτίας.*

Θεοδώρου. *Ἀλλὰ τοῦτο φῄς, φησὶν, ὅτι "πάντα μοι ἔξεστιν·" εἶτ' αὐτὸς ἐπιφέρει, "ἀλλ' οὐ πάντα συμφέρει·" οὐκ ἀνελὼν τὸ ἐξεῖναι τέως· ἀλλὰ τὸ μὴ δεῖν τῇ ἐξουσίᾳ κεχρῆσθαι· ἐπειδὴ γὰρ οὐ πάντα συμφέρει· δῆλον ὡς οὐ πᾶσι χρηστέον. ἀλλὰ τοῖς*

ὠφελοῦσι μόνοις· εἶτα πάλιν τὴν ἀντίθεσιν τεθεικὼς, ἑτέρως αὐτὴν μεθώδευσε· "πάντα μοι ἔξεστιν· ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι "ὑπό τινος." ὁρῶ γάρ φησιν οὐδὲ τὴν ἐξουσίαν μοι σωζομένην ἀκέραιον, ἄνπερ δὴ πᾶσιν ἁπλῶς ὑπάγωμαι, μὴ πρὸς τὸ συμφέρον τὴν χρῆσιν αὐτῶν ποιούμενος· οὕτω δὲ κατὰ συγχώρησιν τοῦ πάντα ἐξεῖναι τὸ καὶ πάντα πράττειν ἀνελὼν δεῖ· οὕτω δείκνυσιν ὅτι οὐδὲ πάντα ἔξεστιν· ἀλλ' ὅσα μὴ νόμῳ τινὶ ποιεῖν κεκωλύμεθα· κατὰ παράθεσιν, τινὰ μὲν ἐν ἡμῖν, τινὰ δὲ οὐκ ἐν ἡμῖν, ἀποφαίνων.

Ὠριγένους. Ὑπὲρ ἄνω ὧν ἔλαβον[x] ἐξουσίαν· ἃ καὶ ποιήσαντες οὐχ ἁμαρτησόμεθα· οὕτω γὰρ φιλοτιμότεροι πολιτευόμενοι πολιτεύονται· "μὴ οὐκ ἔχομεν" γάρ, φησιν ὁ Ἀπόστολος, "ἐξουσίαν "φαγεῖν καὶ πιεῖν; μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα "περιάγειν· ὡς καὶ οἱ λοιποὶ Ἀπόστολοι καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου "καὶ Κηφᾶς; ἢ νόμῳ ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν μὴ "ἐργάζεσθαι;" ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ· οὐκ οὖν ἐξῆν μὲν τῷ Ἀποστόλῳ ταῦτα πάντα ἐν τοῖς τόποις οἷς παρεθέμην. συνεξετάζων δὲ αὐτὰ τῷ αὐτοῦ συμφέροντι καὶ τῇ οἰκονομίᾳ τῆς ἐκκλησίας, ἑώρα ὅτι ἔξεστι μέν. ἐὰν ποιήσῃ, οὐχ ἁμαρτήσεται· κρεῖττον δὲ ποιεῖ οὐ χρησάμενος τῇ ἐξουσίᾳ. καὶ πάλιν· πάσῃ παρθένῳ ἔξεστι γαμεῖσθαι· ἀλλ' ἡ καλὴ καὶ ἀγαθὴ οὐχ ὡς μὴ ἐξὸν γαμεῖν ἀπέχεται τοῦ γαμεῖν· ἀλλ' ἀναβᾶσα τὴν ἐξουσίαν καὶ βουλομένη καθαρὰ εἶναι, καὶ τῷ σώματι καὶ τῷ Πνεύματι παρθενεύει· ἀλλὰ καὶ ἀνδρὸς τελευτήσαντος, οὐ κεκώλυται[y] ἡ διγαμία παντελῶς· ἐὰν γάρ φησιν ὁ ἀνὴρ ἀποθάνῃ· ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ· ἀλλ' ἀκούσασα ἡ καλὴ γυνὴ μακαριωτέρα ἐστὶν, ἐὰν οὕτως μείνῃ κατὰ τὴν ἐμὴν γνώμην. οὐ κέχρηται τῇ ἐξουσίᾳ. "πάντα μοι ἔξεστιν· ἀλλ' οὐκ ἐγὼ ἐξου-"σιασθήσομαι ὑπό τινος." ἔχει τι ὁ λόγος ὑψηλότερον· εἰ γὰρ "οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς "ἀρχὰς καὶ πρὸς τὰς ἐξουσίας·" ὅτ' ἂν ἡ ἐξουσία κρατήσῃ, ἐξουσιάσθην ὑπ' ἐκείνης· ἐὰν δὲ πᾶσαν ἐξουσίαν νικήσω, οὐκ ἐξουσιασθήσομαι ὑπό τινος.

Σευηριανοῦ. Οὐ προσώπου λέγει, ἀλλὰ πράγματος ἀπὸ τοῦ

[x] ἔλαβων Cod. [y] οὐκ ἐκώλυται Cod.

περὶ τούτων γὰρ ὁ λόγος "τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία "τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει."

Ἰωάννου[z]. Κοιλίαν ἐνταῦθα οὐ τὴν γαστέρα, ἀλλὰ τὴν γαστριμαργίαν λέγει· ὡς ὅτ' ἂν λέγῃ "ὧν ὁ Θεὸς ἡ κοιλία," οὐ περὶ τοῦ μέλους λέγων, ἀλλὰ περὶ τῆς ἀδηφαγίας. τί δέ ἐστι "τὰ "βρώματα τῇ κοιλίᾳ;" τὰ βρώματά φησι πρὸς τὴν γαστριμαργίαν ἔχει φιλίαν, καὶ αὕτη πρὸς ταῦτα· καὶ οὐ δύναται πρὸς τὸν Χριστὸν ἡμᾶς ἄγειν· ἀλλὰ πρὸς ταῦτα ἕλκει· πάθος γὰρ χαλεπὸν καὶ θηριῶδές ἐστίν· καὶ δούλους ποιεῖ, καὶ ταύτῃ διακονεῖσθαι παρασκευάσει· "ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει·" οὐ τὴν γαστέρα λέγων, ἀλλὰ τὴν ἄμετρον ἐπιθυμίαν· οὐδὲ τὴν τροφὴν ἀλλὰ τὴν τρυφήν· πρὸς γὰρ ἐκεῖνα οὐ δυσχεραίνει· ἀλλὰ καὶ νομοθετεῖ περὶ αὐτῶν λέγων οὕτως· "ἔχοντες τροφὰς καὶ "σκεπάσματα· τούτοις ἀρκεσθησόμεθα·" τινὲς δὲ φασὶν ὅτι προφητεία τὸ εἰρημένον ἐστὶ, τὴν ἐν τῷ μέλλοντι αἰῶνι κατάστασιν δηλοῦσα· καὶ ὅτι οὐκ ἔστιν ἐκεῖ φαγεῖν οὐδὲ πιεῖν· εἰ δὲ τὸ σύμμετρον ἕξει τέλος, πολλῷ μᾶλλον τῆς ἀμετρίας ἀπέχεσθαι δεῖ.

Ὠριγένους[a]. Μὴ νομίσῃς ὅτι ὥσπερ ἡ κοιλία γέγονεν τοῖς βρώμασι καὶ τὰ βρώματα τῇ κοιλίᾳ. οὕτω καὶ τὸ σῶμα γέγονε διὰ συνουσιασμόν· εἰ θέλεις τὸν προηγούμενον λόγον μαθεῖν διὰ τί γέγονεν, ἄκουε· ἵνα ναὸς ᾖ τῷ Κυρίῳ· καὶ ἵνα ἡ ψυχὴ ἁγία καὶ μακαρία οὖσα τὸ Πνεῦμα τὸ Ἅγιον ὡσπερεὶ θεραπεύουσα, ἱερεὺς γένηται τοῦ ἔνδον Ἁγίου Πνεύματος· καὶ ὁ Ἀδὰμ γὰρ σῶμα εἶχεν ἐν τῷ παραδείσῳ· ἀλλ' ὅμως ἐν αὐτῷ τῷ παραδείσῳ οὐκ ἔγνω Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ· ἀλλ' ὅτε ἐξεβλήθη μετὰ τὴν παρακοήν· ταῦτα δὲ λέγω οὐ περιγράφων τὸν γάμον· οἶδα γὰρ ὅτι εἴ τις οὐκ ἐγκρατεύεται, γαμεῖν ὀφείλει· κρεῖσσον γάρ ἐστι γαμεῖν, ἢ πυροῦσθαι· ἀλλ' εἰ καὶ συγκεχώρηται τὸ πρᾶγμα· οὐ προηγουμένως, ἀλλὰ δι' ἀσθένειαν· τὸ γὰρ προηγούμενον ἁγνεύειν καὶ καθαρεύειν καὶ σχολάζειν τῇ προσευχῇ.

Θεοδωρίτου. Κεφαλὴν ἡμῶν πολλάκις τὸν Κύριον προσηγόρευσεν· τούτῳ τοίνυν ὡς κεφαλῇ συνῆπται τὸ σῶμα· οὐ γὰρ ὥσπερ ἡ γαστὴρ τροφῆς δοχεῖον ἐγένετο· οὕτως τὸ σῶμα διὰ τὴν πορνείαν δεδημιούργηται· "ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἤγειρεν· καὶ

[z] [illegible] Cod. [a] [illegible] Cod.

"ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ·" μὴ καταφρονήσῃς ὡς νεκροῦ τοῦ δεσπότου· ἐγήγερται γάρ· ἐγερεῖ δὲ ἡμᾶς ὁ τοῦτον ἐγείρας Θεὸς, τῇ τοῦ ἐγερθέντος δυνάμει· ἐδίδαξε τοίνυν σαφῶς ὡς ἠγέρθη μὲν κατὰ τὸ ἀνθρώπινον, ἐγερεῖ δὲ ἡμᾶς ὡς Θεός.

Θεοδώρου. Οὐδὲ συγκαταλύεσθαι τῷ παρόντι βίῳ τὸ ἡμέτερον νομίζομεν σῶμα· ὁ γὰρ τὸν Χριστὸν ἀναστήσας, καὶ ἡμᾶς ἀναστήσει πάντως· ὥσπερ γὰρ ἐπὶ τοῦ ἐσθίειν ἐξουσίαν ἔδωκεν, ἀπό τε τοῦ πρὸς τοῦτο γεγενῆσθαι, καὶ ἀπὸ τοῦ παύεσθαι πάντως· οὕτως ἐπὶ τοῦ πορνεύειν τὸ μὴ ἐξεῖναι συνέστησεν, ἀπό τε τοῦ μὴ πρὸς τοῦτο γεγενῆσθαι, καὶ ἀπὸ τοῦ τὸ σῶμα μετὰ τὴν ἀνάστασιν ἔσεσθαι πάλιν.

Ἰωάννου[b]. Σφόδρα εὐκαίρως ἐνταῦθα τῆς ἀναστάσεως ἀνέμνησεν, ταῖς ἐλπίσιν ἐκείναις καταστέλλων τῆς ἀδηφαγίας τὴν τυραννίδα· καὶ μονονουχὶ λέγων, ἔφαγες, ἔπιες ἀσώτως· καὶ τί τὸ πέρας; οὐδέν· ἀλλ' ἡ φθορὰ μόνη.

Ὠριγένους. Τοῦ γὰρ ἤδη ἐγερθέντος μετὰ Χριστοῦ καὶ συμμόρφου γενομένου τῇ ἀναστάσει αὐτοῦ καὶ τῇ καινότητι τῆς ζωῆς, τὸ σῶμα ὀφείλει εἶναι οὐδενὸς ἢ τοῦ Κυρίου.

Οἰκουμενίου. Ἢ καὶ ἔτι νηπίοις οὖσιν ἔδει συγκαταβαίνειν καὶ πρὸς τὴν νηπιότητα αὐτῶν λαλεῖν.

Φωτίου. Εἰ μὲν ἁπλῶς βρώματα τὴν τροφὴν δεῖ ἐκλαβεῖν, καὶ κοιλίαν τὴν ὑποδοχὴν τῶν σιτίων, ἄμεινον εἰς προσαγόρευσιν τοῦ μέλλοντος ἐκδέχεσθαι τὸ ἐπαγόμενον· οἷον, ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει· τοῦτ' ἔστιν ἀλλὰ ταῦτα ἐν τῇ ἀναστάσει ἀργὰ καὶ ἀχάριστα ἔσται, εἰς ἀφθαρσίαν ἡμᾶς τοῦ Θεοῦ μεταστοιχιοῦντος· καὶ μήτε τροφῆς δεῖσθαι, μήτε πρὸς ὑποδοχὴν σιτίων παρασκευάζοντος· καὶ εἴη ἂν καὶ ὁ νοῦς τοῦ τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασι τοιούτως· ἀλλήλων ἐστὶ φησὶν, ἐρεθιστικὰ καὶ ἐπιζητικά· ἥτε γὰρ ἐν τῇ κοιλίᾳ ὄρεξις ἐπιζητεῖ τὰ σιτία· τὰ δὲ σιτία τὰ ἐν ἡμῖν πάλιν ὄρεξιν ἐρεθίζει καὶ διεγείρει· ὁ δὲ Θεὸς, φησὶν, ἄμφω ἐν τῇ ἀναστάσει ἄργα καὶ ἄχρηστα ἀποδείξει· οὐ χρὴ οὖν περὶ τῶν μελλόντων ἔσεσθαι ἀχρήστων λίαν σπουδάζειν· εἰ δὲ βρώματα μὲν τὸ ἀκό-

[b] Ψ Cod.

ρεστον τῶν βρωμάτων, κοιλίαν δὲ τὴν ἀπληστίαν τῆς κοιλίας ἐκληψώμεθα· οὐδὲν γὰρ κωλύει καὶ ταῦτα δηλοῦσθαι ὑπὸ τῶν λέξεων, οὐ προαγορεύσεως ἔννοιαν δίδωσι τὸ ἐπαγόμενον, ἀλλὰ μᾶλλον ἀρᾶς καὶ δίκης· καταργήσει αὐτὰ, φησὶν, ὁ Θεός· ἀπελάσει ταῦτα ἀφ' ἡμῶν ἐκδιώξει τὴν ἀδηφαγίαν καὶ γαστριμαργίαν· ἐλευθέρους τούτων ἀποδείξει τῶν κακῶν· εἰ δὲ ἀρὰς αὐτοῖς ἐπάγομεν, καὶ ἑαυτοὺς τούτων ἐλευθερωθῆναι εὐχόμεθα· πῶς οὐχὶ βδελυξόμεθα;

15 **Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ
ἐστιν; ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ, ποιήσω πόρνης
16 μέλη; μὴ γένοιτο. οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ
πόρνῃ, ἓν σῶμά ἐστιν; ἔσονται γάρ, φησιν, οἱ δύο
17 εἰς σάρκα μίαν· ὁ δὲ κολλώμενος τῷ Κυρίῳ, ἓν Πνεῦμά
18 ἐστι· φεύγετε τὴν πορνείαν. πᾶν ἁμάρτημα ὃ ἐὰν
ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων, εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει.**

Θεοδώρου. Μέλη Χριστοῦ πάντες ὑμεῖς, οἱ διὰ τῆς τοῦ Πνεύματος ἀναγεννήσεως τὴν πρὸς αὐτοὺς δεξάμενοι συνάφειαν, ἐλπίδι τοῦ καὶ ἀναστήσεσθαι ὁμοίως αὐτῷ.

Θεοδωρίτου. Οὐ καθάπερ νύμφη νυμφίῳ συνήφθητε τῷ Χριστῷ;

Ὠριγένους. Ψυχῆς ὄργανα ἐστὶ τὰ ἀνθρώπων σώματα· καὶ ἀρχούσης τῆς ψυχῆς, ὑπηρετεῖται τὸ σῶμα, καὶ χρῆται αὐτῷ εἰς ἃ βούλεται· ἰδίως δὴ ὁ λόγος θέλει ἡμῶν τὰ σώματα μηκέτι ὑπὸ τῆς ψυχῆς ἐνεργεῖσθαι τῆς ἡμετέρας· ἀλλ' ὑπ' αὐτοῦ τοῦ Χριστοῦ· διὸ λέγει ὁ Παῦλος· "ζῶ δὲ οὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός·" μέλη οὖν τότε γίνεται Χριστοῦ, ὅτι πάντα κατὰ τὸν αὐτοῦ λόγον κινοῦμεν.

Κυρίλλου. Πῶς ἂν εἶεν μέλη Χριστοῦ τὰ ἡμῶν; ἔχομεν αὐτὰ ἐν ἑαυτοῖς αἰσθητῶς τε καὶ νοητῶς· κατοικεῖ μὲν γὰρ ἐν ταῖς καρδίαις ἡμῶν διὰ τοῦ Πνεύματος· μετεσχήκαμεν δὲ καὶ τῆς ἁγίας αὐτοῦ σαρκός. ἡγιάσμεθά τε διττῶς, καὶ κατῴκηκεν ἐν ἡμῖν ὡς ζωὴ καὶ ζωοποιὸς, ἵνα τὸν τοῖς μέλεσιν ἡμῶν ἐπισκήψαντα θάνατον καταργήσῃ δι' ἑαυτοῦ. εἰ τοίνυν αὐτός ἐστιν ἡ κεφαλὴ

τοῦ σώματος τῆς ἐκκλησίας· ἡμεῖς ἄρα ἐσμὲν οἱ καθέκαστα μέλη· ὅτ' ἂν οὖν εἰς ἀτόπους ἡδονὰς καταπίπτωμεν, τότε δὴ τότε πλημμελήσομεν εἰς αὐτὸν, οὗ καὶ γεγόναμεν μέλη· πόρνας γὰρ ὥσπερ τὰ αὐτοῦ χαρισόμεθα.

Θεοδωρίτου. Σφοδρα τὸ παράνομον ηὔξησε, μέλη Χριστοῦ τὰ ἡμέτερα σώματα προσαγορεύσας· οὐκ ἔτι σά φησίν ἐστιν, ἀλλὰ Χριστοῦ· πῶς τοίνυν αὐτὰ μέλη πόρνης ποιεῖς; εἶτα τούτου διδάσκει τὸν τρόπον· "οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν "σῶμά ἐστιν; ἔσονται γὰρ," φησὶν, "οἱ δύο εἰς σάρκα μίαν· "ὁ δὲ κολλώμενος τῷ Κυρίῳ, ἓν Πνεῦμά ἐστιν." οὐκ ἀπεικότως τὸ περὶ τῆς γαμικῆς συναφείας εἰρημένον τέθεικεν ἐπὶ τῆς πορνείας· ἓν γὰρ καὶ τοῦτο κακεῖνο τῇ φύσει τοῦ πράγματος· τὸ δὲ ἔννομον καὶ παράνομον δείκνυσι, τὴν διαφόραν λέγει οὖν· ἐὰν συναφθεὶς τῷ Κυρίῳ πάλιν πρὸς ἐκεῖνον ἀπέλθῃς· εἰς αὐτὸν χωρεῖ τὸν δεσπότην ἡ παροιμία· τὰ μέλη γὰρ αὐτοῦ προσάγεις τῃ πόρνῃ, καὶ ἀποφαίνεις μέλη πόρνης.

"Φεύγετε τὴν πορνείαν." οὐκ εἶπεν μισεῖτε καὶ ἀποστρέφεσθε· ἀλλὰ φεύγετε· εἰδὼς τὴν τῆς ἁμαρτίας ταύτης ὀξύτητα· διδάσκει δὲ καὶ τὸ τοῦ πράγματος μυσαρόν· "πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ "ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων, εἰς τὸ ἴδιον "σῶμα ἁμαρτάνει·" μυρία γάρ τις ἕτερα ἁμαρτάνων, καὶ ὅρκους παραβαίνων, καὶ βλασφημίᾳ μολύνων τὴν γλῶσσαν, καὶ σφετεριζόμενος τὰ μηδαμόθεν προσήκοντα· οὐ τοσαύτην αἴσθησιν λαμβάνει τῆς ἁμαρτίας· ὁ δὲ τῆς ἀσελγείας δοῦλος γεγενημένος, εὐθὺς μετὰ τὴν ἁμαρτίαν αἰσθάνεται τοῦ κακοῦ, καὶ αὐτὸ τὸ σῶμα βδελύττεται· διά τοι τοῦτο καὶ λουτροῖς κεχρημένοι ἀπορρύπτουσι τὸ σῶμα, ἐκβάλλειν οὕτω πῶς τὸ μῦσος ὑπολαμβάνοντες.

Θεοδώρου. Τὰ μὲν λοιπὰ φησὶν ἁμαρτήματα ἕτερα βλάπτειν δοκεῖ· τοῦτο δὲ πρὸ τῶν λοιπῶν πάντων τὸν διαπραττόμενον· τὸ οἰκεῖον γὰρ οὗτος μολύνει σῶμα.

Σευηριανοῦ. Ὅπερ ἂν τις ἁμάρτῃ πρὸς τὸ τρέφειν ἢ ἀμφιεννύναι τὸ σῶμα ποιεῖ καὶ κατακοσμεῖν καὶ τὴν χρείαν αὐτῷ πληροῦν καὶ πρὸς τιμὴν τοῦ σώματος· ὁ μέντοι τῇ πόρνῃ[d] κολλώ-

[d] πορνεία Cod.

μενος ἓν σῶμα αὐτῇ ποιῶν τὸ ἴδιον σῶμα, ὑβρίζει αὐτὸ καὶ ἀτιμάζει.

Ὠριγένους. Ζητήσει τις, εἰ πᾶν ἁμάρτημα ἐκτὸς τοῦ σώματός ἐστιν· ἐρεῖ γάρ τις· ἁμάρτημά ἐστι τὸ μεθύειν· ἁμάρτημά ἐστι τὸ ἑαυτὸν ἐξάγειν ἐκ τοῦ βίου δι' ἀγχόνης, διὰ κρημνοῦ· ἆρ' οὖν ἐκτὸς τοῦ σώματός ἐστι καὶ τοῦτο τὸ ἁμάρτημα; ἀλλ' εὐγνωμόνως δεῖ ἀκοῦσαι, πῶς εἴρηται τοῦτο· ἀφορμὴν δὲ ληψόμεθα τοῦ νοῆσαι τὰ κατὰ τὸν τόπον ἐκ τοῦ Λευϊτικοῦ[e]· ἐκεῖ γὰρ λέγεται ὅτι ἐκ τῆς ῥύσεως συνέστηκεν τὸ σῶμα αὐτοῦ· ἐπεὶ οὖν ἡ σύστασις[f] τοῦ σώματος ἀπὸ σπερμάτων ἐστί· διὰ τοῦτο ἁμαρτάνων κατὰ τὴν πρόρρυσιν[g] τῶν σπερμάτων, εἰς τὸ σῶμα τὸ ἑαυτοῦ ἁμαρτάνει· καὶ ἔστιν ἡ ἁμαρτία αὕτη ἀπὸ τούτων γινομένη, ἀφ' ὧν καὶ ἡ ἀρχὴ τῆς συστάσεως τοῦ σώματος.

Κυρίλλου. Τὰ μέλη τοῦ σώματος ἡμῶν διὰ τῆς ἁγνείας Χριστοῦ μέλη μεμενηκότα μεθέξουσι πάντως τῆς παρ' αὐτοῦ ζωῆς τε καὶ δόξης μετασχήματι· εἰ γὰρ τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ[h]· εἰ δὲ γένοιτο πόρνης μέλη· πῶς ἂν λάβοι τὸν μετασχηματισμὸν καὶ τὴν τῆς πρὸς αὐτὸν συμμορφίας λαμπρότητα νοητήν;

Οἰκουμενίου. Ἢ ὅτι τὰ λοιπὰ ἁμαρτήματα ἐκ ψυχικοῦ πάθους γίνεται· οἷον ὀργῆς ἐπὶ ἀνδροφόνῳ· κενοδοξίᾳ ἐπὶ τῶν πλουτεῖν ἐθελόντων· ἡ δέ γε πορνεία ἐξ αὐτοῦ τοῦ σώματος τὰς πηγὰς ἔχει τῆς ἐπιθυμίας· ἐξάραι δὲ ἐβουλήθη τὸ πρᾶγμα, ἐπειδὴ περὶ αὐτοῦ πρόσκειται ἡ παραίνεσις αὐτῷ· οὐ γὰρ πάντως πάντων χεῖρον ἡ πορνεία.

Τοῦ αὐτοῦ. Εἶπεν εἰς τοῦτο πλείους ἑρμηνείας ὁ ἐν ἁγίοις Σευηριανὸς τεύχει νζ' λόγῳ γ' κεφαλαίῳ ιθ'.[i] ταύτην τε αὐτὴν εἰπὼν τῇ τοῦ ἐν ἁγίοις Ἰωάννου καὶ ἄλλην· ὅτι φησὶν ὁ πορνεύων. εἰς τὴν ἰδίαν σύστασιν, καὶ εἰς αὐτὴν τὴν τοῦ σώματος τοῦ ἀνθρωπίνου κατασκευὴν πλημμελεῖ· ἐνυβρίζων εἰς τὸ τοῦ σώματος ἡμῶν ἐργαστήριον· καὶ ἄλλην, ὅτι σῶμα Χριστοῦ καὶ μέλη Χριστοῦ ἐστιν ὁ ἄνθρωπος· ὁ οὖν εἰς τὸ ἴδιον σῶμα πλημμελῶν· εἰς Χριστὸν πλημμελεῖ, τὴν κεφαλὴν ἡμῶν· οὗ καὶ ναός ἐστι τὸ

[e] xv. 3. [f] στύσασις Cod. [g] πρόρισιν Cod. [h] Excidit aliquid.
[i] νζ' λόγῳ γ' κεφαλαίῳ ιθ'. om. Cod. cum lacunæ indicio. Suppl. ex edd.

σῶμα μετὰ πάντων· καὶ ταῦτα δέξαι εἰ βούλει· ἐξᾶραι βουλόμενος τὸ τῆς πορνείας ἁμάρτημα, τοιοῦτόν τινα λέγει σκοπὸν, ὅτι μυρίων ἄξιος τιμωριῶν ὁ πόρνος· ὁ γὰρ τοῦ μολυσμοῦ τοῦ ἰδίου σώματος μὴ φειδόμενος, πῶς ἄλλους φείσοιτο; ὁ γὰρ ἑαυτῷ κακὸς, τίνι ἀγαθός;

Καὶ ἄλλως. γέγραπται περὶ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς, "ἔσονται οἱ δύο εἰς σάρκα μίαν·" ὁ οὖν μὴ νόμῳ ἐπιτετραμμένος καὶ θείῳ γάμῳ, ἀλλὰ πορνεύων, δέον ἔχειν τίμιον γάμον καὶ κοίτην ἀμίαντον, ἐκ τῆς πορνείας καὶ τῆς ἔνθεν ἀκαθαρσίας ἐνυβρίζει τόν τε γάμον καὶ τὴν γυναῖκα. ὁ δέ γε τοῦτο ποιῶν, εἰς ἴδιον σῶμα ἁμαρτάνει, εἰς τὴν γυναῖκα ἁμαρτάνων· ἥτις ἓν σῶμά ἐστι μετὰ τοῦ ἀνδρὸς, καὶ σῶμά ἐστι τοῦ ἀνδρὸς καθὰ πλευρὰ αὐτοῦ ἐστιν, καὶ ἐξ αὐτοῦ ἐλήφθη· τὴν τελευταῖαν νομίζω καλλίστην εἶναι· ἀνελλιπῆ γὰρ τὴν τοῦ ῥητοῦ διάνοιαν σώζει· εὑρίσκεται γὰρ οὕτως πᾶν ἁμάρτημα ὃ ἐὰν πράξῃ ἄνθρωπος, ἐκτός ἐστι τῆς πρὸς τὴν γυναῖκα ἐπὶ μίξει παροινίας καὶ ἀκαθαρσίας· ὁ δὲ πορνεύων εἰς τὴν γυναῖκα ἁμαρτάνει, ἀκαθαρσίας αὐτὴν ἀναπιπλὰς καὶ αἰσχρότητος· ἔστι πρὸς τούτοις ἅπασι καὶ τοῦ ἁγίου Ἀθανασίου ἑρμηνεία ἐν τῷ περὶ σεμνοῦ γάμου. πρὸς ὅλοις τούτοις ἑρμήνευσέ τις καὶ οὕτως· πρὸς ἀβροδιαίτους καὶ φιλοσάρκους γράφων ὁ Παῦλος· τῇ αὐτῶν φιλοσαρκίᾳ συνεργῷ ἐχρήσατο πρὸς τὴν τῆς πορνείας παραίτησιν τοῦτο λέγων, ὅτι τὰ λοιπὰ ἁμαρτήματα ψυχὴν ἀδικεῖ, καὶ εἰς αὐτὴν μόνην τὴν βλάβην παραπέμπει· ὁ δέ γε πορνεύων σὺν τῇ ψυχῇ καὶ τὸ σῶμα ἀδικεῖ, φθείρων αὐτὸ καὶ ἐκδυναμῶν, καὶ τὸν ψυχικὸν καὶ ζωτικὸν καθαιρῶν νοῦν[i]· ὡσεὶ εἶπεν, φείσασθε κἂν τοῦ σώματος ὑμῶν, ὃ περιέπετε καὶ θάλπετε, καὶ οὗ πρόνοιαν πλείστην ποιεῖσθε· (ἐρωτηματικῶς) τί γὰρ ὁ φθόνος; οὐ τήκει τὸ σῶμα; τί οὖν μονὴν τὴν πορνείαν τοῦτο ποιεῖν φησίν[k];

Τοῦ αὐτοῦ. Λίαν ἀσφαλῶς εἶπεν ὁ Ἀπόστολος. φησὶ γὰρ, "πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός "ἐστιν·" ὁ δὲ φθόνος οὐ γίνεται παρ' ἡμῶν· ἀλλ' ἐνεργεῖται εἰς ἡμᾶς· πάσχομεν οὖν, ἀλλ' οὐ ποιοῦμεν τὸν φθόνον· καὶ πάθος ἐστὶν, ἀλλ' οὐκ ἐνέργεια· περὶ ἐνεργείας δὲ νῦν ὁ λόγος τῷ Ἀπο-

[i] τόνον Edd. [k] φῇς ποιεῖν; Edd.

στόλῳ· φησὶ γὰρ "πᾶν ἁμάρτημα ὃ ἂν ποιήσῃ ἄνθρωπος·" οὐ μὴν περὶ πάθους.

Ἰωάννου[1]. Πάλιν *ἐπὶ τὴν προκειμένην ἦλθεν παραίνεσιν τὴν κατὰ τῆς πορνείας· ὅρα δὲ οὐκ εἶπεν ζεύξω πόρνῃ· ἀλλ' ὅπερ ἦν φρικῶδες τὸ ἆραι τὰ ἑαυτοῦ μέλη τοῦ εἶναι* Χριστοῦ, *καὶ ποιῆσαι εἶναι πόρνης.*

Τοῦ αὐτοῦ. Εἰς *μαρτυρίαν φέρει τὴν παλαιάν· πῶς δὲ ἔσονται εἰς σάρκα μίαν; ὅτι ἡ σύνοδος οὐκ ἀφίησι τοὺς δύο εἶναι δύο, ἀλλ' ἕνα ποιεῖ.*

Τοῦ αὐτοῦ. Ὅρα *πῶς διὰ γυμνῶν τῶν ὀνομάτων τῆς πόρνης καὶ τοῦ* Χριστοῦ *προσάγει τὴν κατηγορίαν, δεινοποιῶν αὐτήν.*

Τοῦ αὐτοῦ. Ὅτι, *φησὶν, ὁ τοιοῦτος, κἂν σῶμα περίκειται,* Πνεῦμα *γίνεται μόνον, τὸ μηδὲν ποιεῖν σαρκικόν.*

Τοῦ αὐτοῦ. Ἐπὶ *τῆς πορνείας, φησὶν, ὅλον μολύνεται τὸ σῶμα· ὅθεν καὶ ἐπὶ βαλανεῖα τρέχειν ἔθος τοῖς πορνεύουσιν· ὁ δέ γε ἀνδροφόνος καὶ ἅρπαξ, χεῖρα μολύνουσι μόνον· τὸ δὲ "φεύγετε" τὴν μετὰ σπουδῆς ἀποχὴν δηλοῖ.*

Φωτίου. "Ὁ *δὲ κολλώμενος τῷ* Κυρίῳ, *ἓν πνεῦμά ἐστι·" μονοειδής ἐστιν, ὅλος γίνεται πνευματικὸς τῇ πρὸς τὸν* Κύριον *ἑνώσει· οὐκ ἐπισύρεται τὰ σαρκικὰ πάθη, οὐδὲ σχίζεται εἰς διπλόν τινα,* Θεῷ *δουλεύων καὶ μαμωνᾷ· ἀλλ' ὅλος ἑνιαῖός ἐστι καὶ ὅλος πνευματικός· εἰς ἑνότητα συναγόμενος* Πνεύματος.

Τοῦ αὐτοῦ. Ὁ *δὲ πορνεύων, εἰς τὸ σῶμα ἁμαρτάνει· αὐτὸς μερίζει τὸ ἴδιον σῶμα· καὶ εἰς ἑαυτὸν ἀλλ' οὐκ εἰς ἄλλην τὴν ἀδικίαν ἐπιδείκνυται· ὅπερ ἐπ' οὐδενὶ τῶν ἄλλων ἐστὶν εὑρεῖν ἁμαρτημάτων· πάντες γὰρ ἄλλους βλάπτοντες ἁμαρτάνουσιν, ὁ δὲ πορνεύων ἑαυτὸν βλάπτει καὶ κακοποιεῖ.*

Ἐκ τοῦ αὐτοῦ. Ἡ *ἐπαγωγὴ δείκνυσι τὴν ἔννοιαν τοῦ προτεταγμένου αὐτοῦ ῥητοῦ τοιαύτην εἶναι· εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. οἷον εἰς αὐτὸ, φησὶ, τὸ ἴδιον τοῦ δεσπότου σῶμα· καὶ γὰρ ἐπάγει "ἢ οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ* Ἁγίου "Πνεύματός *ἐστιν;" καὶ πάλιν· "καὶ οὐκ ἐστὲ ἑαυτῶν." καὶ πρὸ βραχέος "οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη τοῦ*

[1] ⳨ Cod.

"Χριστοῦ;" ὥστε ὁ πορνεύων εἰς τὰ ἴδια μέλη τοῦ Χριστοῦ, καὶ εἰς τὸ σῶμα αὐτοῦ πλημμελεῖ· τί οὖν, φησὶν, οἱ λοιπὰς πλημμελοῦντες ἁμαρτίας· οὐχὶ κατὰ τοῦτον τὸν λόγον καὶ αὐτοὶ εἰς τὸ τοῦ Χριστοῦ σῶμα πλημμελοῦσιν; καὶ φαμὲν ὅτι οὐχ οὕτως· εἰ γὰρ καὶ διά τινος μέλους ὁ κλέπτων ἢ ὁ φονεύων τὴν ἁμαρτίαν ποιεῖ, ἀλλ' οὐχὶ εἰς τὸ αὐτοῦ μέλος τὴν ἁμαρτίαν ποιεῖ· ἀλλ' ἐκτὸς αὐτὴν καὶ εἰς ἄλλον τινὰ κακουργεῖ· ὁ δὲ πορνεύων, καὶ διὰ τῶν μελῶν ὥσπερ ἐκεῖνοι καὶ εἰς αὐτὰ τὰ μέλη καὶ ὅλον τὸ σῶμα τὴν βλάβην καὶ τὴν ἀδικίαν ἐπιδείκνυσιν.

Εἰς τὸ αὐτὸ Ἰσιδώρου τοῦ Πηλουσιώτου. Καὶ πρώτην μὲν ταύτην οὐκ εἶπεν διὰ τοῦ σώματος ἁμαρτάνειν, ὅπερ οἱ πολλοὶ νομίζοντες πράγματα παρέχουσι τοῖς ἑρμηνεύουσιν· ἀλλ' εἰς αὐτὸ ἁμαρτάνει· εἰς αὐτὸ σφάλλει· αὐτὸ μολύνει· αὐτὸ ἐναγὲς ἀποφαίνει· ὡς ἂν τις εἴποι· ὁ δεῖνα ἑαυτὸν ὑβρίζει, ἄλλον δοκῶν ὑβρίζειν· νῦν γὰρ βλέπει τῷ Ἀποστόλῳ ὁ λόγος οὐ πρὸς μετὰ ταῦτα ἑψομένην τῷ ἁμαρτήματι τιμωρίαν, ἀλλὰ πρὸς τὴν ἐν τῇ πράξει γινομένην τῷ σώματι ἐκ τῆς συμπλοκῆς ὕβριν, τοῦτ' ἔστιν τὸν μολυσμόν· ὁ μὲν γὰρ φονεύων, ἄλλον φονεύει· ὁ δὲ πορνεύων ἑαυτὸν καθυβρίζει· καὶ ὁ τὰ ἄλλα πταίσματα δρῶν, εἰς ἄλλον δρᾷ· ὁ δὲ λαγνεύων ἑαυτὸν καταισχύνει· ἑαυτὸν μιαίνει· ὅθεν καὶ ἀπολούονται τὸν μολυσμὸν ἐννοοῦντες, καὶ τὴν ἀτοπίαν βδελυττόμενοι· τὰ μὲν γὰρ ἄλλα πλημμελήματα, καὶ εἰς τὸν ἀδικούμενον βλέπει· τοῦτο δὲ εἰς τὸν ἀδικοῦντα· τὰ ἄλλα ἐκτὸς τοῦ σώματός ἐστι τοῦ δρῶντος· τοῦτο δὲ τὸν δρῶντα μολύνει· ἐν τοῖς ἄλλοις ἄλλους ἀδικεῖ· ἐν δὲ τῇ πορνείᾳ ἑαυτόν.

Εἰ δὲ καὶ δευτέραν βούλει σοι ἀνοιγῆναι θύραν· ἐννόει, ὅτι ἐπειδὴ πολλάκις ἀνθρώπῳ οὐ συγγνώμης μεῖζον ἔχοντι ἐλάττονα παραινοῦντες λέγομεν, ἀδελφὲ, ἀπόστηθι τούτου τοῦ νοσήματος· τοῦτο πάντων ἐστὶν κάκιον· οὐκ ἐπειδὴ πάντα ὑπερβαίνει· ἀλλ' ὅτι κἀκείνου αὐτὸν ἀπαλλάξαι βουλόμεθα· μήποτε καὶ ὁ Ἀπόστολος ἐπὶ τῆς πορνείας τοῦτο ἔφη· τὸν γὰρ πορνεύσαντα παρὰ Κορινθίοις σωφρονῆσαι βουλόμενος, ταύτην ἔρρηξε τὴν φωνήν. εἰ δὲ καὶ τρίτην· ἐννόει, ὅτι ὥσπερ ὁ εἰς θάλασσαν σῖτον ἢ ἕτερον ῥίπτων σπέρμα εἰς τὸν σπόρον ἁμαρτάνει, κωλύων αὐτὸν εἰς γέννησιν ἐλθεῖν· οὕτω καὶ ὁ εἰς ἑτέραν ῥίπτων τὸ ἑαυτοῦ σπέρμα εἰς τὸ

οἰκεῖον σῶμα ἁμαρτάνει· ἐκείνης οὐ τεχθὲν ἀναιρούσης μόνον· ἀλλὰ καὶ τεχθῆναι κωλυούσης· εἰ δὲ καὶ τετάρτην· ἐννοεῖν χρῆ, ὅτι ἡ δρᾷ καὶ πάσχει· εἰ μὲν γὰρ μὴ ἔπαθεν, οὐκ ἂν ἔρρευσεν· εἰ δὲ ἔρρευσεν, ἐφθάρη· εἰ δὲ ἐφθάρη, ὑβρίσθη· ἀμέλει ἐπ' οὐδεμίᾳ ἄλλῃ πράξει, ἢ ἐπὶ μόνῃ τῇ ἀνδρὸς πρὸς γυναῖκα συνόδῳ λέγεται, ἐφθάρται τὴν παρθένον καὶ τὸν νεανίσκον πειραθέντας· εἰ δὲ καὶ πέμπτην· ἐννόει, ὅτι τῷ πόρνῃ συνερχομένῳ, εἰ τεχθείη παιδίον, εἰς πορνεῖον ἀνατρέψεται· καὶ ὁ ὁρῶν μετὰ ταῦτα λέξει, ὄντως ἑαυτὸν ἐκεῖνος ἠδίκησεν· ἰδοὺ γὰρ τὸ σπέρμα, μᾶλλον δὲ τὸ σῶμα αὐτοῦ πορνεύει· εἰ δὲ καὶ ἕκτην· ἐπίστησαι, ὅτι εἰ δούλῃ τίς κοινωνήσειεν, δοῦλος ἔσται τὸ τικτόμενον· πῶς οὖν οὐκ εἰς ἑαυτὸν ἁμαρτάνει, ὁ δοῦλον σπουδάζων τεκεῖν· εἰ δὲ καὶ ἑβδόμην· ὅρα ὅτι καὶ τὸ τικτόμενον ἀδικεῖται νόθον καλούμενον καὶ ἄτιμον πανταχοῦ γινόμενον· κἂν ἐν βουλευτηρίῳ, κἂν ἐν δικαστηρίῳ δέοι εἰσελθεῖν, ἐκβάλλεται· δι' οὗ καὶ ὁ φυτευσάμενος συναπολαύει τῆς αἰσχύνης. ὑπόμνημα γὰρ τῆς οἰκείας λαγνείας κατέλειψεν. εἰ δὲ καὶ ὀγδόην· δοκίμασον τὸ ῥηθησόμενον· ἐπειδὴ ὁ πορνεύων ἓν πρὸς τὴν πορνευούσαν γίνεται· ὁ τὰ οἰκεῖα μέλη ποιῶν μέλη πόρνης, εἰς ἑαυτὸν τῷ ὄντι ἁμαρτάνει· φόνῳ μὲν γὰρ εὖ τινὲς ἐχρήσαντο, ὡς Μωσῆς, καὶ Φινεές· καὶ ὀργῇ, ὡς Πέτρος καὶ Παῦλος· πορνείᾳ δὲ οὐδεὶς πώποτε εὖ ἐχρήσατο· εἰ δὲ καὶ ἐνάτην· ἐννόει, ἐπειδὴ σῶμα ἕν ἐστιν ἡ ἐκκλησία· ὁ δεκαθεὶς[m] ἀλλήλων μέλη, ὁ πορνεύων, εἰς πάντας ἁμαρτάνει· ἀνατρέχει γὰρ αὐτοῦ τὸ σφάλμα ἐπὶ τὸ τῆς Ἐκκλησίας πλήρωμα· οὗ καὶ ἐκκοπῆναι αὐτὸν προσέταξεν, ἕως ἂν μετανοήσῃ. εἰ δὲ καὶ δεκάτην βούλει λεχθείη ἄν, ὅτι ἐπειδὴ οἱ νόμῳ τοῦ τιμίου γάμου συνιέντες, ἓν σῶμα γίνονται· "ἔσονται γὰρ" φησὶν, "οἱ δύο εἰς σάρκα μίαν·" διὸ καὶ ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνὴρ, ὡσαύτως δὲ καὶ ὁ ἀνήρ· εἰκότως ὁ πορνεύων μὲν ἀνὴρ εἰς τὴν γαμετὴν, τοῦτ' ἔστιν εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει· ὡσαύτως καὶ ἡ γυνή· ἐπὶ μόνῃ γὰρ ταύτῃ τῇ ἁμαρτίᾳ μόνον ἔθετο ὁ Χριστὸς χωρίζεσθαι αὐτοὺς ἀπ' ἀλλήλων.

19 Ἢ οὐκ οἴδατε, ὅτι τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν

m Leg. δίχα θείς.

῾Αγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ, καὶ οὐκ
20 ἐστὲ ἑαυτῶν; ἠγοράσθητε γὰρ τιμῆς· δοξάσατε δὴ τὸν
Θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν,
ἅτινά ἐστι τοῦ Θεοῦ.

Κυρίλλου. "Κατῴκηκε γὰρ ἐν ὑμῖν τὸ τῆς υἱοθεσίας πνεῦμα, "τοῦτ' ἐστι τὸ Ἅγιον, ἐν ᾧ κράζομεν ἀββᾶ ὁ πατήρ· ἠγοράσμεθα "δὲ καὶ τιμῆς·" τεθεικότος ὑπὲρ ἡμῶν τὴν ἰδίαν ψυχὴν τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· ἐσμὲν οὖν ἄρα ναοὶ Θεοῦ ζῶντος. ἐναυλίζεται γὰρ ἡμῖν δι' Ἁγίου Πνεύματος Χριστὸς ἔχων ἐν ἰδίᾳ φύσει καὶ τῶν ἐξ οὗ πέφηνεν οὐσιωδῶς Πατέρα καὶ Θεόν· ἔφη γὰρ αὐτὸς "ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μοῦ τηρήσει, καὶ ὁ "Πατήρ μου ἀγαπήσει αὐτόν· καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ "μονὴν παρ' αὐτῷ ποιησόμεθα." ἀπέστω δὴ οὖν τῶν ἡμετέρων διανοιῶν ὡς ἀπὸ ναοῦ Θεοῦ ἡ κάκοσμος ἡδονή. ἀναφοιτάτω δὴ μᾶλλον καθάπερ ἐν τάξει θυμιαμάτων τῆς ἐγκρατείας ἡ εὐοσμία. "καὶ παραστήσωμεν τὰ σώματα ἡμῶν θυσίαν ζῶσαν ἁγίαν εὐά-"ρεστον τῷ Θεῷ τὴν λογικὴν λατρείαν ἡμῶν· ἠγοράσθημεν γὰρ "οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ· ἀλλὰ τιμίῳ αἵματι," κατὰ τὸ γεγραμμένον· οὐκ οὖν τῷ πριαμένῳ δουλεύσωμεν αὐτῷ· παραστήσωμεν ἑαυτοὺς εἰς ὑπακοήν· καὶ τὰ μέλη ἡμῶν, ὅπλα δικαιοσύνης τῷ Θεῷ· γέγραπται γὰρ ὅτι τόδε σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ· καὶ ὁ Κύριος τῷ σώματι· ὅτ' ἂν τοίνυν τηρῶμεν τὰ μέλη τοῦ σώματος τὸν ἐκ τῆς φιλοσαρκίας οὐκ ἔχοντα μολυσμόν· τότε καὶ ὁ Κύριος ἔσται τῷ σώματι· κατοικεῖ γὰρ ἐν ἁγίοις ἅγιος ὢν κατὰ φύσιν ὡς Θεός.

Ὠριγένους[n]. Καλῶς ἀνθυποφορὰν ὑπειδόμενος καὶ προφυλαξάμενος εἶπεν τὸ "οὐκ ἐστὲ ἑαυτῶν·" ἐρεῖ γάρ τις εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνω, ἐξουσίαν ἔχω τοῦ ἰδίου σώματος· εἶτα φησὶν "ἢ οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ Θεοῦ ἐν ὑμῖν "Ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ τοῦ Θεοῦ·" εἰς τὸ Πνεῦμα τὸ Ἅγιον ἀσεβοῦμεν, καὶ δι' αὐτοῦ εἰς Πατέρα καὶ Υἱόν, εἰς οὓς βεβαπτίσμεθα· ἐὰν πορνεύωμεν, εἰς Χριστὸν μέν, ὅτ' ἂν "ἄρας τὰ μέλη τοῦ Χριστοῦ ποιήσω πόρνης μέλη·" εἰς τὸ Ἅγιον

[n] ℭ Cod.

δὲ Πνεῦμα, ὅτε τὸν ναὸν τοῦ ἐν ἡμῖν Ἁγίου Πνεύματος φθείρῃ τίς. εἰς τὸν Πατέρα δὲ, ὅτε τὸν ναὸν τοῦ Θεοῦ φθείρω· πρὸς τούτοις οὖν ὅσα ἂν ἁμαρτάνωμεν, κἂν φόνους ποιήσωμεν, ἄφθοροι δὲ ὦμεν φθορᾶς, μὴ γευσάμενοι τῆς κατὰ τὴν συνουσίαν, οὐ λεγόμεθα, ἐφθάρται ἐκ τοῦ πεφονευκέναι· ἀλλ' ἐπεὶ καὶ ἡ ἀφθαρσία καὶ ἡ φθορὰ περὶ τὴν φύσιν τὴν ἄγευστον συνουσίας τῆς περὶ τὰ ἀφροδίσια ἐστίν· ἐφθάρη γὰρ ἡ παρθένος λέγομεν· καὶ πάλιν ἄφθορος ὁ νεανίσκος ἢ ἐφθάρη· "πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ ἄνθρωπος, "ἐκτὸς τοῦ σώματός ἐστιν·" ἐπειδὴ οὖν ἐδόθη λύτρον ὑπὲρ ὑμῶν τὸ αἷμα τοῦ Χριστοῦ, καὶ ἔλαβεν ὑμᾶς ἀπὸ τῆς ἐξουσίας τοῦ διαβόλου, "δοξάσατε τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν," ἵνα γένηται τὸ σῶμα ὑμῶν ἄξιον μακαριότητος, ὡς ἀγαπησάντων τὴν ἀφθαρσίαν· ὡς καὶ ὁ Ἀπόστολος λέγει· "ἡ χάρις τοῦ Θεοῦ μετὰ "πάντων τῶν ἀγαπώντων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν "ἀφθαρσίᾳ."

Θεοδωρίτου. Εἶπεν ἄνω τὸ σῶμα τοῦ Θεοῦ· εἶπεν αὐτὰ τὰ μέλη Χριστοῦ· νῦν πάλιν τοῦ Ἁγίου Πνεύματος ὀνομάζει ναόν· Πνεῦμα δὲ προσαγορεύει τὸ χάρισμα. καὶ διὰ πάντας μανθάνομεν τὴν τῆς Τριάδος ἰσότητα.

Σευηριανοῦ. "Δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν "καὶ ἐν τῷ πνεύματι ὑμῶν·" μὴ μόνον ἐν τῷ χαρίσματι, ἀλλὰ καὶ ἐν τῷ σώματι· ἵνα καὶ φύσις καὶ προαίρεσις καὶ χάρις διὰ συμφωνίας δοξάσῃ τὸν εὐεργέτην· ἄλλοι δὲ τὸ πνεῦμα τὴν ψυχὴν ἐξειλήφασιν.

ΚΕΦ. Δ.

Περὶ γάμου καὶ χηρείας καὶ ἀγαμίας.

1 Περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς
2 μὴ ἅπτεσθαι· διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ
3 γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω. τῇ
γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω·
4 ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί. ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή.

Ὠριγένους°. Οἱ ἄνθρωποι ἁμαρτάνοντες γενικῷ λόγῳ διχῶς ἁμαρτάνουσιν· ὑποβαίνοντες τὰς ἐντολὰς ἢ ὑπερβαίνοντες. ὅτ' ἂν γὰρ μὴ ἀπὸ ἐπιστήμης πολιτευώμεθα, μηδὲ γινώσκοντες τὰ μέτρα τῆς δικαιοσύνης σφαλλώμεθα, καὶ ἐσθ' ὅτε ὑπερβαίνοντες τὸν κανόνα φαντασίᾳ τοῦ ποιεῖν τι κρεῖττον, ἐκπίπτομεν τοῦ προκειμένου· στάθμιον οὖν ἐστὶν ὃ οὔτε μέγα ἐστὶν οὔτε μικρὸν, ἀλλὰ σύμμετρον, τὸ εἰδέναι πῶς δὴ βιοῦν· δέδεσαι μετὰ γυναικὸς, ἓν στάθμιον μέγα ποιεῖς· οὐ φροντίζεις τῆς γυναικὸς, ἀλλὰ λέγεις ἐγὼ δύναμαι ἐγκρατεύεσθαι καὶ ζῆν καθαρώτερον. ἀλλ' ὅρα ὅτι ἡ γυνή σου ἀπόλλυται, οὐ δυναμένη φέρειν τὴν καθαρότητά σου δι' ἣν Χριστὸς ἀπέθανεν.

Τοιοῦτόν τι γέγονει ἐν Κορίνθῳ· καὶ ἦν ἀκαταστασία ἐν ταῖς οἰκίαις τῶν ἀδελφῶν· πῇ μὲν ἀνδρῶν, πῇ δὲ γυναικῶν ἐγκρατεύεσθαι πειρωμένων καὶ ἀλλήλων κατεξανισταμένων. ἔγραψαν οὖν περὶ τούτου ἐπιστολὴν οἱ ἐν Κορίνθῳ τῷ Ἀποστόλῳ· καὶ πρὸς τὴν ἐπιστολὴν ταύτην ἀντιγράφει ὁ Ἀπόστολος τὰ προγεγραμμένα. καὶ οὔτε ἐπέτεινεν τὸν περὶ ἁγνείας λόγον, καὶ ἀνεῖλεν τὸν περὶ γάμου, οὔτε τὸν περὶ γάμου προκρίνας, ἀνεῖλεν τὸν περὶ παρθενίας, ὡς καλὸς οἰκονόμος. ἀλλὰ τηρεῖ δι' ὅλου τοῦ λόγου τὸ βούλημα αὐτοῦ τινὰ τρόπον, καὶ προτρέπεται καθαρεύειν· καὶ συγχωρήσας συγκαταβαίνειν, προτρέπεται πάλιν ἀσκεῖν τὴν ἁγνείαν· καὶ προτρεψάμενος ἀσκεῖν τὴν ἁγνείαν, πάλιν φέρει ἐπὶ τῷ δεῖν τῇ ἀσθενείᾳ συγκαταβαίνειν τῶν ἀσθενεστέρων· ἤρξατο δὲ οὐκ ἀπὸ τῶν ὑποδεεστέρων, οὐ γὰρ ἔπρασσεν· ἀλλ' ἀπὸ τῶν τελειοτέρων πραγμάτων, λέγων· "περὶ δὲ ὧν ἐγράψατέ μοι· καλὸν "ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι·" οἷον, ἐπαινῶ ὑμᾶς ὅσον ἐπὶ τῷ ἠθεληκέναι ἁγνεύειν τοὺς ἀποστάντας τῆς μίξεως τῆς πρὸς τὴν γυναῖκα· ἀλλὰ λογίσασθε μὴ τὸ ἑαυτῶν μόνον, ἀλλὰ καὶ τὸ τῆς γυναῖκος· ἡ γὰρ ἀγάπη οὐ ζητεῖ τὰ ἑαυτῆς.

Διὰ γοῦν τὰς πορνείας, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω· καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα· οὐ διὰ τὴν ἑαυτοῦ πορνείαν ὁ ἰσχυρότερος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, ἀλλὰ μήπως πορνεύσῃ τῇ ἐγκρατείᾳ τῆς γυναικὸς ὁ ἀνήρ· αἱρετώτερον γὰρ τοὺς δύο σωθῆναι, εὑρισκομένους ἐν τοῖς ἔργοις τοῦ γάμου. ἢ τῇ προφάσει τοῦ

° 𝔈 Cod.

ἑνὸς τὴν ἑτέραν ἐκπεσεῖν τῆς ἐλπίδος τῆς ἐν Χριστῷ· πῶς γὰρ καὶ σωθήσεται ἔνοχος ὢν τῷ θανάτῳ τῆς γυναικός· οὐκ ἔστι οὖν καθαρὰ ἡ σεμνότης τῆς τοῦ ἀνδρὸς, ὅτε μὴ ἐκ συμφωνίας τῆς γυναικὸς γίνηται ἡ ἄσκησις ἀμφοτέροις ὑπὲρ τοῦ σχολάσαι ταῖς κατὰ Θεὸν εὐχαῖς· τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλὴν ἀποδιδότω· ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί. προενοήσατο καὶ τοῦ θεραπεῦσαι τὴν ἀσθένειαν τὴν ἀνθρωπίνην, καὶ τὸ εὐσχημονέστατα οἰκονομῆσαι τὸ κατὰ τοὺς τόπους. διόπερ εἶπεν ὀφειλὴν ὀφείλεσθαι ἀπὸ τοῦ ἀνδρὸς, καὶ τῷ ἀνδρὶ ἀπὸ τῆς γυναικός. εἶτα ἵνα μὴ δυσωπήσῃ τοὺς ἐν γάμῳ ὡς δούλους ἀλλήλων τυγχάνοντας· μὴ χωρὶς συμφωνίας ἥκειν ἐπὶ τὴν ἄσκησιν τῆς καθαρότητος φησίν· "ἡ "γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως "καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή." ἐξουσίαν οὖν ἔχει ὁ ἀνὴρ τοῦ σώματος τῆς γυναικός· καὶ ἐξουσίαν ἔχων, ἐὰν θέλῃ, μὴ χρήσθω τῇ ἐξουσίᾳ. ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ φησὶν ὁ Ἀπόστολος. οἶμαι τοῦτο διδάσκων τὸ λέγειν, "μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν· ὡς "καὶ οἱ λοιποὶ Ἀπόστολοι καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου καὶ Κηφᾶς;" ἐξουσίαν οὖν ἔχει ἡ γυνὴ τοῦ σώματος τοῦ ἀνδρός· καὶ οὐ δύναται μὴ χρήσασθαι τῇ ἐξουσίᾳ· τὸ δὲ ὁμοίως δὶς κείμενον, δίδωσι νοεῖν ὅτι μὴ νομιζέτω ὁ ἀνὴρ ἐν τοῖς κατὰ τὸν γάμον πράγμασιν ὑπερέχειν τῆς γυναικός· ὁμοιότης ἐστὶ καὶ ἰσότης τοῖς γεγαμηκόσι πρὸς ἀλλήλους.

Ἰωάννου[p]. *Ἔγραψαν αὐτῷ εἰ δεῖ ἀπέχεσθαι γυναικὸς ἢ οὔ. τὸ μὲν καλὸν, φησὶν, καὶ τὸ ὑπερέχον ἐστὶν, τὸ ὅλως μὴ ἅπτεσθαι γυναικός· τὸ δὲ ἀσφαλὲς καὶ βοηθοῦν ἡμῶν τῇ ἀσθενείᾳ ἐστὶν, τὸ τῇ νομίμῳ κεχρῆσθαι γυναικὶ καὶ τῷ νομίμῳ ἀνδρί. αὕτη τῆς συγχωρήσεως αἰτία εἰς ἐγκράτειαν παρακαλεῖ.*

Τοῦ αὐτοῦ. *Ἔδειξε χρέος οὖσαν τὴν εὔνοιαν καὶ οὐ δωρεὰν παρεχομένην· ἐπειδὴ εἶπεν τὴν ὀφειλομένην εὔνοιαν, ἡρμήνευσε ποία ἐστιν ἡ ὀφειλομένη εὔνοια· αὕτη φησὶν, οὔτε ἀνὴρ, οὔτε γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζουσιν. ἀλλὰ τὴν τούτου ἐξουσίαν ὁ ἕτερος εἶχε· τί δήποτε δὲ ἐν μὲν τοῖς ἄλλοις τὸ πλέον δίδωσι τῷ ἀνδρὶ, ἔνθα περὶ ὑποταγῆς ἢ ἐξουσίας ὁ λόγος αὐτῶν, νυνὶ δὲ*

p Ϋ Cod.

ἰσότητα ἔδωκεν; καὶ φαμὲν ὅτι ἐκεῖ μὲν περὶ τοῦ ἀρχικοῦ ὁ λόγος αὐτῷ· νυνὶ δὲ περὶ σωφροσύνης, ἐν ᾗ οὐδεὶς τὸ πλέον ἢ τὸ ἔλαττον ἔχειν ὀφείλει.

5 Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου
πρὸς καιρὸν, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσ-
ευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχησθε, ἵνα μὴ πειράζῃ
6 ὑμᾶς ὁ Σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν. τοῦτο δὲ λέγω
7 κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν. θέλω γὰρ πάντας
ἀνθρώπους εἶναι, ὡς καὶ ἐμαυτόν· ἀλλ' ἕκαστος ἴδιον
χάρισμα ἔχει ἐκ Θεοῦ, ὃς μὲν οὕτως, ὃς δὲ οὕτως.

Ὠριγένους[q]. *Ὀφείλετε γὰρ ἀμφότεροι εἰδέναι, ὅτι οὐκ ἔστιν ἡ αὐτὴ εὐχὴ ἀπὸ καθαρότητος ἀνδρὸς καὶ γυναικὸς, καὶ εὐχὴ ἀπὸ κοινωνίας· εἰ γὰρ ἐπὶ τῶν εἰδώλων Ἕλληνες ἔστιν ὅτε ἁγνεύουσι, πόσῳ πλέον σὺ ὁ τῷ Θεῷ τῶν ὅλων εὐχόμενος· καλὸν οὖν ἐστι συγκαταβαίνειν μὲν διὰ τὴν ἀσθενείαν, ἀνέχειν δὲ διὰ τὰς εὐχάς· καὶ Μωϋσῆς μὲν ἁγνίζει τὸν λαὸν, καὶ λέγει, "τρεῖς ἡμέρας μὴ "προσέλθητε γυναικί." ἵνα δυνηθῶσιν ἐκ τοῦ προκεκαθαρευκέναι ἀκροαταὶ γενέσθαι τοῦ Θεοῦ. καὶ ἐν ταῖς Βασιλείαις δὲ ἁγίους ἄρτους βούλεται παραστῆσαι τῷ Δαβὶδ, φεύγοντι τὴν τοῦ Σαοὺλ ἐπιβουλὴν, Ἀβιάθαρ ἢ Ἀβιμέλεχ ὁ ἱερεύς. καὶ βουλόμενος ἁγίους ἄρτους παραθεῖναι, τί φησί; "πλὴν εἰ καθαρὰ τὰ παιδάρια ἀπὸ "γυναικός·" οὐχ οἷον δὲ ἀπὸ ἀλλοτρίας γυναικὸς, ἀλλ' ἀπὸ γαμετῆς· εἶτα ἵνα μὲν ἄρτους προθέσεως λάβῃ[r], καθαρὸς εἶναι ὀφείλει ἀπὸ γυναικός. ἵνα δὲ τοὺς μείζονας τῆς προθέσεως λάβῃ ἄρτους, ἐφ' ὧν ἐπικέκληται τὸ ὄνομα τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, οὐ πολλῷ πλέον ὀφείλει τις εἶναι καθαρώτερος· ἵνα ἀληθῶς εἰς σωτηρίαν λάβῃ τοὺς ἄρτους, καὶ μὴ εἰς κρίμα;*

Θεοδώρου. *Ἀκρασίαν οὐ τὴν ἀσέλγειαν λέγει, ἀλλὰ τὸν κρατεῖν οὐ δυνάμενον εἰς πορνείαν καταφέρεσθαι.*

Θεοδωρίτου. *Ὅτι δὲ τῇ τῶν ἀνθρώπων ἀσθενείᾳ τοὺς νόμους ἐμέτρησεν, ἐδίδαξεν διὰ τῶν ἑξῆς· "τοῦτο δὲ λέγω κατὰ συγ-"γνώμην, οὐ κατὰ ἐπιταγήν. θέλω γὰρ πάντας ἀνθρώπους εἶναι*

[q] ℰ Cod. [r] λαβήτι Cod.

"ὡς καὶ ἐμαυτὸν ἐν ἐγκρατείᾳ·" καὶ τὴν τελειότητα ὑπέδειξε. καὶ τὰ ἐλάττονα συνεχώρισεν, "ἀλλ' ἕκαστος ἴδιον χάρισμα "ἔχει ἐκ Θεοῦ, ὃς μὲν οὕτως, ὃς δὲ οὕτως. παρεμυθήσατο καὶ τοὺς ἐν γάμῳ· χάρισμα Θεοῦ τὸν γάμον προσαγορεύσας. ὑπ' ἐκείνης γάρ τις τῆς χάριτος βοηθούμενος, καὶ τὴν ἐν γάμῳ κατορθοῖ σωφροσύνην· ἐπικουρεῖ δὲ ἡ χάρις τοῖς τὴν ἀγαθὴν εἰσφέρουσι προθυμίαν.

Θεοδώρου. Οὐκ εἶπεν αὐτῷ γνώμης κατόρθωμα, ἀλλὰ θείας χάριτος ἔργον. εἰκότως, τὸν γὰρ ἐναντία τῇ φύσει κατορθοῦν αἱρούμενον, οὐ τῆς ἡμετέρας δυνάμεως, ἀλλὰ τοῦ τῆς φύσεως ποιητοῦ· οὕτω καὶ ὁ Κύριος, "οὐ πάντες," φησὶν, "χωροῦσι τὸν λόγον, "ἀλλ' οἷς δέδοται·" δόσιν αὐτὸ καὶ χάριν καὶ αὐτὸς προσειπών.

Ὠριγένους. Οἱ πολλοὶ μὲν οἴονται τὸ ἀποστερεῖν ἐπὶ μόνου χρυσίου ἢ ἀργυρίου ἢ τινὸς τῶν τοιούτων λέγεσθαι. σαφῶς δὲ ὁ Ἀπόστολος καὶ ἐπὶ τῶν ἐν γάμοις ὄντων καὶ ἀκαίρως καὶ χωρὶς συμφωνίας ἁγνείαν ἀσκούντων, ἀποστέρησιν ὠνόμασεν. ἅπαξ δὲ ἁπλῶς ὁ τὸ ὀφειλόμενον μὴ ἀποδιδοὺς, ἀποστερεῖ ἐκεῖνον ᾧ ὀφείλει, μὴ ἀποδιδοὺς τὸ ὀφειλόμενον· ἐνίοτε δὲ συγκλείεται ὁ ἄνθρωπος εἰς τὸ μὴ δύνασθαι ἅμα δύο ὀφειλὰς ἀποδιδόναι· διὸ γέγραπται, ἵνα τὴν ἀναγκαίαν ἀποδῷ ὀφειλήν. ὃ δὲ λέγω, οὕτως ἔσται σαφές. οὐκ ἔνεστι καὶ Θεῷ ἀποδιδόναι δεόντως τὰς εὐχὰς, καὶ ἀποδοῦναι τὴν ὀφειλὴν τὸν γεγαμηκότα τῇ γυναικί· διόπερ τὸ ὀφείλημα τὸ εἰς Θεὸν ἐὰν ἐπείγῃ, δεῖ τὸ ἕτερον ἀποστερεῖν· ἄκουε γὰρ αὐτοῦ λέγοντος; "μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου "πρὸς καιρόν· ἵνα σχολάσητε τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ "αὐτὸ ἦτε·" ὡς μὴ καθαρᾶς ἀναπεμπομένης τῆς εὐχῆς τοῖς καὶ συνεληλυθόσιν, εἰ καὶ νομίμως συνεληλύθασιν. ἀπέχεσθαι δὲ δεῖ γυναικὸς καὶ ἐν καιρῷ τῆς ἀφέδρου· καὶ εἰς μέγα γε ἔγκλημα λογίζεται τὸ συνέρχεσθαι γυναικὶ οὔσῃ ἐν τῇ ἀφέδρῳ· ἐν γοῦν τῷ καταλόγῳ τῶν ἀνδραγαθημάτων καὶ τὸ καταλόγῳ τῶν ἁμαρτημάτων παρὰ τῷ Ἐζεκιὴλ[s] ἀναγέγραπται· "ὅτι καὶ πρὸς γυναῖκα "ἐν χωρισμῷ οὐ μὴ προσέλθῃ," καὶ δεῖ καθαρεύειν πάντως καὶ ἀπὸ τῆς ἰδίας γυναικὸς ἐν καιρῷ εὐχῆς καὶ νηστείας.

Καὶ πάλιν φησὶ, "ἐπὶ τὸ αὐτὸ ἦτε· ἵνα μὴ πειράζῃ ὑμᾶς

[s] Levit. xviii. 20. Cf. Ezech. xxii. 10.

"ὁ Σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν· τοῦτο δὲ λέγω κατὰ συγ-"γνώμην· οὐ κατ' ἐπιταγήν·" πανταχοῦ ἀνίησι διὰ τὴν ἀσθένειαν τὸν λόγον· καὶ πάλιν ἐπιτείνει διὰ τὸ ἐπιστρέψαι τοὺς ἀκούοντας τὸν λόγον· "θέλω δὲ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν· "ἀλλ' ἕκαστος ἴδιον ἔχει χάρισμα ἐκ Θεοῦ· ὃς μὲν οὕτως· ὃς "δὲ οὕτως." πνέει χαρίσματος ὁ γάμος, ὅτε τὰ μέτρα τηρεῖται τοῦ ἐκ συμφωνίας· καὶ ἀληθῶς ἐστὶν εἰπεῖν ἐπὶ τινῶν· ὅτι τούτῳ ὁ γάμος χάρισμά ἐστιν· ὅτε οὐκ ἀκαταστασία, ὅτε πᾶσα εἰρήνη, πᾶσα συμφωνία· εἰπεῖν μέντοι γε ὅτι χάρισμα ἐκ Θεοῦ ἐστιν ὁ γάμος πιστοῦ πρὸς ἐθνικὸν καὶ ἐθνικοῦ πρὸς πιστόν, τοῦτο οὐκ ἂν εἴποιμι· οὐ γὰρ δύναται τὸ χάρισμα τοῦ Θεοῦ φθάνειν ἐπὶ τοῖς ἐθνικοῖς· ἐὰν πιστεύσῃ, ἐὰν σωθῇ, τότε ἀρχὴν λήψεται τοῦ χαρίσματος.

Χρῶνται δὲ τῷ ῥητῷ τούτῳ καὶ οἱ ἀπὸ Μαρκίωνος. καὶ ἀναισθήτως κωλύουσι τὸν γάμον· λέγοντες, τὴν ἁγνείαν πρόσταγμα εἶναι τοῦ ἄλλου Θεοῦ, ὃν ἂν ἔπλασαν παρὰ τὸν δημιουργόν. πλὴν ἐκ τοῦ ῥητοῦ ἐστιν αὐτοὺς συμβιβάσαι, ὅτι κακῶς κωλύουσι τὸν γάμον, κακῶς καὶ διαιροῦσι τὴν θεότητα. εἰ γὰρ χάρισμά ἐστι "τὸ μὲν οὕτως, τὸ δὲ οὕτως·" χάρισμά ἐστι καὶ ὁ γάμος. εἰ χάρισμα καὶ ὁ γάμος· κακῶς κωλύεται τὸ χάρισμα ὁ γάμος. εἰ ὁ μὲν οὕτως, ὁ δὲ οὕτως ἀπὸ Θεοῦ· δῆλον ὅτι εἷς Θεὸς ὁ δεδωκὼς τὴν ἁγνείαν καὶ ὁ δεδωκὼς τὸν γάμον· καὶ εἷς ὁ τοῦ νόμου καὶ τοῦ Εὐαγγελίου Θεός ἐστιν, ὃν κατήγγειλαν πρότερον μὲν οἱ προφῆται, ὕστερον δὲ Χριστὸς Ἰησοῦς.

ΙΩΑΝΝΟΥ[t]. Μὴ ἐγκρατευέσθω φησὶ θάτερος, θατέρου μὴ βουλομένου. μήπως πορνεία γένηται πρόξενος τῷ ἑτέρῳ μέρει ἡ σὴ ἐγκράτεια· "πρὸς καιρὸν," φησὶν, τοῦτ' ἔστι κατὰ καιρὸν τὸν προσήκοντα. εὐκαιρία δέ ἐστιν ἀποχῆς ἡ νηστεία καὶ ἡ προσευχή· τοῦτο δὲ φησὶν, οὐ τοὺς συνόντας γυναικὶ εὔχεσθαι ἢ νηστεύειν κωλύων, ἀλλὰ ὅπως ἡ εὐχὴ καὶ ἡ νηστεία σπουδαιοτέρα γένηται. ἀπέχεσθε γὰρ, φησὶν, "ἵνα σχολάσητε τῇ νηστείᾳ καὶ τῇ προσ-"ευχῇ," ὡς τῆς μίξεως ἀσχολίαν οὐκ ἀκαθαρσίαν ποιούσης· μίξεως δὲ τῆς πρὸς τὴν νομίμην γυναῖκα, ἵνα μάθῃς ὅτι οὐχ ὁ διάβολος μόνος αἴτιος τῆς πορνείας, ἀλλὰ καὶ ἡ ἡμῶν ἀκρασία·

[t] Ψ Cod.

ἐπάγει “διὰ τὴν ἀκρασίαν ὑμῶν” δεικνὺς ἔνθεν μᾶλλον ἢ ἐκ τοῦ διαβόλου γίνεσθαι. ἐπειδὴ σφόδρα αὐτῶν κατηγόρησεν εἰπὼν “διὰ “τὴν ἀκρασίαν ὑμῶν,” νῦν σπουδάζει παραμυθήσασθαι αὐτοὺς ὅτι φησὶν, τὸ εἶναι παρθένον, χάρισμά ἐστιν ἀπὸ Θεοῦ· οὐκ ἐπειδὴ τῆς ἡμετέρας οὐ δεῖται σπουδῆς τὸ πρᾶγμα· αὐτὸς γὰρ ἵνα τις ἀξιωθῇ χαρίσματος, πολλὰ κοπιᾷ· ἀλλ' ὡς εἴρηται, παραμυθεῖται αὐτοὺς ὑπὲρ τῆς ὕβρεως. ὁ μὲν καὶ παντελῶς ἀπέχεται μίξεως· ὁ δὲ ἀρχὴν τῆς γαμετῆς ἵσταται.

Οἰκουμενίου. *Οὐ γὰρ ὥσπερ τὸ “οὐ μοιχεύσεις, οὐ φονεύσεις,” ἤδη καὶ τὸ μὴ ἀποστερεῖν ἀλλήλους ἐπιταγή τις ἐστὶν καὶ ἐπαινετὸς ὁ τοῦτο ποιῶν ὡς μόνον πληρῶν· κατὰ συγγνώμην, φησὶ, τοῦτο εἶπον, συγκαταβὰς τῇ ἀσθενείᾳ ὑμῶν. ἐκ δὲ τοῦ εἰπεῖν “συγγνώμην,” ἔδειξεν ὅτι καὶ κατεγνωσμένον πράττει πρᾶγμα ὁ μόνον ἐν τῇ νηστείᾳ καὶ τῇ προσευχῇ ἀπεχόμενος.*

8 *Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς*
9 *ἐστιν, ἐὰν μείνωσιν ὡς κἀγώ. εἰ δὲ οὐκ ἐγκρατεύονται,*
γαμησάτωσαν· κρεῖσσον γάρ ἐστι γαμῆσαι ἢ πυροῦ-
10 *σθαι. τοῖς δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγὼ, ἀλλ'*
11 *ὁ Κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι· ἐὰν δὲ*
καὶ χωρισθῇ, μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω·
καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι.

Ὠριγένους[u]. *Τινὲς τῶν καθ' ἡμᾶς ὑπὲρ ἃ γέγραπται διδάσκουσι, καὶ οἰόμενοί τι ποιεῖν, δέον προτρέπειν ἐπὶ μονογαμίαν μετὰ τοῦ μὴ βρόχον ἐπιτιθέναι τοῖς μὴ δυναμένοις· τοῦτο μὲν οὐ ποιοῦσιν· ἀνάγκην δὲ ἐπιτιθέασι, καὶ θέλουσι μὴ συνάγειν τοὺς διγάμους, μηδὲ κοινωνεῖν αὐτοῖς ὡς παραβεβηκόσιν. οὐκ αἰδούμενοι οὐδὲ τὰς τοῦ Ἀποστόλου φωνάς· ὁ γὰρ λέγων τοῖς ἀγάμοις καὶ ταῖς χήραις “εἰ οὐκ ἐγκρατεύονται γαμησάτωσαν.” ἄντικρυς ἐπετρεψάμεθα τὸν πρῶτον γάμον μετὰ τοῦ χηρεῦσαι, γυναῖκα γαμῆσαι, μετὰ τοῦ λοιδορῆσαι τὴν γαμουμένην· εἶπεν γὰρ “εἰ οὐκ “ἐγκρατεύονται γαμησάτωσαν” ὅρα γὰρ εἰ μὴ ἤδη κατηγορία ἐστὶν τὸ μὴ ἐγκρατεύεσθαι· οἷον ἔστιν λέγεσθαι ἀνθρώποις Χριστιανοῖς κάλλιον γαμῆσαι ἢ πυροῦσθαι· πύρωσιν ὀνομάσαντος*

[u] ꝸ Cod.

αὐτοῦ τὴν ἐπιθυμίαν τῆς σαρκὸς μὴ σβεννυμένης ὑπὸ τοῦ λόγου· ἀλλὰ κρατοῦσαν τῆς ψυχῆς τοῦ ἁμαρτωλοῦ.

Ἡμεῖς οὖν διδαχθέντες ὑπὸ τοῦ Ἀποστόλου, οὐ κωλύομεν τὴν διγαμίαν· συγκρίσει γὰρ πυρώσεως, αἱρετωτέρα διγαμία· ὅτ᾽ ἂν δὲ κακοῖς συγκρινόμενον κρεῖττον εἶναί τινος νομίζεται· ἐκεῖνο ἄντικρυς οὐκ ἔστι καλόν· οὐκ ἔστιν σωφροσύνη ὁ δεύτερος γάμος· οὐκ ἔστιν κατὰ φύσιν Ἀδὰμ τῷ πρώτῳ πλάστῳ. οὐ γὰρ δύναται τῇ δευτέρᾳ λέγεσθαι γυναικὶ "τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μοῦ, καὶ σὰρξ ἐκ τῆς σαρκός μου." ἔσχεν Ἀβραὰμ καὶ τὴν Ἄγαρ· γέγονεν καὶ μετὰ τῆς Χιττούρας· ὅτε δὲ ἐτελεύτα, οὐδεμία ἐτέθη σὺν αὐτῷ, ἀλλὰ ἡ φύσει γυνή. Ἀβραὰμ γὰρ καὶ Σάρρα ἦν ἐν τῷ μνημείῳ· καὶ Ἰακὼβ δὲ, εἰ καὶ ἔσχεν μετὰ Ῥαχὴλ καὶ μετὰ Λίας, γεγένηται καὶ μετὰ τῶν παιδισκῶν· ἀλλ᾽ ἐν τῷ μνημείῳ μόνη Λία ἐγένετο σὺν αὐτῷ.

Μετὰ τοῦ τῆς τῶν πατέρων ἔσεσθαι οἰκονομίας μυστικῆς. οὐ δήπου δὲ καὶ νῦν ὁ λαμβάνων δευτέραν λέγει, ὅτι τελῶ οἰκονομίαν μυστικήν. ἐλεύσεται γὰρ ὁ Παῦλος λέγων· "λέγετέ μοι οἱ τῶν τὸν νόμον ἀναγινώσκοντες, τὸν νόμον οὐκ ἀκούετε; γέγραπται γὰρ ὁ δεῖνα δύο υἱοὺς ἔσχεν·" καὶ τὰ ἑξῆς. οὐ μέλλει καὶ ἐπ᾽ αὐτοῦ λέγεσθαι, "ἅτινά ἐστιν ἀλληγορούμενα· καὶ αὗται γάρ εἰσι δύο διαθῆκαι· ταῦτα γὰρ τυπικῶς συνέβαινεν ἐκείνοις· ἐγράφη δὲ δι᾽ ἡμᾶς εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντηκεν" λέγω δὲ ταῖς χήραις καὶ τοῖς ἀγάμοις· "καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ·" τοῦτο δεύτερον καλόν ἐστιν· ἔστι γὰρ πρῶτον τούτου ἄλλο καλόν· καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· ποῖον δεύτερον καλὸν, "καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ· εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· κρεῖττον γάρ ἐστι γαμῆσαι ἢ πυροῦσθαι·" διὰ τοῦτο οἱ ἐν γάμοις πρώτοις ὄντες, μηδέπω πεπειραμένοι δευτέρων, ἀσκείτωσαν τὴν ἁγνείαν, ἵνα ἐὰν γένηταί τι ἀνθρώπινον, μὴ ἀνάσκητοι καταληφθέντες ἀσχημονήσωσιν· κρεῖττον οὖν τὸ γαμῆσαι δεύτερον γάμον· οὐ γὰρ τὸν πρῶτον λέγει ἐνθάδε· ὡς δῆλόν ἐστιν ἐκ τῆς λέξεως τῆς "πυροῦσθαι."

Ἐντεῦθεν εἰς ἑτέραν μεταβαίνει νομοθεσίαν "τοῖς δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγὼ, ἀλλ᾽ ὁ Κύριος·" ἡ νομοθεσία ἡ

πρὸς τοὺς γεγαμηκότας οὐκ ἀπ' ἐμοῦ ἐστιν, ἀλλ' ἀπὸ τοῦ Κυρίου· ἅμα δὲ τηρεῖ ἀναγκαῖον παρατήρημα. ὅτι γεγαμηκότες ὠνόμασεν, ὅτ' ἂν ἀμφότεροι ὦσι πιστοὶ καὶ ὁ ἀνὴρ καὶ ἡ γυνή· ὅσοι δὲ τοὺς ἄλλους, ὅσοι ἑτεροζυγοῦσιν, οὐκ ὠνόμασεν ἐν γεγαμηκόσιν. δῆλον ἐκ τοῦ ἐπιφέρειν αὐτὸν "τοῖς δὲ λοιποῖς λέγω ἐγὼ, οὐχ ὁ Κύριος· οὐκ οὖν οἱ λοιποὶ οὐκ εἰσὶ γεγαμηκότες· οὐ γὰρ μετρεῖ αὐτοὺς γεγαμηκότας· οὐ γὰρ ἐπὶ τούτων ἁρμόζεται γυνὴ ἀνδρὶ παρὰ Θεοῦ· ἐπὶ δὲ τῶν πιστῶν, ὅτε ἀμφότεροι κοινωνοῦσι καὶ εὐχῶν καὶ παιδοποιΐας ἁγίας, καὶ πάντων ὧν Χριστιανοὺς κοινωνεῖν δεῖ, λέγει ὅτι ὁ γάμος οὐκ ἀλλότριός ἐστι Θεοῦ· "παραγγέλλω οὖν "οὐκ ἐγὼ ἀλλ' ὁ Κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρίζεσθαι." τὸ γὰρ μὲν προηγούμενον τοῦτό ἐστιν, συζυγίαν φθάσασαν δέδεσθαι μὴ λυθῆναι· ἐὰν δὲ καὶ χωρισθῇ, πολλὰ γὰρ ἂν γένοιτο αἴτια τοῦ καὶ χωρισθῆναι, οἷον πορνεία, ἐὰν γένοιτο τῇ γυναικὶ, ἁμαρτία ἐστὶν κατέχειν τὴν πεπορνευκυίαν γυναῖκα· ἐὰν οὖν καὶ χωρισθῇ καὶ γένοιτό τι ὃν χωρισμοῦ, μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω· ὁμοίως δὲ καὶ ἄνδρα θέλω τοιοῦτον εἶναι.

Ἵνα μὴ ἀφίῃ γυναῖκα· "τοῖς δὲ λοιποῖς λέγω ἐγὼ οὐχ ὁ "Κύριος·" τοῖς μὲν γεγαμηκόσιν οὐκ ἐγὼ νομοθετῶ, ἀλλ' ὁ Κύριος· τοῖς δὲ μὴ γεγαμηκόσιν ἀλλ' ἑτεροζυγοῦσιν ἀπίστοις· οὐκ ἔχω νόμον δοῦναι ἀπὸ Θεοῦ, οὐδὲ γὰρ ἄξιοί εἰσιν νόμων Θεοῦ· ἀλλ' ἀκουέτωσαν ἡμῶν· καὶ χρήσομαι εἰς τὸ νοηθῆναι τὰ κατὰ τὸν τόπον γεγραμμένοις ἐν τῷ νόμῳ· οἱ νόμοι οἱ κατὰ Μωσέα· οἱ μὲν Θεοῦ εἰσιν· οἱ δὲ Μωσέως· καὶ τοῦτο ἐπιστάμενος ὁ Κύριος διαφορὰν νόμων Θεοῦ καὶ νόμου Μωσέως, εἶπεν ἐπὶ μὲν τῶν ὑπὸ Θεοῦ νενομοθετημένων· ὁ γὰρ Θεὸς εἶπεν "τίνα τὸν πατέρα καὶ "τὴν μητέρα·" ἐπὶ δὲ τῶν ὑπὸ Μωσέως, "Μωϋσῆς διὰ τὴν "σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας·" τηρήσας γοῦν τὰς τοῦ βιβλίου τοῦ ἀποστασίου, εὑρήσεις οὐκ ἐκ προστάγματος Κυρίου τὸν νόμον γεγραμμένον· Μωϋσῆς μὲν οὖν ὑπηρετῶν Θεῷ· νόμους ἔδωκεν δευτέρους παρὰ τοὺς νόμους τοῦ Θεοῦ· Παῦλος δὲ ὑπηρετῶν τῷ Εὐαγγελίῳ. νόμους ἔδωκεν δευτέρους τοῖς ἐκκλησιαστικοῖς μετὰ τοὺς νόμους τοῖς ἀτὲρ[x] Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ. καὶ καλόν ἐστιν ἀκούειν νόμον ἀπὸ Κυρίου,

[x] Leg. pot. ἀπὸ.

ἢ ἀκούειν νόμων Παύλου τοῦ Ἀποστόλου· κἂν γὰρ ἅγιος ᾖ, ἀλλὰ πολλῷ ὑποδεεστέρους[y] ἔχει νόμους τῶν νόμων τοῦ Κυρίου.

Σευηριανοῦ. Τὴν "γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι·" οὐκ ἂν εἶπεν περὶ τῶν διὰ τὸ ἀποτάσσεσθαι καὶ ἀνακεῖσθαι τῷ Χριστῷ χωριζομένων· "ἢ τῷ ἀνδρὶ καταλλαγήτω, ἢ μενέτω ἄγαμος," περὶ τῶν διά τινα μάχην διϊσταμένων δείκνυται.

Θεοδωρίτου. Τῆς εὐαγγελικῆς νομοθεσίας ἀνέμνησεν. ὁ γὰρ Κύριος ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις ἔφη "πᾶς ὁ ἀπόλυων τὴν "γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευ-"θῆναι·" διὰ τοῦτο προστέθεικεν "οὐκ ἐγὼ, ἀλλ' ὁ Κύριος·" τὸ δέ γε "μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω," οὐκ ἔστιν ἐναντίον τῷ "μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου." ἐκεῖνα γὰρ τοῖς μὴ δι' ἄλλην πρόφασιν χωριζομένοις, ἀλλὰ διὰ μόνην ἐγκράτειαν εἴρηται· ἐνταῦθα δὲ τοῖς περὶ ἑτέρων πραγμάτων ζυγομαχοῦσιν νομοθετεῖ· καὶ πειρᾶται μὲν ἀρραγῆ φυλάξαι τοῦ γάμου τὴν ζεύγλην. συγκατιὼν δὲ τῇ ἀσθενείᾳ, τῷ χωριζομένῳ νομοθετεῖ τὴν ἐγκράτειαν, καὶ ταύτῃ κωλύων τοῦ γάμου διαίρεσιν· ἀπείργων γὰρ ἑτέρῳ συνάπτεσθαι, πρὸς τὸν πρότερον γάμον μέρος ἑκάτερον ἐπανελθεῖν συνωθεῖ.

Ἰωάννου[z]. Ὅρα σοφίαν· καὶ βελτίονα δείκνυσι τὴν ἐγκράτειαν, καὶ οὐκ ἀναγκάζει τὸν μὴ φθάνοντα, δεδοικὼς μή τι μεῖζον παράπτωμα γένηται· ἐνέφηνεν ὅση τῆς ἐπιθυμίας ἡ τυραννίς. εἰ πόλλην, φησὶν, ὑπομένεις βίαν καὶ πύρωσιν, ἀπαλλάγηθι καὶ γάμισον, μή ποτε περιτραπῇς. ἐπειδὴ ῥητῶς νόμον ὑπὸ τοῦ Κυρίου τεθέντα λέγειν μέλλει, διὰ τοῦτο φησὶν, "οὐκ ἐγὼ ἀλλ' "ὁ Κύριος·" τοῦδε ὁ νόμος, μὴ γίνεσθαι διαίρεσιν "παρεκτὸς "λόγου πορνείας." καὶ τὰ μὲν ἔμπροσθεν εἰρημένα, εἰ καὶ μὴ ὀνομαστὶ ὁ Κύριος εἶπεν, ὅμως καὶ αὐτῷ τῷ Κυρίῳ καλῶς ἔχειν δοκεῖ, τῷ διὰ τοῦ στόματος Παύλου λαλοῦντι· πλὴν ἐπειδὴ τὸ τοῦ χωρισμοῦ ῥητῶς ὁ Κύριος εἴρηται παρέδωκεν, τούτου χάριν φησὶν, "οὐχ ὁ Κύριος·" ὥστε τὸ "ἐγὼ" καὶ "οὐκ ἐγὼ," ταύτην ἔχει τὴν διαφοράν· ἵνα γὰρ μὴ τὰ αὐτοῦ ἀνθρώπινα εἶναι νομίσῃς, ἐπάγει κατωτέρω, "δοκῶ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν."

[y] ὑπὸ δὲ ἑτέρους Cod. [z] Ψ Cod.

Κυριλλου. Ἐλαφροὶ καὶ εὐπάροιστοι κατεφόρωντο λίαν εἰς πᾶν ὅ τι οὖν τῶν σφισὶ καθ' ἡδονὴν οἱ ἐξ Ἱερουσαλήμ· ταύτῃ τοι δικαίως τὸ χρῆναι γνωμοδοτεῖν παρήρηντο τῷ νόμῳ. ἐπ' αὐτῶν γάρ, φησίν, οὐκ ἔστιν προσθεῖναι καὶ ἀπάντων οὐκ ἔστιν ἀφελεῖν· οἱ δέ γε τῶν εὐαγγελικῶν θεσπισμάτων εἰσηγηταὶ βεβηκότα τὸν νοῦν ἔχοντες εἰς τὸ ἀγαθόν, καὶ αὐτὸν ἐν ἑαυτοῖς ἐσχηκότες λαλοῦντα Χριστόν, ἐθαρσήθησαν εἰκότως ἐπ' ἐξουσίας ποιεῖσθαι πολλῆς τοὺς τῆς ὑφηγήσεως λόγους· κἂν εἰ μήτι κέοιτο τῶν πρακτέων παρά γε τοῖς ἱεροῖς γράμμασιν. τοιοῦτός τις ὑπάρχων καὶ ὁ θεσπέσιος Παῦλος, "λέγω δέ," φησίν, "τοῖς ἀγάμοις καὶ "ταῖς χήραις· καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ" καὶ τὰ ἑξῆς· ἔνθα μὲν γὰρ οὐ θεῖος ἡμῖν νόμος, τὸ "λέγω" τέθεικεν, οὐδὲ Χριστὸς ὁ προστάττων ἦν· τὸ "παραγγέλλω" φησίν, προσεπάγων εὐθὺς τὸ "οὐκ ἐγὼ ἀλλ' ὁ Κύριος." τί δε ἄρα παρῶπται τῶν ἀναγκαίων νομοθετοῦντι Χριστῷ; ἐπινοοῦσι δέ τι τὸ ἄμεινον οἱ μυσταγωγοί; καίτοι πῶς οὐκ ἀμαθὲς καὶ ἀπόπληκτον παντελῶς τὸ μὴ ἀρτίως ἔχειν οἴεσθαι τὰ παρὰ Χριστοῦ;

Τί οὖν ἐροῦμεν; οὐκ ἀπέφησεν τὸν γάμον τὸ εὐαγγελικὸν καὶ θεσπέσιον κήρυγμα. ἐπιμετροῦντος οἶμαι που τοῦ Θεοῦ τῇ ἀνθρώπου φύσει τὴν ἐντολήν· ἔφη γὰρ τοῖς πειράζουσι Φαρισαίοις ὁ Κύριος, ἐρωτήσασιν αὐτὸν εἰ ἔξεστιν ἀπολύσαι τὴν γυναῖκα αὐτοῦ· "παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι·" πρὸς ταῦτα λέγουσιν αὐτῷ οἱ μαθηταί· "εἰ οὕτως ἐστι τοῦ ἀνθρώπου "ἡ αἰτία μετὰ τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι· ὁ δὲ εἶπεν "αὐτοῖς· εἰσιν εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώ-"πων· καὶ εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχησαν ἑαυτοὺς διὰ τὴν "βασιλείαν τῶν οὐρανῶν· ὁ δυνάμενος χωρεῖν χωρείτω·" προύθηκε γὰρ τοῖς ἐθέλουσι κατορθοῦν· οὐ μὴν ὑπήγαγε νόμῳ, ὅτι μὴ πάντας ἠπίστατο τῶν τῆς σαρκὸς κινημάτων κατευμεγεθεῖν δύνασθαι.

Καὶ τοῦτο εἰς ἅπαν ἔχει τι τοιοῦτον καὶ ἡ κατὰ νόμον σκία· προστέταχε μὲν γὰρ τοὺς τῶν θυσιῶν ποιεῖσθαι τρόπους εἰς δόξαν Θεοῦ· τοῦτο μὲν ὑπὲρ ἁμαρτίας καὶ ἀγνοημάτων· τοῦτο δὲ εἰς καθαρισμὸν καὶ ἀπόρριψιν ῥύπου, καὶ μὴν καὶ τὰς ἐν σαββάτῳ, τὰς κατὰ νουμηνίαν, τὰς ἐν ταῖς ἑορταῖς. ἠφίει γεμὴν πρὸς

τούτοις καὶ ἑκουσιάζεσθαι τινὰς, τοῦτ' ἔστι προσκομίζειν Θεῷ τὰ ἑκούσια. καὶ ταῦτα δὲ ἦσαν τὰ ὑπὲρ τὸν νόμον, ὡς ἐξ ἀγαθῆς καὶ φιλοθέου φιλοτιμίας καρποί· ἀλλ' ἦν μὲν οὐ θέμις τῶν ἐν νόμῳ διατεταγμένων ῥαθυμῆσαι θυσιῶν· ἐπαίνου γεμὴν ἀξίους ἡγεῖτο Θεὸς τοὺς προστιθέντας ἐκείνοις τὰ οἰκοθέν τε καὶ ἀπὸ γνώμης ἰδίας· τοῦτό τι καὶ νῦν ἐξῳκονομῆσθαι φαμέν· οὐκ ἀπέφησε μὲν γὰρ ὁ Χριστὸς τὸ εἴπερ τις ἕλοιτο καὶ τῆς κατὰ νόμον ἅπτεσθαι κοινωνίας· κατορθοῦν δὲ τὸ μεῖζον ἡμᾶς ἀπείρξειεν ἂν οὐδὲν ἐκ τῆς εἰς[a] λῆξιν εὐκλείας μεταποιεῖσθαι σπουδάζομεν[b].

Ἄριστα οὖν ὁ Παῦλος " λέγω μὲν τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ· τοῖς δὲ γεγαμηκόσι " παραγγέλλω οὐκ ἐγὼ ἀλλ' ὁ Κύριος" καὶ τὰ ἑξῆς. παρακομίζει δὲ εἰς ὑποτύπωσιν τῆς ἐξειλεγμένης ἀπερισπάστου ζωῆς τὰ καθ' ἑαυτόν· πάντως που τὴν ἀγαμίαν τοῦ ἑτέρου προσθείς· οὐκοῦν εἰ καὶ ἀπεδύσατό τις τὸν τοῦ νόμου ζυγὸν, μενέτω, φησὶν, ἐν ἐγκρατείᾳ. κληρονομήσει γὰρ οὕτω τὴν τῶν οὐρανῶν βασιλείαν. καὶ λέγων ὁ τῶν στεφάνων διανομεὺς, " τάδε λέγει Κύριος τοῖς " εὐνούχοις, ὅσοι ἂν φυλάξωνται τὰ σάββατά μου, καὶ ἐκλέξωνται ἃ ἐγὼ θέλω, καὶ ἀντέχωνται τῆς διαθήκης μου· δώσω αὐτοῖς " ἐν τῷ οἴκῳ μου καὶ ἐν τῷ τείχει μου τόπον ὀνομαστὸν, κρείσσων " υἱῶν καὶ θυγατέρων, ὄνομα αἰώνιον δώσω αὐτοῖς, καὶ οὐκ ἐκλείψει." οὐκοῦν τῆς ἐγκρατείας ἀξιόληπτος ὁ μισθός· τοῖς γεμὴν ἤδη τῷ γάμῳ κατειλημμένοις, ἀποφοιτᾶν οὐκ ἀφίησι τῆς ἅπαξ συνῳκισμένης, ἵνα μὴ θορύβων ἔμπλεων τὴν ὑπουρανὸν τὸ σωτήριον ἀποφήνῃ κήρυγμα· οὐκ ἐπαινοῦντος τὸ χρῆμα τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· εἰ καὶ ὁ νόμος οἰκονομικὸς ἐφῆκε τοῖς ἀρχαιοτέροις τὸ ποιεῖν διὰ τὴν σκληροκαρδίαν αὐτῶν· καθά φησιν αὐτὸς ὁ Σωτήρ· ὅτι δὲ ἀσφαλέστεροί τε καὶ ἀλκιμώτεροι τῶν ἀρχαιοτέρων οἱ ἐν Χριστῷ, κἀντεῦθεν ἰδεῖν τοῖς ἐθέλουσι ῥᾷον. ὁ μὲν γὰρ νόμος τοῖς ἐξ Ἱερουσαλὴμ ἀπέφησε τὸ δεῖν ἀλλοφύλοις συνιέναι τε καὶ γαμικῶς ἀναπλέκεσθαι, ἡμῖν δὲ ὁ Παῦλος " εἴ τις " ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον" καὶ τὰ ἑξῆς.

[a] Hæc valde depravata sunt. [b] Leg. cred. σπουδαζομένους.

12 Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω, οὐχ ὁ Κύριος, εἴ τις ἀδελ-
φὸς γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν
13 μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν· καὶ γυνὴ, ἥτις ἔχει ἄνδρα
ἄπιστον, καὶ αὐτὸς συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ
14 ἀφιέτω αὐτόν. ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ
γυναικὶ, καὶ ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί· ἐπεὶ
ἄρα τὰ τέκνα ὑμῶν ἀκαθαρτά ἐστι, νῦν δὲ ἅγιά ἐστιν.

Θεοδωρίτου. Τὸ "ἐγὼ λέγω," ἀντὶ τοῦ, οὐχ εὗρον τοῦτον τὸν νόμον τοῖς θείοις Εὐαγγελίοις ἐγγεγραμμένον· ἀλλὰ νῦν αὐτὸν τίθημι. ὅτι δὲ οἱ τοῦ Ἀποστόλου νόμοι τοῦ δεσπότου Χριστοῦ νόμοι, δῆλόν ἐστιν τοῖς τὰ θεῖα πεπαιδευμένοις· αὐτοῦ γάρ ἐστι φωνὴ, "εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ." καὶ "οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις ἡ σὺν ἐμοί·" καὶ "λέγω διὰ τῆς χάρι- "τος τῆς δοθείσης μοι." οὕτω κἀνταῦθα νομοθετεῖ, τοῦ Παναγίου Πνεύματος δι' αὐτοῦ φθεγγομένου.

Κυρίλλου. Ἐκείνοις μὲν γὰρ ὁ νοῦς ἦν σαθρὸς καὶ σεσαλευμένος· ἡμεῖς δὲ οὐχ οὕτως· κεχρίσμεθα γὰρ εἰς υἱοθεσίαν τῷ Ἁγίῳ Πνεύματι, καὶ κατῴκηκεν ἐν ἡμῖν ὁ Χριστός. βεβηκότες δὴ οὖν οὕτως πρὸς πᾶν ὅτι οὖν τῶν ἀγαθῶν, δεδίαμεν κατ' οὐδένα τρόπον τὸ συνεῖναί τινι τῶν ἀπίστων ἔτι· τεθαρρήκαμεν δὲ μᾶλλον ὅτι σαγηνεύσομεν εἰς εὐσέβειαν· καὶ οὐχ ἡμεῖς τῆς ἐνούσης ἐκείνοις ἀμαθείας ἐσόμεθα θήραμα. καὶ εὐλογοῦμεν μᾶλλον τοὺς οὔπω πιστεύσαντας, ἢ μολυνόμεθα παρ' αὐτῶν. "ἡγίασται γὰρ," φησὶν, "ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί." οὕτως εἰσὶν ἅγια καὶ τὰ τέκνα ἡμῶν, νικῶντος πάντως που τοῦ ἐν τοῖς πιστεύουσιν ἁγιασμοῦ, τῶν οὔπω πεπιστευκότων τὸν ῥύπον· "εἰ δὲ ὁ ἄπιστος χωρί- "ζεται," φησὶ, "χωριζέσθω· οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ "ἀδελφὴ ἐν τοῖς τοιούτοις·" οἰχέσθω γὰρ εἰ δοκεῖ τοῦ ἁγιάζοντος ὁ μεμολυσμένος, γνώμης ἰδίας ὀψώνιον ἔχων τὴν ἔν γε τούτῳ ζημίαν· ἀνυπαίτιος[b] δὲ παντελῶς ὁ ταῖς θείαις ἑπόμενος ἐντολαῖς. εὐλογηθήσεται γὰρ ὡς εὐήνιος παρὰ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ.

[b] ἀνυπταίος Cod.

Ὠριγένους[c]. Ὡς κρᾶσις τις γίνεται τῶν δύο, ἀνδρὸς καὶ γυναικὸς εἰς σάρκα μίαν, ὥσπερ οἴνου καὶ ὕδατος· καὶ ὥσπερ μεταδίδωσιν ὁ πιστὸς ἁγιασμοῦ τῇ ἐθνικῇ γαμετῇ· ἢ τὸ ἐναντίον ἡ πιστὴ τῷ ἀπίστῳ ἀνδρί· οὕτω καὶ ὁ ἄπιστος μεταδίδωσι μολυσμοῦ τῇ πιστῇ γυναικί· ἢ τῷ πιστῷ ἀνδρὶ ἡ ἄπιστος γυνή. διὰ τί γάρ φησιν, ἡγίασται ἡ ἄπιστος ἢ ὁ ἄπιστος τῷ λαμβάνειν τι ἀπὸ τοῦ πιστοῦ, ἢ ἀπὸ τῆς πιστῆς· καὶ οὐχὶ βεβηλοῦται τῷ λαμβάνειν τι ἀπὸ τοῦ ἀπίστου μέρους; ἕκαστος γὰρ ἐκ τοῦ περισσεύματος τῆς καρδίας διαλεγόμενος τῷ ἑτέρῳ, ἢ μεταδίδωσιν, ἢ μεταλαμβάνει· καὶ τῷ χρόνῳ πάντως νικᾷ τὸ ἕτερον· καί τις χρεία, φησὶ, τοιούτου ἀγῶνος τε καὶ κινδύνου; ἢ γὰρ ἐπιτεύξεται, ἢ ἀποτεύξεται· καὶ ἤτοι τὴν ψυχὴν αὐτοῦ προσαπολέσει, ἢ πολλὰ καμὼν, μόγις κερδῆσαι δυνήσεται. διὰ τοῦτο καλόν ἐστι πρὶν προληφθῆναι ἄνθρωπον ἐπιμελῶς οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τὸ μέλλον σκοπεῖν· καὶ σκοπήσαντα, ἢ μὴ γαμεῖν, ἢ γαμοῦντα, ἐν Κυρίῳ γαμεῖν· "γυνὴ γὰρ δέδεται, ἐφ' ὅσον χρόνον "ζῇ ὁ ἀνήρ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμη-"θῆναι, μόνον ἐν Κυρίῳ·" οὐκ ἀκούομεν τοῦ "μόνον ἐν Κυρίῳ·" ἀλλὰ τὸ "ἐλευθέρα ἐστὶν, ᾧ θέλει γαμηθῆναι" ἀναγινώσκομεν· οὐκ ἔτι δὲ συνετάξαμεν τοῦ μόνον ἐν Κυρίῳ· καί τοι γε κακεῖ, ὅτε εἶπεν "μόνον ἐν Κυρίῳ," πάλιν ἀνέκρουσεν τὸν λόγον εἰπών· "μακα-"ριωτέρα δέ ἐστιν, ἐὰν οὕτως μείνῃ κατὰ τὴν ἐμὴν γνώμην·" τὸ οὖν εὐφημότερον εἰπὼν ὁ Ἀπόστολος τὸ "ἁγίαζεται γὰρ," ἀφῆκεν ἡμῖν τὸ ἄλλο νοεῖν.

Σευηριανοῦ. Οὐ τὸ λαμβάνειν ἄπιστον φησὶν, ἀλλὰ τὸ ἀνέχεσθαι ἀπίστου.

Ἰωάννου. Τοῦτο εἶπεν, οὐχ ἵνα δείξῃ ἐκεῖνον ἅγιον, ἀλλ' ἵνα ἐκ περιουσίας ἐξέλῃ τὸν φόβον τῆς γυναικός· κἀκεῖνον εἰς ἐπιθυμίαν ἀγάγῃ τῆς ἀληθείας· οὐ γὰρ τῶν σωμάτων τὸ ἀκάθαρτόν ἐστιν ἡ κοινωνία· ἀλλὰ τῆς προαιρέσεως, καὶ τῶν λογισμῶν· εἶτα καὶ ἀπόδειξις. εἰ γὰρ ἀκάθαρτος μένων γεννᾷ· τὸ δὲ παιδίον οὐκ ἀτὲρ σοῦ μόνης, ἀλλὰ καὶ ἐξ ἐκείνου· ἀκάθαρτον ἄρα τὸ παιδίον, ἢ ἐξ ἡμισέας καθαρόν· νυνὶ δὲ οὐκ ἔστιν ἀκάθαρτον, διὸ καὶ ἐπή-

c 𝔅 Cod.

γαγεν· "ἐπεὶ τὰ τέκνα ὑμῶν ἀκάθαρτά ἐστιν, νῦν δὲ ἅγιά ἐστιν." τοῦτ' ἔστιν οὐκ ἀκάθαρτα. αὐτὸς δὲ ἅγια ἐκάλεσεν, τῇ περιουσίᾳ τῆς λέξεως πάλιν ἐκβάλλων τῆς τοιαύτης ὑποψίας τὸ δέος.

Θεοδωρίτου. Περὶ τῶν πρὸ τοῦ κηρύγματος συναφθέντων *ἐνταῦθα φησίν· συνέβαινεν γὰρ τὸν μὲν ἄνδρα πιστεῦσαι, τὴν δὲ γυναῖκα τῇ ἀπιστίᾳ προσμεῖναι, ἢ τοὐναντίον· καὶ παρεγγυᾷ τοῖς ὑγιαίνουσι φέρειν τὴν τῶν ὁμοζύγων ἀσθένειαν· καὶ τὴν τούτων πραγματεύσασθαι σωτηρίαν· τὸ γὰρ "ἡγίασται ὁ ἀνὴρ ὁ ἄπιστος "ἐν τῇ γυναικί· καὶ ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί," βούλεται σημᾶναι, ὡς ἔχει σωτηρίας ἐλπίδα· εἰ δὲ καὶ αὐτὸς ἢ αὐτὴ ἐπιμένῃ τῇ νόσῳ, τὸ ἐκείνου σπέρμα μεθέξει τῆς σωτηρίας.*

Θεοδώρου. Κατὰ τὸ *ἡμέτερον δῆλον ὅτι ἀγόμενον βούλημα ἅγιον εἶναι δύναται· ὑπερβολικώτερον δὲ ταῦτα τέθεικεν, πείθων μὴ καταλιπεῖν τὴν συνάφειαν.*

Φωτίου. "Εἴ τις *γυναῖκα ἔχει ἄπιστον" ἵνα διασπασθῶσιν οἱ γάμοι, καὶ λοιπὸν συγχύσεως καὶ ταραχῆς καὶ οἴκων ἀνατροπῆς ἡ εὐσέβεια νομισθῇ τοῖς πόλλοις. διὰ τοῦτο τοὺς φθάσαντας ἀπίστοις συνοικεῖν κωλύει διαιρεῖσθαι. "ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ "ἄπιστος." καὶ αὐτὸ δὲ τοῦτο τὸ ἀνέχεσθαι τὸν ἄπιστον, καὶ μὴ ἀποπηδᾶν συνοικεῖν τῷ πιστῷ, ἐγγύς ἐστι τοῦ πρὸς τὴν εὐσέβειαν ὁρᾶν. ἀλλ' εἴποι τις ἂν ἴσως· οὐκ οὖν τὸ αὐτὸ νοοῦντες καὶ περὶ τοῦ πιστοῦ, ἐγγὺς αὐτοὶ εἶναι φαίημεν ἂν τοῦ πρὸς ἀσέβειαν ὁρᾶν; πρὸς ὃ φαμὲν, ὡς οὐκ ἔστιν ἴσον οὐδὲ πολλοῦ δεῖ. ὁ μὲν γὰρ πιστὸς συνοικῶν τῷ ἀπίστῳ, τῆς πίστεως ἐντολὴν καὶ νόμον πληροῖ. ὥστε καὶ ταύτῃ μᾶλλον ᾠκείωται τῇ πίστει, καὶ διΐσταται τῆς ἀπιστίας· ὁ δὲ ἄπιστος μόνῃ τῇ πρὸς τὸν ἐνικοῦντα στοργῇ δεδεμένος, τὴν συνάφειαν οὐ λύει· ἀλλ' οὐχὶ νόμον τὸν ἀπὸ τῆς οἰκείας ἀπιστίας αὐτοῦ ἐκτελῶν, στέργων δὲ τὸν συνοικοῦντα, χειραγωγηθήσεταί ποτε καὶ πρὸς τὴν αὐτοῦ πίστιν δι' αὐτοῦ· καὶ τὸ στέργειν δὲ αὐτὸ τῆς εὐσεβοῦς ἐστι νομοθεσίας, ἀλλ' οὐχὶ τῆς ἀσεβείας. ὥστε καὶ ταύτῃ ἐγγύς ἐστι τοῦ εὐσεβεῖν αὐτὸν, καὶ ἡγίασται διὰ τῆς συνοικήσεως τοῦ πιστοῦ.*

15 Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω. οὐ δεδούλω-

ται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις· ἐν δὲ
16 *εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ Θεός. τί γὰρ οἶδας, γύναι, εἰ*
τὸν ἄνδρα σώσεις; ἢ τί οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα
17 *σώσεις, ἢ μή; ἑκάστῳ ὡς ἐμέρισεν ὁ Θεὸς, ἕκαστον ὡς*
κέκληκεν ὁ Κύριος, *οὕτως περιπατείτω· καὶ οὕτως ἐν*
ταῖς ἐκκλησίαις πάσαις διατάσσομαι.

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ *μὴν ὁ* Κύριος *ἔφη, " οὐκ ἦλθον βαλεῖν " εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν" διχάσαι ἄνθρωπον ἀπὸ τοῦ πλησίον αὐτοῦ. ἀλλὰ οὐκ ἐναντίον τοῦτο ἐκείνῳ· ἑρμηνεύει δὲ ὁ* Ἀπόστολος *τὴν τοῦ* Κυρίου *διδασκαλίαν. τὸ σωτηρίον γὰρ φησὶ κήρυγμα οὐ σύγχυσιν εἰς τὸν βίον εἰσάγει· ἀλλὰ μᾶλλον πραγματεύεται τὴν ἀληθῆ καὶ θεῷ φίλην εἰρήνην· διαιρεῖ μέντοι πρότερον τὴν κακὴν συμφωνίαν καὶ τῇ διαφωνίᾳ, τὴν ἐπαινουμένην ὁμόνοιαν πραγματεύεται. οἱ γὰρ τὸ θεῖον δεξάμενοι κήρυγμα, διδάσκαλοι τῶν ἀπίστων γιγνόμενοι, εἰργάζοντο παραδόξως τὴν θαυμασίαν μεταβολὴν, καὶ τὰς καλῶς διαιρεθείσας ἐποδήγουν εἰς τὴν ἀξιέραστον συμφωνίαν· τοῦτο καὶ ἐνταῦθα φησὶ, " τί γὰρ " οἶδας γύναι εἰ τὸν ἄνδρα σώσεις, ἢ μή; ἑκάστῳ ὡς ἐμέρισεν ὁ " Θεός·" ἀνάδεξαι, φησὶν, ἐπὶ χρησταῖς ἐλπίσι τὸν πόνον· ἔχεις τὸν Θεὸν τῆς προθυμίας ἐπίκουρον· " ἕκαστον ὡς κέκληκεν ὁ "* Κύριος, *οὕτως περιπατείτω· καὶ οὕτως ἐν ταῖς ἐκκλησίαις πά- " σαις διατάσσομαι·" ἐδίδαξεν ἐνταῦθα σαφῶς ὡς οὐκ ἀπίστοις ἀνδράσιν ἢ γυναιξὶ συνάπτεσθαι παρηγγύηκεν, ἀλλὰ τοῖς οὕτω κληθεῖσιν ἐκεῖνα νενομοθέτηκεν.*

ΘΕΟΔΩΡΟΥ. Περιττὸν *γὰρ οἴεσθαι ταῦτα ἐμποδῶν αὐτῷ πρὸς εὐσέβειαν γίνεσθαι· ἐν οἷς τὸ πρότερον ὢν, κληθῆναι πρὸς τὴν πίστιν οὐκ ἐκωλύθη· τοῦτο γὰρ σημαίνει τὸ " ὡς κέκληκεν·" καὶ δεικνὺς τὸ τοῦ παραγγέλματος ἀναγκαῖον, " καὶ οὕτως ἐν ταῖς " ἐκκλησίαις πάσαις διατάσσομαι."*

ἸΩΑΝΝΟΥ. Εἰ *δὲ καὶ καθ᾽ ἑκάστην ἡμέραν πυκτεύει καὶ μάχεται, βουλόμενός σε πρὸς τὴν αὐτοῦ ἀγαγεῖν ἀπιστίαν· καὶ οὕτως χωρίσθητι· οὔτε γάρ φησὶ, δεδούλωσαι εἰς τὰ τοιαῦτα· ὥστε καὶ μαχόμενον βαστάζειν· καὶ δῆλον ὅτι περὶ μάχης γενομένης λέγει, " ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ Θεός·" τοῦτ᾽ ἐστιν*

ἵνα εἰρηνεύωμεν, καὶ μὴ ᾖ ἐν ὑμῖν στάσις ἢ μάχη. ἐπεὶ οὖν μάχεται, καὶ διὰ τοῦτο ἀπαλλαγῆναι καλόν.

Τοῦ αὐτοῦ. Πάλιν πρὸς τὸ ἀφιέναι μένειν ἐθέλοντα τὸν ἄπιστον, μὴ δὲ στασιάζοντα, μεταβέβηκεν, καὶ φησὶν, εἰ μὴ διαστασιάζει πρὸς σὲ, μένε μετ' αὐτοῦ· εἰκὸς γὰρ τῷ χρόνῳ καὶ σώσεις αὐτὸν συμβουλεύουσα, καὶ πιστὸν ποιήσεις· ὅρα δὲ πῶς οὐκ ἐν ἀνάγκῃ τοῦτο γενέσθαι ἀπῄτησεν, ἵνα μὴ βάρος ἐπιθῇ· ἀλλὰ τῇ τοῦ μέλλοντος ἀδηλίᾳ καὶ τὴν ἀνάγκην ἐξεῖλεν, καὶ ταύτην μὴ ἀπογνῶναι καὶ ναρκῆσαι συμβουλεύουσαν παρεσκεύασεν.

Τοῦ αὐτοῦ. Ἕως τοῦ "ἢ μὴ," στίξον τελείαν. ἵνα ᾖ οὕτως· "ἢ τί οἶδας ἄνερ, εἰ τὴν γυναῖκα σώσεις, ἢ μή;" τοῦτ' ἔστιν, πόθεν οἶδας εἰ σώσεις, ἢ μὴ σώσεις; ἄδηλον γὰρ τὸ μέλλον· ἀδήλου δὲ ὄντος, οὐ δεῖ λύειν τὸν γάμον· εἰκὸς γὰρ, φησὶν, καὶ τὸν καλὸν νομικῶς εἰπεῖν ἐξιέναι, τοῦτ' ἔστιν τῷ σῶσαι· μὴ σώζων μὲν γὰρ, οὐκ ἐβλάβης· σώζων δὲ, ὠφελήσοις καὶ ὠφελέθης.

[e] Οὕτως ὁ ἐν ἁγίοις Σευηριανὸς ἔστιξεν· ἄλλως γὰρ ἐὰν στίξῃς, καὶ ἀσυνάρτητος εὑρίσκεται ἡ σύνταξις.

Τοῦ αὐτοῦ. Οὕτως σε φησὶν ἐμέρισεν ὁ Θεὸς, καὶ οὕτως κέκληκεν μετὰ γυναικὸς ἢ ἀνδρὸς ἀπίστου· στέργε τοιγαροῦν τὸν γάμον, καὶ μὴ διαλύσῃς διὰ τὴν πίστιν.

Φωτίου. "Οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς "τοιούτοις." οὐκ ἔχει ἀνάγκην, φησὶν, ὁ πιστὸς ἢ ἡ πιστὴ ἐν τοῖς ἀπίστοις τοιαύτην, οἷα αὐτῷ ἐπίκειται ἐπὶ τῶν πιστῶν· ἐκεῖ μὲν γὰρ παντὶ τρόπῳ χωρὶς λόγου πορνείας, οὐκ ἔξεστιν ἀπ' ἀλλήλων τοὺς συναφθέντας χωρισθῆναι· ἐνταῦθα δὲ ἂν μὲν συνευδοκῇ τὸ ἄπιστον μέρος τῷ πιστῷ συνοικεῖν, δεῖ μὴ λύειν τὸ συνοικέσιον· ἂν δὲ στασιάζῃ, καὶ τὴν λύσιν ἐκεῖνος ποιῇ, οὐ δεδούλωται ὁ πιστὸς εἰς τὸ μὴ χωρισθῆναι, ἀλλ' ἐλεύθερός ἐστιν[f] τὸ συνοικέσιον διὰ τὴν τοῦ ἀπίστου στάσιν λύειν· ἀλλ' ἄμεινον πολλῷ ποιήσει, εἰ τὴν ἔριν εἰρήνῃ καὶ καλοκαγαθίᾳ λύσας, μὴ λύσῃ τὸν γάμον· "ἐν γὰρ εἰρήνῃ," φησὶ, "κέκληκεν ἡμᾶς ὁ Θεός·" τοῦτο γὰρ, φησὶ, καὶ τῆς κλήσεως τῆς ἀπὸ Θεοῦ σημεῖον, τὸ εἰρηνικοὺς

[e] Hoc Œcumenii credo est Scholium, sed in Edd. ad proxima Apostoli verba refertur. [f] In marg. ἐκείνου λύοντος τὸν γάμον καὶ αὐτὸς διαστῆναι. πλὴν φησὶν εἰ καὶ ἐλεύθερός ἐστιν.

ὅσον τὸ ἐξ ὑμῶν, πρὸς πάντας εἶναι· καὶ τὸ ἐφεξῆς δέ· "τί γὰρ "οἶδας γύναι" καὶ ἑξῆς, ταύτῃ συνᾴδει τῇ ἑρμηνείᾳ διὰ τῆς πρὸς αὐτὴν μάλιστα ἀκολουθίαν· ἑκάστῳ ὡς ἐμὲ[g] ὁ Θεός· τὸ γὰρ συμφέρον αὐτὸς μόνος οἶδεν· καὶ πότερον μᾶλλον συνετέλει τὸν πιστὸν ἐξ ἀρχῆς ἀπίστῳ συναφθῆναι ἢ πιστῷ. ἐπ' ἐνίων μὲν γὰρ συνέφερεν πιστὸν πιστῷ συνοικεῖν, καὶ συνήφθη· ἐπ' ἐνίων δὲ πιστὸν ἀπίστῳ· καὶ γέγονεν οὕτως· καὶ τούτων οὐδείς ἐστιν ἱκανὸς συνιδεῖν τὰς αἰτίας, πλὴν τοῦ οὕτω διαταξαμένου καὶ μερίσαντος Θεοῦ· καὶ τοῦ καλέσαντος Κυρίου. εἰ δὲ ὁ Θεὸς καὶ ὁ Κύριος τὰς τοιαύτας συναφείας ἔταξεν καὶ ἐμέρισεν κατὰ τὸ ἑκάστῳ συμφέρον, οὐκ ὀφείλει ὁ πιστὸς ἀπίστῳ συναφθεὶς δυσφορεῖν ἢ ἀγωνιᾶν, καὶ λύσιν ἐπιζητεῖν· ἀλλὰ καθὼς ἐκλήθη ἕκαστος, τούτῳ ἐμμένειν καὶ περιπατεῖν.

18 Περιτετμημένος τις ἐκλήθη; μὴ ἐπισπάσθω· ἐν
19 ἀκροβυστίᾳ τίς ἐκλήθη; μὴ περιτεμνέσθω. ἡ περιτομὴ
οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν, ἀλλὰ τήρησις
20 ἐντολῶν Θεοῦ. ἕκαστος ἐν τῇ κλήσει ᾗ ἐκλήθη, ἐν ταύτῃ
μενέτω.

ʼΩΡΙΓΕΝΟΥΣ. *Λέξεις ἀκαίρως παραβεβλῆκέναι τῷ περὶ γάμου καὶ ἁγνείας λόγῳ, μὴ δὲ μιᾶς ζητήσεως γενομένης, περὶ τοῦ μὴ δεῖν τοὺς ἐκ περιτομῆς πιστεύοντας ἐπισπᾶσθαι. καὶ πάλιν τοὺς ἐν ἀκροβυστίᾳ περιτέμνεσθαι· καὶ τὸ περὶ τοῦ "δοῦλος ἐκλήθης, "μή σοι μελέτω" καὶ τὰ ἑξῆς· μὴ ποτ' οὖν παράδειγμα ἔλαβεν τὴν δουλείαν καὶ τὴν ἐλευθερίαν τῶν γεγαμηκότων καὶ ἀγάμων, περιτετμημένον μὲν καλῶν τὸν ἀποβεβληκότα τὴν γυναῖκα, ἀπερίτμητον δὲ, τὸν γεγαμηκότα. ὡς γὰρ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· καὶ εἰσὶ μία σάρξ ἡ γυνὴ καὶ ὁ ἀνήρ· ἀποβέβληκε δὲ τὰ τῆς σαρκὸς ὁ περιτετμημένος· οὕτως ὁ ἀποβαλὼν τὴν γυναῖκα καὶ οἱονεὶ περιτέτμηται τὴν σάρκα ἑαυτοῦ· οὕτω καὶ δοῦλον καλεῖ· ἐπεὶ γάρ, φησὶν, ἐν ἄλλοις οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις· ὡς δούλων ὄντων τῶν γεγαμηκότων· διὰ τοῦτο καὶ ἐνθάδε δοῦλον ὀνομάζει τὸν μετὰ τὸν γάμον κεκλημένον, ἐλεύθερον δὲ τὸν ἄγαμον.*

[g] Fort. *ἐμέρισεν.*

Λέγεται οὖν ὡς περὶ περιτομῆς καὶ περὶ δούλων τὰ εἰρημένα εἰς τὸν τόπον· πλὴν οὐκ ἄτοπόν ἐστι τῷ ῥητῷ χρήσασθαί ποτε πρὸς τοὺς οἰομένους μετὰ τὴν πίστιν δεῖν περιτέμνεσθαι ἐξ εὐλαβείας, εὐλαβείας δὲ τῆς οὐ κατ' ἐπίγνωσιν διὰ τὰ ἀναγεγραμμένα ἐν τῇ παλαιᾷ διαθήκῃ περὶ περιτομῆς· πάλιν οὐ καλόν ἐστι διά τινας τοὺς ἐκ περιτομῆς πιστεύοντας, οἰομένους αἰσχύνην φέρειν αὐτοὺς τὴν περιτομὴν καὶ βουλομένους ἀκροβυστίαν περισπᾶσθαι, χρῆσθαι ῥητῷ τῷ λέγοντι· "περιτετμημένος τις ἐκ-"λήθη; μὴ ἐπισπάσθω." καὶ ἔχει γε λόγον λέγειν πρὸς τοὺς τοιούτους, ὅτι κατ' αὐτὸ ἡ περιτομὴ πρᾶγμα ἀδιάφορόν ἐστιν· οὔτε οὖν περὶ περιτομῆς νῦν ἐστιν, οὔτε περὶ ἀκροβυστίας· ἀλλὰ περὶ τοῦ ἀγάμου καὶ τοῦ γεγαμηκότος· "περιτετμημένος τις "ἐκλήθη; μὴ ἐπισπάσθω" ὡσεὶ ἔλεγεν, μὴ ἐπισπάσθω γυναῖκα· ἤδη περιετμήθη· ἀπέβαλεν γυναῖκα· μὴ γαμείτω ἄλλην· ἐν ἀκροβυστίᾳ ἐκλήθη τις· μὴ περιτεμνέσθω· οἷον, ἐν γάμῳ ἐκλήθης, μὴ ἀπόβαλέ σου τὴν γυναῖκα· "ἡ περιτομὴ οὐδέν ἐστι· καὶ ἡ "ἀκροβυστία οὐδέν ἐστιν" ἐπεὶ τινὲς οἴονται τὸν ἄγαμον πλέον τι ἔχειν κατὰ τοῦτο τοῦ γεγαμηκότος· τὸν δὲ γεγαμηκότα ἧττόν τι ἔχειν παρ' αὐτὸ τὸ γεγαμήκεναι τοῦ ἀγάμου, θέλομεν, φησὶ, διδάξαι ὅτι τῷ ἰδίῳ λόγῳ ἡ ἀγαμία ἀδιάφορόν ἐστιν, καὶ τῷ ἰδίῳ λόγῳ ὁ γάμος ἀδιάφορός ἐστιν· δυνάται γὰρ καὶ ὁ ἄγαμος ὤν, καὶ ἀληθῶς καθαρεύων ἀπὸ πάσης μίξεως, ἄλλως δὲ κακῶς βιοὺς, μὴ ὠφελεῖσθαι ἀπὸ τῆς ἀγαμίας. δύναται δέ τις καὶ ἐν γάμῳ ὢν, καὶ τὰ τοῦ γάμου πράττων, τάξει δὲ καὶ καιρῷ αὐτὰ ποιῶν τὴν ἄλλην πολιτείαν σώζων, μὴ ἐλάττων εἶναι τοῦ ἀγάμου· ὅτι γὰρ ἀδιάφορόν ἐστιν ἡ ἀγαμία καὶ αὐτὴ ἡ καθαρότης, οὕτως ἀποδείξομεν. εἰ μὲν μόνοι ἀπὸ τῆς ἐκκλησίας, ἤσκουν τὴν ἀγαμίαν, ἦν ἂν εἰπεῖν, ὅτι ἡ ἀγαμία τῷ ἰδίῳ λόγῳ καθαρόν τι καὶ θεῖον πρᾶγμά ἐστιν· νῦν δέ ἐστιν εὑρεῖν καὶ μοχθηρᾷ προθέσει ἀγάμους· οἱ γοῦν ἀπὸ Μαρκίωνος ἀσκοῦσι καὶ αὐτοὶ τὴν ἀγαμίαν καὶ τὴν καθαρότητα, ἀλλ' οὐχ ὡς οἱ ἐκκλησιαστικοί· οὗτοι γὰρ ἵν' ἀρέσωσι τῷ κτίσαντι τὸν κόσμον Θεῷ· ἐκεῖνοι δὲ, ἵνα μὴ συνεργοὶ ὦσι τῷ τοῦ κόσμου Θεῷ· κοσμεῖται δὲ ἡ ἀγαμία ἐκκλησιαστικῷ βίῳ καὶ λόγῳ, γνώσει καθαρᾷ καὶ ἀληθείᾳ· οὕτω καὶ ὁ ἄγαμος ἀδιάφορός ἐστι τῷ ἰδίῳ λόγῳ. ἔστι δὲ καὶ ἐν γάμῳ

ὄντα, ἀνεγκλήτως εἶναι, καθὰ καὶ προαποδεδώκαμεν· " ἡ περιτομὴ " οὖν οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστι," καὶ κατὰ τὸ ῥητὸν καὶ κατὰ τὰ προκείμενα. ἀλλὰ τί ἐστι τὸ σῶζον; τήρησις ἐντολῶν Θεοῦ· " πᾶς γὰρ, ὃς ἐὰν μίαν τῶν ἐντολῶν, τούτων λύσῃ " τῶν ἐλαχίστων, καὶ διδάξει οὕτως τοὺς ἀνθρώπους," οὐκ εἶπεν, οὐκ εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐράνων· ἀλλ' " ἐλάχι- " στος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐράνων." εἰ[g] δὲ ὁ λύσας μίαν τῶν ἐντολῶν τῶν ἐλαχίστων ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐράνων, ὁ δύο λύσας ἐντολὰς, ποῦ εὑρεθήσεται; " ἕκαστος οὖν ἐν τῇ κλήσει ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω." ἐκλήθης ἐν γάμῳ, μὴ ζήλου τὸν γάμον· ἐκλήθης ἄγαμος, μὴ πάντως ἐπισπῶ, εἰ δύνασαι καθαρώτερον ζῇν.

Ἰωάννου. Πάλιν ἡ αὐτὴ συμβουλὴ τὸ ἐν τοῖς αὐτοῖς εἶναι ἐν οἷς ἐκλήθη τις· εἰ δοῦλος οὖν ὢν ἐκλήθης, μὴ θορυβοῦ· οὐ λυμαίνεται πρὸς τὴν πίστιν ἡ δουλεία· καὶ τοσοῦτον ὅτι εἰ καὶ δύνασαι ἐλευθερωθῆναι, μᾶλλον χρῆσαι δουλεύειν· οὕτως οὐ δὲ εἷς ἔσται σοι ἐκ τῆς δουλείας ἐμποδισμός.

Οἰκουμενίου. Εἰκὸς γὰρ ἀπό τινος θεραπείας δύνασθαι εἰς τὸ ἀρχαῖον ἐπανελθεῖν τὴν περιτομήν· ἐν ἀκροβυστίᾳ, φησὶ, ἐκλήθης· μένε ὃ εἶ. οὔτε τοῦτο, φησὶ, πρὸς σωτηρίαν συμβάλλεται, οὔτε ἐκεῖνο λυμαίνεται· ἑνὸς γὰρ χρεία, πληροῦν τὰς ἐντολάς.

Θεοδωρίτου. Μήτε ἀκρόβυστός τις κληθεὶς, δεχέσθω περιτομήν· μήτε ὁ περιτετμημένος πειράσθω ἑαυτὸν ἀπερίτμητον δεικνύναι· ἥτε γὰρ ἀκροβυστία τῆς φύσεώς ἐστιν· καὶ ἡ περιτομὴ κατὰ τὸν παλαιὸν γεγέννηται νόμον· ἐπαινεῖται δὲ οὐ τὸ πρᾶγμα, ἀλλ' ἡ τῆς θείας ἐντολῆς φυλακή.

Φωτίου. " Περιτετμημένος τίς ἐκλήθη;" φησὶ, " μὴ ἐπι- " σπάσθω·" ὁ ἅγιος Ἐπιφάνιος τοῦτο φησὶν, ὅτι διά τινος θεραπείας φαρμακευτικῆς, δύναταί τις ποιῆσαι τὸν ἐμπερίτομον ἀκρόβυστον· καὶ ὅτι ταύτης ἐπινοίας πρῶτος εὑρετὴς γέγονεν Ἡσαῦ· καὶ διὰ τοῦτο φησὶν ὁ Θεὸς " τὸν Ἡσαῦ ἐμίσησα." " ἡ περιτομὴ οὐδέν·" οὔτε ἡ περιτομὴ, φησὶν, ὅσον τὸ καθ' αὑτὴν δύναταί τινα ὠφελῆσαι, οὔτε ἡ ἀκροβυστία· ἡ δὲ ὠφέλεια διὰ τὴν τήρησιν τῆς ἐντολῆς παραγίνεται ὁμοίως καὶ τῇ περιτομῇ καὶ

[g] οὐ Cod.

τῇ ἀκροβυστίᾳ· τῶν γὰρ ἐν ἀνθρώποις πράξεων, αἱ μὲν καθ' αὑτὰς ἔχουσι τὸ χρήσιμον, καὶ εἰ μὴ ὦσιν ἐντολῆς ἠρτημέναι θείας· οἷον ἡ δικαιοσύνη καὶ τὰ ὅμοια· αἱ δὲ διὰ μόνην ἐντολήν, ὡς τὰ πλεῖστα τῶν ἐν τῷ νόμῳ.

21 Δοῦλος ἐκλήθης; μή σοι μελέτω· ἀλλ' εἰ καὶ δύνα-
22 σαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι. ὁ γὰρ ἐν
Κυρίῳ κληθεὶς δοῦλος, ἀπελεύθερος Κυρίου ἐστίν·
ὁμοίως καὶ ὁ ἐλεύθερος κληθεὶς, δοῦλός ἐστι Χριστοῦ.
23 τιμῆς ἠγοράσθητε· μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. ἕκα-
24 στος ἐν ᾧ ἐκλήθη, ἀδελφοί, ἐν τούτῳ μενέτω παρὰ τῷ
Θεῷ.

'Ωριγένους. Δοῦλον ὠνόμασεν ἀναγκαίως τὸν γεγαμηκότα· δοῦλος γὰρ τῆς γυναικὸς ὁ ἀνήρ, μὴ ἔχων ἐξουσίαν τοῦ ἰδίου σώματος· καὶ τοῦ ἀνδρὸς ἡ γυνή, οὐκ ἐξουσιάζει γὰρ τοῦ ἰδίου σώματος, ἀλλ' ὁ ἀνήρ· "δοῦλος οὖν ἐκλήθης; μή σοι μελλέτω· "ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι·" τοῦτ' ἔστιν, εἰ μὴ παρανομεῖς κατὰ τὸν λόγον, δύνασαι ἐλεύθερος εἶναι· πῶς; ἐκ συμφώνου· ἵνα σχολάσητε τῇ προσευχῇ μετὰ πάσης ὁμονοίας· "ὁ γὰρ ἐν Κυρίῳ κληθεὶς δοῦλος ἀπελεύθερος Κυρίου "ἐστίν·" οἷον· ἐκλήθης δοῦλος; τοῦτο ἴσθι, ὅτι οὐ μόνον οὐκ εἶ δοῦλος, ἀλλὰ καὶ ἔχεις τὴν ἐλευθερίαν διὰ τὸν Κύριον· ὁ γὰρ ἀπελεύθερος, οὔτε καθαρῶς ἐλευθερός ἐστιν· οὐ δὲ ἔτι δοῦλος· ὡς εἶναι τὸν μὲν καθαρὸν πάντη ἐλεύθερον· τὸν δὲ ἐν γάμῳ δοῦλον· ὅτ' ἂν δὲ ἐν Κυρίῳ ᾖ δοῦλος· τότε λέγομεν ὅτι ἀπελεύθερος Κυρίου ἐστίν· ὁ δὲ ἐλεύθερος κληθεὶς, δοῦλός ἐστιν οὐ γυναικὸς, ἀλλὰ τοῦ λόγου τοῦ Θεοῦ· "τιμῆς ἠγοράσθητε· μὴ γίνεσθε δοῦλοι ἀν-"θρώπων·" ὅση δύναμις νοήσατε τὸν ἐξαγοράσαντα ἡμᾶς, τὸν Λόγον τοῦ Θεοῦ· τὸ αἷμα τὸ ἐκχυθὲν ὑπὲρ ἡμῶν ἐξευμενίσωμεν· ἐλέγομεν ἐν τῷ λόγῳ τῷ περὶ ἀγάμων καὶ γεγαμηκότων ὅτι ἐπιτείνει καὶ ὀνίνησι τὸν λόγον· οὕτως καὶ ἐνθάδε πεποίηκεν εἰπὼν, "μὴ γίνεσθε δοῦλοι ἀνθρώπων." οἱονεὶ γὰρ ἐπιτείνει καὶ σφοδρότερον ποιεῖ τὸν λόγον, προτρεπόμενος τοὺς κατὰ τὸ δυνατὸν οἷοί τε καθαρεύειν, καὶ καθαρεύειν ἕκαστον ἐν τῇ κλήσει ᾗ ἐκλήθη.

'Ιστέον δὲ ὡς οἱ λοιποὶ ἑρμηνευταὶ περὶ ἀκροβυστίας καὶ περι-

τομῆς κατὰ τὸ ῥητὸν ἐκδεδώκασι τὴν ἔννοιαν· συνήθως γὰρ, φησὶν, ἀπὸ τοῦ προκειμένου εἰς ἕτερα μεταβαίνει, πᾶσι νομοθετῶν τὰ κατάλληλα.

ΘΕΟΔΩΡΟΥ. *Τὴν ἀφηρημένην σάρκα οὐ δήπου ἐπισπᾶσθαι δυνατόν· ὁ μακάριος δὲ Ἐπιφάνιος ὁ Κύπρου, δύνατον ἔφη τοῦτο γίνεσθαι· τὸ δὲ ὅπως, τοὺς βουλομένους εἰδέναι, παραπέμψωμεν τοῖς ὑπ' αὐτοῦ εἰρημένοις ἐντυχεῖν.*

ΣΕΥΗΡΙΑΝΟΥ. *Οὐκ οἶδεν ἡ χάρις δουλείας καὶ δεσποτείας διαφοράν· μὴ φύγῃς τοίνυν ὡς ἀναξίαν τῆς πίστεως τὴν δουλείαν· οὐδενὸς γὰρ ἔλαττον ἔχεις τῶν ἐν τῇ πίστει διὰ τοῦτο· εἰ δέ σοι καὶ τοῦ τυχεῖν τῆς ἐλευθερίας εἴη δυνατὸν, φροντὶς ἔστω σοι μᾶλλον ὅπως ἂν εἰς δέον χρήσασθαι δυνηθῇς πλείονα, ὡς ἐν ἐλευθερίᾳ τοῦ καλοῦ τὴν ἐπιμέλειαν ποιησάμενος· καὶ δεικνὺς ὅτι οὔτε μὴν ὁ δοῦλος ἐλαττοῦται, τούτου γε ἕνεκεν ἐπάγει· "ὁ γὰρ ἐν "Κυρίῳ κληθεὶς δοῦλος· ἀπελεύθερος Κυρίου ἐστίν· ὁμοίως ὁ ἐλεύ- "θερος κληθεὶς, δοῦλός ἐστι Χριστοῦ."*

ἸΩΑΝΝΟΥ[h]. *Τοῦτ' ἔστι, μᾶλλον δούλευε· καὶ τί δήποτε τὸν δυνάμενον ἐλευθερωθῆναι κελεύει μεῖναι δοῦλον; θέλων δεῖξαι ὅτι οὐδὲν βλάπτει ἡ δουλεία, ἀλλὰ καὶ ὠφελεῖ· καὶ οὐκ ἀγνοοῦμεν ὅτι τινὲς τὸ "μᾶλλον χρῆσαι" περὶ ἐλευθερίας φασὶν εἰρῆσθαι, λέγοντες, εἰ δύνασαι ἐλευθερωθῆναι, ἐλευθερώθητι. πόλυ δὲ ἀπεναντίας τὸ ῥῆμα, εἰ τοῦτο αἰνίττοιτο. οὐ γὰρ παραμυθούμενος τὸν δοῦλον καὶ δεικνὺς οὐδὲν ἠδικημένον, ἐκέλευσε γενέσθαι ἐλεύθερον. πῶς δὲ ὁ δοῦλος ἀπελεύθερος; ὅτι ἠλευθέρωσέν σε οὐ τῆς ἁμαρτίας μόνης, ἀλλὰ καὶ τῆς ἔξωθεν δουλείας, μένοντα δοῦλον. καὶ πῶς ἐλεύθερός ἐστιν ὁ μένων δοῦλος; ὅτ' ἂν παθῶν ἀπηλλαγμένος ᾖ, καὶ τῶν τῆς ψυχῆς νοσημάτων· ὅτ' ἂν χρημάτων καταφρονῇ, καὶ ὀργῆς καὶ τῶν ἄλλων τῶν τοιούτων.*

ΤΟΥΤΟ ΘΕΟΔΩΡΙΤΟΥ ΚΑῚ ΚΥΡΙΛΛΟΥ. *Τινὲς ὡς εἰκὸς τῶν ἐκ περιτομῆς διελογίζοντο καθ' ἑαυτούς· πῶς ἐσόμεθα δεκτοὶ, καὶ τὴν ἐν Χρίστῳ ζωὴν τιμήσομεν, ἔχοντες ἤδη τὴν περιτομήν; δεήσει τάχα ποῦ καὶ ἐπισπᾶσθαι, τοῦτ' ἔστι πάλιν δρομεῖν εἰς ἀκροβυστίαν· καὶ τὴν τῆς σάρκος καταβιάζεσθαι φύσιν; οἵ γε μὴν ἐξ*

h Ψ Cod.

Ἑλληνικῆς ἐρχόμενοι πλάνης παρὰ τῶν ἔτι τὴν ἐν νόμῳ τιμώντων σκίαν, τάχα που μανθάνοντες ὡς ἔστι χρῆμα τίμιον ἡ περιτομὴ, καὶ πᾶσιν ἁγίοις τετηρημένον· καίτοι τὴν πίστιν ἔσθ' ὅτε παραδεξάμενοι ἐπετελοῦντο σαρκί· καθάπερ ἀμέλει καὶ τῶν ἐν Γαλατίᾳ τινὲς, οἷς καὶ ὁ θεσπέσιος Παῦλος ἐπιπλήττει λέγων· "ἐναρ-" ξάμενοι Πνεύματι· νῦν σαρκὶ ἐπιτελεῖσθε;" ἔδει τοίνυν σαφεῖ καὶ ἐναργεστάτῳ κηρύγματι τῆς ἀληθείας αὐτῆς ἀνευρῆναι τὴν ὁδόν· καὶ ὡς ἡ περιτομὴ οὐδέν ἐστι, τῶν ἄλλων ἐντολῶν τοῦ Θεοῦ ἐστερημένη· ὁμοίως δὲ καὶ ἡ ἀκροβυστία οὐδέν ἐστι, μὴ εὐαγγελικῷ βίῳ κεκοσμημένη. προσήκει τοίνυν τὸν κεκλημένον ἐν τῇ κλήσει μένειν, ὅπως ἂν ἔχοι σχήματος.

Μέτεισι δὲ ἀναγκαίως ἐπὶ τὸ χρῆναι πάλιν δυσφημίαν ἑτέραν, μόνον οὐχὶ ἀποσοβεῖν τοῦ θείου κηρύγματος· πνεῦμα μὲν γὰρ δουλείας ἦν ἐν τοῖς ὑπὸ νόμον. τὸ δὲ θέσπισμα τὸ εὐαγγελικὸν τῆς υἱοθεσίας τὸ πνεῦμα τοῖς πιστεύειν ἐθέλουσιν ἐνιέσθαι φησὶ, καὶ οὐκ ἔτι καλοῦν εἰς δουλείαν, ἀλλ' εἰς ἐλεύθερον ἀξίωμα. οὐκοῦν κεκλημένοι διὰ τῆς πίστεως εἰς ἐλευθερίαν, τινὲς τὴν πνευματικὴν τῆς κατὰ σάρκα δουλείας ἀποφοιτᾶν ἐπεχείρουν· οἷς καὶ δι' ἑτέρων ἐπιστέλλων φησὶ, μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί.

Παραμυθεῖται δὲ αὐτοὺς καὶ διὰ τούτων αὐτῶν λέγων· "δοῦ-" λος ἐκλήθης; μή σοι μελέτω· ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος "γενέσθαι, μᾶλλον χρῆσαι" τοῦτ' ἔστι, κἂν εἰς τὸν τῆς δουλείας τῆς κατὰ σάρκα ζυγὸν ἐπηρτημένον ἔχων ἐκλήθης διὰ τῆς πίστεως εἰς ἐλευθέραν υἱότητα· κἂν εἰ τῆς θείας φύσεως γέγονας κοινωνὸς, ἄμεινον ἔσω μικροψυχίας, οὐκ ἄμισθον εὑρήσεις τὸν ἐπὶ τῇ δουλείᾳ πόνον. δεῖ γὰρ πάντως τοὺς πεπονθότας ἔκ τινος πλεονεξίας τὴν δουλείαν, ἀποφορτίσασθαι τὸ κακὸν, μεταστοιχιοῦντας ἅπαντα κατὰ τὸν αἰῶνα τὸν μέλλοντα πρὸς τὸ ἐν ἀρχαῖς τοῦ Κυρίου· ἐλευθέραν γὰρ τὴν φύσιν ὁ δημιουργὸς πεποίηται· καὶ οὕτως ἔσται, ὡς ἔφην, κατὰ τὸν αἰῶνα τὸν μέλλοντα· καὶ "ἔσται" ὁ λαὸς ὡς ὁ ἱερεύς· καὶ ὁ παῖς ὡς ὁ Κυρίος· καὶ ἡ θεράπαινα ὡς ἡ κυρία" κατὰ τὴν Ἡσαΐου προφητείαν.

Οὐκοῦν κἂν εἰ δύναιο, φησὶν, ἐλεύθερος γενέσθαι· μᾶλλον χρῆσαι· καὶ γάρ ἐστιν, ὡς ἔφην, οὐκ ἀκερδὴς ὁ ζυγὸς τοῖς ἀγαθῇ

κεχρημένοις εὐνοίᾳ, καὶ ὀρθῶς ἐν αὐτῷ διαγεγονόσιν· ἄλλως τε, φησὶν, οὐκ ἂν εἴη τῶν ἐνδεχομένων ἀνθρώπους ὄντας ἡμᾶς τὸ τῆς δουλείας ὄνομα φυγεῖν· δοῦλον γὰρ ἅπαν ἐστὶ τὸ πεποιημένον· ὥστε καὶ ὁ δοῦλος ἀπελεύθερός ἐστι Χριστοῦ· δοῦλος δὲ πάντως καὶ ὁ κεκλημένος εἰς ἐλευθερίαν· καθά φησιν ὁ ψαλμὸς "ὅτι τὰ σύμπαντα δοῦλά σα."

Ἀποφαίνει γε μὴν ὁ μυσταγωγὸς καὶ καθ' ἕτερον τρόπον ὠφελουμένους Χρίστῳ τοὺς δι' αὐτὸν σεσωσμένους· ταύτῃ τοι φησὶ, "τιμῆς ἠγοράσθητε." μὴ γίνεσθε δοῦλοι ἀνθρώπων· ἠγοράσμεθα μὲν γὰρ τιμῆς ὁμολογουμένως, τεθεικότος ὑπὲρ ἡμῶν τὸ ἴδιον αἷμα τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· ἐξηρήμεθα δὲ τῆς τοῦ διαβόλου πλεονεξίας, τῆς τῶν δαιμονίων ὠμότητος· κεκλήμεθα δὲ πρὸς ἐλευθερίαν διὰ Χριστοῦ· οὐκοῦν ὡς ἠγορασμένοι, καὶ τῷ πριαμένῳ τὴν ἑαυτῶν ὀφείλοντες ζωήν· "μὴ γίνεσθε" φησὶ, "δοῦλοι ἀνθρώπων." καὶ οὔτι φαμὲν ὡς τῆς κατὰ σάρκα δουλείας ἀποπηδᾷν ἀναπείθει· διδάσκει δὲ μᾶλλον ἐκεῖνο, καὶ μάλα ὀρθῶς, μὴ δουλεύειν τοῖς ἀποφέρειν τοὺς πεπιστευκότας ἐπιχειροῦσιν εἰς νομικὴν ἐπιτήρησιν, καὶ τῆς ἀρχαίας ἀπάτης ἐκχέουσι τὸν ἰὸν ταῖς τῶν ἁπλουστέρων ψυχαῖς· καὶ ἡμέρας καὶ μῆνας ἐπιτηρεῖν ἀναπείθουσι· καὶ τὴν καλουμένην ἐθελοθρησκείαν ἐπιτηδεύουσι, καὶ ἑτέροις ἑλέσθαι πληροῦν συμβουλεύουσιν· ἐπειδὴ τοίνυν φησὶ "τιμῆς ἠγοράσθητε· καὶ οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ ἐλυτρώθητε· τιμίῳ δὲ μᾶλλον αἵματι ὡς ἀμώμου καὶ ἀσπίλου Χριστοῦ·" τοῖς αὐτοῦ μᾶλλον ὑποταττώμεθα νόμοις.

Οἰκουμενίου. *Σὺ δὲ τάχα, φησὶν, καὶ πλέον ἔχεις· ἀπελεύθερος γὰρ εἶ Χριστοῦ· αὐτὸς γάρ σε πάσης νοητῆς δουλείας ἠλευθέρωσεν. ὅμως ἐκ τῆς περιουσίας τῶν λέξεων, θέλει δεῖξαι τὸ ἴσον δούλου καὶ δεσπότου· ἐπειδὴ πάντες ἀπελευθεροί τε ἐσμὲν Χριστοῦ, καθὸ ἠλευθέρωσεν ἡμᾶς τῆς τυραννίδος τοῦ Σατανᾶ· καὶ δοῦλοι ἐσμὲν Χριστοῦ· καθὸ ἐκεῖθεν ἐλευθερώσας, ὑπὸ τὴν οἰκείαν ἤγαγεν βασιλείαν.*

Φωτίου. *Ἵνα μὴ τοῖς δούλοις ἐμπόδιον πρὸς τὴν εὐσέβειαν καὶ δουλείαν νομισθῇ· διαρρήδην φησὶν ὅτι τοῦτο τοσοῦτον ἀπέχει τοῦ ἐμποδὼν εἶναι, ὥστε οὐδὲ ἐν φροντίδι εἶναι δεῖ περὶ αὐτῆς.*

μὴ μελέτω σοι φησὶν, ἀλλ' εἰ καὶ δύνασαι διά τινος σπουδῆς καὶ ἐπιμελείας ἐλεύθερος γενέσθαι, ἔα τοῦτο, καὶ κέχρησο μᾶλλον τῇ δουλείᾳ· οὐδ' οὕτως οὐδὲν ἐλαττοῦσαι τοῦ δεσπότου· ἀπελεύθερος γὰρ εἶ, ὥσπερ κἀκεῖνος τοῦ κοινοῦ δεσπότου· δοῦλος μὲν γὰρ εἶ τοῦ κοίνου δεσπότου, ὥσπερ κἀκεῖνος· καὶ ἀπελεύθερος πάλιν ὥσπερ ἐκεῖνος. τί οὖν σοι τῆς σωματικῆς μέλει δουλείας· τῆς μήτε ἐλαττούσης μήτε τῷ δουλευωμένῳ μεῖζόν τι προστιθείσης. ἀλλ' ἑκάτερον μηδὲν εἰς τὸ τυχεῖν τῶν ἴσων παραβλαπτούσης;

25 Περὶ δὲ τῶν παρθένων, ἐπιταγὴν Κυρίου οὐκ ἔχω·
γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς
26 εἶναι. νομίζω οὖν, τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν ἐνε-
στῶσαν ἀνάγκην, ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι.
27 δέδεσαι γυναικί; μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ γυναι-
28 κός; μὴ ζήτει γυναῖκα. ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες·
καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτεν· θλίψιν δὲ τῇ
σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι· ἐγὼ δὲ ὑμῶν φείδομαι.

ΘΕΟΔΩΡΟΥ. *Δῆλον ὅτι καὶ περὶ τούτου γεγραφηκόσιν αὐτοῖς ἀποκρίνεται· ἀμφότερα πάντως μαθεῖν βουληθέντων αὐτῶν· καὶ εἰ τοὺς ἐν γάμῳ προσῆκεν ἀλλήλων ἀπέχεσθαι· καὶ εἰ τοὺς μηδέπω πειραθέντας μεῖναι ἐπὶ τοῦ προτέρου σχήματος. ὅτ' ἂν οὖν εἴπῃ περὶ τῶν παρθένων, δῆλον ὅτι περὶ τῆς παρθενίας λέγει· τὰ ὅμοια καὶ ἐπὶ τούτου περί τε τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν φθεγγόμενος.*

ΘΕΟΔΩΡΙΤΟΥ. *Ὁ γὰρ Κύριος, τῶν Ἀποστόλων εἰρηκότων "εἰ "οὕτως ἐστὶν ὁ νόμος τῆς γυναικὸς, συμφέρει μὴ γῆμαι," ἀπεκρίνατο· "οὐ πάντες χωροῦσι τοῦτον τὸν λόγον." καὶ πάλιν, "ὁ "δυνάμενος χωρεῖν, χωρείτω." διά τοι τοῦτο καὶ ὁ θεῖος Ἀπόστολος ἔφη, "ἐπιταγὴν* Κυρίου *οὐκ ἔχω·" εἰ τοίνυν οὐκ ἐδέξω νόμον, τί σοι βούλεται ὁ λόγος; "γνώμην δὲ δίδωμι," οὐ νόμον εἰσφέρω· καὶ γὰρ ὁ* Κύριος *τὰ κατὰ φύσιν νομοθετήσας, ἐπὶ τὰ ὑπὲρ φύσιν προτρέπει· ἐπειδὴ δὴ εἰκὸς ἦν τινὰς ἀντιλέγειν ὡς καινοτομίᾳ τῇ συμβουλῇ, ἀναγκαίως προτέθηκεν "ὡς ἠλεημένος "ὑπὸ* Κυρίου *πιστὸς εἶναι·" μετὰ τῆς συνήθους μετριότητος τὴν*

ἀποστολικὴν ἀξίαν ὑπέδειξεν· ἀξιόχρεως, φησὶν, εἰμὶ σύμβουλος· διὰ μέντοι πολὺν τοῦ δεσπότου κληθεὶς ἔλεον, ἐπιστεύθην τὸ κήρυγμα.

Τοῦ αὐτοῦ. Τὸ *"νομίζω" προστέθηκεν οὐκ ἀμφιβάλλων ὡς ἡ παρθενία καλὸν καὶ τῶν τεχνῶν κάλλιστον, ἀλλ' ἵνα μὴ νόμος ἡ παραίνεσις γένηται, τὴν ἀμφιβολίαν προσέθηκεν. ἕπεται γὰρ τῷ νόμῳ καὶ φυλακὴ καὶ παράβασις καὶ τῶν παραβαινόντων ἡ κόλασις· διὰ τοῦτο οὐ νομοθετεῖ τὰ μεγάλα, ἀλλ' ἐπὶ ταῦτα προτρέπει. καὶ εἰρηκὼς "μὴ ζήτει γυναῖκα," ἐπήγαγεν· "ἐὰν δὲ "καὶ γήμῃς οὐχ ἥμαρτες· καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρ-"τεν." καὶ τί δήποτε συμβουλεύεις μὴ γῆμαι, εἴπερ ἄρα ὁ γάμος ἁμαρτίας ἐλεύθερος; "θλίψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ "τοιοῦτοι." καὶ τί σοι τοῦτο μέλει; "ἐγὼ δὲ ὑμῶν φείδομαι." καὶ τὴν πατρικὴν φιλοστοργίαν ἐγύμνωσεν· καὶ τῆς ἀγαμίας τὸ χρήσιμον ἔδειξεν· εἰδέναι μέντοι χρὴ, ὡς οὐ περὶ τῶν ἅπαξ ἀπο-ταξαμένων τῷ βίῳ εἴρηκεν "καὶ ἐὰν γήμῃ ἡ παρθένος οὐχ ἥμαρ-"τεν," ἀλλὰ περὶ τῶν μηδέπω μήτε τοῦτο μήτε ἐκεῖνο προελο-μένων, ἀλλ' ἐν μεθορίῳ γάμου καὶ ἀγαμίας ἑστώτων.*

Σευηριανοῦ. Ἔδειξεν *ὅτι τὴν παρθενίαν εἰσάγει, οὐ κατη-γορίαν γάμου, ἀλλ' ὅτι διὰ φειδῶ τῶν ἁγίων εἰσηγεῖται τὴν παρθενίαν, ὡς τὴν σάρκα ὠδίνων καὶ καμάτων πληροῦντος τοῦ γάμου.*

Ὠριγένους. Τῶν *ἐντολῶν αἱ μὲν εἰσὶν ἐπιτεταγμέναι, αἱ δὲ οὐκ ἐπιτεταγμέναι· ἀλλ' αὐτεξούσιοι καὶ τῇ προαιρέσει ἐπιτε-τραμμέναι ὑπὸ τοῦ* Θεοῦ· *αἱ μὲν γὰρ αὐτῶν ὧν οὐκ ἔστιν ἄνευ σωθῆναι, αὗται εἰσὶν αἱ προστεταγμέναι· αἱ δὲ μείζονες τῶν προσ-τεταγμένων, ἃς κἂν μὴ ποιήσωμεν, σωζόμεθα, οὐκ εἰσὶν ἐπίταγμα τοῦ* Θεοῦ· *ἄκουε γὰρ, φησὶν, τοῦ* Εὐαγγελίου Ἰησοῦ Χριστοῦ *διδάσκοντος ἐν αὐτῷ καὶ λέγοντος· "ὅτ' ἂν ποιήσετε πάντα τὰ "διατεταγμένα ὑμῖν, ὀφείλετε* λέγειν, *δοῦλοι ἀχρεῖοι ἐσμέν· ὃ "ὀφείλομεν ποιῆσαι πεποιήκαμεν." καὶ εἰ ἐὰν ποιήσω πάντα τὰ διατεταγμένα, δοῦλός εἰμι ἀχρεῖος, πότε φεύξομαι τὸ εἶναι δοῦ-λος ἀχρεῖος; ἐὰν φιλοτιμότερος ὦν, ἐὰν ἐπαναβαίνῃς ἀπὸ τῶν διατεταγμένων· οἷον τὸ "οὐ μοιχεύσεις" ἐὰν τηρήσω, καὶ τὸ "μὴ ἐμβλέψαι γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι," ὃ ὤφειλον ποιῆσαι*

πεποίηκα· ἐὰν δὲ παρθένος μείνω, οὐ κελευσθεὶς οὐδὲ διαταχθείς· οὐκ ἔτι λέγω ἐπὶ τῷ τῆς παρθενίας κατορθώματι, δοῦλοι ἀχρεῖοι ἐσμὲν, ὃ ὀφείλομεν ποιῆσαι πεποιήκαμεν· οὕτως καὶ ἐπὶ τῶν λοίπων ἐντολῶν, ἐὰν μὴ βλέψω ἢ πλεονεκτῶ, ὀφείλομεν λέγειν ἀχρεῖοι δοῦλοι ἐσμέν· "ἐὰν δὲ πωλήσω πάντα τὰ ὑπάρχοντά μου, καὶ δώσω πτωχοῖς," οὐκ ἔτι λέγω ἀχρειός εἰμι, ὃ ὤφειλον ποιῆσαι πεποίηκα· διὰ τοῦτο λέγει ὁ Ἀπόστολος, "περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου *οὐκ ἔχω· γνώμην δὲ δίδωμι, ὡς ἠλεημένος ὑπὸ* Κυρίου *πιστὸς εἶναι." ἐν γὰρ τῷ λέγειν τοῖς μαθηταῖς τὸν* Κύριον, *"οὐ πάντες χωροῦσι τὸν λόγον, ἀλλ' οἷς δέδοται," καὶ ἐπιφέρει "ὁ δυνάμενος χωρεῖν, χωρείτω," οὐκ ἐπέταξεν ἀλλ' αὐτεξούσιον εἴασεν· "γνώμην" οὖν φησὶν ὁ Ἀπόστολος "δίδωμι·" καὶ ἵνα παραστήσῃ ὅτι* Κύριος *ἐν αὐτῷ λέγει, εἶπεν, "ὡς ἠλεημένος ὑπὸ* Κυρίου *πιστὸς εἶναι."*

" Νομίζω *οὖν τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην· ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι." ἀνάγκην φησὶν τὴν ἐν τῷ σώματι διατριβήν· ὡς καὶ ἑτέρωθι φησὶν, "τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ, ἀναγκαιότερον δι' ὑμᾶς·" τετράκις δὲ ἐν τῷ τόπῳ τὸ καλὸν ὠνόμασεν ὁ Ἀπόστολος· φησὶ γὰρ "πρῶτον μὲν καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι·" δεύτερον δὲ, "καλὸν αὐτοῖς ἐὰν μείνωσιν, ὡς κἀγώ." τρίτον, "νομίζω οὖν τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην·" τέταρτον, "καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι." ὁρᾷς, ὅσα περὶ ἁγνείας εἴρηται· ταῦτα μετὰ τοῦ καλοῦ ὠνόμασται. ὅσα δὲ περὶ τοῦ γάμου, μετὰ τοῦ μὴ ἁμαρτάνειν τὸν γαμοῦντα, "δέδεσαι γυναικί; μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα." διόλου τοῦ λόγου καθὰ εἴρηται, ἐπιτείνει καὶ ἀνίησιν· ἵνα ὁ ἀκροατὴς ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ λαβὼν, κρίνῃ εἴ τι δύναται, καὶ ποίᾳ ἀσκήσει ἑαυτὸν ἐπιδοῦναι δυνηθῇ. οὕτως οὖν καὶ ἐνθάδε ἀπέτρεψε μὲν τοῦ λύειν τὸν γάμον, προτρέπεται δὲ πάλιν καθαρεύειν· οὐκοῦν δεδεμένον μὲν εἶπεν τὸν ἄνδρα τὸν γεγαμηκότα· εἰ δὲ περίστασίς ἐστι τὸ δέδεσθαι, καὶ δεῖ φεύγειν τὰς περιστάσεις, ὅση δύναμις· καὶ τὸ δέδεσθαι γυναικὶ, μὴ ζήτει λύειν· ὁ δὲ μὴ δεδεμένος ὀφείλει φυλάττεσθαι, ἵνα μὴ δεθῇ. ἀληθῶς γὰρ εὑρήσεις αὐτοὺς δεδεμένους τῷ φίλτρῳ τῷ γαμικῷ· οὐκ ἔξεστιν οὖν τὸν ἐν γάμῳ*

προληφθέντα, ζητῆσαι ἄκαιρον ἐλευθερίαν· ἀλλὰ μένειν ἐν τῇ δουλείᾳ. καὶ εἰ λέλυταί τις, μὴ ζητεῖν γυναῖκα· "ἐὰν δὲ καὶ "γήμῃς" φησὶν, "οὐχ ἥμαρτες·" οὐκ εἶπεν ἐὰν γαμήσῃς καλὸν, ἀλλ' "ἐὰν γήμῃς οὐχ ἥμαρτες." τήρει τὴν διαφοράν· "καὶ ἐὰν "γήμῃ ἡ παρθένος οὐχ ἥμαρτεν·" οὐκ εἶπεν πάλιν καλὸν, ἀλλ' οὐχ ἥμαρτεν.

Θλίψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι· πῶς γὰρ οὐχ ἕξουσι θλίψιν, ὅτε τὰ εἰρημένα πρὸς τὴν γυναῖκα ἔρχεται ἐπὶ τὴν γεγαμημένην; "ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ "ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει." τούτων δὲ πάντων ἐλευθέρα ἐστὶν ἡ παρθένος, ἐλευθερωθεῖσα ἀπὸ τῆς καθαρότητος, νυμφίου εὐλογίας περιμένουσα. πᾶς γάμος ἐν σκότῳ γίνεται, διὸ "μὴ κοίταις καὶ ἀσελγείαις·" ὁ δὲ Χριστοῦ *γάμος, ὅτ' ἂν ἀπολάβῃ αὐτοῦ τὴν* Ἐκκλησίαν, *ἐν τῷ φωτὶ γίνεται· διὰ τί γὰρ μετὰ λαμπάδων καὶ ἐλαίου διαρκοῦντος εἰσέρχονται παρθένοι εἰς τὸν γάμον; διότι εὐσχημοσύνης ἐστὶν ὁ γάμος ἐκεῖνος· ὁ σαρκὶ κολλώμενος, ἓν σῶμά ἐστιν, πνεύματι δὲ ὁ κολλώμενος, ἓν πνεῦμά ἐστιν· τί δὲ εὐσχημονέστερον ψυχῆς πνεύματι κολλωμένης, καὶ ἑνουμένης, καὶ μηκέτι οὔσης ψυχῆς, ἀλλὰ γινομένης ὅπερ τὸ πνεῦμα; ἐπὶ γὰρ τοῦ γάμου εἴρηται, "ἔσονται οἱ δύο εἰς σάρκα "μίαν." ἐπὶ δὲ τοῦ "ὁ κολλώμενος τῷ* Κυρίῳ *ἔσται ἓν πνεῦμα."*

Οἰκουμενίου. *Ἐπειδὴ εἰς μείζονα φιλοσοφίαν ἔρχεται, φοβεῖται αὐτὸ καθαρῶς ἐπιτάξαι, τὴν ἀποτυχίαν τῶν μετιόντων δεδοικώς· διὰ τοῦτο οὐχ ὡς ἐπιταγὴν, ἀλλ' ὡς συμβουλὴν δίδωσιν.*

Τοῦ αὐτοῦ. *Τὰ περὶ παρθένων ἀμελέστερον ἡρμήνευσεν ὡς ἐν μονοβίβλῳ· "ἠλεημένος" φησὶν "εἰς τὸ εἶναι πιστὸς" οἷον κῆρυξ καὶ γνωμοδότης.*

Τοῦ αὐτοῦ. *Ὅρα πάλιν πῶς τὴν ἐξ ἀνάγκης ἐπιταγὴν κολάζει· "νομίζω γάρ" φησίν· τί δὲ νομίζω; καλὸν τὸ ἄνευ γάμου εἶναι διὰ τὰς ἐν αὐτῷ δυσκολίας καὶ τὰ τοῦ γάμου κακά.*

Τοῦ αὐτοῦ. *Ἐπιδιορθοῦται αὐτὸ, τὸ ἀσθενὲς τῶν ἀκροατῶν δεδοικὼς, ὡς οὐ χωρούντων τὴν παρθενίαν· παρθένον ἐνταῦθα φησὶν οὐ τὴν ἀφιερωμένην* Θεῷ, *ἀλλὰ τὴν ἔτι ἄγαμον κόρην· ὡς ἥ γε*

ἀφιερωθεῖσα Θεῷ εἰ γήμει, μοιχὸν ἐπεισφέρει τῷ Χριστῷ ᾧ νενύμφευται.

Τοῦ αὐτοῦ. *Οἱ γαμοῦντες, φησὶ, θλίψιν ἕξουσιν, διὰ τὰς ἐν τῷ γάμῳ λύπας· ἐγὼ δὲ, φησὶ, φείδομαι ὑμῶν ὡς τέκνων, καὶ βούλομαι ἐλευθέρους εἶναι καὶ ἀλύπους. τέως γὰρ ἐν δεσμοῖς εἰσίν· "δέδεσαι" γὰρ, φησὶ, "γυναικί." εἶτα καὶ ἑαυτῶν οὐκ ἐξουσιάζουσιν, ὡς ἄνω φησίν.*

Φωτίου. *"Ὡς ἠλεημένος ὑπὸ Κυρίου" ἀξιόπιστος εἶναι εἰς τὸ παραινεῖν ὑμᾶς καὶ διδάσκειν τὰ συμφέροντα· καὶ ταύτην ὑμῖν ἀποφαίνω τὴν ἐμὴν βουλὴν καὶ γνώμην. "διὰ τὴν ἐνεστῶσαν "ἀναγκήν·" τὸν διωγμὸν οἶμαι λέγειν αὐτὸν ἐνταῦθα, τὸν ἀπὸ τῶν ἀπίστων τοῖς πιστοῖς ἐπανακείμενον· καὶ τὰς ἄλλας ἐπηρείας καὶ κακώσεις ἃς ὑπέμενον· τοῦτο γὰρ ἀκόλουθον ἐνεστῶσαν ἀναγκὴν αὐτὸν καλεῖν· ἐπειδὴ γὰρ παραίνεσιν ὑψηλὴν καὶ μεγάλην ἠθέλησεν ποιήσασθαι, μετὰ περιστάσεως ἔδειξεν αὐτὴν εἰσάγειν. καλὸν, φησὶν, ἡ παρθενία, καὶ διὰ τὴν ἐνεστῶσαν τῶν πειρασμῶν συμφοράν· ῥᾷον γὰρ καὶ ἀκοπώτερον ταύτας οἴσομεν, ἢ γυναῖκας καὶ τέκνα ἐν διωγμοῖς καὶ μυρίαις ταλαιπωρίαις συνεπαγόμενοι· καταμεριζομένης γὰρ εἰς πολλὰ πάθη τῆς ψυχῆς, ἐν ἀφορήτῳ κακῷ ἀνάγκη καταβαπτισθῆναι τὸν ἄνθρωπον· μόνον δὲ ὄντα καὶ τοῖς ἑτέρων πάθεσι μὴ κατατεμνόμενον, εὐχερὲς τῆς τῶν κακῶν ὑπερανασχεῖν τρικυμίαν· εἶτα ἵνα μή τις εἴπῃ, οὐκ οὖν καὶ ὁ φθάσας γάμῳ κοινωνῆσαι, ἄμεινον ποιήσει λύων τὸν γάμον; ἐπήγαγεν, μὴ γένοιτο· τοῦτο γὰρ δηλοῖ διὰ τὸ εἰπεῖν "δέδεσαι "γυναικί; μὴ ζήτει λύσιν·" ἀλλ' ὥσπερ, φησὶν, ὁ δεδεμένος οὐκ ὀφείλει λύσιν ζητεῖν· οὕτως οὐδὲ ὁ λελυμένος δεσμὸν ἑαυτῷ ὀφείλει περινοεῖν. τὸ δὲ "λέλυσαι," διχῶς ἐστιν ἐκλαβεῖν· ἢ ὅτι οὔπω ὅλως ἐδέθης· ἢ ὅτι λυθεὶς ἀφ' οὗ ἐδέθης δεσμοῦ, οὐκ ὀφείλεις ἄλλῳ γυναικὸς δεσμῷ πάλιν συνδεθῆναι.*

Τὸ *"ἐὰν δὲ καὶ γήμῃς οὐχ ἥμαρτες" καὶ ἐφεξῆς, τοῖς ἄνω καθ' ὑπερβατὸν συντακτέον· οἷον· καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι. ἐὰν δὲ καὶ γήμῃς, οὐχ ἥμαρτες καὶ ἑξῆς. οὐ γὰρ δεῖ συνάπτειν αὐτὸ τῷ θελῆσαι ἀτὲρ γυναικὸς, μὴ ζήτει γυναῖκα, ἐὰν δὲ καὶ γήμῃς οὐχ ἥμαρτες. πρῶτον μὲν γὰρ ἀνακόλουθος οὕτως λαμβα-*

νομένη ἡ ἔννοια. τί γὰρ τῷ γεγαμηκότι ἤδη καὶ διαλυθέντι προσήκει λέγειν, ἐὰν δὲ καὶ γήμῃς; τοῦτο γὰρ τοῖς μήπω γεγαμηκόσιν ἁρμόδιον· ἔπειτα δὲ καὶ μέγα ἐστὶν ἁμάρτημα λυσάμενον ἀπὸ τῆς γυναικὸς, ἄλλην γήμασθαι· ὥστε οὐκ ἐγχωρεῖ οὕτως συνάψαι τὸ χωρίον, ἀλλ' ὡς πρότερον εἴρηται· καὶ γὰρ καὶ πρὸ ὀλίγου φησὶν, "ἐὰν δὲ καὶ χωρισθῇ· μενέτω ἄγαμος·" διά τε οὖν τὰ προειρημένα καὶ τὸ νῦν εἰρημένον, ἵνα μὴ ἐναντία λέγειν ἑαυτῷ δόξῃ, καθ' ὑπερβατὸν συντακτέον· "εἰ δὲ λέλυσαι" οὐχὶ πρὸς τοὺς συναφθέντας, εἶτα διαλυθέντας, ἀκούσεις· ἀλλ' ἁπλῶς πρὸς τοὺς μὴ συνελθόντας ὅλως εἰς γάμου κοινωνίαν, ἀλλὰ λελυμένους ὄντας τοῦ τοιούτου δεσμοῦ ἐγχωρεῖ καὶ κατὰ πόδα ἡ σύνταξις.

29 Τοῦτο δὲ φημὶ, ἀδελφοὶ, ὁ καιρὸς συνεσταλμένος τὸ
λοιπόν ἐστιν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας, ὡς μὴ ἔχοντες
30 ὦσιν· καὶ οἱ κλαίοντες, ὡς μὴ κλαίοντες· καὶ οἱ χαί-
ροντες, ὡς μὴ χαίροντες· καὶ οἱ ἀγοράζοντες, ὡς μὴ
31 κατέχοντες· καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ
καταχρώμενοι. παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου
τούτου.

Σευηριανοῦ. Ἄλλην αἰτίαν λέγει, δι' ἣν προτιμᾷ τὴν παρθενίαν. πανταχοῦ δεικνὺς ὅτι οὐ κατηγορεῖ γάμου, τὴν ἁγιωσύνην προτιμῶν· ὅτι πρὸς τῷ τέλει ὁ κόσμος· καὶ δεῖ εἰδέναι ὅτι ἃ ἔχομεν οὐκ ἔχομεν· ἀφιέμεν γὰρ αὐτῷ αὐτά· ἵνα καὶ οἱ ἔχοντες, "ὡς μὴ ἔχοντες." εἰ καλόν ἐστι τοῖς ἔχουσιν οὕτως ἔχειν, ὡς μὴ ἔχουσιν, πῶς οὐ μᾶλλον τῇ παρθένῳ μηδὲ προσελθεῖν γάμῳ; "καὶ "οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι·" τὴν ἄμετρον ἀπόλαυσιν ἐκβάλλει διὰ τούτου· τὴν μέντοι χρείαν καταλιμπάνει· τὸ "παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου·" δείκνυσιν ὅτι οὐχ ὁ κόσμος παρέρχεται, ἀλλὰ τὸ σχῆμα τοῦ παρόντος βίου μεταβάλλεται· ἡ φθορὰ, εἰς ἀφθαρσίαν· αἱ πόλεις, τὰ τείχη· οἱ νόμοι, αἱ γεωργίαι, αἱ τέχναι· ταῦτα γὰρ ὥσπερ μορφή τις ἐπίκειται τῷ βίῳ τούτῳ, ἥτις λαμβάνει μεταβολήν.

Οἰκουμενίου. Ἐπειδὴ εἶπεν ὅτι θλίψιν τῇ σαρκὶ ἕξουσιν, ἵνα μή τις εἴπῃ ἀλλὰ καὶ ἡδονὴν, ἐκ τοῦ συνεσταλμένου καιροῦ πειρᾶται τὰ τῆς ἡδονῆς ὑποτεμεῖν. διὰ τοῦτο γὰρ, φησὶ, λέγω ὅτι

θλίψιν ἕξουσιν· ἐπειδὴ μήτε ἡδονὴν δύνανται ἔχειν ἐν τῷ τὸν καιρὸν οὕτω συνεστάλθαι καὶ πρὸς λύσιν[i] *ἐπείγεσθαι· ἤδη γὰρ ἤγγικεν ἡ βασιλεία τοῦ Θεοῦ· καὶ λοιπὸν ἀποδημεῖν πρὸς αὐτὸν κελευόμεθα.*

Τοῦ αὐτοῦ. Ἢ *ὅτι καὶ περὶ τὴν μίξιν ἐγκρατεῖς εἶναι βούλεται.*

Τοῦ αὐτοῦ. *Διὰ τὴν τοῦ καιροῦ βραχύτητα πάντα τὰ ἐν σπουδῇ τισιν ὑπάρχοντα ὡς οὐκ ὄντα, φησὶν, ὀφείλομεν ἡγεῖσθαι· καὶ τὸ ἔχειν γυναῖκα, καὶ τὸ χαίρειν, καὶ τὸ λυπεῖσθαι· ὅτ' ἂν γὰρ ἐγγὺς ὁ θανάτος, τί δεῖ τοῖς ἐνταῦθα ἐμφιλοχωρεῖν καὶ νομίζειν εἶναί τι γάμον ἢ ἀγορασίαν*[k]*· ἢ τὸ ὅλως χρᾶσθαι τῷ κόσμῳ;*

Τοῦ αὐτοῦ. Τὸ *πάνυ τῇ τοῦ κόσμου ἀπολαύσει, οἷον τρυφῇ καὶ πλούτῳ καὶ δυναστείᾳ κεχρῆσθαι, παράχρησιν καλεῖ· τοῦτ' ἔστι τὸ μὴ κεχρῆσθαι αὐτῷ καθὼς πρέπει σημαίνων· οὐ γὰρ διὰ τοῦτο παρήχθημεν ἐν κόσμῳ, ἵνα ταῦτα πράττωμεν· ἐπ' ἔργοις γὰρ ἀγαθοῖς ἐκτίσμεθα. ὁ οὖν τὰ ἐν οἷς ἐπλάσθη ἀφεὶς, καὶ ἑτέρως τῷ κόσμῳ χρώμενος, παραχρᾶται αὐτῷ.*

Ἰωάννου[l]. Παρέρχεται *καὶ τέλος ἕξει, φησὶν, ὁ κόσμος ὁ νῦν ὁρώμενος· τί οὖν ἔχεσθαι δεῖ τοῦ λυομένου; σχῆμα δὲ ἐκάλεσεν· ἐμφαίνων ἄχρι ὄψεως εἶναι τὰ τοῦ παρόντος κόσμου, καὶ οὐκ ἔχειν μόνιμόν τι ἢ βέβαιον.*

Σευηριανοῦ. Ἔδειξε *διατί εἶπεν τὸ "ἐγὼ δὲ ὑμῶν φείδομαι·" ἵνα μὴ ἐν τοῖς μὴ μένουσι κενώσητε τὰς φροντίδας· καὶ τὰ ἑξῆς τοῦτο μᾶλλον δείκνυσιν.*

Θεοδώρου. Παρενθεὶς *τὴν καθόλου παραίνεσιν, ἐπὶ τὴν οἰκείαν ἀκολουθίαν ἀνατρέχει, ἑρμηνεύων τὸ "διὰ τὴν ἐνεστῶσαν "ἀνάγκην·" καὶ τὸ "θλίψιν τῇ σαρκὶ ἕξουσιν."*

32 Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι. ὁ ἄγαμος μεριμνᾷ
33 τὰ τοῦ Κυρίου, πῶς ἀρέσει τῷ Κυρίῳ· ὁ δὲ γαμήσας
34 μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικί. μεμέ-
ρισται καὶ ἡ γυνὴ καὶ ἡ παρθένος· ἡ ἄγαμος μεριμνᾷ τὰ
τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι· ἡ δὲ
γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ

[i] *πρὸσλύσειν* Cod. *προσλύσιν* Edd. [k] *ἀγορασίας* Edd. [l] Ψ Cod.

35 ἀνδρί. τοῦτο δὲ πρὸς τῶν ὑμῶν αὐτῶν συμφέρον λέγω·
οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον
καὶ εὐπρόσεδρον τῷ Κυρίῳ ἀπερισπάστως.

ΣΕΥΗΡΙΑΝΟΥ͂. Ἀπέδωκεν τὴν αἰτίαν δι' ἣν τοῦ γάμου προτιμοτέρα ἡ παρθενία· οὐ παρὰ τὴν κοίτην ἢ τὴν ἀποχὴν τῆς κοίτης, ἀλλὰ παρὰ τὸ τὸν γάμον γέμειν φροντίδων· τὸ κατὰ Θεὸν ἀσχολεῖν εἰς τὴν εὐσέβειαν τὸν νοῦν.

ΟἸΚΟΥΜΕΝΊΟΥ. Ὅρα πῶς τῇ τῆς μερίμνης διαφορᾷ ἐπὶ παρθενίαν παρακαλεῖ· τὸ γὰρ "τὰ τοῦ Κυρίου μεριμνᾷν" οὐκ ἔστιν μερίμνα, ἀλλὰ σωτηρία· ὅθεν ἄνω λέγει· "θέλω δὲ ὑμᾶς ἀμε" "ρίμνους εἶναι."

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. "Μεμερίσται·" τοῦτ' ἔστιν οὐ τὴν αὐτὴν ἔχουσι φροντίδα· ἀλλὰ μεμερισμέναι εἰσὶ ταῖς σπουδαῖς. "ἡ μὲν γάρ," φησὶ, "παρθένος τὰ τοῦ Κυρίου μεριμνᾷ· ἵνα ᾖ σώματι καὶ "πνεύματι ἁγία." σώματι μὲν διὰ τὴν ἁγνείαν· πνεύματι δὲ διὰ τὴν πρὸς Θεὸν οἰκειότητα, καὶ τὴν ἐνοίκησιν τοῦ παρακλήτου Πνεύματος· ἡ δὲ τὰ τοῦ κόσμου μεριμνᾷ· ἀνδρὶ γὰρ ἀρέσαι βούλεται. τί ἐστι τὰ τοῦ κόσμου; ἴσως καὶ εὔοπτος εἶναι βούλεται καὶ οἰκουρὸς καὶ μηδὲ τῷ δεομένῳ ἁπλοῦσα χεῖρα φιλάνθρωπον.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Τοὺς δὲ περὶ παρθενίας λόγους φησὶν, ἐκίνησα, τοῦτο ὑμῖν συμφέρον εἰδώς· οὐχ ἵνα ἀναγκάσω ὑμᾶς καὶ θέλοντας καὶ μὴ παρθενεύειν, τὴν γὰρ ἀνάγκην "βρόχον" καλεῖ.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Οὐ γὰρ λέγω, φησὶν, ταῦτα, ἵνα βρόχον καὶ ἀνάγκην ὑμῖν ἐπιβάλω· ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ ἀπερισπάστως εὐπρόσεδρον τῷ Κυρίῳ ἀγαγεῖν ὑμᾶς βουλόμενος.

ΟἸΚΟΥΜΕΝΊΟΥ. Πῶς δ' ἂν εἴημεν ἀμέριμνοι, εἰ ἄγαμοι ὦμεν; τὰς γὰρ τοῦ κόσμου φροντίδας τίς ἀγνοεῖ;

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Γυναῖκα φησὶν τὴν γεγαμηκυῖαν.

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Τί γὰρ παρθένου καὶ τοιαύτης ζωῆς εὐσχημονέστερον;

36 Εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθενίαν αὐτοῦ νομί-
ζει, ἐὰν ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει γίνεσθαι, ὃ
37 θέλει ποιήτω, οὐχ ἁμαρτάνει· γαμείτωσαν. ὃς δὲ ἕστη-
κεν ἑδραῖος ἐν τῇ καρδίᾳ, μὴ ἔχων ἀνάγκην, ἐξουσίαν

δὲ ἔχει περὶ τοῦ ἰδίου θελήματος, καὶ τοῦτο κέκρικεν ἐν
τῇ καρδίᾳ αὐτοῦ, τηρεῖν τὴν ἑαυτοῦ παρθένον, καλῶς
38 *ποιεῖ. ὥστε καὶ ἐκγαμίζων, καλῶς ποιεῖ· ὁ δὲ μὴ ἐκγα-*
μίζων, κρεῖσσον ποιεῖ.

ΣΕΥΗΡΙΑΝΟΥ. *Νομίζουσι τίνες, ὅτι αὐτόν τινα ἑαυτοῦ περὶ ἀσχημονεῖν λέγει· ἀντὶ τοῦ ἐπὶ τῇ ἑαυτοῦ παρθενίᾳ, εἴ τις ἀσχημονεῖν νομίζοι· οὐκ ἔστι δὲ οὕτως· καὶ τὰ ἑξῆς δείκνυσιν· λέγει γάρ, "ὥστε καὶ ὁ ἐκγαμίζων καλῶς ποιεῖ· ὁ δὲ μὴ ἐκγαμίζων "κρεῖσσον ποιεῖ·" οὐδεὶς δὲ ἑαυτὸν ἐκγαμίζει, ἀλλ' ὑφ' ἑτέρου δίδοται.*

ΘΕΟΔΩΡΙΤΟΥ. *Πάλιν ἐνταῦθα περὶ τῶν μηδέπω τὴν παρθενίαν ἑλομένων παρεκελεύσατο.*

ΘΕΟΔΩΡΟΥ. *Καλῶς παρέθηκε τὸ "μὴ ἔχων ἀνάγκην·" ἐκχωρεῖ γὰρ πολλάκις προειλῆφθαί τινας μνηστείας ἐγγύην, ὑφ' ἧς ἐπὶ τὴν ἔκδοσιν συνωθεῖται τῆς οἰκείας παιδός· ἔστιν δὲ ὅτι καὶ οἰκέτης ὢν φυλάττειν μὲν βούλεται, οὐ δύναται δὲ τῷ τὸν δεσπότην πρὸς γάμον ἐκδοῦναι βούλεσθαι.*

ΘΕΟΔΩΡΙΤΟΥ. *Καὶ τῶν τοῦ γάμου κατηγορούντων αἱρετικῶν τὰς γλώττας ἐπέδησε· καὶ τὸ κάλλιστον τῆς παρθενίας ὑπέδειξεν· ἀναγκαῖον δὲ νενόμικεν καὶ ταῖς χήραις συμβουλεῦσαι τὰ πρόσφορα.*

ἸΩΑΝΝΟΥ[m]. *Ἀσθένια φύσεως ἀνθρώπου τὸ νομίζειν ἀσχημονεῖν· εἴ γε τὴν ἑαυτοῦ θυγατέρα φυλάττει παρθένον καὶ Θεῷ ἀφιεροῖ.*

ΟἸΚΟΥΜΕΝΙΟΥ. *Οὕτω πῶς ὃ θέλει, φησίν, ποιείτω· εἴτε ἐγγαμισάτω· εἴτε τηρείτω παρθένον· οὐδέτερον γὰρ ἁμαρτία· εὐδοκιμεῖ δὲ μᾶλλον ὁ φυλάττων παρθένον, ὡς προϊὼν φησίν.*

ΤΟΥ ΑΥΤΟΥ. *Ὁρᾷς πῶς ἐκ προοιμίων θαυμάζει τὸν τηροῦντα αὐτὴν παρθένον; "ὃς ἕστηκε," φησίν, "ἑδραῖος ἐν τῇ καρδίᾳ·" δῆλον ὅτι ἐκεῖνος ὁ διὰ τὴν δοκοῦσαν ἀσχημοσύνην καθυφεὶς καὶ ἐγγαμίσας, οὐκ ἕστηκεν ἑδραῖος εἰς τὸ ἔργον τοῦ Θεοῦ.*

ΤΟΥ ΑΥΤΟΥ. *Οὐκ ἔχει, φησίν, ἀνάγκην μὴ ἐγγαμίσαι αὐτήν· ἢ γὰρ ἂν οὔτε οὕτω θαυμάσιος ἦν μὴ ἐγγαμίζων, τῇ γὰρ ἀνάγκῃ καὶ οὐκ αὐτῷ τὸ ἔργον ἐλογίζετο· νυνὶ δὲ φιλοτιμία ἐστὶν αὐτῷ τὸ πᾶν, καὶ θεοφιλὴς προαίρεσις.*

m Ψ Cod.

Τοῦ αὐτοῦ. Ἑδραῖόν τινα ὑποτίθεται ἄνθρωπον· ὃν οὐκ ἴσχυσεν σαλεῦσαι ἡ δοκοῦσα παρὰ τοῖς ἀνθρώποις ἀσχημοσύνη, ἐπὶ τῶν φυλαττόντων παρθένους τὰς θυγατέρας.

Τοῦ αὐτοῦ. Καὶ ἐκεῖνο μὲν φησὶν καλόν· οὐ γὰρ ἁμαρτία τὸ ἐγγαμίζειν· πᾶν δὲ ὃ οὐκ ἁμαρτία, καλόν· ὁ δέ γε μὴ ἐγγαμίζων, καὶ κατόρθωμά τι πράττει, ὃ κρειττόν ἐστιν· ὅρα δὲ πῶς ἐκ τῆς συγκρίσεως, τὸ μὴ ἐγγαμίζειν συμβουλεύει.

Φωτίου. Εἰ δέ τις φησὶν, ἀσχημοσύνην νομίζει φέρειν αὐτῷ, ἀνέκδοτον γάμῳ φυλάττειν οἴκοι τὴν θυγατέρα παρθενεύουσαν, καὶ οἴεται οὕτως μᾶλλον ὀφείλειν γίνεσθαι, οἷον ἐκδοῦναι, ποιείτω ὃ θέλει· οὐ γὰρ κεκώλυται ὁ γάμος, μὴ γένοιτο, εἰ καὶ ὑψηλότερον ἡ παρθενία· ὥστε εἰ βούλονται, ἐκγαμείτωσαν αὐτάς, φησιν· εἰ δέ τις ἕστηκεν ἐν ταύτῃ τῇ γνώμῃ ἑδραῖος, ἤτοι εἰς τὸ μὴ γαμίσαι αὐτὴν, μὴ ποιῶν τοῦτο ὡς ἐξ ἀνάγκης καὶ ἀπὸ νόμου κωλυόμενος. ὁ γὰρ οὕτως τοῦτο ποιῶν λίαν ἁμαρτάνει· ἐὰν οὖν τις τοῦτο ὡς μὴ ἔχων ἀνάγκην ποιεῖ, ἀλλ' ὡς κύριος μὲν οὖν ἑκατέρου θελήματος ἀπὸ τοῦ νόμου· αὐτὸς δὲ αἱρετώτερον κρίνων τὸ μὴ ἐγγαμίζειν, καὶ οὕτως καλῶς ποιεῖ φυλάττων παρθένον καὶ ἀμερίμνον τὴν ἑαυτοῦ θυγατέρα. δύναται τὸ μὴ ἔχειν ἀνάγκην καὶ ἄλλως οὐδὲν ἧττον οἰκείως ἐκληφθῆναι· οἷον μὴ ἀναγκαζόμενος τὸ ἐναντίον ποιεῖν ὑπὸ τῆς θυγατρός.

Ἐὰν ὁρᾷ γὰρ τὰ τῆς θυγατρὸς εἰς τὸ ἐγγαμίζειν αὐτὸν ἀναγκάζοντα, οὐκ ὀφείλει παρθένον αὐτὴν τηρεῖν· εἰς τὸ ἐναντίον αὐτὴν καὶ τῆς ὁρμῆς καὶ τῆς γνώμης ἐκβιαζόμενος· ἑκούσιον γὰρ ἀλλ' οὐκ ἀκούσιον τὸ τῆς παρθενίας· ἐπεὶ μετὰ τοῦ ἀκουσίου καὶ εἰς χεῖρον ἂν ἀποκλίνειεν· ἑαυτῇ μὲν συγγνώμην φέρουσα, εἰς δὲ τὸν βιασάμενον παρθενεύειν τῆς ἀτοπίας τὴν αἰτίαν ἀναφέρουσα· ἢ τὸ μὴ ἔχων ἀνάγκην, καὶ τοῦτο ἂν ὑποδηλώσειεν· μὴ ἔχων, φησὶν, ἀνάγκην τοῦτο ποιεῖν· ἢ ὥσπερ ὁ ἀφιερώσας τῷ Θεῷ καὶ ἀναθεὶς παρθενεύειν· ἢ ὡς τῆς θυγατρὸς ἐπὶ τοῦτο καταναγκαζούσης· τὸ γὰρ ὑπό τινος τῶν εἰρημένων ἀνάγκην ἔχοντι μὴ ἐγγαμίζειν· οὐδὲ βουλεύσασθαι ἄλλως ἔνι, οὐδὲ κρίσιν ἄλλην ἐν τῇ καρδίᾳ μελετῆσαι· ἀλλ' οὐδὲ ἐπιτελοῦντι τηλικοῦτος ὁ ἔπαινος, ὅσον μὴ ἐπιτελοῦντι τὸ κατάκριμα, ἀλλὰ πολλαπλάσιον· ὃς δὲ χωρὶς ἀνάγκης

ἐν τῇ καρδίᾳ τοῦτο κέκρικεν ποιεῖν· παρθένον μὲν ἔχειν, μέγα κατώρθωσεν· ἐγγαμίσας δὲ, οὐδὲν ὅλως ἥμαρτεν.

39 Γυνὴ δέδεται νόμῳ ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐ-
τῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει
40 γαμηθῆναι, μόνον ἐν Κυρίῳ. μακαριωτέρα δέ ἐστιν
ἐὰν οὕτως μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην· δοκῶ δὲ κἀγὼ
Πνεῦμα Θεοῦ ἔχειν.

Θεοδωρίτου. *"Γυνὴ δέδεται νόμῳ ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ "αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμη- "θῆναι· μόνον ἐν Κυρίῳ·" τοῦτ' ἔστι νόμῳ πιστῷ, εὐσεβεῖ· σω- φρόνως, ἐννόμως· "μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτως μείνῃ κατὰ "τὴν ἐμὴν γνώμην·" πάλιν οὐ νόμον τέθεικεν, ἀλλὰ συμβουλὴν εἰσήνεγκεν· ἀξιόπιστον δὲ ταύτην ποιῶν, ἐπήγαγεν, "δοκῶ δὲ "κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν." οὐκ ἐμοῦ φησὶ, τὰ ῥήματα, ἀλλὰ τῆς τοῦ Ἁγίου Πνεύματος χάριτος· ὄργανον γὰρ ἐκείνου ἐγώ· ἐπισημήνασθαι μέντοι χρὴ, ὡς οὐχ ἁπλῶς μακαρίαν τὴν ἐγκρατευομένην, ἀλλὰ μακαριωτέραν ἐκαλέσεν· διδάσκων ὡς οὐδὲ ἡ δευτέροις ὁμιλοῦσα γάμοις ἀθλία, ἀλλὰ καὶ αὐτὴ μακαρία κατὰ τὸν ἀποστολικὸν νόμον συναπτομένη· ἡ γὰρ σύγκρισις κἀκείνην μακαρίαν ἀπέφηνεν. ἱκανὴ δὲ καὶ αὕτη τῶν Ναβάτου κατηγορία, οἳ τῆς διγαμίας ὡς πορνείας κατηγοροῦσιν, ἄντικρυς τοῖς[n] ἀποστολικοῖς ἐναντιούμενοι νόμοις.*

Σευηριανοῦ. *Τὸ τοῦ μακαρίου τούτου κρεῖττον τὸ οὕτω μεῖναι· τὸ μὲν γὰρ σωματικῆς ἐστιν ἀναπαύσεως· τὸ δὲ τελειοτέρας εὐσεβείας.*

Ἰωάννου. Μετὰ *σωφροσύνης φησὶ, μετὰ κοσμιότητος· ἐπὶ παιδοποιΐᾳ καὶ προστασίᾳ, μὴ ἐν πάθει ἐπιθυμίας.*

Τοῦ αὐτοῦ. *Ἵνα μή τις νομίσῃ τὰς τοιαύτας συμβουλὰς* Παύλου *εἶναι, καὶ διὰ τοῦτο ἀνθρωπίνας, ἐπάγει "ὅτι* Πνεῦμα *"Θεοῦ ἔχω." δεικνὺς ὅτι νομοθεσίαι εἰσὶ τοῦ παρακλήτου.*

Οἰκουμενίου. Νόμῳ *λέγει τὸ περὶ τῶν μοιχῶν· τοῦτο γὰρ κατέχεται εἰς τὸ μὴ συμπλακῆναι ἑτέρῳ· εἰπὼν δὲ δέδεται, ἔργῳ*

[n] *ἀντικριστοῖς* Cod.

δείκνυσιν, ὅτι ὁ μὴ ἐγγαμίζων κρεῖσσον ποιεῖ· δεσμοῦ γὰρ αὐτὴν ἐλευθεροῖ.

Τοῦ αὐτοῦ. Ἐλευθέρωται γὰρ καὶ ἐκ τοῦ πρώτου δεσμοῦ καὶ νόμου, καὶ λέλυται· εἰπὼν δὲ καὶ ὅτι ἐλύθη, προετρέψατο μὴ πάλιν γῆμαι καὶ δεθῆναι.

Τοῦ αὐτοῦ. Ἵνα μὴ ἀνάγκης τὸ πρᾶγμα εἶναι νομίσῃς, φησὶ, "κατὰ τὴν ἐμὴν γνώμην." ὅσον ἐγὼ γινώσκω φησίν.

Τοῦ αὐτοῦ. Πολλῆς ταπεινοφροσύνης τὸ δοκῶ· τοῦτ' ἔστιν ἡγοῦμαι, ὑπονοῶ.

Φωτίου. "Κατὰ τὴν ἐμὴν γνώμην·" κατὰ τὴν ἐμὴν παραίνεσιν καὶ συμβουλήν· οὐ κατά τινα νομοθεσίας ἀνάγκην· εἶτα ἵνα μή τις εἴπῃ, οὐκοῦν ἐμή ἐστιν νομοθεσία, τί χρὴ ὅλως τινὰ κατὰ τὴν παραίνεσιν ποιεῖν; ἐπήγαγεν, ὅτι καὶ ταῦτα ἐκ τοῦ Παναγίου Πνεύματος παραινοῦμεν· εἰ καὶ μὴ εἰς νόμου ἀνάγκην, διὰ τὴν ἀσθένειαν ὑμῶν, τὴν συμβουλὴν κατακλείομεν.

ΚΕΦ. Ε.

Περὶ διαφορᾶς ἐδεσμάτων, καὶ ἀποχῆς δαιμονικοῦ σεβάσματος.

1 Περὶ δὲ τῶν εἰδωλοθύτων, οἴδαμεν, ὅτι πάντες γνῶ-
2 σιν ἔχομεν· ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ· εἰ
δέ τις δοκεῖ εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκεν καθὼς δεῖ
3 γνῶναι· εἰ δέ τις ἀγαπᾷ τὸν Θεὸν, οὗτος ἔγνωσται
ὑπ' αὐτοῦ.

Ἰωάννου. Πολλοὶ παρὰ τοῖς Κορινθίοις μαθόντες ὅτι "οὐ "τὰ εἰσπορευόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα·" καὶ ὅτι τὰ εἴδωλα, ξύλοι καὶ λίθοι καὶ δαίμονες, οὔτε βλάψαι οὔτε ὠφελῆσαι δυνάμενοι, ἀμέτρως τῇ τελειότητι τῆς γνώσεως ταύτης ἐκέχρηντο καὶ εἰς τὴν ἑτέρων καὶ εἰς τὴν ἑαυτῶν βλάβην· καὶ γὰρ εἰς εἰδωλεῖα εἰσήεσαν, καὶ τῶν αὐτόθι μετεῖχον τραπεζῶν, καὶ μέγαν ἐντεῦθεν τὸν ὄλεθρον ἔτικτον· οὔτε γὰρ ἔτι τὸν τῶν εἰδώλων ἔχοντες φόβον, καὶ οὐκ εἰδότες αὐτῶν καταφρονεῖν, μετεῖχον τῶν δείπνων ἐκείνων· ἐπειδὴ τοὺς τελειοτέρους ἑώρων τοῦτο ποιοῦντας· καὶ τὰ μέγιστα ἐντεῦθεν ἐβλάπτοντο· οὐδὲ γὰρ μετὰ τῆς αὐτῆς ἐκείνοις νόμοις γνώμης ἥπτοντο τῶν προκειμένων· ἀλλ'

ὡς εἰδωλοθύτων· καὶ ὁδὸς ἐπὶ εἰδωλολατρείαν τὸ πρᾶγμα ἐγίνετο· αὐτοί τε οὗτοι πάλιν οἱ δῆθεν τελειοτέροι, οὐχ ὡς ἔτυχεν ἠδικοῦντο, δαιμονικῶν ἀπολαβόντες τραπεζῶν.

Τὸ μὲν οὖν ἔγκλημα τοῦτο ἦν· ὁ δὲ μακάριος οὗτος μέλλων αὐτὸ διορθοῦν, οὐκ εὐθέως καταφορικῶς κέχρηται τῷ λόγῳ. καὶ γὰρ ἀνοίας μᾶλλον ἢ κακίας ἦν τὸ γιγνόμενον. δι᾽ ὃ καὶ παραινέσεως ἐν ἀρχῇ μᾶλλον ἐδεῖτο ἢ ἐπιπλήξεως σφοδρᾶς καὶ ὀργῆς. σκοπεῖ τοίνυν αὐτοῦ τὴν σύνεσιν· πῶς εὐθέως ἄρχεται τῆς νουθεσίας· "περὶ δὲ τῶν εἰδωλολύθων, οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν" πρῶτον μὲν οὖν κοινὸν αὐτὸ ποιεῖ· ἐπειδὴ ἐκεῖνοι, αὐτῶν αὐτὸ εἶναι ἐνόμιζον μόνων· ἔπειτα ποιήσας κοινὰ, οὐ τίθησιν ἑαυτὸν ἐν τῇ κοινωνίᾳ μόνον· ἐπεὶ καὶ οὕτως ἂν μᾶλλον αὐτοὺς ἐπῆρεν. ὥσπερ γὰρ τὸ μόνον ἔχειν ἐπαίρει· οὕτω τὸ κοινωνὸν ἕνα που καὶ δεύτερον ἔχειν τῶν ὑπερεχόντων, οὐκ ἔλαττον τοῦτο ποιεῖ· διὰ τοῦτο οὐχ ἑαυτὸν τίθησιν, ἀλλὰ πάντας· οὐ γὰρ εἶπεν, ὅτι καὶ ἐγὼ γνῶσιν ἔχω, ἀλλ᾽ "οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν."

Σευηριανοῦ. Ἐπειδὴ οἱ Κορινθίοι τὰ εἰδωλόθυτα ἤσθιον, λέγοντες, ὅτι ἡμῖν οὐκ ἔστιν εἰδωλόθυτον· ἁγιάζω γὰρ αὐτὰ τῇ ἐπονομασίᾳ τοῦ Χριστοῦ, καὶ ἐσθίω· δείκνυσιν αὐτὸς ὅτι οὐκ αὐτοὶ μόνοι ὡς σοφοὶ ἴσασι τοῦτο· καὶ λέγει· "οἴδαμεν ὅτι πάντες "γνῶσιν ἔχομεν·" ὥστε ὃ οἴδατε, οἶδα· ὃ δὲ πάσχετε, οὐ πάσχω.

Θεοδώρου καὶ Θεοδωρίτου. Μετά τινος εἰρωνείας αὐτοῖς τὴν γνῶσιν προσεμαρτύρησεν· ὅτι γὰρ οὐκ ἀληθῶς ταύτην αὐτοὺς ἔχειν εἴρηκεν, διδάσκει τὰ μετὰ ταῦτα· λέγει γάρ· "εἰ δέ τις "δοκεῖ εἶναι τί· οὐδέπω οὐδὲν ἔγνωκεν καθὼς δεῖ γνῶναι·" εἰρωνικῶς τοίνυν τέθεικεν τὸ "οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν·" εἶτα ἐπάγει· "ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ·" κρείττων ἡ ἀγάπη τῆς γνώσεως· ἡ μὲν γὰρ ἐπαίρει πολλάκις τοὺς οὐ καλῶς αὐτῇ κεχρημένους· ἡ δὲ προμηθεῖται τῆς τοῦ πέλας εὐεργεσίας· τοῦτο γὰρ λέγει, "οἰκοδομεῖ·" κατηγορεῖ δὲ αὐτῶν ὁ λόγος ὡς ἀγάπης ἐστηρημένων· εἰ γὰρ ταύτην ἐκέκτηντο, τῆς τῶν ἀσθενεστέρων ἂν ὠφελείας ἐπεμελήθησαν.

Σευηριανοῦ. Τοῦτο μὲν, ὃ οἶδα καὶ οἶδα, οὗ δεῖ σκοπεῖν· ὃ δὲ οἶδα, ὅτι δεῖ διὰ τὸν ἀσθενῆ μὴ ἐσθίειν, τοῦτο οὐκ οἴδατε

ὑμεῖς· ἐγὼ δὲ οἶδα· τί οὖν φυσιοῦσθε ὑπὲρ τῆς γνώσεως τῆς οὐ τοσοῦτον ἐχούσης, ὅσον ἡ ἐμὴ γνῶσις; ἐπάγει γοῦν, “εἰ δέ τις “δοκεῖ εἰδέναι τί” ἐν ὑμῖν, “οὐδέπω ἔγνωκεν καθὼς δεῖ γνῶναι·” αὐτίκα ὃ ἐγὼ οἶδα, σὺ οὐδέπω οἶδας· “εἰ δέ τις ἀγαπᾷ τὸν Θεὸν, “οὗτος ἔγνωσται ὑπ' αὐτοῦ.” ἡμεῖς μὲν ὅπερ ὡς ἄνθρωποι οἰηθῶμεν εἰδέναι, οὐδέπω οὐδὲν οἴδαμεν. τί δέ ἐστι τὸ μακάριον; τὸ ἀγαπᾶν τὸν Θεὸν, καὶ γινώσκεσθαι ὑπ' αὐτοῦ· οὐκ ἐπειδὴ ἀγνοεῖ τοὺς μὴ ἀγαπῶντας, ἀλλ' ὅτι οἰκειοῦται τοὺς ἀγαπῶντας. λαμβάνεται γὰρ τὸ τῆς γνώσεως καὶ ἐπὶ οἰκειώσεως· ὥσπερ τὸ τῆς ἀγνοίας καὶ ἐπὶ ἀλλοτριώσεως· οἷόν ἐστι τὸ ὑπὸ τοῦ Κυρίου ῥηθὲν τὸ “ἀπέλθετε, οὐδέποτε ἔγνων ὑμᾶς.”

Θεοδωρίτου. Πολλῆς ἡμῖν δεῖ γνώσεως, καὶ ταύτην λαβεῖν τελείαν κατὰ τὸν παρόντα βίον, τῶν ἀδυνάτων· ἀγαπήσωμεν τοίνυν τὸν Θεὸν, ἵνα τῆς παρ' αὐτοῦ τύχωμεν προμηθείας. καὶ γὰρ τοῦτο μετὰ πολλῆς τέθεικεν ἀκριβείας· οὐ γὰρ εἶπεν ὁ ἀγαπῶν τὸν Θεὸν, ἔγνων αὐτόν· ἀλλ' “ἔγνωσται ὑπ' αὐτοῦ·” ἀντὶ τοῦ τῆς παρ' αὐτοῦ κηδεμονίας τυγχάνει· οὕτω γὰρ καὶ ὁ μακάριος ἔφη Μωϋσῆς πρὸς αὐτὸν τὸν τῶν ὅλων Θεὸν, “σύ μοι εἶπας, εὗρες χάριν “παρ' ἐμοὶ, καὶ οἶδά σε παρὰ πάντας·” οὐκοῦν τὸ “ἔγνωσται “ὑπ' αὐτοῦ” τὴν πλείονα τοῦ Θεοῦ κηδεμονίαν δηλοῖ.

4 Περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι
οὐδὲν εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς Θεὸς ἕτερος εἰ
5 μὴ εἷς. καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ, εἴτε ἐν οὐ-
ρανῷ, εἴτε ἐπὶ τῆς γῆς, ὥσπερ εἰσὶ θεοὶ πολλοὶ, καὶ
6 κύριοι πολλοί· ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ
τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς Κύριος Ἰησοῦς
Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ.

Ἰωάννου. Οὐκ ἔστιν οὖν εἴδωλα; οὐκ ἔστιν ξοάνα; ἔστιν μὲν, ἀλλ' οὐκ ἔχει τινὰ ἰσχύν· οὐδὲ θεοί εἰσιν, ἀλλὰ λίθοι καὶ δαίμονες· πρὸς γὰρ ἀμφοτέρους ἀποτείνεται νῦν, καὶ τοὺς παχυτέρους αὐτῶν καὶ τοὺς δοκοῦντας φιλοσοφεῖν· ἐπειδήπερ οἱ μὲν οὐδὲν πλέον τῶν λίθων ἴσασιν, οἱ δὲ λέγουσι καὶ δυνάμεις τινὰς οἰκεῖν ἐν αὐτοῖς, ἃς καὶ θεοὺς καλοῦσιν. πρὸς μὲν ἐκείνους φησὶν, ὅτι “οὐδὲν εἴδωλον ἐν κόσμῳ·” πρὸς δὲ τούτους, ὅτι οὐδεὶς Θεὸς

εἰ μὴ εἷς· ὁρᾷς πῶς οὐχ ἁπλῶς δογματίζων γράφει ταῦτα, ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῶν ἔξωθεν; καὶ γὰρ τοῦτο πανταχοῦ χρὴ παρατηρεῖν, εἴτε ἀπολελυμένον λέγει τὶ, εἴτε πρός τινας ἱστάμενος· οὐδὲ γὰρ τὸ τυχὸν πρὸς τὴν τῶν λεγομένων κατανόησιν· "καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς, "ὥσπερ οὖν εἰσι θεοὶ πολλοὶ καὶ κύριοι πολλοί·" ἐπειδὴ εἶπεν οὐδὲν εἴδωλον καὶ οὐδεὶς Θεὸς ἕτερος. ἦν δὲ καὶ εἴδωλα, ἦσαν δὲ καὶ θεοὶ λεγόμενοι θεοὶ, ὥσπερ οὖν καί εἰσιν. οὐχ ἁπλῶς εἰσὶν, ἀλλὰ "λεγόμενοι·" οὐκ ἐν πράγματι, ἀλλ' ἐν ῥήματι τοῦτο ἔχοντες· "εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς·" ἐν οὐρανῷ τὸν ἥλιον λέγων καὶ τὴν σελήνην καὶ τῶν λοιπῶν τῶν ἄστρων χορόν· καὶ γὰρ καὶ ταῦτα προσεκύνησαν Ἕλληνες· ἐπὶ γῆς δὲ δαίμονας καὶ τοὺς ἐξ ἀνθρώπων θεοποιηθέντας ἅπαντας.

"Ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ Πατήρ· ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς "εἰς αὐτόν· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα· "καὶ ἡμεῖς δι' αὐτοῦ." πρότερον θεὶς χωρὶς τοῦ πρός τι, καὶ εἰπὼν οὐδεὶς Θεὸς ἕτερος εἰ μὴ εἷς, νῦν τοῦτο προστίθησιν, ὅτε παντελῶς ἐκείνους ἐξέβαλεν· εἶτα καὶ ὅπερ ἐστὶ δεῖγμα θεότητος, καὶ τοῦτο ἐπάγει· "ἐξ οὗ τὰ πάντα." τοῦτο γὰρ δεικνύει κἀκείνους οὐκ ὄντας θεούς. θεοὶ γάρ φησιν, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν· εἶτα καὶ τὸ τούτου οὐκ ἔλαττον προστίθησιν. "καὶ ἡμεῖς εἰς αὐτόν." ὅτ' ἂν μὲν γὰρ εἴπῃ "ἐξ οὗ τὰ πάντα," τὴν δημιουργίαν λέγει, καὶ τὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγήν· ὅτ' ἂν δὲ εἴπῃ "καὶ ἡμεῖς εἰς αὐτὸν," τὴν τῆς πίστεως καὶ τῆς οἰκειώσεως λέγει λόγον. ὃ καὶ ἔμπροσθεν ἔλεγεν, "ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ." διπλῶς γάρ ἐσμεν ἐξ αὐτοῦ· καὶ τὸ μὴ ὄντες, γενέσθαι, καὶ τὸ πιστοὶ γενέσθαι· καὶ γὰρ τοῦτο κτίσις· ὃ καὶ ἀλλαχοῦ φησὶν, "ἵνα τοὺς δύο κτίσῃ "ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον."

"Καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς "δι' αὐτοῦ." καὶ ἐπὶ τοῦ Χριστοῦ πάλιν ὁμοίως νοητέον· δι' αὐτοῦ γὰρ, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη τὸ τῶν ἀνθρώπων γένος, καὶ ἀπὸ πλάνης εἰς ἀλήθειαν ἐπανῆλθεν. ὥστε τὸ "ἐξ οὗ" τοῦτο οὐκ ἔστι χωρὶς τοῦ Χριστοῦ· ἐξ αὐτοῦ γὰρ διὰ τοῦ Χριστοῦ ἐδημιουργήθημεν· οὐ τοίνυν οὐδὲ τὰ ὀνόματα ὡς ἀποκεκληρωμένα

διεῖλεν· τῷ μὲν υἱῷ τὸ "Κύριος·" τῷ δὲ Πατέρι τὸ "Θεὸς" προσνέμων· οἶδεν γὰρ αὐτὸ καὶ ἐναλλάττειν ἡ γραφὴ πολλάκις· ὡς ὅτ' ἂν λέγῃ "εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου." καὶ πάλιν, "διὰ τοῦτο ἔχρισέν σε ὁ Θεὸς, ὁ Θεός σου." καὶ "ἐξ ὧν ὁ Χριστὸς, τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεός·" καὶ πολλαχοῦ ἂν ἴδοις ταῦτα τὰ ὀνόματα μεταβαίνοντα· εἰ δὲ ἀποκεκληρωμένα ἦν ἑκάστῃ φύσει, καὶ οὐχὶ Θεὸς ἦν ὁ Υἱὸς, καὶ Θεὸς ὡς ὁ Πατὴρ, μένων Υἱός· εἰπὼν, "ἀλλ' ἡμῖν εἷς Θεός·" περιττῶς προσετέθη τὸ "Πατὴρ," βουλόμενος γνωρίσαι τὸν ἀγέννητον. ἤρκει γὰρ τὸ "Θεός·" εἴγε αὐτοῦ μόνου ἦν γνωριστικὸν τοῦτο δηλῶσαι. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἕτερόν ἐστιν εἰπεῖν· εἰ γὰρ λέγεις, ἐπειδὴ εἷς Θεὸς εἴρηται, οὐχ ἁρμόσει τῷ Υἱῷ τὸ Θεὸς, ὅρα καὶ ἐπὶ τοῦ Υἱοῦ τὸ αὐτὸ κείμενον· καὶ γὰρ ὁ Υἱὸς εἷς Κύριος εἴρηται. καὶ οὐ διὰ τοῦτο αὐτῷ μόνῳ τὸ Κύριος ἁρμόττειν φαμέν· ὥστε ἣν ἔχει ἰσχὺν τὸ εἷς ἐπὶ τοῦ Χριστοῦ, ταύτην καὶ ἐπὶ τοῦ Πατέρος. καὶ καθάπερ οὐκ ἐξωθῆ τὸν Πατέρα τὸ Κύριον εἶναι, οἷος ὁ Υἱός ἐστι Κύριος, διὰ τὸ ἕνα αὐτὸν λέγεσθαι Κύριον τὸν Υἱόν· οὕτως οὐδὲ τὸν Υἱὸν ἐκβάλλει Θεὸν, τοῦ εἶναι Θεὸν, οἷός ἐστι Θεὸς ὁ Πατήρ· διὰ τὸ ἕνα Θεὸν λέγεσθαι τὸν Πατέρα.

Εἰ δέ τινες λέγοιεν, τίνος ἕνεκεν Πνεύματος οὐκ ἐμνημόνευσεν; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι πρὸς εἰδωλολάτρας ἦν ὁ λόγος αὐτῷ· καὶ περὶ θεῶν πολλῶν ὁ ἀγὼν, καὶ περὶ κυρίων πολλῶν. διὸ καὶ Θεὸν τὸν Πατέρα εἰπὼν, Κύριον τὸν Υἱὸν ἐκάλεσεν· εἰ τοίνυν τὸν Πατέρα οὐκ ἐτόλμησεν καλέσαι Κύριον, νῦν μετὰ τοῦ Υἱοῦ, ἵνα μὴ δύο παρ' ἐκείνους ὑποπτεύηται λέγειν Κυρίους· οὐδὲ τὸν Υἱὸν Θεὸν μετὰ τοῦ Πατέρος, ἵνα μὴ δύο νομίζηται λέγειν Θεοὺς, τί θαυμάζεις εἰ τοῦ Πνεύματος οὐκ ἐμνημόνευσεν; πρὸς γὰρ ἐκείνους ἦν αὐτῷ τέως ὁ ἀγὼν, καὶ τὸ δεῖξαι, ὅτι οὐκ ἔστι πολυθεία παρ' ἡμῖν. διὰ τοῦτο τὸ εἷς συνεχῶς κατέχει λέγων, "οὐδεὶς Θεὸς ἕτερος, εἰ μὴ εἷς." καὶ "ἡμῖν εἷς Θεὸς καὶ εἷς Κύριος." ὅθεν δηλονότι φειδόμενος τῆς ἀσθενείας τῶν ἀκουόντων, ταύτῃ ἐχρήσατο τῇ διασκευῇ· καὶ διὰ τοῦτο οὐδὲ τοῦ Πνεύματος ἐμνημόνευσεν. ἐπεὶ εἰ μὴ τοῦτό ἐστιν· οὐδὲ ἀλλαχοῦ μνησθῆναι ἔδει τοῦ Πνεύματος, οὐδὲ συντάττεσθαι αὐτὸ Πατέρι καὶ Υἱῷ. εἰ γὰρ ἀπέρριπται Πατέρος καὶ Υἱοῦ· πολλῷ μᾶλλον ἐπὶ τοῦ βαπτίσματος

αὐτὸ συντάττεσθαι οὐκ ἔδει, ἔνθα μάλιστα φαίνεται τὸ ἀξίωμα τῆς θεότητος, καὶ δωρεαὶ δέδονται Θεῷ προσήκουσαι μόνῳ παρέχειν.

Ἐγὼ μὲν οὖν τὴν αἰτίαν εἶπον, δι' ἣν ἐνταῦθα σεσίγηται· σὺ δὲ εἰ μὴ τοῦτό ἐστιν, εἰπὲ, διατί ἐν τῷ βαπτίσματι συντάττεται; ἀλλ' οὐκ ἂν ἔχοις ἑτέραν αἰτίαν εἰπεῖν, ἢ τὸ ὁμότιμον αὐτὸ εἶναι· ὅτ' ἂν οὖν μηδὲ μίαν ἔχῃ τοιαύτην ἀνάγκην, ὅρα πῶς αὐτὸ συντάττει οὕτω λέγων· "ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, "καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατέρος, καὶ ἡ κοινωνία τοῦ Ἁγίου "Πνεύματος εἴη μετὰ πάντων ὑμῶν·" καὶ πάλιν "διαιρέσεις δὲ "χαρισμάτων εἰσί· τὸ δὲ αὐτὸ Πνεῦμα. καὶ διαιρέσεις διακονιῶν "εἰσιν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, "ὁ δὲ αὐτὸς Θεός." ἀλλ' ἐπειδὴ πρὸς Ἕλληνας ὁ λόγος, καὶ τοὺς ἐξ Ἑλλήνων ἀσθενεστέρους, διὰ τοῦτο ταμιεύεται τέως. ὅπερ οὖν καὶ οἱ προφῆται ποιοῦσιν ἐπὶ τοῦ Υἱοῦ, οὐδαμοῦ σαφῶς αὐτοῦ μεμνημένοι, διὰ τὴν ἀσθενείαν τῶν ἀκουόντων.

ΘΕΟΔΩΡΙΤΟΥ. *Ὁ θεῖος Ἀπόστολος τὴν ἰσότητα δείκνυσιν· καὶ τὸ εἷς ὁμοίως ἐπὶ Πατέρος καὶ Υἱοῦ τεθεικὼς, καὶ τὴν Κύριος φωνὴν ἰσοδυναμοῦσαν τῇ Θεὸς ἐπιδείξας. οὕτω δὲ καὶ ἡ παλαιὰ γραφὴ τὰς προσηγορίας πάσας δείκνυσι συνημμένας· "ἐγὼ γάρ "εἰμι Κύριος σοῦ, ὁ ἐξαγών σε ἐκ τῆς Αἰγύπτου" καὶ "ἄκουε "Ἱερουσαλήμ· Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστίν." καὶ μυρία τοιαῦτα. ὁ τοίνυν οὕτως Θεὸς πάντως καὶ Κύριος. καὶ ὁ ὄντως Κύριος πάντως καὶ Θεός. ἀλλ' ὥστε οὐδὲ ἔστιν ἄλλος Θεὸς Πατήρ· εἷς γὰρ Θεὸς Πατήρ· οὐδὲ ἄλλος Κύριος Ἰησοῦς Χριστός· "εἷς γὰρ Κύριος Ἰησοῦς Χριστός·" τὸ δὲ "ἡμεῖς εἰς "αὐτόν·" ὅτι τοῦ πρὸς αὐτὸν ἀπεστράφθαι ὀφείλομεν εἰς αὐτὸν ἀφορᾶν, αὐτὸν διηνεκῶς ἀνυμνεῖν· τὸ δὲ "καὶ ἡμεῖς δι' αὐτοῦ·" οὐ τὴν δημιουργίαν, ἀλλὰ τὴν σωτηρίαν αἰνίττεται· δι' αὐτοῦ μὲν γὰρ τὰ πάντα. ἡμεῖς δὲ οἱ πεπιστευκότες, δι' αὐτοῦ τῆς σωτηρίας τετυχήκαμεν.*

ΦΩΤΙΟΥ. *"Ἐν κόσμῳ εἴδωλον οὐδέν ἐστιν·" τοῦτ' ἔστιν οὐδέν ἐστι τῶν ἐν κόσμῳ ὄντων τί εἴδωλον· ἐπινοίας δὲ ματαίας αναπλασμὸς καὶ ἀνατύπωσις· διὸ ἐν μόναις ταῖς τοιούτων διανοίαις ἡ τῶν εἰδώλων ὕπαρξις ἵδρυται· ἐν ἄλλῳ οὐδενὶ δυναμένοι ἔχειν τὴν ὑπόστασιν.*

7 Ἀλλ᾽ οὐκ ἐν πᾶσιν ἡ γνῶσις· τινὲς δὲ τῇ συνειδήσει τοῦ εἰδώλου ἕως ἄρτι ὡς εἰδωλόθυτον ἐσθίουσιν, καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται.

Ἰωάννου. Ποία αὕτη; ἡ περὶ τοῦ Θεοῦ· ἢ περὶ τῶν εἰδωλοθύτων; ἢ γὰρ τοὺς Ἕλληνας αἰνίττεται ἐνταῦθα τοὺς πολλοὺς λέγοντας θεοὺς καὶ κυρίους, καὶ οὐκ εἰδότας τὸν ὄντα Θεόν. ἢ τοὺς ἐξ Ἑλλήνων ἀσθενεστέρους ἔτι· τοὺς οὐδέπω σαφῶς εἰδότας ὅτι οὐ χρὴ δεδοικέναι τὰ εἴδωλα· καὶ ὅτι "οὐδὲν εἴδωλον ἐν "κόσμῳ·" τοῦτο δὲ εἰπὼν, ἠρέμα παρεμυθήσατο καὶ ἐπῆρεν τούτους· οὐδὲ γὰρ πάντα καθάπτεσθαι ἔδει, καὶ μάλιστα μέλλοντα αὐτῶν καθικνεῖσθαι σφοδρότερον· "τινὲς δὲ τῇ συνειδήσει τοῦ "εἰδώλου, ἕως ἄρτι ὡς εἰδωλόθυτον ἐσθίουσιν· καὶ ἡ συνείδησις "αὐτῶν ἀσθενὴς οὖσα μολύνεται·" ἔτι τρέμουσι τὰ εἴδωλα· μὴ γάρ μοι τὴν παροῦσαν εἴπῃς κατάστασιν, καὶ ὅτι ἐκ προγόνων τὴν εὐσέβειαν ἐδέξω· ἀλλὰ παράπεμψον τὴν διάνοιαν εἰς ἐκείνους τοὺς χρόνους· καὶ ἐννόησον ἄρτι τοῦ κηρύγματος καθισταμένου, καὶ τῆς ἀσεβείας ἔτι κρατούσης, καὶ βωμῶν καιομένων· καὶ θυσιῶν καὶ σπονδῶν ἐπιτελουμένων· καὶ τῶν πλειόνων Ἑλλήνων τοὺς ἐκ προγόνων διαδεξαμένους τὴν ἀσέβειαν· καὶ πολλὰ παρὰ τῶν δαιμόνων παθόντας κακὰ, ἀθρόον μεταστάντας, πῶς εἰκὸς ἦν διακεῖσθαι; πῶς δεδοικέναι καὶ τρέμειν τὰς τῶν δαιμόνων ἐπιβουλάς; οὓς καὶ αἰνιττόμενος ἔλεγεν, "τινὲς δὲ τῇ συνειδήσει τοῦ "εἰδώλου, ἕως ἄρτι ὡς εἰδωλόθυτον ἐσθίουσιν." τοῦτ᾽ ἔστιν μετὰ τῆς αὐτῆς διανοίας μεθ᾽ ἧς τὸ πρότερον· "καὶ ἡ συνείδησις αὐ"τῶν ἀσθενὴς οὖσα μολύνεται·" οὐδέπω δυναμένη καταφρονῆσαι, οὐδὲ καθάπαξ αὐτῶν καταγελάσαι, ἀλλ᾽ ἔτι διακρινομένη· ὥσπερ ἂν εἴ τις τοῦ νεκροῦ ἅπτεσθαι νομίζων μολύνειν ἑαυτὸν κατὰ Ἰουδαϊκὴν συνήθειαν ἑτέρους ὁρῶν ἁπτομένους μετὰ καθαροῦ συνειδότος, μὴ ἁπτόμενος μετὰ τῆς αὐτῆς γνώμης μολύνοιτο· οὕτω κακεῖνοι τότε ἔπασχον· "τινὲς γὰρ," φησὶ, "τῇ συνειδήσει τοῦ "εἰδώλου ἕως ἄρτι·" οὐχ ἁπλῶς τὸ "ἕως ἄρτι" τέθεικεν, ἀλλ᾽ ἵνα δείξῃ ὅτι οὐδὲν ἤρησαν μὴ συγκαταβαίνοντες. οὐδὲ γὰρ οὕτως αὐτοὺς ἐνάγειν ἐχρῆν, ἀλλ᾽ ἑτέρως πῶς λόγῳ πείθοντας καὶ διδασκαλίᾳ.

8 Βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ· οὔτε γὰρ ἐὰν
φάγωμεν, περισσεύομεν· οὔτε ἐὰν μὴ φάγωμεν, ὑστε-
9 ρούμεθα. βλέπετε δὲ μή πως ἡ ἐξουσία ὑμῶν αὕτη
10 πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν· ἐὰν γάρ τις ἴδῃ
σε, τὸν ἔχοντα γνῶσιν, ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ
ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς
11 τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; καὶ ἀπολεῖται ὁ ἀσθενῶν
ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι' ὃν Χριστὸς ἀπέθανεν.

Ἰωάννου. Ἵνα μὴ οἷα εἰκὸς, εἴπωσιν, ἐγὼ καθαρᾷ ἐσθίω συνειδήσει· καὶ τί μοί μέλει, εἴ τις δι' ἀσθένειαν σκανδαλίζεται; δείκνυσιν ὅτι καὶ αὐτὸ τὸ φαγεῖν ὡς ἐπὶ καταφρονήσει τῶν εἰδώλων οὐδὲν ὂν γενναῖον· κἂν γὰρ, φησὶν, μὴ ἠδικεῖτο ὁ ἀσθενῶν ἀδελφός. οὐδὲ οὕτω τι τῶν ἐπαινουμένων ἐποίεις, ἢ τῶν εἰς τὴν βασιλείαν εἰσαγαγεῖν δυναμένων· τί γάρ ἐστι φαγεῖν, ἢ μὴ φαγεῖν; "οὔτε γὰρ ἐὰν φάγωμεν περισσεύομεν·" τοῦτ' ἔστιν εὐδοκιμοῦμεν παρὰ τῷ Θεῷ ὡς ἀγαθόν τι ποιήσαντες καὶ μέγα· "οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα·" τοῦτ' ἐστιν οὐκ ἔλαττόν τι ἔχομεν· "βρῶμα ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ· οὔτε γὰρ ἐὰν "φάγωμεν, περισσεύομεν· οὔτε ἐὰν μὴ φάγωμεν, ὑστεροῦμεν·" εἶδες πῶς αὐτὸ ἐξευτέλισεν, ὃ ἐδόκουν ποιεῖν ἀπὸ θείας γνώσεως.

Σευηριανοῦ. Τὸ μὲν κατορθούμενον ὑμῖν οὐδέν. τὸ δὲ βλάπτον τοὺς ἀσθενεστέρους μέγα. βλέπετε δὲ μήπως ἡ ἐξουσία ὑμῶν αὕτη, πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν· διδάσκει δὲ καὶ τῆς βλάβης τὸν τρόπον· "ἐὰν γάρ τις ἴδῃ σὲ τὸν ἔχοντα γνῶσιν "ἐν εἰδωλείῳ κατακειμένον. οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς "ὄντος οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν;" ὑπέδειξεν δὲ τῆς βλάβης τὸ μέγεθος. "καὶ ἀπολεῖται ὁ ἀσθενῶν "ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει δι' ὃν Χριστὸς ἀπέθανεν."

Θεοδωρίτου. Ηὔξησε τὴν κατηγορίαν, ἵνα παύσῃ τὴν βλάβην. ὑπὲρ τούτου γάρ, φησιν, οὐ καταφρονεῖς ἀδελφοῦ; θάνατον ὃν Χριστὸς κατεδέξατο· σὺ δὲ παρὰ τοῦ Χριστοῦ τὴν γνῶσιν δεξάμενος ἀναιρεῖς τῷ δώρῳ τῶν ὑπ' αὐτοῦ σεσωμένων; πάλιν μέντοι κατ' εἰρωνείαν τὸ "ἐπὶ τῇ σῇ γνώσει" τέθεικεν· οὐ γὰρ

γνῶσιν αὐτῷ προσμαρτυρεῖ, ἀλλὰ μισαδελφίαν καὶ γαστριμαργίαν καὶ τὰ τοιαῦτα.

12 Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτον-
τες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν
13 ἁμαρτάνετε. δι' ὅπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελ-
φόν μου, οὐ μὴ φάγω κρέα εἰς αἰῶνα, ἵνα μὴ τὸν
ἀδελφόν μου σκανδαλίσω.

ΘΕΟΔΩΡΙΤΟΥ. *Αὐτοῦ γάρ ἐστι τοῦ δεσπότου φωνὴ, "ὁρᾶτε μὴ "καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων τῶν ἐλαχίστων, τῶν "πιστευόντων εἰς ἐμέ." αἰνίττεται δὲ καὶ ἕτερον ὁ λόγος· ὅτι καὶ ὁ ἀσθενῶν ἀδελφὸς εἰς τὸ τοῦ δεσπότου σῶμα τελεῖ. τοῦ γὰρ δεσποτικοῦ μεταλαγχάνει σώματος· οἰκειοῦται δὲ ἡ κεφαλὴ τοῦ μέλους τὴν ἀδικίαν. εἶτα ἀρχέτυπον ὠφελείας προτίθησιν ἑαυτὸν, καὶ διδάσκει πόσα ποιεῖν δυνάμενος, διὰ τὴν ἑτέρων οὐ πεποίηκεν ὠφέλειαν· "διὸ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, ἵνα μὴ "τὸν ἀδελφόν μου σκανδαλίσω," οὐ γὰρ μόνου εἰδωλοθύτου, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων κρεῶν, οὐδὲ νῦν μόνον, ἀλλὰ διηνεκῶς ἀποστῆναι ἂν ἑλοίμην, τῆς τῶν ἀδελφῶν εἵνεκα σωτηρίας.*

ἸΩΑΝΝΟΥ. *Οὐκ εἶπεν σκανδαλίζοντες, ἀλλ' ὃ ὠμότερον ἦν, "τύπτοντες." τί γὰρ ὠμότερον τοῦ τύπτοντος ἀσθενῆ;*

ΤΟΥ ΑΥΤΟΥ. *Πῶς εἰς Χριστὸν ἁμαρτάνουσιν; ὅτι τὰ τῶν οἰκετῶν ὡς δεσπότης οἰκειοποιεῖται· καὶ ὅτι εἰς τὸ σῶμα αὐτοῦ τελοῦσιν οἱ πληττόμενοι· καὶ ὅτι ὃ διὰ τῆς οἰκείας κατώρθωσεν σφαγῆς, σὺ διὰ βρωμάτων καταλύεις.*

ΤΟΥ ΑΥΤΟΥ. *Τοῦτο μάλιστα ἀρίστου διδασκάλου, τὸ ἐξ αὐτοῦ παιδεύειν ὑμᾶς, φησὶν, οὐδὲ εἰδωλοθύτων τῶν καὶ ὅλως ἀπηγορευμένων φείδεσθαι, ὑπὲρ τοῦ μὴ σκανδαλίσαι ἀδελφόν· ἐγὼ δὲ τί λέγω εἰδωλοθύτων; οὔτε ἄλλου ἂν ἀψαίμην κρέως, εἰ ἄρα ἐκ τούτου σκανδαλίζεταί τις. ἡ δὲ παραίτησίς μοι ἔσται αἰωνία.*

ΤΟΥ ΑΥΤΟΥ. *Ἐπειδὴ εἶπεν "εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελ-"φόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα," ἵνα μή τις νομίσῃ ὅτι φιλοτιμία ῥημάτων αὕτη, οὐκ ἂν γὰρ καὶ ἔργῳ αὐτὰ ἐπλήρωσεν, ἀναγκάζεται λοιπὸν δεῖξαι πῶς καὶ τῶν συγκεχωρημένων*

ἀπέσχετο, ὑπὲρ τοῦ μὴ σκανδαλίσαι τινάς· τί γάρ, φησιν, χρὴ λέγειν περὶ εἰδωλοθύτων; αὐτοῦ τοῦ Χριστοῦ ἐπιτάξαντος· τὸν κηρύσσοντα ἐκ τοῦ εὐαγγελίου ἐσθίειν; τοῦτ᾽ ἔστι παρὰ τῶν μαθητευομένων, εἱλόμην εἰ δέοι καὶ λιμῷ φθαρῆναι, καὶ μηδὲν παρ᾽ ὑμῶν λαβεῖν· οὐκ ἐπειδὴ παρέχοντές μοι φησὶν σκανδαλίζεσθε, ἀλλ᾽ ἵνα πλεῖον οἰκοδομεῖσθε, ὁρῶντές με ἀδάπανον ὄντα ὑμῖν· ὥστε, φησὶν, καὶ νόμου θείου ἐπιτρέποντός μοι λαμβάνειν, διὰ τὴν ὑμῶν οἰκοδομὴν οὐδὲν εἱλόμην παρ᾽ ὑμῶν λαβεῖν, ἀλλὰ ταῖς χερσί μου ἐκοπίων ἐργαζόμενος καὶ ἀποτρεφόμενος. ἰδοὺ τέως ἀπέδειξεν ἀληθεύων. λοιπὸν δὲ καὶ ἄλλο κατασκευάζει· εἰ ἐγώ, φησιν, οὕτως, ὑμεῖς οὐδὲ εἰδωλοθύτων ἀπέχεσθε πρὸς τὸ μὴ τοὺς ἀσθενεῖς τῶν ἀδελφῶν σκανδαλίζειν, μᾶλλον δὲ ἀπολύειν. πολλῶν δὲ στιχῶν περιέκτική ἐστιν ἡ ἔννοια τῆς παραγραφῆς ταύτης[u].

1 Οὐκ εἰμὶ Ἀπόστολος; οὐκ εἰμὶ ἐλεύθερος; οὐχὶ
Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν ἑώρακα; οὐ τὸ
2 ἔργον μου ὑμεῖς ἐστε ἐν Κυρίῳ; εἰ ἄλλοις οὐκ εἰμὶ
Ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμί· ἡ γὰρ σφραγὶς τῆς
3 ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστὲ ἐν Κυρίῳ· ἡ ἐμὴ ἀπολογία
τοῖς ἐμὲ ἀνακρίνουσιν αὕτη ἐστίν.

ΘΕΟΔΩΡΙΤΟΥ. "Οὐκ εἰμὶ Ἀπόστολος;" τοῦτ᾽ ἔστι θεόθεν τὴν χειροτονίαν δεξάμενος. "οὐκ εἰμὶ ἐλεύθερος;" ἀντὶ τοῦ, οὐχ ὑπὸ τὴν ἑτέρου ἐξουσίαν τελῶν; οὐδὲ μαθητοῦ τάξιν ἐπέχων, ἀλλὰ τὴν οἰκουμένην πεπιστευμένος· καὶ ἐπειδὴ μετὰ τὴν ἀνάληψιν τοῦ Σωτῆρος ἐκλήθη, εἶχον δὲ δόξαν οἱ Ἀπόστολοι παρὰ πᾶσι μεγίστην, ὡς τῆς τοῦ Κυρίου θέας ἠξιωμένοι, ἀναγκαίως καὶ τοῦτο προστέθεικεν· "οὐχὶ Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν ἑώρακα;" εἶτα καὶ αὐτοὺς εἰς μαρτυρίαν καλεῖ· "οὐ τὸ ἔργον μου ὑμεῖς "ἐστὲ ἐν Κυρίῳ;" καὶ τὸ αὐτὸ πλατύτερον λέγει· "εἰ ἄλλοις "οὐκ εἰμὶ Ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμί." συντόμως μὲν αὐτὸ τέθεικεν, πολλὰ δὲ κατὰ ταυτὸν εἴρηκεν· καὶ τοῖς ὑπὲρ τὴν διδασκαλίαν πόνοις, καὶ τοὺς ὑπὲρ ταύτης ἀγῶνας, καὶ τὰ παντο-

[u] Edd. Œcum. add. καὶ ἐκτείνεται ἕως τοῦ ἐλεύθερος ὢν ἐκ πάντων.

δαπὰ παθήματα, καὶ τὰς θαυματουργίας τῆς χάριτος, ὧν ἦσαν μάρτυρες ἀληθεῖς οἱ Κορίνθιοι, αὐτόπται τούτων γεγενημένοι. οὗ δὴ χάριν ἔφη, " εἰ ἄλλοις οὐκ εἰμὶ Ἀπόστολος, ἀλλά γε ὑμῖν " εἰμί." εἰ γὰρ καὶ μηδένα ἕτερον ἔχω μάρτυρα, ἡ ὑμετέρα μοι ἀπόχρη μαρτυρία. " ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς " ἐστε." ἀπόδειξιν γὰρ τῶν ἀποστολικῶν κατορθωμάτων, τὴν ὑμετέραν ἔχω μεταβολήν· σφραγίδα γὰρ ἀπόδειξιν καὶ τὴν βεβαίωσιν καλεῖ· οὕτω καὶ ὁ θεσπέσιος Ἰωάννης ἔφη· " ὁ λαβὼν αὐτοῦ " τὴν μαρτυρίαν, ἐσφράγισεν ὅτι ὁ Θεός ἀληθής ἐστιν." τοῦτ' ἔστιν ἐβεβαίωσεν. " ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν ἔστιν " αὕτη." εἴ τις τοὺς ἐμοὺς ἀνακρῖναι βούλεται πόνους, ὑμᾶς εἰς μαρτυρίαν καλῶ. ἀρκεῖ γάρ μοι τὸ ὑμέτερον ἔργον εἰς μαρτυρίαν τῶν πόνων.

Ἰωάννου. Εἶτα ἵνα μὴ λέγωσιν ὅτι εἰ καὶ ἐβούλου λαβεῖν οὐκ ἐξῆν σοι, διὰ τοῦτο οὖν φησὶν, οὐκ εἴληφας· ἵνα τί, φησὶν, οὐκ ἐξῆν μοι, οἱ ἄλλοι Ἀπόστολοι οὐ τρέφονται ἐκ τοῦ Εὐαγγελίου; ναί φησίν. τί οὖν; " ἐγὼ οὐκ εἰμὶ Ἀπόστολος;" τοῦτ' ἔστιν ὡς ἐκεῖνοι· " οὐκ εἰμὶ ἐλεύθερος;" τοῦτ' ἔστιν μὴ ὑπό τινά εἰμι τὸν κωλύοντά με λαβεῖν; εἶτα ἵνα μὴ λέγωσιν ὅτι οἱ ἄλλοι Ἀπόστολοι πλέον ἔχουσιν τῷ τὸν Χρίστον ἑωρακέναι καὶ συναναστραφῆναι αὐτῷ, ἐπάγει· " οὐχὶ Ἰησοῦν Χρίστον τὸν Κύριον ἡμῶν " ἑώρακα;" ὥστε μή τε ἐν τούτῳ ἔλαττον ἔχειν τῶν Ἀποστόλων τῶν λοιπῶν· " ἔσχατον γὰρ," φησὶν, πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθηκέ μοι.

Τοῦ αὐτοῦ. Καί τοι φησὶν, ἔξεστί μοι λέγειν ὅτι ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ καὶ κύκλῳ πεπλήρωκα τὸ Εὐαγγελίον τοῦ Χριστοῦ· ἀλλὰ τέως οὐ λέγω· μὴ κἂν ὑμῶν οὐ γέγονα Ἀπόστολος; εἰ γὰρ ἄλλων οὐκ εἰμί· ὑμῶν τέως εἰμί· ἀλλ' ὅμως οὐδὲν παρ' ὑμῶν εἴληφα· εἰς τοῦτο γὰρ ὁρᾷ τὸ ἀποτέλεσμα αὐτῷ· ὅθεν, φησὶν, " ἡ σφραγὶς τῆς ἐμῆς Ἀποστολῆς ὑμεῖς ἐστε·" τοῦτ' ἔστιν, εἰ βούλεταί τις μαθεῖν εἰ εἰμὶ Ἀπόστολος, ὑμᾶς εἰς ἀπόδειξιν προβάλλομαι· πάντα γὰρ τοῦ Ἀποστόλου ἐν ὑμῖν ἐπεδειξάμην· καὶ σημεῖα ποιήσας, καὶ διδάξας τὴν πίστιν, καὶ κινδύνους ὑπομείνας, καὶ βίον ἀνεπίληπτον ἐπιδείξας· ταῦτα γὰρ

καὶ τὰ τοιαῦτα σφραγίζει καὶ ἐκτυποῖ τὸν Ἀπόστολον καὶ ἀποδείκνυσιν.

—— Τοῦ αὐτοῦ. *Τοῖς ζητοῦσι μαθεῖν πόθεν δῆλον ὅτι τὰ τοῦ Ἀποστόλου σημεῖα ἐπεδειξάμην· ἢ πόθεν δῆλον ὅτι ἀδάπανον κεκήρυκα τὸ Εὐαγγέλιον· ὑμᾶς εἰς ἀπόδειξιν προβαλοῦμαι· τοῦτο γάρ ἐστιν ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν. αὕτη ἐστὶν ἡ εἰς ὑμᾶς Ἀποστολή.*

Φωτίου. *Εἶτα ἵνα μὴ λέγωσιν, εἰ καὶ Ἀπόστολος εἶ, οὐδὲν μέντοι ἔργον ἐπεδείξω· πῶς φησὶν, "οὐ τὸ ἔργόν μου ὑμεῖς ἐστε;" τοῦτ' ἔστιν, οὐκ ἐργασίαν Ἀποστόλοις πρέπουσαν ἐπεδειξάμην εἰς ὑμᾶς ἐπιστρέψας ὑμᾶς; ὅπερ ἐν Κυρίῳ διὰ Χριστὸν πέπραχα.*

4 5 Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν; μὴ οὐκ
ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ
λοιποὶ Ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου, καὶ
6 Κηφᾶς; ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξου-
7 σίαν τοῦ μὴ ἐργάζεσθαι; τίς στρατεύεται ἰδίοις ὀψω-
νίοις ποτέ; τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ
αὐτοῦ οὐκ ἐσθίει; ἢ τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ
γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει;

Ἰωάννου. *Πῶς ταῦτα ἀπολογία, ὅτ' ἂν φαίνομαι καὶ τῶν συγκεχωρημένων ἀπεχόμενος, οὐκ ἂν εἴην δικαίως ὑποπτεύεσθαι, ὡς ἀπατεὼν, ἢ ὡς ἐπὶ χρήμασί τι ποιῶν; τά τε οὖν ἔμπροσθεν εἰρημένα καὶ ἡ ἡμετέρα διδασκαλία, καὶ ταῦτα ἃ εἶπον, ἀρκεῖ εἰς ἀπολογίαν ἡμῖν.*

Θεοδωρίτου. *Τὸ φαγεῖν καὶ πιεῖν ἐκ τοῦ Εὐαγγελίου λέγει· βούλεται δὲ διδάξαι ὅτι δυνάμενος κατὰ τὸν δεσποτικὸν νόμον παρὰ τῶν μαθητῶν κομίζεσθαι τὴν ἀναγκαίαν τροφὴν διὰ τὴν τῶν μαθήτων ὠφέλειαν· τὸ δὲ "ἀδελφὴν γυναῖκα περιάγειν" τινὲς οὕτως ἡρμηνεύσαν, ὅτι καθάπερ τῷ Κυρίῳ εἵποντο γυναῖκες πισταὶ τὴν ἀναγκαίαν τοῖς μαθηταῖς χορηγοῦσαι τροφὴν, οὕτω καί τισι τῶν Ἀποστόλων ἠκολούθουν τινὲς, θερμοτέραν ἐπιδεικνύμεναι πίστιν, καὶ τῆς τούτων διδασκαλίας ἐξηρτημέναι, καὶ τῷ θείῳ συνεργοῦσαι κηρύγματι.*

Τοῦτο καὶ Θεόδωρος. Τοῦ αὐτοῦ. Ἀντὶ τοῦ πάθειν πᾶσιν ὁ Χριστὸς ἐπέτρεψεν τοῖς τὸ Εὐαγγέλιον καταγγέλλουσιν ἐκ τοῦ Εὐαγγελίου ζῆν· καὶ μόνοι ἡμεῖς ταύτης ἐστερήμεθα τῆς ἐξουσίας· εἶτα ἀπὸ τῶν κατὰ τὸν βίον ἐπιτηδευμάτων, δίκαιον τοῦτο καὶ ἀναγκαῖον δείκνυσιν.

Ὠριγένους. Ὡς μὲν στρατιώτης θεοσεβὴς φησὶν ὁ Ἀπόστολος τὸ "τίς στρατεύεται ἰδίους ὀφωνίοις ποτέ;" ὡς δὲ Θεοῦ γεώργιαν πεπιστευμένος καὶ γεωργῶν τὴν ἐκκλησίαν, τὸ "τίς "φυτεύει ἀμπελῶνα καὶ τὸν καρπὸν αὐτοῦ οὐκ ἐσθίει;" ὡς δὲ μαθητὴς τοῦ καλοῦ ποιμένος καὶ τεθεικότος τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, τὸ "τίς ποιμαίνει ποίμνην καὶ ἐκ τοῦ γάλακτος τῆς "ποίμνης οὐκ ἐσθίει;" καὶ ὡς μὲν στρατιώτης διδάσκει καὶ ἡμᾶς στρατεύεσθαι λέγων, "οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ "βίου πραγματίαις· ἵνα τῷ στρατολογήσαντι ἀρέσκῃ." ὡς δὲ γεωργὸς διδάσκει καὶ ἡμᾶς γεωργεῖν· "ἐγὼ ἐφύτευσα, Ἀπολλὼς "ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξανεν." περὶ δὲ ποιμένων οἱ προφῆται ἡμᾶς ἐδίδαξαν, τῶν ἀγαθῶν τοὺς μισθοὺς διηγούμενοι, καὶ τῶν ἄλλως ποιμαινόντων τὰς κολάσεις ἀπαγγέλλοντες.

Καὶ δόξει μὲν ὁ Ἀπόστολος διὰ τούτων τῷ μὴ προσέχοντι τῇ γραφῇ, ἐπιλελῆσθαι τοῦ προκειμένου· τὸ δὲ ἀληθὲς οὐχ οὕτως ἔχει· ἀλλ' ἔχεται τοῦ λόγου. περὶ εἰδωλοθύτων πρόκειται αὐτῷ διδάσκειν, ἵνα κἂν γνῶσιν τίς ἐπαγγελλόμενος φάσκῃ μὴ βλάπτεσθαι ἀπὸ τῆς τῶν εἰδωλοθύτων χρήσεως· αἴτιος δὲ ἑτέροις βλάβης γίνεται, ὀφείλει πεφροντικέναι τοῦ πέλας, ἵνα μὴ τῇ προφάσει αὐτοῦ ἄλλοι ἀπολλύονται· εἰς τοῦτο παραλαμβάνει τὰ παραδείγματα καὶ λέγει· οὐ πάντως ἐὰν τινος ἐξουσίαν ἔχωμεν, ὀφείλομεν καταχρᾶσθαι τῇ ἐξουσίᾳ. εἴτε γὰρ στρατιώτης ἐστὶν, οὐ στρατεύεται, ὥστε μηδὲν τοῖς ὀψωνίοις περιποιεῖν ἑαυτῷ· εἴτε γεωργὸς, οὐκ ἀρκεῖται τῷ μισθῷ, ἀλλ' ἐσθίει ἀπὸ τῆς σταφυλῆς· εἴτε ποιμὴν, πρὸς τῷ μισθῷ μεταλαμβάνει τοῦ γάλακτος· οὕτως κἀγὼ ὀφείλω πρὸς ταῖς ἀποκειμέναις μοὶ ἐπαγγελίαις ἐκ τοῦ καλῶς ἐστρατεύεσθαι ἢ γεωργεῖν ἢ ποιμαίνειν, μεταλαμβάνειν ἐν τῷ κόσμῳ τούτῳ τῶν πρὸς τὰς χρείας ἀπὸ τῶν ὑπ' ἐμοὶ στρατιωτῶν, τῶν γεωργουμένων, τῶν ποιμαινομένων· ἀλλ' ὅμως εἰ καὶ

ἐξουσίαν ἔχω τῶν πρὸς τὰς χρείας σκοπῶν τὸ τῆς οἰκοδομῆς τῶν ἀνθρώπων, οὐ καταχρῶμαι τῇ ἐξουσίᾳ· εὐλαβούμενος ἐκκοπήν τινα δοῦναι τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ. ἢ καὶ δίδωμι πρόφασιν τοῖς περιπατοῦσι ἀτάκτως καὶ μηδὲν ἐργαζομένοις. ὥσπερ οὖν ἐγὼ οὐ χρῶμαι τῇ ἐξουσίᾳ ᾗ ἔλαβον ἀπὸ τοῦ λόγου, τὸν αὐτὸν τρόπον καὶ ὑμεῖς οἱ φάσκοντες εἶναι σοφοὶ, ὀφείλετε μὴ χρᾶσθαι τῇ ἐξουσίᾳ, ἀλλὰ προνοεῖσθαι τῆς τῶν πέλας οἰκοδομῆς. εἰ δὲ ἀμαρτυρός τισιν ὁ λόγος εἶναι νομίζεται, καὶ κατὰ λογισμὸν ἀνθρώπινον λεγέσθαι, ἀκουέτω τοῦ νόμου λέγοντος "οὐ φιμώσεις βοῦν "ἀλοῶντα," καὶ τὰ ἑξῆς.

Ἰωάννου. Οὐκ εἶχον, φησὶν, ἐξουσίαν φαγεῖν καὶ πιεῖν ἐκ τῶν μαθητευομένων; τοῦτο γὰρ ὁ Χριστὸς ἐκέλευσεν· ἀλλ' ὅμως ἀπεσχόμην διὰ τὸ μὴ σκανδαλισθῆναι ὑμᾶς.

Τοῦ αὐτοῦ. Αἱ εὔποροι γυναῖκες πιστεύουσαι ἠκολούθουν ἐνίοις τῶν Ἀποστόλων εἰς τὰς ἀναγκαίας αὐτῶν χρείας χορηγοῦσαι· ὡς αὐτοὺς λοιπὸν ὄντας περὶ τοῦτο ἀμερίμνους, μόνῳ τῷ κηρύγματι ἀπησχολῆσθαι· ὅρα δὲ ὅτι τὸν κορυφαῖον ἔσχατον τέθεικεν· τοῦτο αἰνιττόμενος· καὶ τί, φησὶν, τοὺς ἄλλους μὴ λέγειν· αὐτὸς ὁ Πέτρος οὐ τοῦτο ποιεῖ;

Τοῦ αὐτοῦ. Ἀδελφοὺς τοῦ Κυρίου λέγει τοὺς νομισθέντας εἶναι αὐτοῦ ἀδελφούς· ἐπειδὴ γὰρ οὗτος ὁ χρηματίζων καὶ αὐτὸς κατὰ τὴν κοινὴν δόξαν εἶπεν αὐτούς· τοὺς δὲ υἱοὺς Ἰωσὴφ λέγει, οἳ ἀδελφοὶ τοῦ Κυρίου ἐχρημάτισαν, διὰ τὴν πρὸς τὴν θεοτόκον μνηστείαν τοῦ Ἰωσήφ· λέγει δὲ Ἰάκωβον ἐπίσκοπον Ἱεροσολύμων καὶ Ἰωσὴφ ὁμώνυμον τῷ πατέρι, καὶ Σίμωνα καὶ Ἰούδα.

Τοῦ αὐτοῦ. Εἰδὼς τὸν Βαρνάβαν κοινωνοῦντα αὐτῷ τῆς ἀκριβείας ταύτης, οὐκ ἀπέκρυψεν.

Τοῦ αὐτοῦ. Τίς, φησὶν, στρατευόμενος ἄποθεν τρέφεται καὶ οὐκ ἐκ τῆς στρατείας; καλῶς δὲ τὸ τοῦ στρατιώτου πρότερον τέθεικεν· τοῦτο γὰρ ἁρμόδιον τῇ ἀποστολῇ διὰ τοὺς ἐν αὐτῇ κινδύνους καὶ τὸν πόλεμον τῶν νοητῶν ἐχθρῶν. ταῦτα πάντα τὰ παραδείγματα δείκνυσι χρῆναι τὸν διδάσκαλον ἐκ τῶν μαθητευομένων ἐσθίειν· ὥσπερ τὸν στρατιώτην ἐκ τῆς στρατιᾶς, καὶ τὸν φιτεύσαντα ἀμπελῶνα ἐκ τοῦ καρποῦ τοῦ ἀμπελῶνος· καὶ τὸν

ποιμαίνοντα ποίμνην ἐκ τοῦ γάλακτος τῆς ποίμνης· ἀλλ' ὅμως, φησὶν, καὶ τοῦ δικαίου τοῦτο βουλομένου, καὶ τοῦ Χριστοῦ κελεύοντος, ἐγὼ ἀδαπάνως ὑμῖν ἐκήρυξα, ἵνα μή τινας σκανδαλίσω· ἐγὼ τοιγαροῦν καὶ τῶν ἐπιτετραμμένων ἀπεσχόμην διὰ τὴν ὑμετέραν οἰκοδομίαν· ὑμεῖς δὲ οὐδὲ εἰδωλοθύτων ἀπέχεσθε, διὰ τὸ μὴ βλάπτειν τοὺς ἀδελφούς· οὗτος γὰρ ὁ σκοπός ἐστιν αὐτῷ εἰς ὅλον τοῦτο τὸ χωρίον.

Φωτίου. "Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν "τοῦ μὴ ἐργάζεσθαι;" τοῦ τὰ πρὸς τροφὴν καὶ αὐτάρκειαν ἀπὸ τοῦ κηρύγματος πορίζεσθαι· ἀλλ' ὅμως ἔχοντες ἐξουσίαν οὐ χρώμεθα τῇ ἐξουσίᾳ, ἵνα μᾶλλον ὑμᾶς ὠφελήσωμεν, ἀδάπανον κηρύσσοντες τὸ Εὐαγγέλιον· εἰ δὲ τοῦτο, δῆλον ὅτι εἰ καὶ συνήδειν σκανδαλιζομένους ὑμᾶς ἕνεκεν κρεοφαγίας, καίτοι ἀκόλουθον ὂν, οὐκ ἂν ἔφαγον εἰς τὸν αἰῶνα, ἵνα μὴ σκανδάλου πρόξενος γενοίμην τῷ ἀδελφῷ. εἰ δὲ τοῦτο, πόσῳ μᾶλλον δεῖ φυλάττεσθαι ὑμᾶς ἐκ τῶν εἰδωλοθύτων, δι' ὧν οὐ μόνον οἱ ἀδελφοὶ σκανδαλίζονται, ἀλλὰ καὶ τὰς συνειδήσεις μολύνουσιν· τὸ δὲ "ἢ μόνος ἐγὼ καὶ Βαρ"νάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι;" οἰκειότερόν ἐστι τῆς λέξεως οὕτως ἐκλαβεῖν· οἱ μὲν οὖν ἄλλοι Ἀπόστολοι, φησὶν, ἐξουσίαν ἔχουσι μὴ ἐργάζεσθαι, μὴ δὲ κοπιᾶν ταῖς χερσὶν, ἀλλ' ἐκ τῶν διακονούντων αὐτοῖς διατρέφεσθαι· ἐγὼ δὲ καὶ Βαρνάβας, ὡς φαίνεται, φησὶν, οὐκ ἔχομεν ἐξουσίαν μὴ ἐργάζεσθαι, ἀλλ' ἀνάγκη ταῖς χερσὶ κοπιῶντας, οὕτως αὐτοῖς τὰ πρὸς τὴν ἀναγκαίαν χρείαν ἐπαρκεῖν.

8 Μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ; ἢ οὐχὶ καὶ ὁ νό-
9 μος ταῦτα λέγει; ἐν γὰρ τῷ Μωσέως νόμῳ γέγραπται,
Οὐ φιμώσεις βοῦν ἀλοῶντα. μὴ τῶν βοῶν μέλει τῷ
10 Θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει; δι' ἡμᾶς γὰρ ἐγράφη,
ὅτι ἐπ' ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν ἀροτριᾶν, καὶ ὁ ἀλοῶν
τῆς ἐλπίδος αὐτοῦ μετέχειν ἐπ' ἐλπίδι.

Ὠριγένους[a]. Οὐκ οὖν δι' ἡμᾶς τοὺς τὴν καινὴν διαθήκην παρειληφότας εἴρηται ταῦτα· καὶ περὶ ἀνθρώπων γέγραπται πνευ-

[a] Ꝑ Cod.

ματικῶς, τοῦ ῥητοῦ νοουμένου κατὰ τὸν θεῖον Ἀπόστολον· τίς δὲ ὁ νοῦς, "ὅτι ὀφείλει ἐπ' ἐλπίδι ὁ ἀροτριῶν ἀροτριᾷν· καὶ ὁ ἀλοῶν "ἐπ' ἐλπίδι μετέχειν;" ἀροτριᾷ Παῦλος ὁ γεωργὸς κατηχουμένου ψυχὴν νεώματα ποιῶν ἐν τῇ ψυχῇ αὐτοῦ, κατὰ τὸν θεῖον Ἱερεμίαν[b] τὸν φάσκοντα "νεώσατε ἑαυτοῖς νεώματα," πρὸς ὑποδοχὴν δηλονότι σπερμάτων, περὶ ὧν γέγραπται· "ἐξῆλθεν ὁ σπείρων "τοῦ σπεῖραι." καὶ μετὰ τοῦ σπεῖραι τὰ νεωθέντα, ἐπιτηρῶ φησὶν τὰ σπέρματα, μήποτε ἐλθόντα τὰ πετεινὰ τοῦ οὐρανοῦ ἄρῃ τὸν σπόρον· καὶ ὅτ' ἂν καρποφορήσῃ καὶ ποιήσῃ καρποὺς δικαιοσύνης, καὶ ὅτε λευκή ἐστιν ἤδη πρὸς θερισμὸν, ἔξεστί μοι λοιπὸν λαβεῖν. οὐ γὰρ σκανδαλισθήσεται ἐπὰν μνησθῇ ὅσα κέκμηκα, ἵνα αὐτοῦ τὴν ψυχὴν ἀροτριάσω, ἵνα σπείρω πῶς ἐπέμεινα μέχρις οὗ ἔλθῃ ὁ σπόρος αὐτοῦ τελειωθεὶς ἐπὶ τὴν ἅλω· καὶ διὰ τοῦτο λαμβάνειν μοι ἐξέστιν ἀπ' αὐτοῦ τροφάς· ἀλλ' οὐ πάντως κέχρημαι τῇ ἐξουσίᾳ· ἀλλ' ἐπ' ἐλπίδι τοῦτο ποιῶ, παραστῆσαι τὸ γέννημα τῷ οἰκοδεσπότῃ· γεωργὸς γάρ εἰμί· οὐχ ἵνα τὰ ὀφειλόμενα ἀποδοθῆναι τῷ Θεῷ, εἰς τὰς ἐμὰς λάβω ἀποθήκας· εἶτα τί περὶ τοῦ αὐτοῦ ὁ Ἀπόστολος διδάσκων φησὶν, "εἰ ἡμεῖς "ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα," καὶ τὰ ἑξῆς.

ΘΕΟΔΩΡΙΤΟΥ. Οὐ τοῦτο λέγει, ὅτι τῶν βοῶν οὐ μέλει τῷ Θεῷ· *μέλει γὰρ αὐτῷ· ἀλλὰ δι' ἡμᾶς μέλει· δι' ἡμᾶς γὰρ κακείνους ἐδημιούργησεν· διὸ καὶ ὁ μακάριος ἔφη Δαβὶδ, "τῷ ἐξαντέλ-"λοντι ἐν ὄρεσι χόρτον καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων." φησὶν οὖν τὰ πολλῷ μείζονα δεδωκότες, ἁμαρτάνωμεν εἰ τὰ πολλῷ ἐλάττονα λάβοιμεν.*

ἸΩΑΝΝΟΥ. Ἐπειδὴ *τὸ τρέφεσθαι ἐκ τῶν μαθητευομένων ἔδειξεν ἐξεῖναι αὐτῷ, καὶ τοὺς λοιποὺς Ἀποστόλους τοῦτο ποιεῖν, καὶ τὴν κοινὴν βούλεσθαι συνήθειαν, λοιπὸν θέλει καὶ ἀπὸ γραφικῆς μαρτυρίας αὐτὸ πιστώσασθαι· καὶ φησὶ, "μὴ κατὰ ἄνθρωπον "ταῦτα λαλῶ;" τοῦτ' ἔστι, μὴ τοῖς ἀνθρώποις μόνον τοῦτο δοκεῖ; ἢ ἐξ ἀνθρωπίνων παραδειγμάτων τοῦτο ἔχω συστῆναι τῷ λόγῳ; οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει;*

ΤΟΥ͂ ΑΥ̓ΤΟΥ͂. Τίνος *ἕνεκεν ἐμνήσθη τῶν βοῶν; τὸ τῶν ἱερέων*

[b] Cap. iv. 4.

ὑπόδειγμα ἔχων· ἐκ πολλῆς τῆς περιουσίας αὐτὸ κατασκευάσαι βουλόμενος· εἶτα ἵνα μή τις εἴπῃ καὶ "τί πρὸς ἡμᾶς τὸ τῶν "βοῶν;" ἐπάγει· "μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; οὐ μέλει οὖν τῶν βοῶν, εἰπέ μοι τῷ Θεῷ; μέλει μὲν, οὐχ οὕτως δὲ ὡς καὶ νόμον ὑπὲρ τούτου θεῖναι· εἰ μὴ ὅτι μέγα τι ᾐνίττετο, γυμνάζων τοῖς ἀλόγοις τοὺς Ἰουδαίους εἰς τὸ εἶναι φιλανθρώπους· ἀπὸ τούτων καὶ περὶ τῶν διδασκάλων αὐτοῖς διαλεγόμενος. ἐντεῦθεν καὶ ἕτερόν τι δείκνυσιν· πολὺν τὸν πόνον τῶν διδασκάλων αὐτοῖς καὶ ὄντα καὶ εἶναι ὀφείλοντα· καὶ ἕτερον δὴ πάλιν· ποῖον δὴ τοῦτο; ὅτι ὅσα περ ἂν ὑπὸ τῆς παλαιᾶς λέγηται· προηγουμένως εἰς τὴν τῶν ἀνθρώπων συντελεῖ διδασκαλίαν· παχυτέροις γὰρ οὖσιν ἐντεῦθεν διελέγετο, κατὰ μικρὸν ἀναβιβάζων αὐτούς.

ΦΩΤΙΟΥ. *Οὐχὶ ἐφ' ὅσῳ μηδὲν περαιτέρω ἀπολαύσειν, ἀλλ' ἐφ' ᾧ ἐλπίδα ἔχειν μετὰ ταύτην τὴν πρόσκαιρον καὶ βραχεῖαν ἀπόλαυσιν, καὶ τῶν αἰωνίων καὶ ὑπερφυῶν τυχεῖν ἀγαθῶν· τοῦτο γὰρ δηλοῖ τὸ καὶ "ὁ ἀλοῶν τῆς ἐλπίδος αὐτοῦ μετέχειν ἐπ' "ἐλπίδι." τῆς γὰρ διακονίας οἱ Ἀπόστολοι τῆς ἐπὶ τῇ διατροφῇ ἐλπίδα εἶχον παρὰ τῶν μαθητευομένων τυγχάνειν, καὶ ἐτύγχανον. οὐ μέντοι γε τοῦτο ἦν αὐτοῖς ἡ τελεία ἐλπίς· ἀλλὰ ταύτης ἀπολάβοντες τῆς ἐλπίδος, ἔτι τὰ μείζονα ἐκαραδόκουν καὶ ἤλπιζον· τοῦτο δὲ, φησὶν, ὅτι οὐδὲν ἐνέκοπτεν εἰς τὴν τῶν μελλόντων ἐλπίδα καὶ ἀπόλαυσιν δεικνὺς, ἡ τῆς παρὰ τῶν μαθητευομένων ἐπὶ τῇ τροφῇ ὑπηρεσίας ἀπόλαυσις· ἐντεῦθεν δηλῶν ὡς καίτοι μηδὲν ἐμποδὼν ὄντος πρὸς τὴν ἐκεῖθεν ἀπόλαυσιν τοῦ τρέφεσθαι παρὰ τῶν μαθητῶν, ὅμως οὐχ εἱλόμην. πλείοσι δὲ αὐτὸ ἐπιχειρήμασιν ἀκώλυτον ὂν κατασκευάζει· διά τε τὸ εἰρημένον, καὶ ἵνα μὴ ἀπεχόμενος αὐτὸς τοὺς ἄλλους δόξῃ χρωμένους ἐν διαβολῇ τινι καθιστᾶν.*

11 Εἰ *ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ*
12 *ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν; εἰ ἄλλοι τῆς ἐξου-*
σίας ὑμῶν μετέχουσιν, οὐ μᾶλλον ἡμεῖς; ἀλλ' οὐκ
ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ· ἀλλὰ πάντα στέγο-
μεν, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ Εὐαγγελίῳ *τοῦ*
Χριστοῦ.

Ἰωάννου. Εἶτα καὶ ἄλλο λέγει, δεικνὺς δεῖν τὸν διδάσκαλον τρέφεσθαι· οὐ γὰρ ὅμοια, φησὶν, ὧν λαμβάνετε παρέχετε· εἰ γὰρ ἡμεῖς πνευματικὰ εἰς ὑμᾶς ἐσπείραμεν, τοῦτ᾽ ἔστι παρέχομεν· μέγα ἐστὶν ἐὰν σαρκικὰ λάβομεν; πνευματικὰ, τὴν πίστιν λέγων· σαρκικὰ, τὴν τροφήν.

Τοῦ αὐτοῦ. Δηλοῖ τινας ἀπατεῶνας κρατοῦντας αὐτῶν, καὶ οὐ μόνον παρ᾽ αὐτῶν ἐσθίοντας, ἀλλὰ καὶ ἐξουσιάζοντας αὐτῶν· εἰ οὖν κακεῖνοι, φησὶν, τῆς ἐξουσίας ὑμῶν μετέχουσιν ἐν τῷ ἄρχειν ὑμῶν· οὐκ ἄρα ἡμεῖς ἐσμὲν μᾶλλον δίκαιοι τοῦτο ποιεῖν;

Τοῦ αὐτοῦ. Ὁρᾷς ποῦ ἀποδίδοται τὸ συμπέρασμα τοῦ νοήματος· εἰ γὰρ καὶ ἦν μοι, φησὶν, ἐξουσία τοῦ λαμβάνειν παρ᾽ ὑμῶν, ὡς ἀποδέδεικται, ἔκ τε τοῦ ταῦτα ποιεῖν τοὺς λοιποὺς Ἀποστόλους, καὶ ἐκ τῶν παραδειγμάτων ὧν παρεθέμην, καὶ ἐκ τοῦ νόμου Μωσέως, ὅμως οὐδὲν εἴληφα, δεδοικὼς μὴ τοῦτο τινὰς ἐγκόψῃ πρὸς τὴν πίστιν· εἰ οὖν ἐγὼ, φησὶν, τοῦτο γὰρ βούλεται τὸ νόημα, καὶ τῶν ἐπιτετραμμένων ἀπέχομαι, διὰ τὸ μὴ σκανδαλίσαι τινὰς, ὑμεῖς οὐδὲ τῶν εἰδωλοθύτων ἀπέχεσθε, καὶ ἄλλως ἀπηγορευμένων, ὑπὲρ τοῦ μὴ σκανδαλίζειν τοὺς ἀσθενεστέρους τῶν ἀδελφῶν; "ἀλλ᾽ οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ·" τοῦτ᾽ ἔστιν, οὐδὲν παρά τινος ἔλαβον· ἵνα γὰρ μή τις εἴπῃ, ὅτι οὐκ ἔχρῃζεν, διὰ τοῦτο οὐκ ἔλαβεν, ἐπάγει· "ἀλλὰ πάντα στέγομεν" οἷον καὶ πεῖναν καὶ δίψαν καὶ γυμνότητα, ἵνα μόνον μή τις ἐγκοπὴ γένηται· τοῦτ᾽ ἔστιν ἡ τυχοῦσα ἀναβολὴ πρὸς τὸ Εὐαγγέλιον καὶ τὸ κήρυγμα.

Θεοδωρίτου. Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν· οὐ μᾶλλον ἡμεῖς; τοὺς κακῶς αὐτῶν ἡγουμένους διὰ τούτων ἠνίξατο· πρὸς οὓς ὕστερον ἀποδύεται· "ἀλλ᾽ οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ "ταύτῃ· ἀλλὰ πάντα στέγομεν." τοῦτ᾽ ἔστιν φέρομεν, ὑπομένομεν, καρτεροῦμεν· διατί; "ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ Εὐαγ-"γελίῳ τοῦ Χριστοῦ." οὐκ ἐᾷ γὰρ, φησὶν, τοῦτο τρέχειν τὸ Εὐαγγέλιον· κωλύει τὸν δρόμον· εἶτα ἐπειδὴ βοῶν ἐμνημόνευσεν, καὶ τὸν νόμον ἡρμήνευσεν· εἰκὸς δὲ ἦν ἀντιλέγειν τινὰς ὡς οὐκ εἰς δέον τῆς ἑρμηνείας γεγενημένης, δείκνυσι σαφέστερον τὸν νόμον μαρτυροῦντα τῷ λόγῳ.

13 Οὐκ οἴδατε ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι, ἐκ τοῦ ἱεροῦ
ἐσθίουσιν, οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες, τῷ θυσι-
14 αστηρίῳ συμμερίζονται; οὕτω καὶ ὁ Κύριος διέταξεν
τοῖς τὸ Εὐαγγέλιον καταγγέλλουσιν, ἐκ τοῦ Εὐαγγελίου
15 ζῆν. ἐγὼ δὲ οὐδενὶ ἐχρησάμην τούτων.

Θεοδωρήτου. Βλέπετε τοὺς κατὰ νόμον ἱερουργοῦντας· τὰ μὲν τῷ θυσιαστηρίῳ προσφέροντας· τὰ μὲν δὲ αὐτοὺς καρπουμένους; τοῦτο γὰρ εἶπεν "τῷ θυσιαστηρίῳ τοὺς νεκροὺς, καὶ τὸν λόβον "τοῦ ἥπατος καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν· αὐτοὶ δὲ ἐλάμβανον "τόν τε βραχίονα καὶ τὸ στηθύνιον." δείκνυσι δὲ καὶ τῷ νόμῳ συνῳδὰ καὶ τὸν δεσπότην προστεταχότα· "οὕτως καὶ ὁ Κύριος "διέταξεν τοῖς τὸ Εὐαγγέλιον καταγγέλλουσιν, ἐκ τοῦ Εὐαγγελίου "ζῆν·" αὐτοῦ γάρ ἐστιν φωνὴ, "ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς "αὐτοῦ ἐστιν." καὶ οὐκ εἶπεν ἐκ τοῦ Εὐαγγελίου πλουτεῖν, ἀλλὰ ζῆν· τὴν γὰρ ἀναγκαίαν μόνην τροφὴν λαμβάνειν ἐκέλευσεν. "ἐγὼ δὲ οὐδενὶ ἐχρησάμην τούτων." τοῦτ' ἐστιν παρ' ὑμῶν κηρύττων· τοῦτο γὰρ καὶ ἐν τῇ δευτέρᾳ διδάσκει ἐπιστολῇ· "τί "γάρ ἐστιν ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας; εἰ μὴ ὅτι "αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν·" ὅτι γὰρ παρ' ἑτέρων ἐλάμβανεν, οὓς ὠφελεῖν διὰ τοῦ λαμβάνειν ἐνόμιζεν, διδάσκει διὰ τῶν ἑξῆς· "ἄλλας ἐκκλησίας ἐσύλησα λαβὼν ὀψώνιον πρὸς τὴν "ὑμῶν οἰκονομίαν." οὕτω καὶ Φιλιππησίους ἐπαινεῖ πολλάκις αὐτὸν ἐπιμελῶς τεθεραπευκότας· διὰ τοῦτο καὶ Ὀνησιφόρῳ ἐπεύχεται τὰ ἀγαθά· Κορινθίων δὲ τὴν ἀσθένειαν ἐπιστάμενος, ἐργαζόμενος διετέλει παρ' αὐτῶν, οὐδὲν κομιζόμενος· ἵνα δὲ μή τις ἐκείνων ὑπολάβῃ ταῦτα αὐτὸν εἰρηκέναι, ὡς λαβεῖν ἐφιέμενον, εἰκότως προστέθεικεν· "οὐκ ἔγραψα δὲ ταῦτα, ἵνα οὕτως γένηται "ἐν ἐμοί," καὶ τὰ ἑξῆς.

Ἰωάννου. Τὴν διηνεκῆ δουλείαν καὶ καρτερίαν διὰ τούτων ἐνδείξασθαι βούλεται τῶν παρὰ Ἰουδαίοις ἱερέων καὶ Λευϊτῶν καὶ ἀρχιερέων· ἑκάτερα γὰρ ταῦτα ἐδήλωσεν καὶ τὰ καταδεέστερα καὶ τὰ ὑπερέχοντα· τὰ μὲν διὰ τοῦ λέγειν, "οἱ τὰ ἱερὰ ἐργαζόμενοι· τὰ δὲ διὰ τοῦ εἰπεῖν, οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες·

οὐδὲ γὰρ πᾶσιν ἓν ἔργον ἐπιτεταγμένον ἦν· ἀλλ' οἱ μὲν τὰ παχύτερα, οἱ δὲ τὰ ὑψηλότερα ἦσαν ἐγκεχειρισμένοι.

Οἰκουμενίου. Ἱερὰ μὲν ἐργαζομένους τοὺς Λευΐτας φησὶν, οἳ τὰ ἐπιδέκατα ἐλάμβανον· θυσιαστηρίῳ δὲ προσεδρεύοντας, τοὺς ἱερέας φησὶν, οἱ ἐκ τῶν θυμάτων εἶχον ἀφαιρέματα. καλῶς τὸ συμμερίζον· τὰ μὲν γὰρ καὶ ὁλόκαυτα ἐγίνετο, καὶ ἦν μόνου τοῦ θυσιαστηρίου· καὶ ἐκ τῶν θυομένων δὲ τὸ μὲν αἷμα προσεχεῖτο τῷ θυσιαστηρίῳ, καὶ τὸ στέαρ ἐθυμιᾶτο· τῶν δὲ κρεῶν ἀφαίρεμά τι ἐλάμβανεν ὁ ἱερεύς· οἷον τὸν δεξιὸν βραχίονα καὶ τὸ στηθύνιον καὶ τὸ ἔνυστρον.

Οὐκ ἔγραψα δὲ ταῦτα, ἵνα οὕτως γένηται ἐν ἐμοί.
καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου,
ἵνα τις κενώσῃ. ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστί μοι
16 καύχημα· ἀνάγκη γάρ μοι ἐπίκειται· οὐαὶ δέ μοι ἐστὶν,
ἐὰν μὴ εὐαγγελίζωμαι. εἰ γὰρ ἑκὼν τοῦτο πράσσω,
17 μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι· τίς
18 οὖν μοι ἐστὶν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος ἀδάπανον
θήσω τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μοῦ ἐν τῷ εὐαγγελίῳ.

Ἰωάννου. Ἵνα μὴ νομίσωσιν διὰ τοῦτο αὐτὸν ταῦτα γεγραφηκέναι, ὡς βουλόμενον τοῦ λοιποῦ λαμβάνειν, διορθοῦται αὐτό· ἵνα οὕτως, φησὶν, γένηται ἐν ἐμοί· τοῦτ' ἔστιν ὡς τὰ παραδείγματα βούλεται· ὡς αἱ τοῦ Κυρίου διατάξεις· οἷον ἵνα λαμβάνω· ὅρα μετὰ πόσης τὸ λαβεῖν διακρούεται σφοδρότητος· "καλόν "μοι," φησὶν, "μᾶλλον ἀποθανεῖν" οἷον λιμῷ, ἢ ἵνα κενωθῇ καὶ μάταιόν μου τὸ ὑπὲρ τούτου γένηται καύχημα· ἵνα γὰρ μή τις λέγῃ ὅτι εἰ καὶ μὴ λαμβάνει, ἀθυμεῖ μέντοι καὶ ἀδημονεῖ, ἐφ' οἷς οὐ λαμβάνει, καύχημα τὸ πρᾶγμα καλεῖ· δεικνὺς τὴν ὑπὲρ τοῦ γενομένου χαρὰν καὶ προθυμίαν· "ἐὰν γὰρ εὐαγγελίζωμαι," φησὶν, "οὐκ ἔστί μοι καύχημα." τί οὖν ἐστί σοι καύχημα, εἴποι τις αὐτῷ; ἐπάγει· τὸ ἀδάπανον ποιῆσαι τὸ Εὐαγγέλιον· τί οὖν; τοῦτο τοῦ εὐαγγελίζεσθαι μεῖζον; οὔ μεν οὖν, ἀλλὰ τοῦ εὐαγγελίζεσθαι ἐπιτέταγμαι. τὸ δὲ ἀδαπάνως εὐαγγελίζεσθαι ἐμῆς

φιλοτιμίας ἔργον· εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, ποῖον τὸ ἀδάπανον τιθέναι τὸ εὐαγγέλιον; μισθὸν ἔχω ὅτι καὶ τοῦ Κυρίου λαμβάνειν ἐπιτάξαντος, οὐκ εἴληφα· εἰ δὲ ἄκων ἐκεῖνο πράσσω· ποῖον τὸ εὐαγγελίζεσθαι; ἄκων δὲ φησὶν, ὅτι οὐκ ἐμὸν ἔργον ἡ φιλοτιμία, ἀλλὰ Χριστοῦ ἐπιταγή. οὐκ εἶπεν, οὐκ ἔχω μισθὸν, ἀλλ' “οἰκονομίαν πεπίστευμαι” δεικνὺς ὅτι καὶ τοῦτο μισθός· ἀλλ' οὐκ οἷος ἐκεῖνος τὸ ἀδάπανον κηρύξαι “εἰς τὸ μὴ καταχρήσασθαι τῇ “ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ.” πανταχοῦ δεικνὺς ὅτι οὔτε οἱ λαμβάνοντες σφάλλονται· ἐξουσίαν γὰρ ἔχουσι τοῦ λαβεῖν. ὅρα δὲ τὴν ἀκρίβειαν αὐτοῦ. κατάχρησιν καλεῖ τὴν ὅλως χρῆσιν· οἷον τὸ ὅλως λαβεῖν ἐν τῷ εὐαγγελίῳ προσέθηκεν, δεικνὺς τὸν διδάσκοντα ὀφείλειν λαμβάνειν τὸν καὶ πονοῦντα, οὐ μὴν τὸν ἀργοῦντα.

ΘΕΟΔΩΡΙΤΟΥ. “Οὐκ ἔγραψα δὲ ταῦτα· *ἵνα οὕτως γένηται ἐν “ἐμοί· καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν ἢ τὸ καύχημά μου, ἵνα “τις κενώσῃ.” καύχημα δὲ καλεῖ, τὸ προῖκα κηρύττειν καὶ ὑπερβαίνειν τὸν κειμένον ὅρον· “ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστι “καύχημα, ἀνάγκη γάρ μοι ἐπίκειται·” τοῦτο ὡς δοῦλος δεσπότῃ διακονῶν ἐκτελῶ· οὐδεὶς δὲ οἰκέτης μέγα φρονεῖ, τὰ παρὰ τοῦ δεσπότου προσταττόμενα ἐκπληρῶν· “οὐαὶ δέ μοι ἐστὶν ἐὰν μὴ “εὐαγγελίζωμαι·” τιμωρίας γὰρ ἄξιον τὸ ἀντιτείνειν δεσπότῃ· “εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν “πεπίστευμαι·” τὸ δὲ ἑκὼν καὶ ἄκων οὐκ ἐπὶ γνώμης τέθεικεν, ἀλλὰ διδάσκων ὅτι νόμον ἐπλήρου δεσποτικόν· “τίς οὖν μοι ἐστὶν “ὁ μισθός; ἵν' εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ* Εὐαγγέλιον *“τοῦ* Χριστοῦ· *εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν τῷ “*Εὐαγγελίῳ·” *ἔδωκέν μοι ἐξουσίαν ὁ δεσπότης ἐκ τῶν μαθητῶν λαμβάνειν τὴν ἀναγκαίαν τροφήν· ἐγὼ δὲ οὐ χρῶμαι τῇ ἐξουσίᾳ, ἀλλὰ τῆς ἐργασίας εἰσφέρω τὸν πόνον, ἵνα τὸν τοῦ πόνου τρυγήσω καρπόν· ταῦτα πάντα διεξῆλθεν, τοὺς κακῶς τῇ γνώσει κεχρημένους καὶ ἀδεῶς τῶν εἰδωλοθύτων μεταλαμβάνοντας καὶ τοῖς ἀσθενεστέροις πρόφασιν βλάβης παρέχοντας, ἀποστῆσαι τῆς κακῆς ἐξουσίας πειρώμενος. οὗ δὴ χάριν ἔδειξεν, ὡς καὶ παρὰ τοῦ νόμου καὶ τοῦ τῶν ὅλων* Θεοῦ *τὴν ἐξουσίαν λαβὼν, καὶ ταύτῃ*

τοὺς Ἀποστόλους κεχρημένους ὁρῶν, καὶ αὐτῇ τῶν πραγμάτων προσέχων τῇ φύσει· οὐδενὸς τούτων ἠνέσχετο· εἰς ἓν μόνον ἀποβλέπων, τὸν τοῦ κηρύγματος δρόμον καὶ τῶν ἀκουόντων τὴν ὠφέλειαν.

Ὠριγένους. Διδασκόμεθα ὅτι ὅσα ἐξ ἀνάγκης ποιοῦμεν, ταῦτα οὐκ ἔχει καύχημα. ὅσα δὲ προαιρέσει ποιοῦμεν, οὐκ ἐπικειμένης ἀνάγκης, ταῦτα ἔχει καύχημα. οἷον ὁ μὴ μοιχεύων ἢ φονεύων οὐκ ἔχει καύχημα, ἀλλ' ὁ παρθενεύων· οὐ γὰρ ἐξ ἀνάγκης ἦλθον εἰς τὸ παρθενεύειν, ἀλλὰ ἐκ προαιρέσεως· ὅπου δὲ τὸ "οὐαὶ" παράκειται, ἐὰν μὴ ποιῶ, οὐκ ἔχω καύχημα. διὰ τοῦτό φησιν, "εἰ μὲν ἑκὼν τοῦτο πράσσω· μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν "πεπίστευμαι." πάλιν καθολικὸν διδασκόμεθα· τίνα ποιοῦμεν μὲν, οὐχ ἑκόντες δὲ, ἀλλ' οὐδὲ ἐν ὅλῃ ψυχῇ, ἀλλ' ἐκ λύπης ἢ ἐξ ἀνάγκης· τῶν μὲν γὰρ ἑκουσίως ὑφ' ἡμῶν γινομένων ἐστὶ μισθός· τῶν δὲ γινομένων μὲν, ὡς ἐκ λύπης δὲ, οὐδὲ μισθὸς οὐδὲ κόλασις. οἷον ἐλεημοσύνην ποιῶ· εἰ ἑκὼν, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οὐκ ἐγκαλοῦμαι μετὰ τῶν ἀκουόντων, "ἐπείνων, καὶ οὐκ ἐδώκατέ μοι "φαγεῖν," καὶ τὰ ἑξῆς. οὗτος οὖν ἐστιν ὁ μισθός· ἵνα ὅπου ἐξουσίαν ἔχω, μὴ ποιήσω.

Οἰκουμενίου. Καύχημα γάρ φησιν ὁ αὐτὸς ἐξ οἰκείας φιλοτιμίας ἐπιδείκνυται. τὴν δεσποτικὴν ἐπιταγὴν, ὡς δοῦλος πιστὸς, οὐ λογιζόμενος εἰς οἰκεῖον κατόρθωμα· ἤκουσεν γὰρ τοῦ δεσπότου λέγοντος· "ὅτ' ἂν πάντα ποιήσητε, λέγετε ἀχρεῖοι δοῦλοι ἐσμὲν, "ὅτι ὃ ὀφείλομεν ποιῆσαι πεποιήκαμεν." ποῖον οὖν καύχημα τὸ καταχρέως γινόμενον;

Τοῦ αὐτοῦ. Ἢ οὕτως· εἰ μὲν ἑκὼν τοῦτο πράσσω, τὸ ἀδάπανον τιθέναι τὸ εὐαγγέλιον· μισθὸν ἔχω· εἰ δὲ ἄκων, οὐδὲ οὕτως σφάλλομαι. τί δήποτε οἰκονομίαν πεπίστευμαι; τοῖς δὲ τὴν τοιαύτην οἰκονομίαν ἐμπεπιστευμένοις ἔξεστι λαμβάνειν. ὁ γὰρ Κύριος προσέταξεν τοῖς τὸ Εὐαγγέλιον κηρύσσουσιν ἐξ αὐτοῦ ἐσθίειν· τοῦ δὲ ἑκὼν καὶ τοῦ ἄκων αὕτη διαφορά· ἑκὼν μὲν ἔνθα καὶ ὁ λογισμὸς συνευδοκεῖ ἀβαρῶς φέρων καὶ χαίρων ἐπὶ τῷ γινομένῳ· ἄκων δὲ, ἔνθα μετὰ βίας καὶ ἀνάγκης τοῦ λογισμοῦ τοῦτο πράττειν.

Φωτίου. Ἢ οὕτως· εἰ γὰρ τὸ κηρύσσειν τὸ εὐαγγέλιον τῆς ἐμῆς ἦν ὅλον φιλοτιμίας, καὶ οὐδεμία μοι ἀνάγκη ἐκ τῆς δεσποτικῆς ἐντολῆς ἐπέκειτο· εἰκότως ἐπὶ τοῦτο μισθὸν μέγαν ἤλπιζον· καὶ ἐξῆν μὴ ὡς ἐπὶ ἰδίῳ κατορθώματι καυχᾶσθαι· εἰ δὲ ὡς διακονίαν καταπιστευθεὶς καὶ ἀνάγκην ἔχων ὑπηρετεῖν, τοῦτο πράσσω· οὐκ ἔτι ὅμοιος ὁ μισθὸς ἕπεται, οὐδ' ἔστιν ἐπὶ τούτῳ καυχᾶσθαι. ἐπὶ τίνι οὖν ἐστιν λαμπρὸς ὁ μισθὸς, καὶ τὸ καύχημα ἐφ' ᾧ κηρύσσειν μὲν ὡς προσετάγην τὸ εὐαγγέλιον· μηδὲν δὲ ἐκ τοῦ κηρύγματος μήδ' ὅσον ἀποζῆν λαμβάνειν, ἀλλὰ ἀδαπάνως καὶ δωρεὰν ὑπηρετεῖν τῇ διακονίᾳ.

19 Ἐλεύθερος γὰρ ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδού-
20 λωσα, ἵνα τοὺς πλείονας κερδήσω· καὶ ἐγενόμην τοῖς
Ἰουδαίοις, ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω· τοῖς
21 ὑπὸ νόμον ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω·
τοῖς ἀνόμοις ὡς ἄνομος, (μὴ ὢν ἄνομος Θεῷ, ἀλλ'
22 ἔννομος Χριστῷ), ἵνα κερδήσω ἀνόμους. ἐγενόμην τοῖς
ἀσθενέσιν ὡς ἀσθενὴς, ἵνα τοὺς ἀσθενεῖς κερδήσω. τοῖς
23 πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω. τοῦτο
δὲ ποιῶ διὰ τὸ εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ
γένωμαι.

Ὠριγένους. Τὸ ἐκ πάντων εἶναι ἐλεύθερον, Ἀποστόλου ἐστὶ τελείου· δύναται γάρ τις ἐλεύθερος εἶναι ἀπὸ πορνείας, ἀλλὰ δοῦλος ὀργῆς· ἐλεύθερος ἀπὸ φιλαργυρίας, ἀλλὰ δοῦλος κενοδοξίας· δύναται ἐλεύθερος εἶναι ἀπὸ ἄλλου ἁμαρτήματος, ἀλλὰ δοῦλος ἄλλου ἁμαρτήματος. τὸ δὲ εἰπεῖν "ἐλεύθερος ὢν ἐκ "πάντων" Ἀποστόλου τελείου ἐστίν· ὁποῖος ἦν Παῦλος· κατὰ δὲ τὸ προκείμενον τοιοῦτον νοῦν ἔχει· "ἐγενόμην τοῖς Ἰουδαίοις "ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω." ἐλεύθερος γὰρ ὢν ἀπὸ Ἰουδαϊσμοῦ, ἐδούλωσα ἐμαυτὸν Ἰουδαίοις, ἵνα Ἰουδαίους κερδήσω· ἐλεύθερος ὢν ἀπὸ τοῦ εἶναι ὑπὸ νόμου, ἐμαυτὸν ἐποίησα ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω· συγκατέβαινεν γὰρ ὁ Παῦλος εἰς συναγωγὰς Ἰουδαίων· εἰσήρχετο πρὸς αὐτούς· ἐποίει κατὰ τὰ ἔθη αὐτῶν χωρὶς βλάβης· οὐ συνυποκρινόμενος, ἀλλὰ θηρεύων τινὰς ἐξ αὐτῶν.

Τινὲς ἐζήτησαν τίς ἡ διαφορὰ τῶν ὑπὸ τῶν νόμων, παρὰ τοὺς Ἰουδαίους· φαμὲν οὖν, οἱ ὑπὸ τὸν νόμον ἕτεροι Ἰουδαῖοι εἰσὶν, ὡς Σαμαρεῖς· "τοῖς ἀνόμοις ὡς ἄνομος," ἦλθεν εἰς τὰς Ἀθήνας· εὗρεν ἐκεῖ φιλοσόφους· ἐχρήσατο οὐ προφητικοῖς λόγοις, οὐ δὲ νομικοῖς· ἀλλ' εἶπου ἦν ἐκ προπαιδεύσεως μάθημα Ἑλληνικὸν, τοῦτο ὑπομνησθεὶς ἔλεγεν πρὸς Ἀθηναίους· φησὶ γὰρ "ὡς καὶ "τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασιν, τοῦ γὰρ καὶ γένος "ἐσμέν." ἐκεῖ τοῖς ἀνόμοις γέγονεν ὡς ἄνομος, ἵνα τοὺς ἀνόμους κερδήσῃ· καὶ πάλιν φησὶ "διερχόμενος καὶ ἀναθεωρῶν τὰ σε-"βάσματα ὑμῶν, εὗρον βωμὸν ἐν ᾧ ἐπεγέγραπτο ἀγνώστῳ Θεῷ· "ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν." καὶ διὰ τούτων ἄρχεται θεοσέβειαν παραδιδόναι· "τοῖς οὖν ἀνό-"μοις ὡς ἄνομος, μὴ ὢν ἄνομος Θεῷ." οὐκ ἐν τῷ συγκαταβαί-νειν αὐτοῖς ἀνομίαν τινα ἐποίουν, ἀλλ' ἐτήρουν ἐμαυτὸν ἔννομεν Χριστῷ, ἵνα κερδήσω τοὺς ἀνόμους· ἅμα δὲ τηρεῖ καὶ τὸ ἀκριβὲς αὐτοῦ.

"Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος·" οὐκ εἶπεν ἐνθάδε, μὴ ὢν Ἰουδαῖος, Ἰουδαῖος γὰρ ἦν ἐν τῷ κρυπτῷ, οὐκ ἔτι ἐν τῷ φανερῷ· καὶ πάλιν τοῖς ὑπὸ νόμον, μὴ ὢν αὐτὸς ὑπὸ νόμον ὡς ὑπὸ νόμον. ἀναγκαίως ἐνθάδε ἔθηκεν τὸ "μὴ ὢν ὑπὸ νόμον·" "Χριστὸς "γὰρ ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ "ἡμῶν κατάρα." ὡσανεὶ ἔλεγεν, μὴ ὢν Σαμαρεύς, "τοῖς δὲ ἀνό-"μοις ὡς ἄνομος μὴ ὢν ἄνομος Θεῷ·" ἀλλ' ὑπολήψεται μετὴς[g] ἀποστάτην τοῦ νόμου γεγονέναι καὶ ἄνομον τῷ Θεῷ· φημὶ δὲ ὅτι εἰ καὶ μὴ τηρῶ τὸν νόμον κατὰ τὸ ῥητὸν, οὐκ εἰμὶ ἄνομος τοῦ Θεοῦ, ἀλλ' ἔννομός εἰμι τοῦ Χριστοῦ· τηρῶν τὴν πολιτείαν τὴν κατὰ τὸ Εὐαγγέλιον, ἵνα κερδήσω τοὺς ἀνόμους· "ἐγενόμην τοῖς "ἀσθενέσιν ὡς ἀσθενὴς," μὴ ὢν αὐτὸς ἀσθενὴς, ἀλαζονικὸν γὰρ ἦν· οὐκ ἦν κατὰ τὸν Ἀπόστολον, εἰπεῖν οὐκ ὢν αὐτὸς ἀσθενής· τὸν ἀπὸ Κυρίου ἀκούσαντα, "ὅτι ἡ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦ-"ται," καὶ διὰ τοῦτο ἐν ἀσθενείαις καυχώμενον· πῶς δὲ τοῖς ἀσθε-νέσιν ἀσθενής; ὅτε[h] ἐπιτρέπει τοὺς πυρουμένους γαμεῖν· ὅτε συμπάσχει ταῖς ἀποβαλούσαις ἄνδρας· ὅτε φησὶ "διὰ δὲ τὰς

[g] Sic. [h] οὔτε Cod.

“πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω· καὶ ἑκάστη τὸν “ἴδιον ἄνδρα ἐχέτω,” καὶ τὰ λοιπά· ἐν τούτοις ἐγένετο τοῖς ἀσθενέσιν ἀσθενὴς, ἵνα τοὺς ἀσθενεῖς κερδήσῃ.

Εἶτα μετὰ ταῦτα λέγει, “τοῖς πᾶσι γέγονα τὰ πάντα,” ἵνα πάντας ἢ τινὰς σώσω· ὃν ἐὰν λάβῃς ἄνθρωπον, ἓν τῶν πέντε ἐστίν· ἢ γὰρ Ἰουδαῖός ἐστιν, ἡ ὑπὸ νόμον· ἢ ἄνομος, ἡ ἀσθενὴς, ἢ πάντα ἐστίν· ὁ τέλειος πάντα ἐστίν· τοῖς οὖν πᾶσι τοῦτ᾽ ἐστι τοῖς τελείοις γέγονα τέλειος· ἵνα πάντας κερδήσω· “σοφίαν γάρ,” φησιν, “λαλοῦμεν ἐν τοῖς τελείοις,” καὶ τὰ ἑξῆς. οὕτως δύναται εἰπεῖν Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὠφειλέτης εἰμί.

Ἰωάννου. Ἄλλην ἐνταῦθα τίθησιν ὑπερβολήν. μέγα μὲν γὰρ καὶ τὸ μὴ λαβεῖν· τοῦτο δὲ ὃ μέλλει λέγειν· πολλῷ πλέον ἐκείνου· τί δέ ἐστιν ὃ φησὶν, οὐ μόνον οὐκ ἐχρησάμην τῇ ἐξουσίᾳ ταύτῃ, ἀλλὰ καὶ ἐδούλωσα ἐμαυτὸν δουλείαν ποικίλην καὶ παντοδαπήν· καὶ ἐδούλευσα, οὐδενὶ ὑποκείμενος, οὐδὲ ἀνάγκην ἔχων· τοῦτο γάρ ἐστιν “ἐλεύθερος ὢν ἐκ πάντων” καὶ οὐδ᾽ ἑνὶ ἐδούλευσα ἐμαυτὸν, ἀλλὰ τῇ οἰκουμένῃ πάσῃ. καὶ γὰρ κηρύξαι ἐπεταττόμην καὶ ἀπαγγέλλειν τὰ ἐμπιστευθέντα. τὸ δὲ μυρία μηχανᾶσθαι καὶ ἐπινοεῖν λοιπὸν, τῆς ἐμῆς σπουδῆς ἦν· τοῦ γὰρ καταβαλεῖν τὸ ἀργύριον ὑπεύθυνος ἤμην μόνον· ἐγὼ δὲ καὶ ὑπὲρ τοῦ ἀπαιτῆσαι πάντα ἐποίουν πάλιν πλέον τῶν ἐπιτεταγμένων ἐπιχειρῶν. “ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω·” περιέτεμεν γὰρ ἵνα καθέλῃ περιτομήν· διὰ τοῦτο οὐκ εἶπεν Ἰουδαῖος, ἀλλὰ ὡς Ἰουδαῖος· ὅπερ οἰκονομία ἦν. “τοῖς ὑπὸ νόμον ὡς “ὑπὸ νόμον·” ἡ ἐπεξήγησις τοῦ προτέρου ἐστίν· ἢ ἕτερον αἰνίττεται παρὰ τὸ πρότερον. Ἰουδαίους μὲν λέγων, τοὺς ἄνωθεν καὶ ἐξ ἀρχῆς ὄντας τοιούτους. ὑπὸ νόμον δὲ ἢ τοὺς προσηλύτους ἢ τοὺς πιστοὺς γενομένους, καὶ ἔτι ἀντεχομένους τοῦ νόμου· οὐκ ἔτι γὰρ ἦσαν ὡς Ἰουδαῖοι, ἀλλ᾽ ὑπὸ νόμον. καὶ πῶς ἐγένετο ὑπὸ νόμον; ὅτε ἐξυρᾶτο· ὅτε ἔθυεν· ἐγίνετο δὲ ταῦτα οὐ τῆς γνώμης αὐτοῦ μεταβαλλομένης, ἐπεὶ κακία τὸ πρᾶγμα ἦν· ἀλλὰ τῆς ἀγάπης συγκαταβαινούσης· ἵνα γὰρ τοὺς ὄντας ἀληθῶς ταῦτα μεταστήσῃ· ἐγίνετο αὐτὸς οὐκ ἀληθῶς, ἐπιδεικνύμενος δὲ μόνον. “τοῖς ἀνόμοις “ὡς ἄνομος.” οὗτοι οὔτε Ἰουδαῖοι ἦσαν, οὔτε Χριστιανοὶ, οὔτε

Ἕλληνες, ἀλλ' ἐκτὸς νόμου ζῶντες· οἷος ἦν ὁ Κορνήλιος καὶ εἴ τις ἦν κατ' ἐκεῖνον· καὶ γὰρ καὶ πρὸς ἐκείνους εἰσιὼν, πολλὰ ὑπεκρίνετο τῶν ἐκείνων· "ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής· "ἵνα τοὺς ἀσθενεῖς κερδάνω·" τοῦτο λοιπὸν τὸ τῶν Κορινθίων λέγει. διὸ καὶ πάντα ταῦτα εἴρηται· καίτοι ἐκεῖνα πολλῷ μείζονα ἦν· ἀλλὰ τοῦτο οἰκειότερον· ὅθεν καὶ ὕστερον αὐτὸ τέθεικεν.

Θεοδώρου. Ὑπὸ νόμον αὐτὸν λέγειν τοὺς παρὰ Ἰουδαίοις προσηλύτους. ἀσθενεῖς δὲ τοὺς ἀπὸ Ἰουδαίων πεπιστευκότας· καὶ ἔτι δι' ἀσθένειαν λογισμῶν ταῖς νομικαῖς παρατηρήσεσι κρατουμένους.

Θεοδωρίτου. Ἤιδει γὰρ ὡς οὐ πάντες τῆς σωτηρίας μεθέξουσιν· ἀλλ' ὅμως καὶ ἑνὸς ἕνεκα, πάντα συνεισέφερεν πόνον· τοῦτο δὲ ποιῶ διὰ τὸ Εὐαγγέλιον· ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι· ὁ γὰρ τοῦ Εὐαγγελίου σκοπὸς, τῶν ἀνθρώπων ἡ σωτηρία. διὰ γάρ τοι τοῦτο καὶ ὁ δεσπότης καὶ τελώναις συνήσθιεν· καὶ ἁμαρτωλοῦ γυναικὸς παρὰ τοὺς πόδας ὀδυρομένης ἠνέσχετο· διδάσκων ὡς τῆς τῶν ἀνθρώπων ἕνεκα παρεγένετο σωτηρίας.

Σευηριανοῦ. Ἐπειδὴ καὶ τῷ Εὐαγγελίῳ δοκεῖ μὴ κεχρῆσθαι νόμῳ, ἐμνησάμην αὐτοῦ τὴν οἰκονομίαν· ὅπερ ἐκεῖνο βούλεται οἰκονομῶν, ἵνα κατ' αὐτὸ τοῦτο αὐτῷ κοινωνήσω.

Ἰωάννου. Ἵνα δόξω τι καὶ αὐτὸς συνεισενηνοχέναι οἴκοθεν καὶ κοινωνῆσαι τῶν ἀποκειμένων στεφάνων τοῖς πιστοῖς. ὥσπερ γὰρ ἔλεγεν ἐκ τοῦ Εὐαγγελίου ζῇν, τοῦτ' ἔστιν ἐκ τῶν πιστευόντων, καὶ ἐνταῦθα συγκοινωνὸς γένωμαι τοῦ Εὐαγγελίου· ἵνα δυνηθῶ κοινωνῆσαι τοῖς ἐν τῷ Εὐαγγελίῳ πεπιστευκόσιν.

Ὠριγένους. Μόνος ὁ τέλειος δύναται εἰπεῖν τὴν τοῦ τελείου Ἀποστόλου ἐν Κυρίῳ φωνήν· τὴν "πάντα ποιῶ διὰ τὸ Εὐαγγέλιον·" ὁ γὰρ ἁμαρτάνων, οὐ δύναται τοῦτο εἰπεῖν· εἰ δὲ ὁ πάντα ποιῶν διὰ τὸ Εὐαγγέλιον, κοινωνός ἐστι τοῦ Εὐαγγελίου· ὁ ποιῶν δὲ τὴν πορνείαν, κοινωνός ἐστι τῆς πορνείας τοῦ πνεύματος· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων παθῶν· ἕκαστος οὖν κοινωνὸς ἐκείνῳ ᾧ ἐκοινώνησεν γίνεται. ἀλλ' ἐρεῖ τις τῶν ἀκουόντων· ὁ βίος μου μικτός ἐστιν· οὔτε πάντα ποιῶ διὰ τὸ Εὐαγγέλιον· οὔτε πάντα ποιῶ διὰ τὴν ἁμαρτίαν, καὶ τὴν ἡδονήν. πρὸς τοῦτο φήσομεν· ταῦτα ὁ Θεὸς

τὰ κρίματα ἔχει· κατὰ τὰ κρίματα, τὰ πολλὰ ποικίλα ἀποδίδωσι.

Ἰσιδώρου. Ἐγένετο τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος· ὅτε ἐν τῷ ἱερῷ ἡγνίσατο καὶ ἔθυσεν, καὶ περιτεμὼν Τιμόθεον Ἰουδαίοις πεπόμφεν διδάσκαλον· διὰ περιτομῆς τὴν περιτομὴν ἀναίρων. διὸ οὐκ εἶπεν Ἰουδαῖος, ἀλλ' "ὡς Ἰουδαῖος," "τοῖς ἀνόμοις ὡς ἄνομος·" ὅτε Ἀθηναίοις δημηγορῶν, οὐκ ἀπὸ προφητῶν οὐδὲ ἀπὸ τοῦ νόμου διελέχθη, ἀλλ' ἀπὸ βωμοῦ τὴν παραίνεσιν ἐποιήσατο· ἀπὸ τῶν οἰκείων αὐτοὺς χειρούμενος δογμάτων· διὸ οὐκ εἶπεν ἄνομος, ἀλλ' "ὡς ἄνομος·" τὸ δὲ "μὴ ὢν ἄνομος Θεῷ, ἀλλ' ἔννομος Χριστῷ," ἢ ὡς ἀδιάφορον εἶπεν· ἐπὶ γὰρ μιᾶς οὐσίας οὐκ ἔστι διαφορά· ἢ εἰ τοῦτο βεβιασμένον ἡγῇ[l]· οἶμαι τοῦτο μηνύειν τὸ μὴ μόνον κατὰ τὸν νόμον πεπολιτεῦσθαι τὸν τῷ Πατέρι παρά τινων ἐπιγραφόμενον· καὶ διὰ τὴν ἕξιν τῶν μανθανόντων οὐ διὰ τὴν ἀξίαν τοῦ δεδωκότος, νηπίοις μᾶλλον ἁρμόττοντα· ἀλλὰ καὶ κατὰ τὸν τοῦ Χριστοῦ οὐράνιον καὶ τέλειον νόμον· οὐκ ἄνομος κατὰ τὸν παλαιὸν νόμον, ἀλλὰ καὶ ἔννομος κατὰ τὸ Εὐαγγέλιον· οὐκ ἔξω τοῦ νόμου, ἀλλὰ καὶ εἴσω τῆς χάριτος· οὐκ ἐμοίχευσα διὰ τὸν νόμον· ἀλλ' οὔτε εἶδον[m] ἀκολάστως γυναῖκα διὰ τὸ Εὐαγγέλιον· οὐκ ἐφόνευσα διὰ τὸν φόβον, ἀλλὰ καὶ ὀργῆς ἐκράτησα διὰ τὸν πόθον. ὁ μὲν γὰρ τὸν νόμον τὸν παλαιὸν φυλάξας, οὐκ ἦν ἄνομος Θεοῦ. ὁ δὲ τὸν νέον, ἔστιν ἔννομος Χριστοῦ. ταῦτα δὲ ἔλεγεν οὐκ ἀποκληρῶν μὲν Πατέρι τὸν νόμον, τῷ δὲ Υἱῷ τὸ Εὐαγγέλιον, ἀλλὰ πρὸς τὴν τῶν πολλῶν ὑπόνοιαν καὶ δόξαν ἀφορῶν· πάντα γὰρ τὰ τοῦ Πατέρος τοῦ Υἱοῦ ἐστὶ, καὶ τὰ τοῦ Υἱοῦ τοῦ Πατέρος.

Φωτίου. "Ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής·" καὶ ἐν τῇ πρὸς Ῥωμαίους, ὅτε τοὺς διακρινομένους φαγεῖν κρέα διὰ τὴν ἐνίων κρεῶν παρατήρησιν, ὅτε τούτων τῇ ἀσθενείᾳ συγκαταβαίνων, οὔτε αὐτὸς τούτους ἐπέτιμα· καὶ τοὺς ἄλλους ὄχλησιν ἐπάγειν αὐτοῖς ἐκώλυεν. "τοῖς πᾶσι γέγονα τὰ πάντα." εἰ γὰρ ἐγώ, φησιν, καὶ ὧν οὐκ ἔδει οὐδὲν παριδεῖν, ἵνα πλείους σώσω, παρεῖδον, πῶς οὐχὶ δεῖ ἀπέχεσθαι ὑμᾶς τῶν εἰδωλοθύτων; καὶ τότε τὰ τῶν ἀδελφῶν ἐπὶ τούτῳ τύπτοντα συνειδήσεις.

[l] ἡ γῆ Cod. [m] εἴδων Cod.

24 Οὐκ οἴδατε, ὅτι ἐν σταδίῳ τρέχοντες, πάντες μὲν
τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον; οὕτως τρέχετε,
25 ἵνα καταλάβητε· πᾶς δὲ ὁ ἀγωνιζόμενος, πάντα ἐγκρα-
τεύεται· ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν στέφανον λάβωσιν,
26 ἡμεῖς δὲ ἄφθαρτον. ἐγὼ τοίνυν οὕτως τρέχω, ὡς οὐκ
27 ἀδήλως· οὕτως πυκτεύω, ὡς οὐκ ἀέρα δέρων· ἀλλ' ὑπω-
πιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μή πως ἄλλοις
κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

Ὠριγένους. Ἆρα οὖν πάντες ἡμεῖς τρέχομεν καὶ εἷς λαμβάνει τὸ βραβεῖον, καὶ οἱ λοιποὶ ἀπολλύμεθα; ἕνα γὰρ εἶπεν τὸν λαμβάνοντα τὸ βραβεῖον, πολλῶν τρεχόντων, πάντες οἱ σωζόμενοι ἕν εἰσιν καὶ ἓν σῶμα· οἱ γὰρ πάντες εἷς ἄρτος ἐσμὲν, καὶ τοῦ αὐτοῦ ἄρτου μετέχομεν· καὶ πάντες ἐστὲ σῶμα Χριστοῦ. πάντες οὖν οἱ σωζόμενοι, εἷς ἐστὶν ὁ λαμβάνων τὸ βραβεῖον. ἐν τῷ σταδίῳ οὖν πάντες τρέχουσιν, ὅσοι πρὸς δόγμα πολιτεύονται· καὶ οἱ ἀπὸ τῶν αἱρέσεων πρὸς δόγμα πολιτεύονται· καὶ Ἰουδαῖοι τάχα καὶ οἱ τὰ Ἑλλήνων πρὸς δόγμα πολιτεύονται φιλοσοφοῦντες· καὶ οὗτοι εἰσι πάντες οἱ ἐν σταδίῳ τρέχοντες· τρέχει καὶ ἡ Ἐκκλησία, ἀλλὰ εἷς λαμβάνει τὸ βραβεῖον· ὁ εἷς ἄνθρωπος περὶ οὗ φησὶν ὁ Ἀπόστολος· "μέχρι καταντήσωμεν εἰς ἄνδρα τέλειον "εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ." πᾶσαν δὲ κρίσιν τοῦ Θεοῦ δεῖ εὑρεθῆναι περὶ πάντας τοὺς ἐν τῷ σταδίῳ τρέχοντας, ἵν' ὁ μέν τις λάβῃ πρωτεῖα· ἑξῆς δὲ ἕκαστος κατὰ τὴν αὐτοῦ ἀξίαν.

Ἰωάννου. Τοῦτο λέγει, οὐχ ὡς καὶ ἐνταῦθα ἑνὸς μέλλοντος σώζεσθαι· ἀλλ' ὡς πολλὴν ὀφειλόντων ἡμῶν εἰσενεγκεῖν τὴν σπουδήν. ὥσπερ γὰρ ἐκεῖ πολλῶν καθιέντων εἰς τὸ στάδιον, οὔτε φανοῦνται πολλοὶ, ἀλλ' εἰς ἕνα τοῦτο περιΐσταται· καὶ οὐκ ἀρκεῖ τὸ καθεῖναι εἰς τὸν ἀγῶνα, οὐδὲ τὸ ἀλείψασθαι οὐδὲ τὸ παλαῖσαι· οὕτως καὶ ἐνταῦθα, οὐκ ἀρκεῖ τὸ πιστεῦσαι καὶ ὡς ἔτυχεν ἀγωνίσασθαι, ἀλλ' ἂν μὴ οὕτω δράμωμεν ὡς μέχρι τοῦ τέλους ἀλείπτους ἑαυτοὺς παρασχεῖν καὶ ἐγγὺς γενέσθαι τοῦ βραβείου, οὐδὲν ἡμῖν ἔσται πλέον.

Θεοδωρίτου. Ὁ μὲν γὰρ πόνος τῶν τὸ Εὐαγγέλιον κηρυττόν-

τῶν τοῖς σῶμα ἀσκοῦσι προσόμοιος. ὁ δὲ στέφανος οὐ παραπλήσιος, ἀλλ' ἀσυγκρίτως ὑπερέχων ἐκείνου· ἐκεῖ πολλῶν ἀγωνιζομένων εἷς ἀνακηρύττεται μόνος, ἐνταῦθα δὲ τῶν καλῶς ἀγωνιζομένων ἕκαστος ἀξιοῦται τῆς ἀναιρήσεως· πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται. ἀποβλέψατε τοίνυν εἰς τοὺς ἐκείνων πόνους· οὐδὲ γὰρ πάντων μεταλαγχάνουσιν ὧν ἂν ἐπιθυμήσωσιν, ἀλλ' ἐκείνης ἀπολάβουσι τῆς τρυφῆς, ἣν ὁ παιδοτρίβης προσφέρει.

Σευηριανοῦ. Τί μέγα, φησὶν, ἐὰν ἐγκρατεύσησθε σαρ[o] καὶ διὰ τῶν τὸν ἀδελφόν· πάντα δεῖ ἐγκρατεύεσθαι τὸν ἀγωνιζόμενον· ἀπὸ θυμοῦ, ἀπὸ δόξης, καὶ ἀπὸ πάντων τῶν λοιπῶν· "ἐκεῖνοι μὲν "οὖν, ἵνα φθαρτὸν στέφανον λάβωσιν· ἡμεῖς δὲ ἄφθαρτον." προτίθησι δὲ καὶ ἑαυτὸν ἀντὶ παραδείγματος· "ἐγὼ τοίνυν οὕτως "τρέχω, ὡς οὐκ ἀδήλως· οὕτως πυκτεύω· ὡς οὐκ ἀέρα δέρων."

Θεοδωρίτου. Ὁρῶν τὰ ἐλπιζόμενα ἀγαθὰ, οὐ γὰρ ἄδηλός μοι ὁ στέφανος· οὐδὲ ματαιοπονῶ, τὸν ἀέρα τύπτων, ἀλλὰ τοῖς ἀοράτοις ἀντιπάλοις τὴν πληγὴν ἐπιφέρω. τοῦτο δὲ ἐκ μεταφορᾶς τῶν παγκρατιαστῶν τέθεικεν· εἰώθασι γὰρ ἐκεῖνοι γυμναζόμενοι κατὰ τοῦ ἀέρος τὰς χεῖρας κινεῖν· τίς δὲ τῆς πληγῆς ὁ τρόπος; "ἀλλ' "ὑποπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μή πως ἄλλους κηρύξας "αὐτὸς ἀδόκιμος γένωμαι·" ὥσπερ ἡ τροφὴ τὸν ἀθλητὴν ῥωμαλέον ἐργάζεται· οὕτως ἡ φιλοπονία καὶ ἐγκράτεια ἐμὲ μὲν ῥώννυσι, τὸν δὲ ἀνταγωνιστὴν καταβάλλει· κέχρημαι δὲ τούτοις δεδιὼς καὶ τρέμων, μὴ τοὺς ἄλλους τὸ δέον διδάξας, αὐτὸς τοῦ τέλους τῶν ἀγώνων παντελῶς διαμαρτῶ.

Σευηριανοῦ. Τοῦτο οὐχ ἁπλῶς εἶπεν· ἀλλὰ τοὺς ἕνεκεν τοῦ γαστρίζεσθαι φιλοσοφεῖν προσποιουμένους, ὅτι τὸ εἰδωλόθυτον.[p]

Ἰωάννου. "Οὕτως πυκτεύω, ὡς οὐκ ἀέρα δέρων." ἔχω γὰρ τίνα δέρω, τὸν διάβολον· ὑμεῖς δὲ τῇ πίστει καὶ ταῖς πληγαῖς εἰς οὐδὲν δέον κέχρησθε· "ἀλλ' ὑποπιάζω μου τὸ σῶμα καὶ "δουλαγωγῶ." οὐκ ἀφίημι, φησὶ, τῇ γαστρὶ καὶ τῷ σώματι τὰς ἡνίας, ἀλλὰ περισφίγγω αὐτὸ καὶ ὑποτάσσω· οὐ γὰρ συμβάλλεταί μοι, φησὶ, τὸ κηρύξαι μόνον, ἂν μὴ καὶ τὰ παρ' αὐτοῦ παράσχωμαι· ταῦτα δὲ αὐτοὺς αἰνίττεται ὡς καὶ τοὺς γαστρι-

[o] Fors. εἰ ἐγκρατεύσῃς σαρκὸς καὶ διαβάλλεις τὸν ἀδελφόν. [p] Vid. aliquid excidisse.

μάργους· καὶ ὅτι οὐκ ἀρκεῖ ὑμῖν τὸ πιστεῦσαι, ὥσπερ οὐδὲ ἐμοὶ τὸ κηρύξαι, ἐὰν μὴ τὸ σῶμα καὶ τὰς ἐπιθυμίας δουλώσητε.

1 *Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι οἱ πατέρες*
ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς
2 *θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν Μωυσῆν ἐβαπτί-*
3 *σαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, καὶ πάντες τὸ*
4 *αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ*
πόμα πνευματικὸν ἔπιον· ἔπινον γὰρ ἐκ πνευματικῆς
5 *ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός. ἀλλ'*
οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός· κατε-
στρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ.

Ἰωάννου. *Δεῖξαι βούλεται διὰ τούτων, ὅτι ὥσπερ ἐκείνους οὐκ ὤνησε τὸ τοσαύτης ἀπολαῦσαι δωρεᾶς, οὕτως οὐδὲ τούτους τὸ βαπτίσματος τυχεῖν καὶ μυστηρίων ἀπολαῦσαι πνευματικῶν προστίθεται, εἰ μὴ μέλλοιεν ἄξιον τῆς χάριτος ἐπιδείκνυσθαι βίον. διὸ καὶ τοὺς τοῦ βαπτίσματος καὶ τοὺς τῶν μυστηρίων παράγει τύπους. τί δέ ἐστιν "εἰς τὸν Μωϋσὴν ἐβαπτίσαντο;" καθάπερ ἡμεῖς τῷ Χριστῷ πιστεύσαντες καὶ τῇ ἀναστάσει αὐτοῦ βαπτιζόμεθα, ὡς καὶ αὐτοὶ τῶν αὐτῶν κοινωνήσαντες· οὕτω κἀκεῖνοι θαρσήσαντες τῷ Μωϋσεῖ, τοῦτ' ἐστιν ἰδόντες αὐτὸν διαβάντα πρῶτον, κατετόλμησαν καὶ αὐτοὶ τῶν ὑδάτων· ἀλλ' ἐπειδὴ βούλεται τὸν τύπον ἐγγὺς τῆς ἀληθείας ἀγαγεῖν· οὐ λέγει οὕτως, ἀλλὰ τοῖς τῆς ἀληθείας ὀνόμασι κέχρηται, καὶ ἐπὶ τοῦ τύπου. καὶ τοῦτο μὲν τοῦ λουτροῦ σύμβολον· τὰ δὲ μετὰ ταῦτα τῆς τραπέζης τῆς ἱερᾶς. καθάπερ σὺ τὸ σῶμα ἐσθίεις τὸ δεσποτικὸν, οὕτως ἐκεῖνοι μάννα. ὥσπερ σὺ αἷμα πίνεις, οὕτως ἐκεῖνοι ὕδωρ ἐκ πέτρας· εἰ γὰρ καὶ αἰσθητὰ ἦν τὰ διδόμενα, ἀλλὰ πνευματικῶς παρείχετο· οὐ κατὰ φύσεως ἀκολουθίαν, ἀλλὰ κατὰ δωρεᾶς χάριν. καὶ μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν ἔτρεφεν εἰς πίστιν ἐνάγοντα.*

Διά τοι τοῦτο περὶ μὲν τῆς τροφῆς οὐδὲν εἶπεν, ἐξηλλαγμένη γὰρ ἦν, οὐ τῷ τρόπῳ μόνῳ, ἀλλὰ καὶ τῇ φύσει. μάννα γὰρ ἦν. ἐπὶ δὲ τοῦ πότου, ἐπειδὴ ὁ τρόπος τῆς χορηγίας οὐ μόνον ἦν παράδοξος, ἀλλὰ καὶ κατασκευῆς ἐδεήθη· διόπερ εἰπὼν ὅτι "τὸ αὐτὸ

"πόμα πνευματικὸν ἔπιον" ἐπήγαγεν· "ἔπινον γὰρ ἐκ πνευματικῆς "ἀκολουθούσης πέτρας. ἡ δὲ πέτρα ἦν ὁ Χριστός." οὐ γὰρ ἡ τῆς πέτρας φύσις τὸ ὕδωρ ἠφίει, φησίν· ἢ γὰρ ἂν καὶ πρὸ τούτου ἀνέβλυσεν· ἀλλ' ἑτέρα τις πέτρα πνευματικὴ τὸ πᾶν εἰργάζετο· τοῦτ' ἐστιν ὁ Χριστὸς, ὁ παρὼν αὐτοῖς ὁ πανταχοῦ καὶ πάντα θαυματουργῶν. διὰ τοῦτο εἶπεν "ἀκολουθούσης."

Ὅρα δὲ Παύλου τὴν σοφίαν. πῶς ἑκατέρων αὐτὸν ὄντα τὸν χορηγὸν δείκνυσι· καὶ ταύτῃ τὸν τύπον ἐγγὺς τῆς ἀληθείας συνάγων. ὁ γὰρ ἐκεῖνα παρέχων ἐκείνοις φησὶν, οὗτος καὶ ταύτην κατεσκεύασε τὴν τράπεζαν. καὶ ὁ αὐτὸς κἀκείνους διὰ τῆς θαλάσσης καὶ διὰ τοῦ βαπτίσματος ἤγαγεν. κἀκείνοις μάννα καὶ ὕδωρ, καὶ σοὶ σῶμα καὶ αἷμα παρέσχεν. ἀλλ' ἀνάξιοι φανέντες τῆς δωρεᾶς ταύτης, οἱ πλείους ἀπώλοντο· καὶ μὴν πάντες ἀπώλοντο. ἀλλ' ἵνα μὴ δόξῃ καὶ τούτοις πανωλεθρίαν προφητεύειν, διὰ τοῦτο εἶπεν "οἱ πλείους." ἐπειδὴ γὰρ τοῖς περὶ γεέννης λόγοις οἱ πολλοὶ διαπιστοῦσιν, ἅτε μὴ παρούσης μηδὲ φαινομένης, ἀπὸ τῶν ἤδη γεγενημένων δείκνυσιν, ὅτι κολάζει τοὺς ἁμαρτάνοντας ὁ Θεὸς, κἂν μυριάκις εὐεργετηκὼς ᾖ. εἰ γὰρ καὶ τοῖς μέλλουσιν ἀπιστεῖτε φησίν· ἀλλ' οὐ δήπου καὶ τοῖς γεγενημένοις ἀπιστεῖτε.

Θεοδώρου. Πνευματικὸν καλεῖ καὶ τὸ βρῶμα καὶ τὸ πόμα· ὡς ἂν τοῦ Πνεύματος ἄμφω διὰ τοῦ Μωϋσέως κατὰ τὴν ἀπόρρητον αὐτοῦ παρασχόντος δύναμιν. οὕτω δὲ καὶ πνευματικὴν ἐκάλεσεν τὴν πέτραν, ὡς ἂν τῇ δυνάμει τοῦ Πνεύματος ἐκδοῦσαν τὰ ὕδατα. ἀκολουθοῦσαν δὲ, ἐπειδὴ τὸ ῥυὲν ἅπαξ ὕδωρ εἵπετο αὐτοῖς κατὰ τὴν ἔρημον, ὥστε μηδαμοῦ δεηθῆναι πότου, τῶν τόπων ὄντων ἀνύδρων. τὸ δὲ "ἡ πέτρα ἦν ὁ Χριστὸς," ἵνα εἴπῃ, τοῦτο ἦν ἐκείνοις ἡ πέτρα, ὅπερ ἡμῖν ὁ Χριστὸς, οὗ τὸ αἷμα πίνομεν οἱ πιστοὶ, πνευματικῶς ἐπὶ τῶν μυστηρίων μεταποιούμενον.

Θεοδωρήτου. Εἰ ἡ πέτρα αὐτοῖς ἠκολούθει ἢ τὰ τῆς πέτρας νάματα, πῶς αὖθις ἐδεήθησαν ὑδάτων; ὥστε ἠκολούθει αὐτοῖς οὐχ ἡ πέτρα, ἀλλ' ἡ θεία χάρις, ἡ καὶ τὴν πέτραν ἐκείνην παρ' ἐλπίδα πᾶσαν ἀναδοῦναι τὰ ῥεῖθρα τῶν ὑδάτων παρασκευάσασα· πλείους δὲ εἶπεν καὶ οὐχὶ πάντας ἀπολομένους, διὰ Χαλὲβ καὶ Ἰησοῦν τὸν τοῦ Ναβή· οὗτοι γὰρ μόνοι ἦσαν οἱ ἐξ αὐτῶν διασωθέντες.

Κυρίλλου. Προανατυπώσεις εἶναι φαμὲν τὰ τοιάδε τῶν κατ-

ορθωμάτων· καὶ ἡμεῖς γὰρ πρὸ τῆς εἰς Χριστὸν πίστεως, ταῖς τῶν δαιμονίων πλεονεξίαις ὑπεζευγμένοι, δεδουλεύκαμεν τῷ νοητῷ Φαραῷ, τοῦτ' ἔστι ἀρχεκάκῳ Σατανᾷ. ἐπονοῦμεν αὐτῷ μάτην, οἷα πηλῷ καὶ πλινθείᾳ τοῖς τῆς σαρκὸς ἔργοις ἐμβεβηκότες. ἐξείλετο δὲ καὶ ἡμᾶς ὁ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων. διεβίβασε καὶ ἡμᾶς οἷά τινα θάλασσαν τοῦ παρόντος βίου τὸν κλύδωνα[p]· τετελείωκε διὰ τοῦ ἁγίου βαπτίσματος. αὐτὸς γάρ ἐστιν ἡ ἄνωθέν τε καὶ νοητὴ νεφέλη, ἡ τοῦ ζῶντος ὕδατος τοῖς ἀγαπῶσιν αὐτὴν ποιουμένη τὴν χορηγίαν. ὕδωρ δὲ ζῶν τὸ Πνεῦμά ἐστιν. καὶ γοῦν ἔφη ὁ Χριστὸς, "ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος." διατρανῶν δὲ τὸ εἰρημένον ὁ θεσπέσιος Εὐαγγελιστὴς προσεπήγαγεν εὐθὺς τοῖς περὶ τούτου λόγοις· "τοῦτο δὲ εἶπεν, περὶ τοῦ Πνεύματος, οὗ ἤμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν." ἐφάγομεν καὶ ἡμεῖς ἄρτον ἀληθῶς τὸν ζωοποιόν· ὧν ἐπίομεν πόμα πνευματικόν· καθάπερ ἀμέλει κἀκεῖνοι τὸ ὕδωρ ἐκ πέτρας. "ἡ πέτρα δὲ ἦν ὁ Χριστὸς," ὃς καὶ ἡμῖν αὐτοῖς ἐκ τῆς ἰδίας πλευρᾶς ὕδατι[q] συμμιγὲς τὸ ἴδιον συνανέβλυσε αἷμα· διανυττόντων αὐτὸν τῇ λόγχῃ τῶν τοῦ Πιλάτου στρατιωτῶν. πέτρα δὲ λέγεται, ἐπειδή ἐστιν ἄθραυστος ὡς Θεός· κἂν εἰ πέπονθεν ἑκὼν τοῦ θανάτου τὴν ἔφοδον. καὶ τί μετὰ τοῦτο τοῖς ἀρχαιοτέροις συνέβη; προσκεκρούκασι δέ τινα τρόπον· ἐβεβηλώθησαν ἔνσαττι[r]· λελατρεύκασιν εἰδώλοις· ἐτελέσθησαν τῷ Βεελφεγώρ· ἐπειδὴ γὰρ συνεπλάνησαν τοῖς εἰδωλολάτραις, συνέσθιοί τε ἦσαν αὐτοῖς, καὶ τραπέζης ἥπτοντο τῆς εἰδωλικῆς, παρώλισθον εἰς ἀπόστασιν καὶ συνεχόρευον γυναιξίν· καὶ ὁ λαὸς συνιὼν συνεπλέκετο μετὰ πόρνης κατὰ τὴν τοῦ προφήτου φωνήν. τοῦτο γάρ ἐστι τὸ "καὶ ἀνέστησαν παίζειν." ἐπισφαλὲς οὖν τὸ συνδιαιτᾶσθαι πονηροῖς καὶ ἀπίστοις. καὶ γοῦν ἔφη που Σολομῶν, "ὁ συμπορευόμενος σοφοῖς, σοφὸς ἔσται· ὁ δὲ συμπορευόμενος ἄφροσι γνωσθήσεται."

Ὠριγένους. Βούλεται παραστῆσαι ἡμῖν ὁ Ἀπόστολος, ὅτι οὐ τὸ τυχεῖν δωρεᾶς Θεοῦ σώζει τὸν τετυχηκότα αὐτῆς, ἀλλὰ μετὰ τοῦ τυχεῖν τῆς δωρεᾶς ἐπιμεῖναι ἄξιον γενόμενον αὐτῆς. καὶ γὰρ

[p] κλήδωνα Cod. [q] αἷμα τι Cod. [r] Corruptam vocem non expedio.

οἱ υἱοὶ Ἰσραὴλ τοσαῦτα εὐεργετηθέντες, ἐπεὶ μὴ ἄξιοι γενόμενοι αὐτῆς, καὶ γὰρ οἱ υἱοὶ Ἰσραὴλ γεγόνασι[s] τῆς εὐεργεσίας τοῦ Θεοῦ, οὐκ ἐσώθησαν· “ οὐ γὰρ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν “ ὁ Θεός. κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ.” καὶ γὰρ ἐπεὶ πλείονες ἦσαν οἱ ἁμαρτωλοὶ, ὀλιγώτεροι δὲ οἱ δίκαιοι. παρὰ τοῦτο εὐδόκησεν ὁ Θεὸς παρὰ τοῖς πλείοσιν ἁμαρτωλοῖς, παρὰ τοὺς ὀλίγους δικαίους.

Γεννάδιου. Ἐν τούτοις ἀπὸ τῆς τῶν παλαιῶν αὐτοὺς παραθέσεως παιδεῦσαι βούλεται τὰ προσήκοντα, δεικνὺς κἀκείνους καθάπερ ἄν τινι τύπῳ τῶν ἴσων ἀξιωθέντας. οὕτω γὰρ καταλλήλου φαινομένου τοῦ παραδείγματος, εὑρίσκετο δικαίως αὐτοῖς παραινῶν μὴ τὰ ὅμοια πλημμελεῖν, ἵνα μὴ τὰ ὅμοια πείσωνται· τὸ μὲν οὖν ὑπὸ τὴν νεφέλην αὐτοὺς εἶναι, δήλωσις ἦν τῆς τοῦ Πνεύματος χάριτος· ἐκείνους τε γὰρ ἡ νεφέλη σκιάζουσα, τῆς ἐκ τῶν Αἰγυπτίων βλάβης ἀπήλλαττεν. καὶ ἡμᾶς ἡ χάρις τῆς δαιμονικῆς ἐξαιρεῖται κακίας. τὸ δὲ δὶς τῆς θαλάσσης αὐτοὺς διελθεῖν ἔοικεν κατὰ τοῦτο τοῖς ἡμετέροις. ὅτι ὅπερ ἐκείνοις ἡ δὶς τῆς θαλάσσης παρέσχεν διάβασις, τῶν μὲν πολεμίων αὐτοὺς παντελῶς ἀπαλλάξασα, βεβαίαν δὲ αὐτοὺς τοῦ λοιποῦ τὴν ἐλευθερίαν δωρησαμένη· τοῦτο ἡμῖν πρὸς τοὺς ἡμετέρους ἐχθροὺς τὸ βάπτισμα γέγονεν. τὸ δὲ “ εἰς τὸν Μωσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ “ ἐν τῇ θαλάσσῃ,” σημαίνει τοῦτο. ὅτι καθάπερ ἐκεῖνοι τούτων τυχόντες, ὑπέσχοντο τοῖς Μωσαϊκοῖς νόμοις βίον[t], οὕτω καὶ ἡμεῖς ἐν τῷ βαπτίσματι, τὸ τῆς υἱοθεσίας κομιζόμενοι Πνεῦμα, συνθήκας καὶ ὁμολογίας τιθέμεθα τοῦ κατὰ τὰς Χριστοῦ λοιπὸν ζῆν ἐντολάς.

Οἰκουμενίου. “ Εἰς τὸν Μωσῆν” δὲ φησὶν, ἐπειδὴ αὐτὸν ἰδόντες εἰσβάλλοντα κατὰ τῆς διαιρέσεως τῆς θαλάσσης, ἐμιμήσαντο. ὥσπερ οὖν πρωτοστάτης αὐτοῖς τούτου γέγονεν Μωσῆς.

Φωτίου. Εἰς τὸν Μωσῆν ἐβαπτίσαντο, εἰς ἐκεῖνον, φησὶν, ἀφορῶντες, καὶ θαρρήσαντες, ἀφῆκαν αὐτοὺς τῷ θαλασσίῳ ῥείθρῳ βαπτίζεσθαι. εἶτα καὶ ὑπὸ τῆς νεφέλης ὡσαύτως ἐκείνῳ κατακολουθοῦντες ἐσκιάζοντο· εἰ γὰρ καὶ μὴ τῷ ὕδατι ἐκαλύφθησαν, ἀλλ' οὖν ἐν ἐκείνῳ τῷ χώρῳ τοῦ ὕδατος γεγονότες ἐπορεύοντο, ἐν

s Fors. ἀνάξιοι γεγ.

t An βιοῦν ?

ᾧ ἀνάγκη τοὺς διαπορευομένους ὅλῳ καταβαπτίζεσθαι τῷ ὕδατι, κατὰ φύσιν ἔχοντος τοῦ ὕδατος, τοῦ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας. αἰσθητὴ μὲν ἦν ἡ πέτρα δηλονότι τὸ ὕδωρ τοῖς Ἰσραηλίταις ἀναβλύσασα· ἀλλ' οὐχὶ τῇ οἰκείᾳ φύσει τοῦτο ἔβλυσεν, ἀλλὰ τῇ δυνάμει τῆς κατ' ἐνέργειαν παρούσης αὐτῇ πνευματικῆς πέτρας, καὶ ἀκολουθούσης τῇ χρείᾳ τῶν διψώντων· τοῦτ' ἔστι, πρὸς τὴν ἐκείνων σωτηρίαν καὶ ὠφέλειαν πάντα μεταποιούσης καὶ μεταπλαττούσης καὶ συνεπομένης αὐτῶν τῷ βουλήματι. καὶ ποτὲ μὲν τὸ ὕδωρ εἰς διάβασιν αὐτοῖς ἴσα πέτραις στερεούσης· ποτὲ δὲ τὸν οὐρανὸν εἰς βρῶσιν καὶ τροφὴν αὐτοῖς ἄφθονον γεωργούσης· ἄλλοτε δὲ τὴν πέτραν εἰς ὑδάτων γονὰς ἀνασομούσης. διὸ εἰκότως λέγοιντ' ἂν ἐκ τῆς πνευματικῆς πέτρας πιεῖν. αὕτη γὰρ ἦν ἡ τὴν αἰσθητὴν εἰς ὑδάτων λύσασα πληγήν. τίς δὲ ἦν ἡ πνευματικὴ, φησὶν, ἐκείνη πέτρα, ἡ πᾶσα τούτοις παρακολουθοῦσα καὶ πρὸς τὴν ἑκάστου καιροῦ χρείαν τὰς φύσεις τῶν πραγμάτων μεταστοιχειοῦσα καὶ συμμεταβάλλουσα; τίς φησίν; ἢ δῆλον ὁ Χριστὸς, ὁ καὶ νῦν εἰς ἡμᾶς τὰ ὅμοια καὶ μείζω ἐπιδεικνύμενος.

Ἔστιν δὲ τὸ "ἀκολουθούσης" καὶ ἑτέρως ἐκλαβεῖν. ἡ γὰρ νοητὴ πέτρα ἤτοι ὁ Χριστὸς, οὐ μόνον τὰ εἰρημένα αὐτοῖς παραδόξως ἐβράβευσεν, ἀλλὰ καὶ ἐν τοῖς ἐφεξῆς ἠκολούθει καὶ εἵπετο· παραπλήσια τούτοις καὶ μείζονα τὸν Ἰσραηλίτην εὐεργετῶν, ἀλλὰ καὶ νῦν ἡμῖν τοῖς πιστοῖς ἀκολουθούσης, ὥστε εἶναι κατὰ συνεχείαν τῆς αὐτῆς προνοίας καὶ τοῦ αὐτοῦ δεσπότου καὶ Θεοῦ, τάτε ἐν τῇ παλαιᾷ θαυματουργήματα καὶ τὰς εὐεργεσίας, καὶ τὰ ἐν τῇ καινῇ.

6 Ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν, εἰς τὸ μὴ εἶναι
ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν.
7 μηδὲ εἰδωλολάτραι γίνεσθε, καθώς τινες αὐτῶν· ὥσπερ
γέγραπται, Ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ
8 ἀνέστησαν παίζειν. μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἴκοσι τρεῖς χιλιάδες.

Ὠριγένους. "Ταῦτα δέ," φησι, "τύποι ἡμῶν γεγόνασιν, εἰς

"τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύ- "μησαν·" ἐκεῖνα γέγραπται τυπικῶς πρὸς ἡμᾶς, ἵνα ἀναγινώσκοντες τὰς ἁμαρτίας, δι' ἃς ἐκεῖνοι ταῦτα πεπόνθασιν, φυλαττώμεθα ταῖς αὐταῖς περιπεσεῖν ἐκείνοις ἐπιθυμίαις.

Θεοδώρου. "Ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν" οὐχ ὅτι διὰ τοῦτο ἐτιμωρήθησαν ἐκεῖνοι· πῶς γὰρ οἷόν τε; ἀλλ' ὅτι τὰ παρ' ἐκείνους γενόμενα ἐν τάξει τύπων δύναται ἡμᾶς παιδεύειν.

Ἰωάννου. Εἰπὼν εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, ἐπήγαγεν, "μηδὲ εἰδωλολάτραι γίνεσθε." τὴν δὲ αἰτίαν τῆς τοιαύτης παρανομίας τιθεὶς, αὕτη δὲ ἦν ἡ γαστριμαργία· "ἐκάθισεν "ὁ λαὸς φαγεῖν καὶ πιεῖν·" καὶ τὸ ἐξ αὐτῆς τέλος προστίθησιν, ὅτι "ἀνέστησαν παίζειν·" ὥσπερ γὰρ ἐκεῖνοι, φησὶν, ἀπὸ τρυφῆς εἰς εἰδωλολατρίαν ἐξέβησαν, οὕτω δέος μὴ καὶ ὑμεῖς ἐντεῦθεν ἐκπέσητε ἀπὸ τῆς γαστριμαργίας.

Θεοδωρίτου. Τῆς πορνείας ἐμνημόνευσεν· καὶ τῶν διὰ ταύτην ἀναιρεθέντων εἶπεν τὸν ἀριθμὸν, τῇ τοῦ πεπορνευκότος ἐμβαλὼν διανοίᾳ τῆς τιμωρίας τὸ δέος. ἕκαστον γὰρ τῶν λεγομένων ὡς συμβαλὼν τοῖς Κορινθίων πλημμελήμασι τέθεικεν.

Ἰωάννου. Ὥσπερ γὰρ ὁ βαπτισμὸς καὶ τὸ βρῶμα καὶ τὸ πόμα τύποι ἦσαν ἡμῶν, οὕτω καὶ ὁ ὄλεθρος τύπος τις ἦν ἡμῶν, εἰς τὸ μὴ τοῖς ἴσοις ἁλόντας, τὰ ἴσα παθεῖν. "εἰς τὸ μὴ εἶναι "ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κακεῖνοι ἐπεθύμησαν·" καὶ ὁ Δαβὶδ φησὶ "καὶ ἐπεθύμησαν κρέα, σκόροδα, θεὸν ἴδιον·" "μηδὲ "εἰδωλολάτραι γίνεσθε" φησίν· τοῦτο πῶς ἠρέμα τοὺς τὰ εἰδωλόθυτα ἐσθίοντας αἰνίττεται· δεικνὺς ὅτι καὶ ἐκεῖνοι ἀπὸ γαστριμαργίας ἦλθον εἰς εἰδωλολατρείαν· καὶ ὑμεῖς φησὶν ἀπὸ γαστριμαργίας μᾶλλον τὰ εἰδωλόθυτα ἐσθίετε, ἤπερ ἀπὸ τελειότητος· "καὶ ἀνέστησαν παίζειν." χοροὺς γὰρ στήσαντες περὶ τὸν μόσχον, ἔπαιζον χορεύοντες ἔμπροσθεν αὐτοῦ. "μηδὲ πορνεύωμεν, καθώς "τινες αὐτῶν ἐπόρνευσαν." πάλιν εἶπεν ἁμαρτίαν ἄλλην ἀπὸ γαστριμαργίας τικτομένην.

9 Μηδὲ ἐκπειράζωμεν τὸν Χριστὸν, καθὼς καί τινες
10 αὐτῶν ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο. μηδὲ
γογγύζετε, καθὼς καί τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώ-

11 λοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. ταῦτα δὲ πάντα, τύποι
συνέβαινον ἐκείνοις· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν,
12 εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν. ὥστε ὁ δοκῶν
ἑστάναι, βλεπέτω μὴ πέσῃ.

Σευηριανοῦ. Ἐπειδὴ ἔλεγον, ἐμοὶ εἴδωλον οὐκ ἔστιν, εὐχαριστῶ γὰρ καὶ ἐσθίω, τοῦτο φησὶν ἐκπειράσαι ἐστίν. ὃ γὰρ μὴ προσέταξεν Ἰησοῦς, ὅτ' ἂν ὡς πιστεύων αὐτῷ ποιῇς, ἐκπειράζεις μᾶλλον ἢ πιστεύεις.

Θεοδωρίτου. Ἐπείραζον οἱ ταῖς διαφόροις κεχρημένοι γλώτταις, κατὰ φιλοτιμίαν μᾶλλον ἢ χρείαν ταύτας ἐπ' ἐκκλησίας προσφέροντες.

Ἰωάννου. Διὰ τούτου πάλιν ἕτερον αἰνίττεται ἔγκλημα, ὃ καὶ πρὸς τῷ τέλει τίθησιν, ἐγκαλῶν αὐτοῖς ὅτι περὶ σημείων ἐμάχοντο. καὶ τῶν πειρασμῶν δὲ ἕνεκεν ἐξελύοντο, λέγοντες, πότε ἥξει; διὸ καὶ ἐπήγαγεν τούτων ἕνεκεν, αὐτοὺς διορθούμενος καὶ φοβῶν· "μηδὲ γογγύζετε, καθὼς καί τινες" καὶ τὰ ἑξῆς.

Θεοδώρου. Λείπει κατὰ τὴν διανοίαν τὸ ἡμῶν.

Θεοδωρίτου. Ἀντὶ τοῦ ὡς τύποι· ἐν ἐκείνοις γὰρ τὰ ἡμέτερα διεγράφετο· "ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη "τῶν αἰώνων κατήντησεν" οὐ γὰρ τῆς ἐκείνων ἕνεκα ὠφελείας ἀνάγραπτα ταῦτα πεποίηκεν ὁ Θεός· ποίαν γὰρ ἢ τελευτήσαντες ἐκ τῶν πραγμάτων ὄνησιν ἐκαρποῦντο, ἀλλ' ἡμῖν τὸ ἐντεῦθεν φυόμενον πραγματευόμενοι κέρδος. καλῶς δὲ καὶ τοῦ αἰῶνος τὸ τέλος προστέθεικεν· ἐπείγων αὐτοὺς καὶ διεγείρων εἰς ἐργασίαν τῆς ἀρετῆς· "ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ·" σὺ φησὶν, ὁ τὴν γνῶσιν ἔχειν ὑπειληφώς. εἶτα ἐπειδὴ πολλὰς, καὶ αὐτοὶ παροινίας καὶ ὕβρεις ὑπέμενον παρὰ τῶν ἀπιστούντων, καὶ εἰκὸς ἦν αὐτοὺς καὶ διὰ τοῦτο μέγα φρονεῖν, ἐπήγαγεν, "πειρασμὸς "ὑμᾶς οὐκ εἴληφεν" καὶ τὸ ἑξῆς.

Ἰωάννου. Αἰνίττεται αὐτοὺς ὅτι ἐν τοῖς πειρασμοῖς οὐ γενναίως ἔφερον, ἀλλὰ μετὰ γογγυσμοῦ· οὐ γὰρ τὸ παθεῖν ὑπὲρ Χριστοῦ μόνον μέγα, ἀλλὰ καὶ τοῦ εὐχαρίστως παθεῖν. "ταῦτα δὲ "πάντα τύποι συνέβαινον ἐκείνοις." τύπους ἐκεῖνα καλεῖ, δεικνὺς μειζόνως αὐτοὺς κολασθήσεσθαι· ὥσπερ γὰρ ἐπὶ τῶν δωρεῶν ἡ ἀλή-

θεια τοῦ τύπου μείζων, οὕτω πάντως καὶ ἐπὶ τῶν τιμωριῶν. "εἰς "οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν·" καὶ ἐκ τοῦ ἐφιστᾶν αὐτοῖς τὸ τέλος, καὶ τὰς ἐκεῖ αἰωνίας τιμωρίας πλέον αὐτοὺς πτοεῖ· ἤδη γάρ, φησίν, τὰ τέλη τῶν αἰώνων κατήντησεν· καὶ ἡ ἡμέρα δηλονότι τῆς τιμωρίας, οἷον ἔφθασεν· "ὥστε ὁ δοκῶν ἑστάναι, "βλεπέτω μὴ πέσῃ." πάλιν τοὺς ἐπὶ τῇ γνώσει μέγα φρονοῦντας αἰνίττεται. εἰ γὰρ καὶ ἑστάναι νομίζεις, εὐλαβοῦ, φησίν, μὴ πέσῃς. αὐτὸ μὲν γὰρ τὸ θαρρεῖν ὡς ἕστηκας, οὐδὲ ἑστάναι ἐστίν· εἰ δὲ καὶ ἔστιν, εὐχερὴς ἐξ ἀπονοίας ἡ πτῶσις.

Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος·
13 πιστὸς δὲ ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ
ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν
ἔκβασιν, τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν.

ΘΕΟΔΩΡΙΤΟΥ. "Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν εἰ μὴ ἀνθρώ-"πινος·" ἀντὶ τοῦ σμικρός· τούτῳ γὰρ τῷ προσρήματι ἐπὶ τοῦ σμικροῦ κεχρῆσθαι εἴωθεν ὁ θεῖος Ἀπόστολος· ὥσπερ ὅτ' ἂν λέγῃ "ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν·" ἀντὶ τοῦ σύμμετρον τῇ φύσει.

ΘΕΟΔΩΡΟΥ. Ἰδοὺ γάρ, φησίν, οὐκ ἐπενεχθέντων, οὐ διωγμῶν, οὐκ ἀνάγκης τινός, ὑπὸ τῶν ἀνθρωπίνων τούτων, καὶ ἅπασιν ἀνάγκη προσεῖναι ἀνθρώποις, ὅσην ὑπεμείνατε βλάβην· ἐν εἰδωλείῳ μὲν διὰ φιλίαν ἑστιώμενοι· ὑπὸ δὲ τῶν προσόντων πλεονεκτημάτων τοσοῦτον φυσώμενοι.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐδίδαξεν μὴ ἑαυτοῖς θαρρεῖν, ἀλλὰ τὴν θείαν ἐπικουρίαν αἰτεῖν.

ΣΕΥΗΡΙΑΝΟΥ. Οὐκ ηὔξατο μὴ πειρασθῆναι· ἐπειδὴ ἀνὴρ ἀπείραστος, ἀδόκιμος· ἀλλ' οὕτως πειράζεσθαι ὡς φέρειν.

ἸΩΑΝΝΟΥ. Ἐπειδὴ ἐφόβησεν αὐτοὺς ἱκανῶς τὰ παλαιὰ διηγησάμενος παραδείγματα, καὶ εἰς ἀγωνίαν ἐνέβαλεν εἰπὼν "ὁ δοκῶν "ἑστάναι βλεπέτω μὴ πέσῃ." ἦσαν δὲ καὶ πειρασμοὺς ἐνηνοχότες πολλούς, καὶ γυμνασάμενοι πολλάκις ἐν τούτοις. ἵνα μὴ λέγωσι τί φοβεῖς ἡμᾶς; οὐκ ἐσμὲν τούτων ἀμελέτητοι τῶν κακῶν· καταστέλλων αὐτῶν τὸ φύσημα, φησίν, "πειρασμὸς ὑμᾶς οὐκ εἴλη-"φεν, εἰ μὴ ἀνθρώπινος," ἐπὶ τοῦ μικροῦ λέγεται· οὐδέπω γὰρ

εἴδετε κίνδυνον, θάνατον ἀπειλοῦντα, οὐδὲ πειρασμὸν σφαγὴν ἐπανατεινόμενον· ὃ καὶ Ἑβραίοις ἔλεγεν, "οὔπω μέχρις αἵματος "ἀντικατέστητε," πρὸς τὴν μαρτυρίαν ἀνταγωνιζόμενοι. εἶτα ἐπειδὴ ἐφόβησεν, ὅρα πῶς αὐτοὺς πάλιν ἀνίστησι μετὰ τοῦ πεῖσαι μετριάζειν· "πιστὸς δὲ ὁ Θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι "ὑπὲρ ὃ δύνασθε·" ἆρ' εἰσὶ πειρασμοὶ οὓς οὐ δυνατὸν ὑπενεγκεῖν; καὶ τίνες οὗτοι; πάντες ὡς εἰπεῖν. τὸ γὰρ δυνατὸν ἐν τῇ τοῦ ῥοπῇ κεῖται, ἣν διὰ τῆς ἡμετέρας ἐπισπασώμεθα γνώμης. διόπερ ἵνα μάθῃς καὶ εἰδῇς ὅτι οὐ μόνον ἐκείνους τοὺς ὑπερβαίνοντας ἡμῶν τὴν δύναμιν, ἀλλ' οὐδὲ τούτους τοὺς ἀνθρωπίνους ἔνι χωρὶς τῆς ἐκεῖθεν βοηθείας διενεγκεῖν, ἐπήγαγεν, "ἀλλὰ ποιήσει σὺν τῷ "πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν" αὐτὸς γὰρ καὶ τὴν ὑπομονὴν δίδωσι, καὶ τὴν ταχεῖαν ἀπαλλαγὴν ἐπάγει. ὥστε καὶ ταύτῃ φορητὸν γένεσθαι τὸν πειρασμόν. τοῦτο γὰρ ᾐνίξατο εἰπών, "ποιήσει καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν," καὶ πάντα αὐτῷ ἀνατίθησι.

ΦΩΤΙΟΥ. Τὸ *"ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβα-"σιν," διχῶς ἐστιν ἐκλαβεῖν· ἢ ὅτι τὸν πειρασμὸν συγχωρῶν ἐλθεῖν, αὐτίκα καὶ διασκεδάζει καὶ παύει αὐτὸν, ὥστε καὶ ὑμᾶς δύνασθαι διὰ τὸ ὀλίγον χρόνον ἐνοχλεῖν ὑμᾶς ὑπενεγκεῖν αὐτόν· ἢ ὅτι σὺν τῷ πειρασμῷ ποιήσει καὶ τῇ ὑπομονῇ καὶ καρτερίᾳ ἔκβασιν· τοῦτ' ἔστι ποιήσει ὑμᾶς αὐτίκα καρτερικοὺς καὶ ὑπομένειν ἱκανοὺς, ὥστε μηδὲν ὑμᾶς ἐκ τοῦ πειρασμοῦ βλάπτεσθαι, ἀλλὰ μᾶλλον καὶ μεγάλα κερδαίνειν.*

14 Διόπερ, ἀγαπητοί μου, φεύγετε ἀπὸ τῆς εἰδωλολα-
15 16 τρείας. ὡς φρονίμοις λέγω, κρίνατε ὑμεῖς ὅ φημι. τὸ
ποτήριον τῆς εὐλογίας ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ
αἵματος τοῦ Χριστοῦ ἐστιν; τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ
17 κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν; ὅτι εἷς
ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν· οἱ γὰρ πάντες ἐκ τοῦ
ἑνὸς ἄρτου μετέχομεν.

ΣΕΥΗΡΙΑΝΟΥ. *Ὁρᾷς ὅτι πάντα προσειρημένα αὐτῷ τούτου ἕνεκα κατεσκευάζετο;*

ΘΕΟΔΩΡΙΤΟΥ. *Κατὰ μέρος αὔξει τὴν κατηγορίαν, καὶ δείκνυσι*

τὴν ἀδιάφορον τῶν εἰδωλοθύτων μετάληψιν, οὐδὲν διαφέρουσαν τῆς τῶν εἰδώλων λατρείας. "ὡς φρονίμοις λέγω·" μέτα ἐπαίνου προσφέρει τὸν ἔλεγχον, δεκτὸν αὐτὸν τῇ εὐφημίᾳ πραγματευόμενος· "κρίνατε ὑμεῖς ὅ φημι." ὑμῖν κέχρημαι δικασταῖς· οἶδα ὑμῶν τὸ συνετόν. "τὸ ποτήριον τῆς εὐλογίας ὃ εὐλογοῦμεν· οὐχὶ "κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστι; ὁ ἄρτος ὃν κλῶμεν, "οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν; ὅτι εἷς ἄρτος, "ἓν σῶμα οἱ πολλοί ἐσμεν. οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου "μετέχομεν" τῶν ἱερῶν ἀπολαύσαντες μυστηρίων, οὐχ αὐτῷ κοινωνοῦμεν τῷ δεσπότῃ· οὗ καὶ τὸ σῶμα καὶ τὸ αἷμα εἶναι φαμεν; καὶ πάντες εἰς ἓν σῶμα τελοῦμεν, ἐπειδὴ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μεταλαγχάνομεν.

Ἰωάννου. Θεραπεύει λοιπὸν αὐτούς, πολλὰ αὐτοὺς καθαψάμενος. ὅρα δέ, οὐκ ἔτι διὰ μόνην τὴν βλάβην τῶν ἀσθενεστέρων ἀδελφῶν κωλύει αὐτοὺς ἐσθίειν τὰ εἰδωλόθυτα, ἀλλὰ καὶ αὐτὸ καθ' ἑαυτὸ τὸ ἐσθίειν διαβάλλει, εἰδωλολατρείαν τὸ πρᾶγμα καλῶν. "ὡς φρονίμοις λέγω·" ἐπειδὴ ἐξῆρε τὸ ἐσθίειν εἰδωλόθυτα, εἰδωλολατρείαν τὸ πρᾶγμα προσειπών, καὶ διὰ τοῦτο καθήψατο αὐτῶν, λοιπὸν πειρᾶται θεραπεῦσαι τὸ βραχὺ τοῦ λόγου, καὶ φησί, ὑμεῖς φρόνιμοι ὄντες, κρίνατε τὸ πρᾶγμα· καὶ εὔχεται αὐτὸ εὑρεῖν εἰδωλολατρείαν. τοῦτο δὲ ποιεῖ, καὶ αὐτοὺς τοὺς ὑπευθύνους καθίζει δικαστάς· δεικνὺς ὅτι σφόδρα θαρρεῖ τοῖς οἰκείοις λόγοις ὡς ἀληθέσι. λοιπὸν κατασκευάζει εἰδωλολάτρας ὄντας καὶ κοινώνους εἰδώλων τοὺς ἐσθίοντας εἰδωλόθυτα. "τὸ ποτήριον τῆς εὐλογίας "ὃ εὐλογοῦμεν." ὃ μετὰ χεῖρας ἔχοντες εὐλογοῦμεν τὸ χαρισάμενον ἡμῖν τὸ αἷμα αὐτοῦ, οὐχὶ κοινωνία τοῦ αἵματος Χριστοῦ ἐστι; συνάπτει γὰρ τῷ Χριστῷ τὸ αἷμα αὐτοῦ ὡς μέλη κεφαλῇ διὰ τῆς μεταλήψεως. "τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ "σώματος τοῦ Χριστοῦ ἐστιν;" ὅπερ ἐπὶ τοῦ σταυροῦ οὐ πέπονθεν ὁ Κύριος, "ὀστοῦν γὰρ αὐτοῦ," φησίν, "οὐ συντριβήσεται." τοῦτο δι' ὑμᾶς ὑπομένει κατακλώμενος, ἵνα συνάψῃ ἡμᾶς ἑαυτῷ· "ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν." ἐπειδὴ εἶπεν κοινωνία τοῦ σώματος τοῦ Κυρίου, δοκεῖ δὲ τὸ κοινωνοῦν ἕτερον εἶναι παρ' ἐκεῖνο ὃ κοινωνεῖ, νῦν θέλει δεῖξαι ὅτι οὐ κοινωνοῦμεν, ἀλλ' αὐτὸ τὸ σῶμα ἐσμὲν Χριστοῦ οἱ πάντες, ὥσπερ ἀμέλει σῶμά ἐστιν

τῆς κεφαλῆς τὸ λοιπὸν σῶμα· καθάπερ γὰρ, φησὶ, ὁ ἄρτος ἐκ πολλῶν κόκκων εἷς γίνεται ἄρτος· οὕτω, φησὶ, καὶ ἡμεῖς πολλοὶ ὄντες, ἓν γινόμεθα σῶμα Χριστοῦ· “οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς “ἄρτου μετέχομεν.” εἶτα ἐπάγει καὶ λογισμὸν, πῶς γινόμεθα σῶμα Χριστοῦ. τί γάρ ἐστι σῶμα; φησὶν, ὁ ἄρτος δῆλον ὅτι σῶμα Χριστοῦ. τί δὲ γίνεται ὁ μεταλαμβάνων; δῆλον ὅτι σῶμα Χριστοῦ. μετέχοντες γὰρ τοῦ σώματος τοῦ Χριστοῦ, καὶ ἡμεῖς ἐκεῖνο γινόμεθα· ἐπειδὴ γὰρ ἡ παλαιὰ σὰρξ ἐφθάρη ὑπὸ τῆς ἁμαρτίας, ἐδέησεν ἡμῖν σαρκὸς νέας.

ΦΩΤΙΟΥ. *Ἀπόδειξίς ἐστι τοῦ εἰρημένου τὸ ἐπαγόμενον· πόθεν γὰρ δῆλον, φησί; “ὅτι τὸν ἄρτον ὃν κλῶμεν κοινωνία τοῦ σώμα- “τος τοῦ Χριστοῦ ἐστίν.” τοῦτ᾽ ἔστιν εἰς κοινωνίαν ἡμᾶς τοῦ σώματος συνάγει τοῦ Χριστοῦ. πόθεν δῆλον; ὅτι ἓν σῶμα ἐσμὲν καὶ καλούμεθα, πάντες Χριστῷ συναπτόμενοι ὡς τοῦ κοινοῦ σώματος κεφαλῇ. εἰ οὖν μὴ τῷ σώματι αὐτοῦ καὶ τῷ αἵματι εἰς κοινωνίαν συνηγόμεθα, τίνι ἂν ἑτέρῳ ἓν σῶμα ἦμεν καὶ ἐκαλούμεθα;*

18 Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα· οὐχὶ οἱ ἐσθίοντες
19 τὰς θυσίας, κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσί; τί οὖν
φημι; ὅτι εἴδωλόν τί ἐστιν; ἢ ὅτι εἰδωλόθυτόν τι
20 ἐστιν; ἀλλ᾽ ὅτι ἃ θύει τὰ ἔθνη, δαιμονίοις θύει, καὶ
οὐ Θεῷ· οὐ θέλω δὲ ὑμᾶς κοινωνοὺς τῶν δαιμονίων
21 γίνεσθαι. οὐ δύνασθε ποτήριον Κυρίου πίνειν καὶ ποτή-
ριον δαιμονίων· οὐ δύνασθε τραπέζης Κυρίου μετέχειν
22 καὶ τραπέζης δαιμονίων. ἢ παραζηλοῦμεν τὸν Κύριον;
μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν;

ΘΕΟΔΩΡΙΤΟΥ. *Ἀποβλέψατε δὲ καὶ εἰς τὸν Ἰσραὴλ, καὶ μαθέτε ὡς τῶν ἱερείων μεταλαμβάνοντες, αὐτῷ κοινωνοῦσι τῷ θυσιαστηρίῳ· ἐπειδὴ ἐκ τοῦ ἑνὸς ἱερείου τὰ μὲν ἐκεῖ προσφέρουσιν, τὰ δὲ αὐτοὶ ἐσθίουσιν. κατὰ σάρκα δὲ τὸν Ἰσραὴλ ἐκάλεσεν, τῇ ἀπιστίᾳ προσμείναντα· ὡς τῶν πεπιστευκότων πνευματικοῦ Ἰσραὴλ χρηματιζόντων. “τί οὖν, φημί; ὅτι εἴδωλον τί ἐστιν; ἢ ὅτι εἰδω- “λόθυτόν τι ἔστιν; ἀλλ᾽ ὅτι ἃ θύει τὰ ἔθνη, δαιμονίοις θύει, “καὶ οὐ Θεῷ.” ἀλλὰ μηδείς με οἰέσθω λέγειν ὡς ἰσχύν τινα*

τῶν εἰδωλοθύτων ἐχόντων, καὶ φύσει μιᾶναι τὸν μεταλαμβάνοντα δυναμένων. οὐ γὰρ τοῦτο λέγω· ἀλλ' ὅτι οἱ τῇ δεισιδαιμονίᾳ δουλεύοντες τοῖς δαιμονίοις τὰς θυσίας προσφέρουσιν· " οὐ θέλω δὲ " ὑμᾶς κοινωνοὺς τῶν δαιμονίων γένεσθαι." εἶτα πλείονα ἐντίθησι φόβον. " οὐ δύνασθε ποτήριον Κυρίου *πίνειν καὶ ποτήριον δαιμο- " νίων." καὶ γὰρ ἐκεῖνοι τῶν σπονδῶν ἀπεγεύοντο. εἶτα λοιπὸν ὡς ἐπὶ ἀποδεδειγμένοις, " οὐ δύνασθε τραπέζης* Κυρίου *μετέχειν καὶ " τραπέζης δαιμονίων." πῶς οἷόν τε ὑμᾶς καὶ τῷ* Κυρίῳ *κοινωνεῖν διὰ τοῦ τιμίου αὐτοῦ σώματός τε καὶ αἵματος, καὶ πάλιν τοῖς δαίμοσι διὰ τῆς εἰδωλοθύτου τροφῆς;*

ΘΕΟΔΩΡΟΥ. Παραζηλοῦν *λέγεται τὸ ἀπό τινων δύο, ποτὲ μὲν τοῦτον θαυμάζειν, ποτὲ δὲ ἐκεῖνον· ἐπὶ τὸ εἰς εὔνοιαν ἀμφοτέρους ἀγαγεῖν ἑαυτοῦ. τοῦτο δὲ παρὰ μὲν ἐλαττόνος εἰς μείζονας οὐκ ἄν ποτε γένοιτο. πότε γὰρ ἂν παροξυνθείη ὁ ὑπερέχων ἐπὶ τῇ παρὰ τοῦ ἐλάττονος εἰς ἕτερον γινομένῃ τιμῇ. γίνεται δὲ παρὰ τῶν καθότι δήποτε ὑπερεχόντων. οἱ γὰρ ἐλάττονες καὶ ἐφίενται τῆς παρὰ τῶν μειζόνων τιμῆς, καὶ ἀποτυγχάνοντες δάκνονται.*

ΣΕΥΗΡΙΑΝΟΥ. Ἐπειδὴ *γέγραπται ὁ* Θεὸς *λέγων διὰ* Μωσέως *αὐτοῖς " παρεζήλωσάν*[u] *με ἐπ' οὐ θεοῖς*[x], *παρώργισάν με ἐν τοῖς " εἰδώλοις αὐτῶν." οἱ δὲ* Κορίνθιοι *εἰδωλόθυτα ἤσθιον· διὰ τοῦτο φησὶν, " ἢ παραζηλοῦμεν τὸν* Κύριον;" *ἀντὶ τοῦ παροξύνομεν αὐτόν. " μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν;" ἔδειξεν διὰ τούτου, ὅτι οὐ θέλει ὁ* Κύριος *εἰδωλόθυτα ἡμᾶς ἐσθίειν. μὴ τοίνυν, φησὶ, θέλε, ἃ μὴ θέλει ὁ* Κύριος, *ὡς ἰσχυρότερος αὐτοῦ καὶ συνετώτερος.*

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ " *παραζηλοῦμεν." ἀντὶ τοῦ παρακνίζομεν τέθεικεν.*

ἸΩΑΝΝΟΥ. Μὴ *γὰρ τοῦτο, φησὶν, λέγω, ὡς ἐχόντων τινὰ ἰσχὺν τῶν εἰδώλων ἢ τῶν θυομένων αὐτοῖς, καὶ διὰ τοῦτο δυναμένων ἢ βλάψαι ἢ ὠφελῆσαι. οὐχὶ φησίν. ἐπειδὴ γὰρ ἐσπουδαιολογήσατο περὶ τῶν εἰδώλων, ἐφοβήθη μὴ νομίζωσιν ἔχειν τινὰ ἰσχὺν αὐτά· ὅτι φησὶ τὰ θύματα οὐ* Θεῷ *ἀλλὰ δαίμοσι θύεται. μὴ τοίνυν τρέχετε ἐπὶ τὰ μισητὰ* Θεῷ· *καὶ γὰρ εἰ βασιλικῆς μετεῖχες τραπέζης, σὺ δὲ ταύτην ἀφεὶς, ἐπὶ τὰς τῶν καταδίκων*

[u] Deut. xxxii. 21.   [x] *θεῷ* Sept.

ἔτρεχες, εὖ ἐποίεις. οὐκ ἐπειδὴ ἔβλαπτεν ἢ ὠφέλει ἐκείνη, ἀλλ' ὅτι ἐνύβριζες τὴν βασιλικὴν τράπεζαν· εἰ γὰρ οἱ τῆς μυστικῆς μετέχοντες τραπέζης, κοινωνοῦσι Θεῷ, οἱ δαιμόνων μετέχοντες τραπέζης, δῆλον ὅτι δαιμόσι κοινωνοῦσιν.

Φωτίου. *Οὐχ ὅτι ἐστὶ τὰ εἴδωλα, διὰ τοῦτο κωλύω τῶν εἰδωλοθύτων γεύεσθαι. προείρηται γὰρ ὅτι τῶν μὴ ὄντων ἐστὶν καὶ ἀνυπάρκτων κατ' οὐσίαν, καὶ οὔτε βλάβην οὔτε ὠφέλειαν ἔχουσιν ἰσχὺν προξενῆσαί τινι. ἀλλὰ διὰ τοῦτο κωλύω, ὅτι διὰ τῶν εἰδώλων τοῖς δαίμοσι προσάγεται καὶ θυσία. πῶς οὖν οὐκ αὐτόθεν βδελυκτὸν καὶ φευκτὸν τὸ μεταλαμβάνειν δαιμονικῆς θυσίας καὶ δι' αὐτῆς αὐτοῖς ἐκείνοις ἔρχεσθαι εἰς κοινωνίαν; εἶτα καὶ διὰ τῆς παραθέσεως τῆς κυριακῆς τραπέζης καὶ τοῦ κυριακοῦ ποτηρίου μᾶλλον ἐλέγχει τὸ ἄτοπον τῶν γενομένων, ἅ ἐστιν εἰδωλόθυτα· καὶ ὅρα τὸ σοφόν· καταρχὰς μὲν ἠρέμα πῶς ἥπτετο τῶν ἐλέγχων, προϊὼν δὲ ὡς ἐνταῦθα, λίαν πικρῶς ἐπεμβαίνει.*

23 *Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα*
24 *μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ. μηδεὶς τὸ ἑαυτοῦ*
25 *ζητείτω, ἀλλὰ καὶ τὸ τοῦ ἑτέρου ἕκαστος. πᾶν τὸ ἐν*
μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ
26 *τὴν συνείδησιν· τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα*
αὐτῆς.

Θεοδωρίτου. *“Πάντα μοι ἔξεστιν;” κατ' ἐρώτησιν ἀναγνωστέον. εἶτα κατὰ ἀπόκρισιν, “ἀλλ' οὐ πάντα συμφέρει.” “πάντα μοι ἔξεστι;” καὶ τοῦτο ὁμοίως· “ἀλλ' οὐ πάντα οἰκοδομεῖ.” ἔξεστί σοι δι' ἣν λέγεις γνῶσιν ποιεῖν ἅπαντα. ἀλλ' οὔτε σοὶ συμφέρει τὸ βλάπτειν ἑτέρους, οὔτε ἐκείνους οἰκοδομεῖ τὸ παρὰ σοῦ γιγνόμενον. ἀλλὰ τέλειος εἶ, ἀλλὰ προσήκει σε*[y] *καὶ τῶν ἀσθενεστέρων ἐπιμελεῖσθαι· τοῦτο γὰρ ἐπήγαγεν· “μηδεὶς τὸ ἑαυτοῦ ζητείτω· ἀλλὰ καὶ τὸ τοῦ ἑτέρου ἕκαστος.” ἐπειδὴ δὲ παντελῶς τὴν τῶν εἰδωλοθύτων μετάληψιν ἀπηγόρευσεν, πλήρεις δὲ ἦσαν αἱ πόλεις κατ' ἐκεῖνο τοῦ καιροῦ τῶν τοιούτων κρεῶν, καὶ εἰκὸς ἦν τοὺς μὲν τὸν ἀποστολικὸν ἀγωνιῶν-*

[y] *προσήκεισθε* Cod.

τας νόμον, μηδαμῶς ὠνεῖσθαι· τοὺς δὲ διὰ γαστριμαργίαν τοῦ νόμου καταφρονεῖν· ἀναγκαίως περὶ τούτου νομοθετεῖ τὰ προσήκοντα.

Ἰωάννου. Ἐὰν γὰρ ἀγνοῶν, φησὶ, φάγῃς καὶ μὴ εἰδῇς, οὐχ ὑπόκεισαι τιμωρίᾳ. τῆς γὰρ ἀγνοίας λοιπὸν τὸ πρᾶγμα, οὐ τῆς λαιμαργίας[z]. καὶ οὐ ταύτης μόνον αὐτὸν ἀπαλάττει τῆς ἀγωνίας, ἀλλὰ καὶ ἑτέρας, πολλὴν ἄδειαν καὶ ἐλευθερίαν αὐτοῖς κατασκευάζων. οὐδὲ γὰρ ἀνακρίνειν ἀφίησι, τοῦτ' ἔστιν ἐξετάζειν καὶ πυνθάνεσθαι, εἴτε εἰδωλόθυτον, εἴτε μὴ τοιοῦτον, ἀλλ' ἁπλῶς ἐσθίειν ἅπαν τὸ ἐξ ἀγορᾶς· μὴ δὲ τοῦ μανθάνειν ὅτι ποτέ ἐστι τὸ προκείμενον αὐτὸν παρέχειν τὰς ἀφορμάς· ὥστέ ἐστι καὶ φορὰ, ἀλλ' ἀπὸ τῆς διανοίας ποιοῦντα ἀκάθαρτον. διὰ τοῦτο φησὶ, "μηδὲν ἀνακρίνοντες." τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ οἱ καρποὶ, καὶ τὰ [a] εἰ δὲ αὐτοῦ πάντα, οὐδὲν ἀκάθαρτον. ἀλλ' ἑτέρως ἀκάθαρτον γίνεται, ἀπὸ τῆς διανοίας καὶ τῆς παρακοῆς.

Οἰκουμενίου. Μὴ γὰρ τοῦτο, φησὶν, μόνον ζητεῖ, εἰ καθαρᾷ σὺ ἐσθίεις συνειδήσει, ἀλλ' εἰ καὶ τὸν ἀδελφόν σου ὠφελεῖ τὸ γινόμενον.

Φωτίου. Ἀντιπίπτειν δοκοῦν λέγει λύει. ἐπειδὴ γὰρ μετὰ σφοδρότητος τῶν εἰδωλοθύτων κατέδραμεν, καὶ τοὺς ἐσθίοντας ἐπετίμησεν, ἵνα μή τις εἴπῃ τί οὖν; ἀποσχέσθαι ἄρα δεῖ ἡμᾶς καὶ τῶν ἐν ἀγορᾷ κρεῶν προκειμένων; ἢ ἀνάγκην σχοίημεν ἂν περιϊέναι τὰς ἀγορὰς, καὶ ἐπερωτᾶν καὶ ἀνακρίνειν μή ποτε εἰδωλόθυτον εἴη; εἰς τοιαῦτα ἡμῶν συγκλείσομεν καὶ συνελάσομεν τὸν βίον; ἵνα οὖν μὴ τοιαῦτα τινὲς ἀντιτείνειν ἔχοιεν, προφθάσας αὐτὸς δίδωσι τὰς λύσεις, καὶ φησὶ, μήτε τὰ ἐν ἀγορᾷ ἀνάγκην εἶναι παραιτεῖσθαι, μήτε ἀνακρίνειν καὶ ἐπερωτᾶν ἄρα εἰδωλόθυτόν ἐστιν ἢ οὔ, ἀλλ' ἐκείνων ἀπέχεσθαι μόνων περὶ ὧν τις φθάσας ἐμήνυσεν εἰδωλόθυτα εἶναι.

Τοῦ αὐτοῦ. "Πᾶν τὸ ἐν μακέλλῳ," φησὶν, "ἐσθίετε" μηδὲν διστάζοντες κατὰ συνείδησιν μηδὲ ἀνακρίνοντες καὶ ἐπερωτῶντες δι' αὐτὴν, ἵνα ταύτην ἀμφίβολον οὖσαν θεραπεύσητε· οὐ γὰρ ἐβούλετο δύσκολον αὐτοῖς τὴν μετάληψιν παρασκευάσαι τῆς

[z] λεμαργίας Cod. [a] Sic.

τροφῆς, ἵνα μὴ ἐκ τούτου ὀλιγωρήσαντες, τὸ πᾶν τῆς ἀκριβείας, ὡς ἀδυνάτου τῆς ἐντολῆς οὔσης, εἰς τὸ φυλαχθῆναι παραλύσωσιν.

Τοῦ αὐτοῦ. "Μηδὲν διὰ τὴν συνείδησιν ἀνακρίνοντες." τοῦτ' ἔστι μηδὲν ἕνεκεν αὐτῆς ἐπερωτῶντες καὶ ἀνακρίνοντες· δεῖ γὰρ αὐτὴν καθαρὰν καὶ ἀδίστακτον ἐσθίοντας ἔχειν, καὶ μὴ δεῖσθαι πληροφορίας ἄλλης τῆς ἀπὸ τῆς ἀνακρίσεως.

Τοῦ αὐτοῦ. Ἐπειδὴ ἀνωτέρω ὅτε τὰ ἐν μακέλλῳ πωλούμενα οὐκ ἐκώλυεν ἐσθίειν, ἐπήγαγεν, "τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλή-"ρωμα αὐτῆς," τοῦτ' ἔστι τὰ ἐν αὐτῇ πάντα. ταῦτα γάρ εἰσι τὰ πληροῦντα αὐτὴν καρποὶ, καὶ ζῶα καὶ τὰ ὅμοια· εἶτα προϊὼν λέγει, ἐὰν δέ τις ὑμῖν εἴπῃ, τί οὖν; νῦν οὐκ ἔστιν ἡ γῆ τοῦ Κυρίου καὶ τὰ ἐν αὐτῇ; ἀλλ' ὅτε μὲν οὐκ ἐκώλυες ἐσθίειν, τοῦ Κυρίου ἦν, νῦν δὲ οὐκ ἔστιν; ἵνα οὖν μὴ ἐξῇ λέγειν τοῦτό τινι, πάλιν τίθησι τὸ αὐτὸ, καὶ φησὶ, τοῦ Κυρίου μὲν ἡ γῆ καὶ τὰ ἐν αὐτῇ, ὅπερ καὶ πρόσθεν εἶπον, ἀλλὰ διὰ τὸν μηνύσαντα καὶ τὴν συνείδησιν αὐτοῦ, οὐ δεῖ γεύσασθαι ἐκείνων τῶν εἰδωλοθύτων· εἰ γὰρ "τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς," αὐτὸς οὐδενὸς ποιήσει ὑμᾶς ἔχειν ἐνδεῶς. κἂν ταύτης δι' αὐτὸν ἀπόσχησθε τῆς εἰδωλοθύτου θοίνης. ἢ ἐπεὶ τοῦ Κυρίου ἡ γῆ καὶ τὰ ἐν αὐτῇ, πολλῷ μᾶλλον καὶ ὁ ἄνθρωπος ὁ ἐν αὐτῇ. διὰ γοῦν τοῦτον τὸν μηνύσαντα, ὅς ἐστι τοῦ Κυρίου, καὶ τοὺς ἄλλους, ἴσως τοὺς μηνύοντος ἀκούοντας, ἵνα μὴ βλαβῶσι, μὴ ἐσθίετε· "τοῦ γὰρ Κυρίου ἡ γῆ "καὶ τὰ ἐν αὐτῇ·" οὐ γὰρ ὅτε μὲν ἔδει φαγεῖν, τοῦτο ἔδει ἐννοεῖν, ὅτε δὲ μὴ ἐσθίειν, τοῦτο παρορᾶν· ἀλλ' ἀεὶ ὡσαύτως ἔχοντας, καὶ τότε εὐχαρίστως ἐσθίειν· ὡς τοῦ Κυρίου παρασχόντος ἡμῖν εἰς βρῶσιν, ταῦτα καὶ νῦν εἰκότως μὴ ἐσθίειν, ὡς φυλαττομένος σκανδαλίζειν τοὺς τοῦ Κυρίου δούλους καὶ ὁμοδούλους ἡμῶν.

27 Εἰ δέ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων, καὶ θέλετε πο-
ρεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν
28 ἀνακρίνοντες διὰ τὴν συνείδησιν. ἐὰν δέ τις ὑμῖν εἴπῃ,
τοῦτο εἰδωλόθυτόν ἐστι, μὴ ἐσθίετε, δι' ἐκεῖνον τὸν
μηνύσαντα καὶ τὴν συνείδησιν· τοῦ γὰρ Κυρίου ἡ γῆ
29 καὶ τὸ πλήρωμα αὐτῆς. συνείδησιν δὲ λέγω, οὐχὶ τὴν

ἑαυτοῦ, ἀλλὰ τὴν τοῦ ἑτέρου. ἵνα τί γὰρ ἡ ἐλευθερία
30 *μοῦ κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; εἰ δὲ ἐγὼ χάριτι*
μετέχω, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ;

ΘΕΟΔΩΡΙΤΟΥ. *Οὐκ ἐκέλευσεν καλούμενον ἀπελθεῖν, οὔτε μὴν ἐκώλυσεν· τῇ δὲ τῶν καλουμένων ἐξουσίᾳ τὸ πρακτέον ἐπέτρεψεν· οὐδὲ γὰρ οἷόν τε ἦν τοὺς ἀπίστους ἀγρεύεσθαι τῆς ἐπιμιξίας κωλυομένης. "ἐὰν δέ τις ὑμῖν εἴπῃ· τοῦτο εἰδωλόθυτόν ἐστι, μὴ "ἐσθίετε δι' ἐκεῖνον τὸν μηνύσαντα καὶ τὴν συνείδησιν· συνεί-"δησιν δὲ λέγω οὐχὶ τὴν ἑαυτοῦ· ἀλλὰ τὴν τοῦ ἑτέρου." τοῦτο τέθεικεν καὶ ἐπὶ τοῦ μὴ ἐσθίειν, διδάσκων ὡς καὶ μεταλαμβάνοντας εἰδέναι δεῖ ὡς τοῦ Κυρίου πᾶσα ἡ γῆ, καὶ ὅτι τῆς τῶν εἰδώλων ἀσθενείας, σὺ μὲν καταφρονεῖς· ἐκεῖνος δὲ, τῇ πλάνῃ δεδουλόμενος, βλάβην ἐντεῦθεν καρποῦται, εἰδωλοθύτων σε κρεῶν μεταλαμβάνειν ἡγούμενος. τοῦτο γὰρ διδάσκει τὰ ἑξῆς, "ἵνα τί "γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως;" ἐλευθερίαν καλεῖ τὴν χάριν τῆς πίστεως. τοῦτο γὰρ καὶ ἐν τοῖς μετὰ ταῦτα διδάσκει.*

ἸΩΑΝΝΟΥ. *Ὅρα τὴν συμμετρίαν. οὐ γὰρ ἐπέταξε καὶ ἐνομοθέτησεν ἀπιέναι, ἀλλ' οὐκ ἐκώλυσεν· ἀπελθόντας δὲ πάλιν ἀπαλάσσει πάσης ὑποψίας. τί δή ποτε; ἵνα μὴ δόξῃ φόβου τινὸς εἶναι ἡ τοσαύτη πολυπραγμοσύνη καὶ δειλίας. ὁ μὲν γὰρ περιεργαζόμενος, ὡς δεδοικὼς τοῦτο ποιεῖ. ὁ δὲ μετὰ τὸ ἀκοῦσαι ἀπεχόμενος, ὡς καταφρονῶν καὶ μισῶν καὶ ἀποστρεφόμενος ἀπέχεται· διόπερ ὁ Παῦλος ἀμφότερα κατασκευάσαι βουλόμενος, φησὶ, "πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε. εἰ δέ τις ὑμῖν εἴπῃ τοῦτο "εἰδωλόθυτόν ἐστι· μὴ ἐσθίετε διὰ τὸν μηνύσαντα καὶ τὴν συνεί-"δησιν." τοῦτ' ἐστιν ἵνα μὴ βλαβῇ. οὐκ οὖν δεῖ περιεργάζεσθαι; οὔ φησί. οὐδὲ γὰρ τὴν σὴν εἶπον συνείδησιν καὶ τὸν μηνύσαντα. καὶ πάλιν· "συνείδησιν δὲ λέγω, οὐχὶ τὴν ἑαυτοῦ, "ἀλλὰ τὴν τοῦ ἑτέρου. εἰ ἐγὼ χάριτι μετέχω· τί βλασφημοῦμαι "ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ;" ἐγὼ μὲν φησὶν εὐχαριστῶ τῷ Θεῷ, ὅτι οὕτω μὲ ὑψηλὸν πεποίηκεν καὶ Ἰουδαϊκῆς ταπεινότητος ἀνώτερον, ὡς μηδαμόθεν βλάπτεσθαι. ὡς δὲ Ἕλληνες οὐκ εἰδότες μου τὴν φιλοσοφίαν ταναντία ὑποπτεύουσιν· ἐροῦσι γὰρ ὅτι Χριστιανοὶ*

τῶν ἡμετέρων ἐφίενται, καὶ ὑποκριταί τινές εἰσι, διαβάλλοντες μὲν δαίμονας καὶ ἀποστρεφόμενοι, ἐπὶ δὲ τὰς τραπέζας αὐτῶν τρέχοντες. οὗ τί γένοιτ' ἂν ἀναισθητότερον; πόσης οὖν ἀνοίας ἂν εἴη, ὑπὲρ ὧν οὕτως εὐεργετήθην ὡς καὶ εὐχαριστεῖν, ὑπὲρ τούτων βλασφημίας αἴτιον γίνεσθαι;

Φωτίου. Εἰ σὺ, φησὶ, ἐκ χάριτος γέγονας τέλειος, ὥστε εἰδέναι μηδὲν εἶναι τὰ εἴδωλα, καὶ κατηρτισμένην ἔχεις ψύχην εἰς τὸ μηδὲν παραβλάπτεσθαι, κἂν μετασχεῖν βουληθῇς τῶν εἰδωλοθύτων, τί βλασφημεῖσθαι σαυτὸν παρασκευάζεις καὶ διὰ σοῦ τὴν πίστιν καὶ τὸν Θεόν; καὶ τότε ἐπ' ἐκείνῳ ὑπὲρ οὗ μᾶλλον ὤφελεις εὐχαριστεῖν τελειωθεὶς τὴν διάνοιαν; αὐτὸς δὲ ἐφ' ἑαυτοῦ τὸν λόγον ἐσχημάτισεν, μετριώτερον τὸν ἔλεγχον ποιῶν· εἶτα ἐπάγει, "εἴτε ἐσθίετε" καὶ ἑξῆς, ὅτε τῶν ἐλέγχων ἔπαυσεν, τότε τὸν εἰς ἑαυτὸν λύσας μετασχηματισμὸν, ἐξ εὐθείας αὐτοῖς παραινεῖ λέγων, "εἴτε ἐσθίετε" καὶ ἑξῆς.

31 Εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα
32 εἰς δόξαν Θεοῦ ποιεῖτε. ἀπρόσκοποι γίνεσθε καὶ Ἰου-
33 δαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ· καθὼς
καγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμ-
1 φέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. μιμηταί μου
γίνεσθε, καθὼς καγὼ Χριστοῦ.

Θεοδωρίτου. Καλῶς ἅπαντα περιέλαβεν καὶ τὸ καθίσαι καὶ τὸ βαδίζειν καὶ τὸ διαλέγεσθαι, καὶ τὸ ἐλεεῖν καὶ τὸ παιδεύειν· ὥστε πάντων ἕνα ἡγεῖσθαι σκοπὸν, τὴν τοῦ Θεοῦ δόξαν. οὕτω καὶ ὁ Κύριος παρηγγύησεν, "λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν "ἀνθρώπων, ἵνα γνόντες τὰ καλὰ ἔργα ὑμῶν, δοξάζωσι τὸν Πα-"τέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς." οὕτω κἀνταῦθα ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ. ἐξ ὑμῶν πρόφασις σκανδάλου μηδεμία γινέσθω, μήτε τοῖς ἀπιστοῦσι, μήτε τοῖς ἤδη πιστεύσασιν. "καθὼς ἐγὼ πάντα "πᾶσιν ἀρέσκω." ἀλλὰ τοῦτο κολάκων ἴδιον· ἀλλὰ τὸ ἑξῆς λεγόμενον, οὐ τῶν τοιούτων, "μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, "ἀλλὰ τὸ τῶν πολλῶν ἵνα σωθῶσιν." οἱ δὲ κόλακες οὐ τὸ ἀλλότριον συμφέρον, ἀλλὰ τὸ οἰκεῖον ζητοῦσιν· μᾶλλον δὲ οὐδὲ τὸ

οἰκεῖον· ἑαυτοὺς γὰρ πρὸ τῶν ἄλλων λυμαίνονται· ὁ δὲ θεῖος Ἀπόστολος τὸ μὲν οἰκεῖον οὐκ ἐζήτει· τὴν δὲ τῶν ἄλλων ἐπραγματεύετο σωτηρίαν· δι' ἐκείνων αὔξων τὸν ἀνώλεθρον πλοῦτον. "μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ·" ταύτας μου τὰς οἰκονομίας ζηλώσατε· καὶ γὰρ ἐγὼ τὸν δεσπότην μεμίμημαι· ὃς ἑτέρως μὲν Ἰουδαίοις, ἑτέρως δὲ τοῖς Ἀποστόλοις ὡμίλει· καὶ ἄλλα μὲν τοῖς τελείοις, ἀλλὰ δὲ τοῖς ἀτέλεσι προσέφερεν.

Ἰωάννου. Οὕτω, φησὶ, πάντα πράττετε· ἵνα δοξάζεσθαι τὸν Θεὸν ἀφορμὰς παρέχητε· ὡς τάγε νῦν γινόμενα καὶ ἀδοξίαν τῇ πίστει προστρίβεται, καθὼς εἴρηται, "ἀπρόσκοποι γίνεσθε·" τοῦτ' ἔστι μηδεμίαν μηδενὶ ψόγου παρέχοντες ἀφορμήν· ἔσται δὲ τοῦτο, ἐὰν μήτε Ἕλληνα μήτε Ἰουδαῖον σκανδαλίσωμεν, μήτε μὴν τοὺς ἀδελφούς· οὗτοι γὰρ ἡ Ἐκκλησία τοῦ Θεοῦ. ὅρα δὲ τὸ μεῖζον ἔσχατον εἶπεν. καὶ γὰρ καὶ τοὺς ἄλλους ἐφέλκεσθαι προσήκει πρὸς τὴν πίστιν, οὐ μὴν καὶ τοὺς ἀδελφοὺς διώκειν. σημαίνει δὲ ἐκ τούτων πάντας σκανδαλιζόμενος, ἐκ τοῦ ἐσθίειν αὐτοὺς εἰδωλόθυτα. εἶτα ἐπειδὴ δυσχερὲς ἐπέταξεν, ὑπευθύνους γὰρ αὐτοὺς ἐποίησεν, καὶ τῆς Ἰουδαίων καὶ Ἑλλήνων βλάβης, ἑαυτὸν εἰς παράδειγμα τέθεικεν· εὐπαράδεκτον ταύτῃ κατασκευάζων τὸν λόγον. ὡς εἰ εἶπεν, "εἰς πάντα πᾶσιν ἀρέσκω." ὅπερ καὶ ἄνω ἔλεγεν, "τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινας "σώσω." "μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον." ὥς ὅτ' ἂν ἔλεγεν, "εὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χρίστου ὑπὲρ τῶν ἀδελφῶν καὶ "τῶν συγγενῶν μου." τοῦτο γὰρ μίμησις Χριστοῦ, τὸ μὴ ἑαυτοῦ, ἀλλὰ τῶν πλησίων κήδεσθαι[c].

Φωτίου. Τὸ τῶν πολλῶν, φησὶ, συμφέρον, ἤπερ τὸ ἐμαυτοῦ, ἐπειδὴ ἔνιοι ζητοῦσι μὲν τὸ τῶν πολλῶν, ἀλλ' οἱ μὲν ἵνα κερδήσωσιν αὐτῶν τὴν εὔνοιαν, ἐπὶ τῷ σφίσιν λυσιτελοῦν· οἱ δὲ ἵνα παρ' αὐτῶν ἐπαινεθῶσιν· οἱ δὲ ἵνα ἄλλου τινὸς ἐπιτύχωσι τοιούτου. αὐτὸς τὸ τῶν πολλῶν φησὶ συμφέρον ἤπερ τὸ ἐμαυτοῦ. δείκνυσιν ἐφ' ὅτῳ αὐτοὺς ἐσπούδασεν ἀρέσκειν, καὶ φησὶν, ὅτι ἐπὶ τὸ ἐκείνοις συμφέρον, καὶ οὐχ ἁπλῶς συμφέρον ἀλλ' ἔτι σαφεστέρον ἵνα σωθῶσί, φησι.

[c] κείδεσθαι Cod.

ΚΕΦ. ϛ.

Περὶ σχίσματος ἀνδρῶν καὶ γυναικῶν ἐν εὐχαῖς καὶ προφητείαις.

2 *Ἐπαινῶ δὲ ὑμᾶς ἀδελφοὶ, ὅτι πάντα μου μέμνησθε,*
καὶ καθὼς παρέδωκα ὑμῖν, τὰς παραδόσεις κατέχετε.
3 *θέλω δὲ ὑμᾶς εἰδέναι, ὅτι πάντος ἀνδρὸς ἡ κεφαλὴ ὁ*
Χριστός ἐστι· κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ· κεφαλὴ δὲ
Χριστοῦ ὁ Θεός.

ΘΕΟΔΩΡΙΤΟΥ. *Οὕτω συμπεράνας τὴν περὶ τῶν εἰδωλοθύτων κατηγορίαν, ἕτερα πάλιν ἁμαρτήματα διορθοῦται. καὶ γὰρ εἰώθεσαν αἱ* Κορινθίων *γυναῖκες οὐδὲ κατὰ τὸν τῆς προσευχῆς καιρὸν καλύπτειν τὰς κεφαλάς. ἔνιαι δὲ ἐπ' εὐγλωττίᾳ σεμνυνόμεναι, καὶ διδάσκειν ἐπεχείρουν ἐν ἐκκλησίᾳ· τοῦτο τοίνυν ἐνταῦθα διορθοῦται. "ἐπαινῶ δὲ ὑμᾶς ἀδελφοὶ, ὅτι πάντά μου μέμνησθε, "καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις, κατέχετε." οὐ δὲ οὗτος ὁ ἔπαινος ἀληθὴς, καταμέμφεται γὰρ μᾶλλον αὐτοῖς, ὡς τοὺς τέθεντας οὐ φυλάξασιν ὅρους.*

ΣΕΥΗΡΙΑΝΟΥ. *Προτρεπόμενος μᾶλλον ἢ ἀποδεχόμενος λέγει, ἵνα ἑξῆς τὴν παραίνεσιν βεβαιώσῃ ἐν αὐτοῖς. "θέλω δὲ ὑμᾶς "εἰδέναι, ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ* Χριστός *ἐστι. κεφαλὴ "δὲ γυναικὸς ὁ ἀνὴρ, κεφαλὴ δὲ* Χριστοῦ *ὁ* Θεός."

ΙΩΑΝΝΟΥ. *Ἐνταῦθα ἐφ' ἕτερον πρόεισι λοιπόν. τί δὲ τοῦτο ἦν; αἱ μὲν γυναῖκες ἀνακεκαλυμμέναι καὶ γυμνῇ τῇ κεφαλῇ καὶ ηὔχοντο καὶ προεφήτευον· καὶ γὰρ προεφήτευον τότε γυναῖκες· οἱ δὲ ἄνδρες καὶ ἐκόμων, ἅτε ἐν φιλοσοφίᾳ διατρίψαντες, καὶ περιεβάλλοντο τὰς κεφαλὰς εὐχόμενοι καὶ προφητεύοντες. ὅπερ ἑκάτερον* Ἑλληνικοῦ *νόμου ἦν. ἐπεὶ ὑπὲρ τούτων ἤδη παρῄνεσε παρών· καὶ οἱ μὲν ἤκουσαν, οἱ δὲ ἠπίθησαν. διὰ τοῦτο διὰ τῆς ἐπιστολῆς πάλιν ὥσπερ σοφὸς ἰατρὸς ἐπαντλεῖ τῷ λόγῳ διορθοῦται τὸ ἁμάρτημα· ὅτι γὰρ παρῄνεσεν ἤδη παρὼν, δῆλον ἐξ ὧν προοιμιάζεται· τίνος γὰρ ἕνεκεν οὐδὲν εἰπὼν περὶ τούτου οὐδαμοῦ τῆς ἐπιστολῆς ἔμπροσθεν, ἀλλ' ἀπὸ ἐγκλημάτων ἑτέρων ἐκβὰς, εὐθέως φησὶν "ἐπαινῶ δὲ ὑμᾶς ὅτι πάντά μου μέμνησθε, "καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις οὕτω κατέχετε;"*

ὁρᾷς ὅτι οἱ μὲν ἤκουσαν, οὓς ἐπαινεῖ· οἱ δὲ παρήκουσαν, οὓς διορθοῦται διὰ τῶν ἑξῆς, λέγων, "εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, "ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν."

Ἄρχεται οὖν τοῦ ἐγκλήματος, καὶ λέγει, "θέλω δὲ ὑμᾶς "εἰδέναι, ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστιν." ἆρ' οὖν καὶ τοῦ Ἕλληνος; οὐδαμῶς· εἰ γὰρ σῶμα ἐσμὲν Χριστοῦ καὶ μέλη ἐκ μέρους, καὶ ταύτῃ ἐκεῖνος ἡμῶν ἡ κεφαλὴ, τῶν οὐκ ὄντων ἐν τῷ σώματι, οὐ δὲ ὡς μέρη τελειούντων, οὐκ ἂν εἴη κεφαλή. ὥστε ὅτ' ἂν εἴπῃ παντὸς[d] δεῖ προσυπακούειν. "κεφαλὴ δὲ γυναικὸς, ὁ ἀνήρ. κεφαλὴ δὲ Χριστοῦ ὁ Θεός." ἐνταῦθα ἐπιπηδῶσιν οἱ αἱρετικοὶ, ἐλαττωσίν τινα ἐκ τῶν εἰρημένων ἐπινοοῦντες τῷ Υἱῷ. ἀλλ' ἑαυτοῖς περιπίπτουσιν. εἰ γὰρ "κεφαλὴ "γυναικὸς ὁ ἀνὴρ," ὁμοούσιος δὲ ἡ κεφαλὴ τῷ σώματι, "κεφαλὴ "δὲ τοῦ Χριστοῦ ὁ Θεὸς," ὁμοούσιος ὁ Υἱὸς τῷ Πατέρι· ἀλλ' οὗτος, οὐχ ἑτεροούσιον ἐνταῦθα ἀποδεῖξαι βουλόμεθα, ἀλλ' ὅτι ἄρχεται φησίν· τί οὖν πρὸς τοῦτο εἴποιμεν ἄν; ὅτι μάλιστα μὲν ὅταν τι ταπεινὸν λέγηται μετὰ τῆς σαρκὸς ὄντος αὐτοῦ· οὐκ εὐτέλεια τῆς θεότητός ἐστι τὸ λεγόμενον, τῆς οἰκονομίας δεχομένης τὸ λεχθέν. πλὴν ἀλλ' εἰπὲ, πῶς τοῦτο βούλει κατασκευάσαι ἐκ τούτου νῦν, ὅτι ὥσπερ ἀνὴρ ἄρχει τῆς γυναικός, φησιν, οὕτως καὶ ὁ Θεὸς τοῦ Χριστοῦ; οὐκ οὖν ὥσπερ ὁ Χριστὸς τοῦ ἀνθρώπου, οὕτως καὶ ὁ Πατὴρ τοῦ Υἱοῦ; παντὸς γὰρ ἀνδρὸς φησὶν ἡ κεφαλὴ ὁ Χριστός ἐστιν.

Καὶ τίς[e] ἂν ταῦτα καταδέξεται πότε; εἰ γὰρ ὅσον τὸ ὑπερέχον τοῦ Υἱοῦ πρὸς ἡμᾶς, τοσοῦτον τοῦ Πατέρος πρὸς τὸν Υἱὸν, ἐννόησον εἰς ὅσην αὐτὸν ἄξεις τὴν εὐτέλειαν. ὥστε οὐ πάντα ὁμοίως ἐξεταστέον ἐφ' ἡμῶν καὶ τοῦ Θεοῦ, κἂν ὁμοίως λέγηται· ἀλλ' ἀπονεμήτεον τῷ Θεῷ τὴν ἰδιάζουσαν ὑπεροχήν· καὶ τοσαύτην ὅσην Θεῷ. εἰ γὰρ μὴ τοῦτο συγχωρήσῃς, πολλὰ ἕψεται τὰ ἄτοπα. σκόπει δέ· "κεφαλὴ τοῦ Χριστοῦ ὁ Θεός·" οὗτος δὲ τοῦ ἀνδρὸς, κἀκεῖνος τῆς γυναικός· οὐκ οὖν εἰ ἐπὶ πάντων ὁμοίως ἐκλάβομεν τὴν κεφαλὴν, τοσοῦτον ἔσται ὁ Υἱὸς ἀφεστηκὼς τοῦ Πατέρος, ὅσον ἡμεῖς αὐτοῦ· ἀλλὰ καὶ ἡ γυνὴ τοσοῦτον ἡμῶν

[d] Sic. [e] τῆς Cod.

ἀποστήσεται, ὅσον ἡμεῖς τοῦ Θεοῦ Λόγου. καὶ ὅπέρ ἐστιν ὁ Υἱὸς πρὸς τὸν Πατέρα, τοῦτο καὶ ἡμεῖς πρὸς τὸν Υἱόν. καὶ ἡ γυνὴ πρὸς τὸν ἄνδρα πάλιν· καὶ τίς ταῦτα ἀνέξεται; ἀλλ' ἑτέρως ἐκλαμβάνεις ἐπὶ γυναικὸς καὶ ἀνδρὸς τὴν κεφαλὴν, καὶ οὐχ ὡς ἐπὶ τοῦ Χριστοῦ. οὐκ οὖν καὶ ἐπὶ τοῦ Υἱοῦ καὶ ἐπὶ τοῦ Πατέρος ἑτέρως φησὶ κατὰ τὸ αἴτιον. καὶ γὰρ εἴπερ ἀρχὴν ἐζήτει εἰπεῖν, ὡς σὺ φὴς, καὶ ὑποταγὴν ὁ Παῦλος, οὐκ ἂν γυναῖκα παρήγαγεν εἰς μέσον. ἀλλὰ δοῦλον μᾶλλον καὶ δεσπότην. εἰ γὰρ καὶ ὑποτέτακται ἡμῖν ἡ γυνὴ, ἀλλ' ὡς γυνὴ, ἀλλ' ὡς ἐλευθέρα, ἀλλ' ὡς ὁμότιμος. καὶ ὁ Υἱὸς δὲ, εἰ καὶ ὑπήκοος γέγονε τῷ Πατέρι, ἀλλ' ὡς Υἱὸς Θεοῦ, ἀλλ' ὡς Θεός· ὥσπερ γὰρ πλείων ἡ πειθὼ τῷ Υἱῷ πρὸς τὸν Πατέρα, ἢ τοῖς ἀνθρώποις πρὸς τοὺς γεγεννηκότας, οὕτως καὶ ἡ ἐλευθερία μείζων. οὐ γὰρ δήπου τὰ μὲν τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα μείζονα τῶν ἀνθρώπων καὶ γνησιώτερα, τὰ δὲ τοῦ Πατέρος πρὸς τὸν Υἱὸν, ὅτι "ὑπήκουσεν καὶ "μέχρι θανάτου ἐλθεῖν καὶ θανάτου σταυροῦ." καὶ ἐνταῦθα μέγα αὐτοῦ τὸ θαῦμα τιθέμεθα. τοῦτο θαυμάζειν δεῖ καὶ τὸν Πατέρα, ὅτι τοιοῦτον ἐγέννησεν, οὐχ ὡς δοῦλον ἐπιταττόμενον· ἀλλ' ὡς ἐλεύθερον ὑπακούοντα καὶ σύμβουλον ὄντα. ὁ γὰρ σύμβουλος οὐ δοῦλος· σύμβουλον δὲ ὅτ' ἂν ἀκούσῃς πάλιν, μὴ ὡς τοῦ Πατέρος ἐνδεῶς ἔχοντος ἄκουε, ἀλλ' ὡς τοῦ παιδὸς ὁμοτίμως ἔχοντος πρὸς τὸν γεγεννηκότα.

Μὴ τοίνυν εἰς πάντα ἕλκε τὸ παράδειγμα τοῦ ἀνδρὸς καὶ τῆς γυναικός· παρ' ἡμῖν μὲν γὰρ εἰκότως ὑποτέτακται ἡ γυνὴ τῷ ἀνδρί· ἡ γὰρ ἰσοτιμία μάχην ποιεῖ· καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλὰ διὰ τὴν ἀπάτην τὴν παρὰ τὴν ἀρχὴν συμβᾶσαν. διά τοι τοῦτο γενομένη μὲν, οὐκ εὐθέως ὑπετάγη. οὐ δὲ ὅτ' ἂν αὐτὴν ἤγαγεν πρὸς τὸν ἄνδρα· οὔτε αὐτὴ ἤκουσέ τι τοιοῦτον παρὰ τοῦ Θεοῦ· οὔτε ὁ ἀνὴρ εἶπέν τι πρὸς αὐτὴν τοιοῦτον· ἀλλ' ὅτι μὲν ὀστοῦν ἐκ τῶν ὀστέων αὐτοῦ, καὶ σὰρξ ἐκ τῆς σαρκὸς αὐτοῦ ἦν, εἶπεν· ἀρχῆς δὲ οὐδαμοῦ οὐδὲ ὑποταγῆς ἐμνημόνευσεν πρὸς αὐτήν· ὅτε δὲ κακῶς ἐχρήσατο τῇ ἐξουσίᾳ, καὶ γενομένη νοητὸς, ἐπίβουλος εὑρέθη, καὶ πάντα ἀπώλεσε, τότε ἀκούει δικαίως λοιπὸν "πρὸς τὸν ἄνδρα σου "ἡ ἀποστροφή σου." ἐπειδὴ γὰρ εἰκὸς ἦν τὴν ἁμαρτίαν ταύτην ἐκπολεμῶσαι τὸ γένος, οὐδὲ γὰρ ὤνησε εἰς εἰρήνην τὸ ἐξ αὐτοῦ

γεγενῆσθαι τοῦτο συμβάντος· ἀλλ' αὐτὸ μὲν τοῦτο καὶ τραχύτερον ἐποίησε τὸν ἄνδρα, τὸ μηδὲ τοῦ οἰκείου φείσασθαι μέλους τὴν ἐξ αὐτοῦ γενομένην. συνιδὼν τοῦ διαβόλου τὴν κακουργίαν ὁ Θεὸς ἐπετείχισε τουτὶ τὸ ῥῆμα, καὶ τὴν ἐκ τῆς ἐπιβουλῆς μέλλουσαν ἀπέχθειαν ἔσεσθαι, διὰ τῆς ἀποφάσεως ταύτης ἀνεῖλεν. καὶ καθάπερ μεσότοιχον κατασπάσας τὴν ἐκ τῆς ἁμαρτίας μνησικακίαν.

Ἀλλ' ἐπὶ τοῦ Θεοῦ καὶ τῆς ἀκηράτου οὐσίας ἐκείνης, οὐδὲν τοιοῦτόν ἐστι ὑποπτεῦσαι. μὴ τοίνυν κατὰ πάντα δέχου τὰ παραδείγματα. ἐπεὶ καὶ ἀλλαχοῦ πολλὰ ἐντεῦθεν ἀπαντήσει χαλεπὰ ἁμαρτήματα· καὶ γὰρ καὶ ἐν προοιμίοις τῆς Ἐπιστολῆς ἔλεγεν. "πάντα ὑμῶν ἐστιν, ὑμεῖς δὲ Χριστοῦ· Χριστὸς δὲ Θεοῦ." τί οὖν; ὁμοίως ἡμῶν τὰ πάντα καὶ ἡμεῖς τοῦ Χριστοῦ· καὶ Χριστὸς τοῦ Θεοῦ; οὐδαμῶς· ἀλλὰ καὶ τοῖς σφόδρα ἀνοήτοις δῆλος ἡ διαφορά. εἰ καὶ ἡ αὐτὴ χρῆσις ἐπὶ τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ καὶ ἡμῶν εἴρηται. ἀλλαχοῦ δὲ κεφαλὴν εἰπὼν τὸν ἄνδρα τῆς γυναικὸς ἐπήγαγεν, ὥσπερ δὲ ὁ Χριστὸς κεφαλὴ καὶ Σωτὴρ ἐστι τῆς Ἐκκλησίας καὶ προστάτης, οὕτως καὶ ὁ ἀνὴρ ὀφείλει τῆς ἑαυτοῦ γυναικὸς εἶναι.

Ἆρ' οὖν ὁμοίως ἐκληψόμεθα τὸ εἰρημένον, καὶ τοῦτο καὶ τὰ μετὰ τοῦτο ἅπαντα Ἐφεσίοις ἀπεσταλμένα περὶ τῆς ὑποθέσεως ταύτης; ἄπαγε· οὐδὲ γὰρ δυνατόν· τὰ γὰρ αὐτὰ ῥήματα λέγεται μὲν ἐπὶ Θεοῦ καὶ ἀνθρώπων, οὐκ ἔχει δὲ τὴν αὐτὴν ἰσχὺν ἐπὶ Θεοῦ καὶ ἀνθρώπων· ἀλλ' ἑτέρως μὲν ἐκεῖνα νοητέον, ἑτέρως δὲ ταῦτα· οὐ μὴν πάλιν πάντα ἐξηλλαγμένως· ἐπεὶ πάλιν εἰκῇ καὶ μάτην παρειλῆσθαι δόξειεν, οὐδὲν ἀπ' αὐτῶν καρπουμένων ἡμῶν· ὥσπερ γὰρ οὐ πάντα ὁμοίως ἐκληπτέον, οὕτως οὐδὲ πάντα ἁπλῶς ἐκβλητέον.

Ἵνα δὲ ὃ λέγω γένηται σαφέστερον, ἐπὶ ὑποδείγματος αὐτὸ πειράζομαι ποιῆσαι φανερόν. εἴρηται κεφαλὴ τῆς Ἐκκλησίας ὁ Χριστός. ἂν μηδὲν ἀπὸ τοῦ ἀνθρωπίνου λάβω, τί μοι καὶ εἴρηται τοῦτο; πάλιν ἂν ἅπαντα λάβω, πολλὴ ἕψεται ἡ ἀλογία· καὶ γὰρ ὁμοιοπαθὴς τῷ σώματι ἡ κεφαλὴ, καὶ τοῖς αὐτοῖς ὑπεύθυνος. τί οὖν δεῖ ἀφεῖναι, καὶ τί λαβεῖν; ἀφεῖναι μὲν ταῦτα ἃ εἶπον δεῖ· λαβεῖν δὲ ἕνωσιν ἀκριβῆ. καὶ τί ἂν καὶ ἀρχὴν τὴν πρώτην·

καὶ οὐ δὲ ταῦτα ἁπλῶς· ἀλλὰ καὶ ἐνταῦθα τὸ μεῖζον οἴκοθεν ἐπινοεῖν καὶ Θεῷ πρεπόντως· καὶ γὰρ ἡ ἕνωσις ἀσφαλεστέρα, καὶ ἡ ἀρχὴ κυριωτέρα. πάλιν ἤκουσας Υἱόν. μὴ πάντα μὴ δὲ ἐνταῦθα λάβῃς. ἀλλ' ὅσα Θεῷ πρέπει δεξάμενος, ὅτι ὁμοούσιος, ὅτι ἐξ αὐτοῦ, τὰ ἄτοπα καὶ τῆς ἀσθενείας ὄντα τῆς ἀνθρωπίνης, ἐπὶ τῆς γῆς ἔα. εἴρηται φῶς ὁ Θεὸς πάλιν. ἆρ' οὖν πάντα δεξόμεθα ὡς τὰ τοῦ φωτὸς τούτου; οὐδαμῶς· καὶ γὰρ ἐκεῖ τῷ σκότῳ τοῦτο, καὶ τόπῳ περικλείεται· καὶ ὑφ' ἑτέρας κινεῖται δυνάμεως, καὶ ἐπισκιάζεται, ὧν οὐδὲν νοῆσαι θέμις ἐπὶ τῆς οὐσίας ἐκείνης. ἀλλ' οὐδὲ πάντα διὰ τοῦτο ἐκβαλοῦμεν. ἀλλὰ δρεψώμεθά τί καὶ χρήσιμον ἀπὸ τοῦ παραδείγματος· τὸν φωτισμὸν τὸν ἐκ τοῦ Θεοῦ γινόμενον ἡμῖν, τὴν τοῦ σκότους ἀπαλλαγὴν ἐκ τούτου συνάγοντες.

Θεοδώρου. Τοῦτο βούλεται εἰπεῖν, ὅτι ἀπὸ μὲν τοῦ Χριστοῦ ἐπὶ τὸν Θεὸν χωροῦμεν, ἐξ οὗπερ ἐστίν· ἀπὸ δὲ τοῦ ἀνδρὸς ἐπὶ τὸν Χριστόν. ἐξ ἐκείνου γάρ ἐσμεν κατὰ τὴν δευτέραν ὕπαρξιν, καθ' ἣν ἀνάστασιν ὁμοίως αὐτῷ πάντες ἐσόμεθα ἄφθαρτοι· κατὰ μετουσίαν τῆς ἐν αὐτῷ τοῦ πνεύματος χάριτος. παθητοὶ μὲν γὰρ ὄντες, κεφαλὴν ἡγούμεθα τὸν Ἀδὰμ, ἐξ οὗπερ τὸ εἶναι εἰλήφαμεν. ἀπαθεῖς δὲ γενόμενοι, κεφαλὴν ἡγούμεθα τὸν Χριστὸν, ἐξ οὗπερ ἀπαθεῖς εἶναι ἐσχήκαμεν. ὁμοίως δὲ φησὶν καὶ ἀπὸ τῆς γυναικὸς ἐπὶ τὸν ἄνδρα, ἐπειδὴ ἀπ' ἐκείνου τὸ εἶναι εἴληφεν.

Σευηριανοῦ. Εἰ ἀσεβῶς, ἐκλαμβάνοι τις κατὰ τὸν τῆς θεότητος λόγον. εἰ δὲ εὐσεβῶς, κατὰ τὸν τῆς οἰκονομίας. οὐ γὰρ περὶ τοῦ γεγενῆσθαι νῦν ὁ λόγος. ἰδοὺ γὰρ ὁ ἀνὴρ τὴν γυναῖκα οὐκ ἐποίησεν· οὐδὲ ἡ τάξις ᾗ ἐχρήσατο Παῦλος εἰς τοῦτο βλέπει, ἀλλ' εἰς μόνην τὴν ὑποταγήν· οὐ διὰ τὴν τῆς φύσεως ἀλλοτρίωσιν· καὶ ὅλως οὐ δὲ τοῦ μονογενοῦς ἡ θεότης λαμβάνεται νῦν, ἀλλ' ἡ οἰκονομία ἐγγυτέρω ἔχουσα πρὸς τὸν ἄνδρα καὶ τὴν γυναῖκα κατὰ τὴν φύσιν.

Θεοδωρίτου. Τοῖς ἄνδρασιν ὑποτάξαι βουλόμενος τὰς γυναῖκας, καὶ διδάσκων ὡς οὐ προσήκει διδασκαλίας κατατολμᾶν, ἣν ἄνωθεν ὑπὸ τὴν τοῦ ἀνδρὸς τελεῖν ἐξουσίαν προσέταξεν ὁ Θεὸς, τούτοις τοῖς λόγοις ἐχρήσατο. οὐ γὰρ δόγματα θεῖα παραδιδοὺς, οὐδὲ θεολογίᾳ κεχρημένος, τὴν τάξιν ταύτην συνήρμοσεν. ἀλλ' ὅτι πάντος

ἀνδρὸς κεφαλὴ ὁ Χριστός ἐστιν, δηλονότι τῶν πιστευόντων· κεφαλὴ δὲ ἡμῶν ἐστιν, οὐ κατὰ τὴν θεότητα, ἀλλὰ κατὰ τὴν ἀνθρωπότητα. σῶμα γὰρ αὐτοῦ προσαγορευόμεθα. τῷ δὲ σώματι ὁμοφυᾶ εἶναι προσήκει τὴν κεφαλήν. οὐκ οὖν καὶ κατὰ ταύτην αὐτοῦ κεφαλὴ ὁ Θεός. εἰ δὲ καὶ κατὰ τὴν θεότητα βούλονται τοῦτο εἰρῆσθαι οἱ ἀνόμοιοι, ἰδέτωσαν ὅτι ὥσπερ ἡμῶν ἀνθρωπείαν φύσιν ἐχόντων, πιστευόντων δὲ εἰς αὐτὸν, κατὰ τὴν ἀνθρωπότητα κεφαλὴ χρηματίζει. κατὰ ταύτην γάρ ἐστιν ἡμῖν ὁμοούσιος. οὕτως αὐτοῦ κεφαλὴ ὁ Πατὴρ χρηματίζων, τὸ ὁμοούσιον δείκνυσιν. καὶ ἔστιν ὁ αὐτὸς τῷ μὲν Πατέρι κατὰ τὴν θεότητα ὁμοούσιος, ἡμῖν δὲ κατὰ τὴν ἀνθρωπότητα. κεφαλὴ δὲ αὐτοῦ, ὡς Πατὴρ καὶ αἴτιος ὀνομάζεται.

Κυρίλλου. Κεφαλὴν ἐνθάδε τὸ ἀρχέτυπον κάλλος, οὗ τὴν εἰκόνα καταπλουτούντων ὠνομασμένων ἕκαστον νοοῖτ' ἂν εἰκότως. καὶ οὐσιώδως [e] τὸν τῆς εὐγενείας, εἴτ' οὖν ἑτέρως ὁμοφύας διακληρώσασθαι τρόπον. γέγονε μὲν γὰρ ὁ πρῶτος ἄνθρωπος, τοῦτ' ἔστιν Ἀδὰμ, κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ. οὕτως γάρ που φησὶν ὁ τῶν ὅλων δημιουργός· "ὅτι ἐν εἰκόνι Θεοῦ ἐποίησα τὸν ἄνθρωπον." οὐκ οὖν ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός· ἀρχέτυπος μὲν ὡς Θεὸς, φύσεως δὲ νόμῳ τῆς καθ' ἡμᾶς, καὶ ὁμοειδὴς ὅτε πέφηνεν ἄνθρωπος. καίτοι Θεὸς ὢν ὁ Λόγος, καὶ τὴν ἐκ Θεοῦ Πατέρος γέννησιν ἀπόρρητον ἔχων. γέγονε κατ' εἰκόνα καὶ ὁμοίωσιν ἀνθρώπου, τοῦτ' ἐστιν Ἀδὰμ, ἡ γυνή· ἔκφυλος δὲ οὐδαμῶς. ὁμοφυὴς δὲ μᾶλλον καὶ ὁμοειδὴς αὐτῷ. καὶ τοῦτο αὐτὸς διωμολόγηκεν ἐναργῶς ὁ προπάτωρ Ἀδὰμ φήσας, "τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς "σαρκός μου" καὶ τὰ ἑξῆς. εἰ δὲ εἶναι γενητὸν φασὶν καὶ τοῖς κτήμασιν ἐναρίθμιον ἡγεῖσθαι πράττειν τὸν ἐκ Θεοῦ Πατέρος Λόγον, ἐπειπέρ ἐστι κεφαλὴ παντὸς ἀνδρὸς, πῶς οὐκ ἂν νοοῖτο κατὰ τὸν ἴσον τρόπον κτιστὸς καὶ πεποιημένος ὑπάρχειν καὶ αὐτὸς ὁ Πατὴρ, εἴπέρ ἐστι κεφαλὴ τοῦ Υἱοῦ σχέσιν ἔχοντος οὐσιώδη τὴν πρὸς ἡμᾶς, ἤτοι πρὸς κτίσματα; ὡς γὰρ αὐτοὶ φασὶν πάντι τε καὶ πάντως ἡ κεφαλὴ τῷ λοιπῷ σώματι εἰς ταυτότητα συνδεῖται νόμοις, οὐκ οὖν ὡς διὰ μέσου τοῦ Υἱοῦ, καὶ εἰς αὐτὸν

[e] οὐσιώδυπως Cod.

ἥξει τὸν Θεὸν καὶ Πατέρα τὸ πρὸς πάντα ἄνδρα συγγενές. ἀλλ' οὐ ταῖς ἐκείνων ἀβελτερίαις ἑψόμεθά ποθεν· ἀγέννητον δὲ εἶναι πιστεύομεν ὡς ἐξ ἀγεννήτου Πατέρος τὸν ἐξ αὐτοῦ φύντα λόγον. κεφαλὴν δὲ ὠνομάσθαί φαμεν παντὸς ἀνδρὸς, ὡς ἀρχέτυπον μὲν ὡς ἔφην. ἐπειδὴ δὲ πέφηνεν ἄνθρωπος ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, καὶ ὡς ἀνθρώποις ὁμόφυλα κατά γε τὸ ἀνθρώπινον, εἰς κεφαλὴν τῆς Ἐκκλησίας, ἥ τίς ἐστι τὸ σῶμα αὐτοῦ. πρωτεύει γὰρ αὐτὸς ἐν πᾶσι, κατὰ τὴν τοῦ Παύλου φωνήν.

Οἰκουμενίου. Πλὴν εἰ μὴ καὶ Χριστοῦ οὕτως κεφαλὴ ὁ Θεὸς, καθάπερ ἡμῶν ὁ Χριστὸς, καθό ἐστι καὶ νοεῖται ἄνθρωπος.

Φωτίου. Κεφαλὴ μὲν ἡμῶν τῶν πιστῶν ἐστιν ὁ Χριστὸς, ὡς συσσώμων καὶ συμμετόχων αὐτῷ γεγενημένων, διὰ τῆς κοινωνίας τοῦ σώματος καὶ αἵματος αὐτοῦ. δι' αὐτὸν γὰρ ἅπαντες ἓν σῶμα χρηματίσαντες, κεφαλὴν ἔχομεν αὐτόν. κεφαλὴ δὲ τοῦ Χριστοῦ ὁ Θεὸς καὶ Πατὴρ, ὡς γεννήτωρ καὶ προβολεὺς καὶ ὁμοούσιος αὐτοῦ. κεφαλὴ δὲ γυναικὸς ὁ ἀνὴρ, ὅτι καὶ αὐτὸς γεννήτωρ καὶ προβολεὺς καὶ ὁμοούσιος ὑπάρχει αὐτῇ· ἀκόλουθος καὶ ἁρμόδιος ἡ ἀναλογία. εἰ δὲ τὸ πάντος ἀνδρὸς καὶ ἐπὶ τῶν ἀπίστων ἐκλάβοις, κατὰ τὸν τῆς δημιουργίας λόγον μόνον ἐγχωρεῖ. τῶν γὰρ ἄλλων ἄρχειν τὸν ἄνθρωπον ἐπιτρέψας αὐτὸν, ὑπὸ τὴν ἰδίαν μόνον εἴασεν μένειν ἐξουσίαν καὶ ἀρχήν· μὴ ἐπιστήσας αὐτὸν ἕτερον δεσπότην ἢ ἐξουσιαστήν.

4 Πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων κατὰ κεφα-
5 λῆς ἔχων, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ. πᾶσα δὲ
γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ
κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν ἑαυτῆς· ἓν γάρ ἐστι
6 καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ. εἰ γὰρ οὐ κατακαλύπτεται
γυνὴ, καὶ κειράσθω· εἰ δὲ αἰσχρὸν γυναικὶ τὸ κείρεσθαι
ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω.

Κυρίλλου. Ὁρᾷς ὅπως τοῦ ἑκατέρῳ πρέποντος βραβευτὴν ποιεῖται καὶ ὁριστὴν τὸν τῆς φύσεως νόμον; ἀνδράσι μὲν γὰρ ἡ παρρησία πρεπωδεστάτη. γυναικί γε μὴν τὸ καλύπτεσθαι κόσμος. οὐκ οὖν ὕβρις, εἰς τὸ ἀρχέτυπον εἴη, καὶ μάλα εἰκότως, τῆς εἰκόνος τὸ ἀκαλλές; εἰ γάρ ἐστιν ἀνὴρ εἰκὼν καὶ δόξα Θεοῦ,

πεποίηται γὰρ κατὰ τὰς γραφὰς οὕτως, σωζέτω Θεῷ τὴν πρέπουσαν παρρησίαν, ἀκατακάλυπτον ἔχων τὴν κεφαλὴν, καὶ οὐκ ἐπιτιμώσης αὐτῷ τῆς φύσεως εἴς γε τὸ ἐκκαλύπτεσθαι δεῖν. ἐλεύθερον γὰρ τὸ θεῖον καὶ παρὰ μώμου παντὸς, ἰδίᾳ τε δόξῃ καταπλουτοῦν καὶ τεθαυμασμένον. καὶ εἴπερ ἐστιν ἡ γυνὴ καθ' ὁμοίωσιν ἀνδρὸς, καὶ εἰκὼν εἰκόνος καὶ δόξης δόξα, νομοθετεῖ δὲ αὐτῇ καὶ τὸ κομᾶν ἡ φύσις. τί τὸ πρῶτον φιλονεικεῖ τὸ ὑστερίζον ἐν χάριτι; κατ' εἰκόνα μὲν γὰρ καὶ αὕτη καὶ ὁμοίωσιν Θεοῦ. πλὴν ὡς διὰ μέσου τοῦ ἀνδρὸς, ὥστε κατά τι παραλλάττοι βραχὺ τὴν φύσιν. οὐ γράψομαι αἰδοῖ περιστέλλουσαν, ὡς ἔνι τὸ ζῶον καὶ στεφανοῦσαν τῇ κόμῃ. τὸ γάρ τοι παρρησιάζεσθαι γυναιξὶν, οὐκ ἀζήμιον. "οὐκοῦν κατακαλυπτέσθω, φησὶν, διὰ τοὺς ἀγγέλους." δῆλον δὲ ὅτι τοὺς ταῖς ἐκκλησίαις ἐνιδρυμένους παρὰ Θεοῦ. δυσφοροῦσι γὰρ λίαν, εἰ ἀμελοῖτο πρός τινος ὁ τοῦ πρέποντος νόμος. ὡς καὶ εἰδότες ὑπὲρ ἡμᾶς τὴν τοῦ δημιουργήσαντος βούλησιν. χρῆταί γε μὴν ὁ θεσπέσιος Παῦλος εὐτεχνίᾳ πάλιν ἑτέρᾳ. ἔφη μὲν γὰρ κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ πεποιῆσθαι τὸν ἄνδρα· κατόπιν δὲ τῆς αὐτοῦ τιμῆς τε καὶ δόξης οἷον ἐρρίφθαι τὸ θῆλυ διϊσχυρίσατο, σαφῶς ἐπάγων τὸ ἑξῆς.

Ἰωάννου. Οὐκ ἀεὶ κωλύει τὸν ἄνδρα κατακαλύπτεσθαι, ἀλλὰ μόνον ἐν εὐχῇ καὶ προφητείᾳ. οὐκ εἶπεν γὰρ κεκαλυμμένος τὴν κεφαλὴν, ἀλλὰ κατὰ κεφαλῆς ἔχων. ἀναιρῶν οὕτως, οὐ μόνον τῷ ἱματίῳ καλύπτεσθαι, ἀλλὰ καὶ κόμῃ. καὶ γὰρ καὶ ὁ κομῶν κατὰ κεφαλῆς ἔχει τὴν κόμην δηλαδή. ἡμᾶς γὰρ ὁ Θεὸς τοὺς ἄνδρας αὐτεξουσίους ἐποίησεν, τοῦτ' ἔστιν ὑπ' οὐδένα τῶν ἐν τῇ γῇ, ἀλλὰ πάντων ἄρχοντας. διὸ οὐ δεῖ ἔχειν ἐπὶ τῆς κεφαλῆς ἐξουσίαν, τοὺς οὐκ ὄντας ὑπ' ἐξουσίαν τινὸς τῶν ἐν τῇ γῇ. τὸ γὰρ κεκαλύφθαι τὴν κεφαλὴν, ἐξουσίαν τινα ἐπιτιθέναι ἐστὶ τῇ κεφαλῇ. ἀντὶ γὰρ ἐξουσίας ἐστὶ τὸ ἐπὶ τῆς κεφαλῆς κάλυμμα, ὅπερ εἴωθεν εἶναι ἐπὶ τῆς γυναικὸς δηλοῦν τὴν τοῦ ἀνδρὸς ἐξουσίαν, ὡς ὑποκειμένης αὐτῆς. ὁ οὖν τῇ ἐλευθέρᾳ κεφαλῇ ἐπιτιθεὶς ἐξουσίαν, εἰκότως καταισχύνει τὴν κεφαλὴν αὐτοῦ· πῶς; ὅτι τε ὁ αὐτός ἐστι τῇ ἐξυρημένῃ. καὶ ὅτι δραπέτριάν τινα τὴν κεφαλὴν ἀποδείκνυσι καὶ φυγάδα τῆς δοθείσης αὐτῇ παρὰ τοῦ Θεοῦ ἐξουσίας. πῶς ἐστιν ἓν καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ, ὁπότε ἡ μὲν τῇ ἐξυρημένῃ

οὔτε τὴν φυσικὴν σκέπην ἔχει, οἷον τὰς τρίχας, αὕτη δὲ ἔχει; καὶ ἐροῦμεν ὅτι ἡ ἀκατακάλυπτος, ὅσον τὸ εἰς αὐτὴν ἧκεν, ἐκ φύσεως ἀπεσείσατο τὸ κάλυμμα. τοῦτο προσθεὶς ἐδήλωσεν ὅτι οὐκ ἐν εὐχῇ ἢ προφητείᾳ μόνον αὐτὴν δεῖ κατακαλύπτεσθαι, ἀλλὰ πάντοτε. ὥσπερ γὰρ τὸ ἐξυρᾶσθαι οὐκ ἐν εὐχῇ καὶ προφητείᾳ μόνον ἀπρεπὲς, ἀλλὰ καὶ πάντοτε, οὕτω καὶ τὸ ἀκατακάλυπτον εἶναι.

ΦΩΤΙΟΥ. *Ἓν γάρ ἐστι καὶ τὸ αὐτὸ, ὅσον ἐπὶ τὸ ἀκόσμως καὶ ἀνυποτάκτως ἑλέσθαι βιοῦν.*

7 Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν
κεφαλὴν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων. γυνὴ δὲ δόξα
8 ἀνδρός ἐστιν· οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικὸς, ἀλλὰ
9 γυνὴ ἐξ ἀνδρός· καὶ γὰρ οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν
10 γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα· διὰ τοῦτο ὀφείλει
ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, διὰ τοὺς ἀγγέ-
11 λους. πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικὸς, οὔτε γυνὴ χωρὶς
12 ἀνδρὸς, ἐν Κυρίῳ. ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ ἀνδρὸς,
οὕτως καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικὸς, τὰ δὲ πάντα ἐκ
τοῦ Θεοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. *Εἰκὼν Θεοῦ ὁ ἄνθρωπος, οὔτε κατὰ τὸ σῶμα, οὔτε κατὰ τὴν ψυχήν· ἀλλὰ κατὰ τὸ ἀρχικὸν μόνον. ὡς ἁπάντων τοίνυν τῶν ἐπὶ τῆς γῆς τὴν ἀρχὴν πεπιστευμένος, εἰκὼν προσηγόρευται τοῦ Θεοῦ. ἡ δὲ γυνὴ, ὡς ὑπὸ τὴν τοῦ ἀνδρὸς ἐξουσίαν τελοῦσα, τοῦ ἀνδρός ἐστι δόξα καὶ οἷον εἰκόνος εἰκών. ἄρχει μὲν γὰρ καὶ αὕτη τῶν ἄλλων, ἀλλὰ ὑποτετάχθαι τῷ ἀνδρὶ προσετάγη.*

ΚΥΡΙΛΛΟΥ. *“Ἡ γυνὴ” γὰρ, φησὶ, “δόξα ἀνδρός ἐστιν. οὐ γὰρ “ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα.” εἶτα περιστέλλων εὖ μάλα ἐφ' οἷς ἦν εἰκὸς λυπεῖσθαι τὸ θῆλυ, προσετάγη καὶ φησὶ, “πλὴν οὔτε γυνὴ χωρὶς ἀνδρὸς, οὔτε ἀνὴρ χωρὶς “γυναικός.” γέγονε μὲν γὰρ ὁμολογουμένως ἐξ ἀνδρὸς ἡ γυνή. καὶ τοῦτό ἐστιν ἀληθές. εὕρηται γε μὴν εἰς ἀνδρὸς γένεσιν οὐκ ἀσυντελής. συνενεγκοῦσα δὲ ἄμφω πρὸς ἓν ἡ φύσις ἀλλήλων ἐν χρείᾳ κατεστήσατο οἰκονομικῶς συνείρουσα πρὸς ἀγάπην. Θεὸς*

δὲ ὅτι τῶν ὅλων ἐστὶν ὁ δημιουργὸς, προσεμπεδοῖ λέγων, "τὰ δὲ "πάντα ἐκ τοῦ Θεοῦ." παρῆκται γὰρ εἰς τὸ εἶναι τὰ πάντα διὰ Χριστοῦ.

Ἰωάννου. Συμβόλα δέδοται ἀνδρὶ καὶ γυναικὶ πολλὰ μὲν καὶ ἕτερα· τῷ μὲν τῆς ἀρχῆς, τῇ δὲ τῆς ὑποταγῆς. μετὰ δὲ ἐκείνων καὶ τοῦτο, τὸ ταύτην μὲν κατακαλύπτεσθαι, τοῦτον δὲ γυμνὴν ἔχειν τὴν κεφαλήν. εἰ τοίνυν σύμβολα ταῦτά ἐστιν, ἀμφότεροι ἁμαρτάνουσι τὴν εὐταξίαν συγχέοντες, καὶ τὴν τοῦ Θεοῦ διαταγὴν καὶ τοὺς οἰκείους ὑπερβαίνοντες ὅρους· καὶ ὁ μὲν εἰς τὴν ἐκείνης καταπίπτων εὐτέλειαν, ἡ δὲ ἐπανισταμένη τῷ ἀνδρὶ διὰ τοῦ σχήματος. ταῦτα μὲν γὰρ παρὰ τῶν ἀνθρώπων νενομοθέτηται, εἰ καὶ ὁ Θεὸς ὕστερον αὐτὰ ἐκύρωσεν· τὸ μὴ εἶναι σκεύη ἀνδρὸς ἐπὶ γυναικὶ, μηδὲ ἄνδρα ἐνδύεσθαι στολὴν γυναικείαν. ἐκεῖνα δὲ παρὰ τῆς φύσεως, τὸ κατακαλύπτεσθαι λέγω, καὶ μή. ὅτ' ἂν δὲ εἴπω τὴν φύσιν, τὸν Θεὸν λέγω. ὁ γὰρ τὴν φύσιν δημιουργήσας οὗτός ἐστιν· ὅτ' ἂν οὖν τοὺς ὅρους ἀνατρέπῃς τούτους, ὅρα πόσα γίνεται τὰ ἐπιβλαβῆ.

Σευηριανοῦ. Ἐκ τούτων φαίνεται ὅτι οὔτε κατὰ τὴν ψυχὴν εἰκὼν Θεοῦ ἄνθρωπος, οὔτε κατὰ τὸ σῶμα. εἰ γὰρ ἦν καθ' ἕν τι τούτων, πάντως ἂν καὶ ἡ γυνὴ Θεοῦ ἐκλήθη. καὶ αὐτὴ τὸν τύπον ἔχουσα, οἷον καὶ ὁ ἀνήρ. εἰ δὲ τὴν αὐτὴν ἔχουσα ἡ γυνὴ τῷ ἀνδρὶ ψυχὴν καὶ σάρκα, εἰκὼν οὐ λέγεται, δῆλον ὅτι κατὰ τὸ ἀρχικὸν εἰκὼν Θεοῦ ὁ ἄνθρωπος. ὅτε μὲν γὰρ περὶ τῶν ἀλόγων ὁ λόγος, καὶ ἡ γυνὴ εἰκὼν Θεοῦ. ὅτε δὲ ἡ ἐξέτασις ἀνδρὸς πρὸς γυναῖκας, μόνος εἰκὼν ὁ ἀνήρ. διότι τὸ ἄρρεν καὶ θῆλυ ἐν ἀνθρώποις πάντων κρατεῖ τῶν ἐν γῇ, τῶν ἐν θαλάσσῃ, τῶν ἐν ἀέρι· γυναικὸς δὲ ὁ ἀνήρ· ἀνδρὸς δὲ οὐδεὶς ἐπὶ τῆς γῆς. ὡς οὖν οὐδεὶς ἄρχει Θεοῦ ἐν τοῖς οὖσιν, οὕτως οὐδὲ ἀνδρὸς ἐν τοῖς ἐπιγείοις. φύσιν δὲ νοοῦμεν ἡμεῖς τῶν πραγμάτων αὐτῶν τὴν ἀλήθειαν.

Θεοδώρου. Δείκνυσιν αὐτὸ ἄτοπον, ἀπὸ τῆς εὐσεβείας, καὶ ἀπὸ τῆς φύσεως, καὶ ἀπὸ τῆς δημιουργίας.

Φωτίου. Εἰς γὰρ δόξαν Θεοῦ ὑποτετάχθαι ὀφείλει ὁ ἀνὴρ τῷ Θεῷ· καὶ εἰς δόξαν ἀνδρὸς ἡ γυνὴ τῷ ἀνδρί. τί δέ ἐστιν εἰς δόξαν; εὐπιθῶς καὶ ἑκουσίως καὶ μετὰ χαρᾶς πράττειν τὰ ἀρέσκοντα Θεῷ. ὡσαύτως καὶ ἡ γυνὴ τὰ ἀρέσκοντα τῷ ἀνδρί. ὡς

ὅ γε κατὰ βίαν καὶ ἄκων ποιῶν καὶ δυσφορῶν, οὐχ ὑποτάσσεται εἰς δόξαν Θεοῦ. ὡσαύτως οὐδὲ ἡ γυνὴ εἰς δόξαν ἀνδρός. ὥστε δεῖ ποθεῖν μὲν ἀκατακαλύπτως προσιέναι Θεῷ, καὶ τὴν γυναῖκα ὡσαύτως κατακαλυπτομένην. εἰς αὐτὸ δόξα Θεοῦ, τῆς ἀρχῆς αὐτοῦ καὶ ἐξουσίας τὸ τιμιώτατον. δι' αὐτὸν γὰρ μᾶλλον ἢ δι' ἄλλό τι τῶν ἐν κόσμῳ δεδόξασθαι, καὶ τὸ ὑπέρβαλλον τῆς χρηστότητος αὐτοῦ καὶ φιλανθρωπίας πεφανέρωται· ὡσαύτως δόξα ἀνδρὸς ἡ γυνή· τῆς γὰρ ἀρχῆς αὐτοῦ καὶ ἐξουσίας αὕτη ἐστὶ τὸ τιμιώτατον, δι' ἧς μᾶλλον ἢ δι' ἑτέρου τινὸς ὧν ἄρχει ἔστιν αὐτῷ ἐγκαλλωπίζεσθαι καὶ δοξάζεσθαι.

Τοῦ αὐτοῦ. Ὀφείλει, φησὶν, ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, τοῦτ' ἔστιν τὴν τοῦ ἀνδρὸς ἐξουσίαν καὶ κυριότητα ᾗπερ ὑπόκειται, ὀφείλει ἔχειν καὶ ἐπιδείκνυσθαι ἐπ' αὐτῆς τῆς κεφαλῆς. τοῦτο δὲ πῶς κατορθοῦται; διὰ τοῦ κατακαλύπτεσθαι. διὸ καὶ αὐτὸ τὸ κατακάλυμμα εἰκότως ἂν ἐξουσία κληθείη, ὡς τῆς τοῦ ἀνδρὸς ἐξουσίας κυριότητος ἐνδεικτικὸν ὑπάρχον καὶ παραστατικόν. τὸ δὲ "διὰ τοὺς ἀγγέλους" τοῦτό μοι δοκεῖ ὑποδηλοῦν. ἐπειδὴ γὰρ αἰτίαν τοῦ ὀφείλειν ὑποτετάχθαι τῷ ἀνδρὶ τὴν γυναῖκα φησὶν, ὅτι οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀνάπαλιν δὲ καὶ διὰ τοῦτο δεῖ ἔχειν αὐτὴν τὸ κατακάλυμμα, τὴν ἐπ' αὐτῆς ἐξουσίαν τοῦ ἀνδρὸς ὁμολογοῦσαν. ἐπαγαγὼν, "διὰ τοὺς ἀγγέλους" δηλοῖ ὅτι καὶ εἰ μὴ τοὺς ἀνθρώπους αἰσχυνομένη οὐκ ἐθέλει τοῦτο ποιεῖν, ἀλλ' οὖν αἰσχυνθήτω τοὺς ἀγγέλους, οἳ μάρτυρες καὶ ἐπόπται γεγένηνται τῆς ὑποταγῆς αὐτῆς. αὐτοὶ γὰρ εἰ καὶ μὴ ἄνθρωποι ἐφορῶντες ἦσαν, οὐ τὸν ἄνδρα ἀπὸ τῆς γυναικὸς, ἀλλ' αὐτὴν τὴν ἐκ τοῦ ἀνδρὸς τὴν ἀρχὴν τῆς γενέσεως λαβοῦσαν.

13 Ἐν ὑμῖν αὐτοῖς κρίνατε· πρέπον ἐστὶ γυναῖκα ἀκα-
14 τακάλυπτον τῷ Θεῷ προσεύχεσθαι; ἢ οὐδὲ αὐτὴ ἡ
φύσις διδάσκει ὑμᾶς, ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία
15 αὐτῷ ἐστι· γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν; ὅτι
16 ἡ κόμη ἀντὶ περιβολαίου δέδοται αὐτῇ· εἰ δέ τις δοκεῖ
φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν,
οὐδὲ αἱ ἐκκλησίαι τοῦ Θεοῦ.

Θεοδωρίτου. Ἡ αὔτη τιμὴν ἡγεῖται τὴν κόμην καὶ ἀτιμίαν

τὴν ταύτης ἀφαίρεσιν. λογιζέσθω ὡς ἀτιμάζει τὸν τὴν κόμην δεδωκότα, μὴ μετὰ τῆς προσηκούσης αἰδοῦς καὶ τιμῆς προσιοῦσα. "εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ "ἔχομεν· οὐδὲ αἱ ἐκκλησίαι τοῦ Θεοῦ." ἱκανὸς οὗτος ὁ λόγος ἐντρέψαι καὶ τοὺς λίαν ἐριστικούς. ἔδειξεν γὰρ οὐκ αὐτῷ μόνῳ ταῦτα δοκοῦντα, ἀλλὰ καὶ πάσαις τοῦ Θεοῦ ἐκκλησίαις. πάλιν κατὰ τοὺς ἀρίστους τῶν ἰατρῶν, ἕτερον ἰατρεύει πάθος. εἰώθεσαν γὰρ ἐν ταῖς ἐκκλησίαις μετὰ τὴν μυστικὴν λειτουργίαν ἑστιᾶσθαι κοινῇ πλούσιοί τε καὶ πένητες. καὶ πολλὴ ἐντεῦθεν παραμυθία τοῖς πενομένοις ἐγίνετο. τῶν μὲν εὐπόρων οἴκοθεν τὰ ὄψα κομιζόντων, τῶν δὲ πενίᾳ συζώντων διὰ τὴν μετουσίαν τῆς πίστεως κοινωνούντων τῆς εὐωχίας. ἀλλὰ τοῦτο τοῦ χρόνου προϊόντος, οὐ δεόντως ἐγίνετο, ἀλλὰ κατεφρόνουν τῶν πενήτων οἱ εὔποροι. τοῦτο μαθὼν ὁ θεῖος Ἀπόστολος γράφει καὶ περὶ τούτου τὰ πρόσφορα.

Ἰωάννου. Ὥστε φησὶν, καὶ τῇ φύσει αὐτῇ πολεμεῖ ὁ μὴ πειθόμενος. ἐπεὶ οὖν ἔχει ἐκ φύσεως τὸ τῶν τριχῶν περιβόλαιον, ὀφείλει καὶ αὐτὴ περιβάλλεσθαι, ἵνα μὴ τοὺς φυσικοὺς ἀνατρέπῃ νόμους. ἐπειδὴ πρὸς ἐθελοσόφους ἔγραψεν, οἳ διὰ συλλογισμῶν τὰ πάντα κατεσκεύαζον καὶ ἀνεσκεύαζον, φησὶν, οὐ καιρὸς νῦν τοῦ φιλονεικεῖν· εἰ γὰρ ἀναισχυντεῖ τις πρὸς τὰ εἰρημένα, ἡμεῖς, φησὶν, καὶ ἡ ἐκκλησία οὐκ ἔχομεν ἔθος τοιοῦτον. ποῖον ἢ ὅτι τὸ φιλονεικεῖν; ἀλλὰ πειθόμεθά φησιν, τοῖς ἐπιτάγμασι τῶν διδασκάλων μηδὲν ἀντιτείνοντες. ἢ ὅτι οὐκ ἔστιν ἔθος παρ' ἡμῖν, ἵνα ὁ μὲν ἀνὴρ κομᾷ καὶ κεκάλυπται τὴν κεφαλὴν, ἡ δὲ γυνὴ τοὐναντίον.

ΚΕΦ. Ζ.

Περὶ κοινωνίας θεοπρεποῦς, οὐ πλησμονικῆς.

17 Τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ, ὅτι οὐκ εἰς τὸ
18 κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε. πρῶτον μὲν γὰρ
συνερχομένων ὑμῶν ἐν τῇ ἐκκλησίᾳ, ἀκούω σχίσματα
19 ἐν ὑμῖν ὑπάρχειν, καὶ μέρος τι πιστεύω· δεῖ γὰρ καὶ
αἱρέσεις ἐν ὑμῖν εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται
ἐν ὑμῖν.

Θεοδωρίτου. Εἰκότως ὑμῖν ἐπιμέμφομαι· δέον γὰρ ὑμᾶς

αὔξειν τῷ χρόνῳ τὴν ἀρετήν· μειοῦτε ταύτην καὶ ἐλαττοῦτε τὸν πλοῦτον.

Θεοδώρου. Πρὸ γὰρ ἁπάντων ὑμῶν ἐκεῖνο αἰτιῶμαι φησίν. τὸ γὰρ "πρῶτον," ἀντὶ τοῦ πρὸ πάντων λέγει· ὡς καὶ ἐν τῇ πρὸς Ῥωμαίους, "πρῶτον μὲν ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ "Θεοῦ."

Θεοδωρίτου. Σχίσματα οὐ δογματικὰ λέγει· ἀλλ' ἐκεῖνα τὰ τῆς φιλαρχίας· ὧν καὶ ἐν ἀρχῇ τῆς Ἐπιστολῆς κατηγόρησεν. σοφῶς δὲ ἄγαν τὸ σφοδρὸν τῆς κατηγορίας ἐκόλασεν· οὐ γὰρ εἶπεν ἁπλῶς πιστεύω, ἀλλὰ "καὶ μέρος τί πιστεύω·" "δεῖ γὰρ αἱρέσεις "ἐν ὑμῖν εἶναι· ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν." αἱρέσεις, τὰς φιλονεικίας λέγει, οὐ τὰς τῶν δογμάτων διαφοράς· τὸ δὲ "δεῖ," οὐκ ἀναγκαστικὸν τοῦ πράγματος, ἀλλὰ προγνωστικόν· τοιοῦτόν ἐστι καὶ τὸ ὑπὸ Κυρίου εἰρημένον· ὅτι τὰ σκάνδαλα ἐλθεῖν ἀνάγκη· ὡς ἀκριβῶς γὰρ τὰ ἐσόμενα προορῶν, ὃ προεεῖδεν καὶ προείρηκεν, οὐκ αὐτὸς γενέσθαι ἠνάγκασεν. ἀλλὰ τοῦτο φησὶν ὁ θεῖος Ἀπόστολος, οὐ λυμαίνεται· ἐλεγχομένων γὰρ τῶν πονηρίᾳ συζώντων, τῶν ἀρίστων ἀνδρῶν τὸ δόκιμον δείκνυται.

Ἰωάννου. Καθάπερ ἐπὶ τῶν τρισχιλίων τῶν ἐξ ἀρχῆς πιστευσάντων, κοινῇ πάντες ἑστιῶντο καὶ κοινὰ πάντα ἐκέκτηντο, οὕπω καὶ τότε, ὅτε ταῦτα ἔγραψεν ὁ Ἀπόστολος ἐγίνετο· εἰ καὶ μὴ τελείως, ἐκ μέρους γοῦν. κοινὰς γὰρ ἐποίουν τὰς τραπέζας ἐν ἡμέραις νενομισμέναις· καὶ τῆς συνάξεως ἀπαρτισθείσης, μετὰ τὴν τῶν μυστηρίων κοινωνίαν, ἐπικοινὴν πάντες μετῄεσαν εὐωχίαν. ἀλλ' ὕστερον καὶ τοῦτο διεφθάρη τὸ ἔθος. τὸ δὲ αἴτιον, ἐκ τοῦ διεσπᾶσθαι καὶ προσνέμειν ἑαυτοὺς, τοὺς μὲν τούτοις, τοὺς δὲ ἐκείνοις· ἐπεὶ οὖν διεσπάσθη τὸ ἔθος τοῦτο τὸ κάλλιστον καὶ χρησιμώτατον· πληκτικῶς εἰκότως τῷ λόγῳ κέχρηται, οὕτω λέγων, "τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ." τοῦτο ποῖον; ὃ μέλλω λέγειν νῦν. τί ἐστι "παραγγέλλων οὐκ ἐπαινῶ;" οὐκ ἀποδέχομαι ὑμᾶς, φησὶν, ὅτι με εἰς ἀνάγκην κατεστήσατε συμβουλῆς· ὅτι ἐκδεήθητε διδασκαλίας· ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε. τοῦτ' ἔστιν ὅτι οὐ προβαίνετε εἰς ἀρετὴν, ἀλλὰ καὶ τὸ κρατῆσαν ἔθος ἠλαττώσατε. "δεῖ γὰρ αἱρέσεις ἐν ὑμῖν εἶναι· ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται." ὅτι δὲ περὶ τῶν αἱρέσεων εἶπεν

τῶν κατὰ τὰς τραπέζας, καὶ ἐκ τῶν ἑξῆς δῆλον ἐποίησεν. εἰπὼν γὰρ ὅτι ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν, οὐκ ἔστη μέχρι τούτων, ἀλλὰ προϊὼν φησὶν, "ἕκαστος τὸ ἴδιον δεῖπνον προλαμ- "βάνει" καὶ τὰ ἑξῆς. εἰ δὲ σχίσματα αὐτὰ καλεῖ, μὴ θαυμάσῃς. τῇ γὰρ λέξει καθικέσθαι αὐτῶν βούλεται. εἰ γὰρ δογμάτων ἦν τὰ σχίσματα, οὐκ ἂν οὕτως αὐτοῖς διελέχθη ἡμέρως. τί δέ ἐστιν, "ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν;" ἵνα λάμψωσι μειζόνως. ὃ δὲ βούλεται εἰπεῖν τοῦτ' ἐστιν· ὅτι τοὺς ἀπεριτρέπτους καὶ στερροὺς, οὐ μόνον οὐδὲν τοῦτο βλάπτει, ἀλλὰ καὶ λαμπροτέρους ἀποφαίνει. τὸ γὰρ "ἵνα" τοῦτο οὐ πανταχοῦ αἰτιολογίας ἐστὶν, ἀλλὰ πολλαχοῦ καὶ τῆς τῶν πραγμάτων ἐκβάσεως. οὕτω καὶ ὁ Χριστὸς αὐτὸ τίθησιν, ὅτ' ἂν λέγῃ, "εἰς κρίμα ἐγὼ "ἦλθον εἰς τὸν κόσμον τοῦτον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ "οἱ βλέποντες τυφλοὶ γένωνται." οὕτω καὶ αὐτὸς ὁ Παῦλος ὅτ' ἂν περὶ τοῦ νόμου διαλεγόμενος γράφει. "νόμος δὲ παρεισῆλθεν, "ἵνα πλεονάσῃ τὸ παράπτωμα." ἀλλ' οὔτε ὁ νόμος διὰ τοῦτο ἐδόθη, ἵνα αὐξηθῇ τὰ ἁμαρτήματα τῶν Ἰουδαίων· τοῦτο δὲ ἐξέβη. οὔτε ὁ Χριστὸς διὰ τοῦτο ἦλθεν, ἵνα οἱ βλέποντες τυφλοὶ γένωνται, ἀλλὰ διὰ τὸ ἐναντίον· συνέβη δὲ τοῦτο. οὕτως οὖν καὶ ἐνταῦθα νοητέον, "ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται." ἀλλὰ τῶν αἱρέσεων τούτων γενομένων τοῦτο συνέβη. ταῦτα δὲ εἴρηκε, τοὺς πένητας παραμυθούμενος, τοὺς γενναίως φέροντας τὴν τοιαύτην ὑπεροψίαν. διὸ οὐδὲ εἶπεν ἵνα οἱ δόκιμοι γένωνται, ἀλλ' ἵνα δόκιμοι ὄντες φανεροὶ γένωνται. δηλονότι καὶ πρὸ τούτου τοιοῦτοι ἦσαν, ἀλλ' ἀνεμίγνυντο τοῖς πολλοῖς, καὶ παραμυθίας ἀπολαύοντες τῆς παρὰ τῶν πλουσίων, οὐ σφόδρα ἐφαίνοντο. νυνὶ δὲ ἡ στάσις αὕτη καὶ ἡ φιλονεικία δήλους αὐτοὺς ἐποίησεν· ὥσπερ τὸν κυβερνήτην ὁ χειμὼν δείκνυσιν. οὔτε δὴ κατηγορῶν δήλους ποιεῖ, ἵνα μὴ ἀναισχυντοτέρους ποιήσῃ· οὔτε ἐγκωμιάζων, ὥστε μὴ χαυνοτέρους. ἀλλ' ἀεὶ μετέωρον ἀφίησι τὸν λόγον, καὶ τοῦτον κακεῖνον· ἑκάστον τῷ συνειδότι τὰ λεγόμενα ἁρμόζειν παρέχων. οὐ τοὺς πένητας δέ μοι δοκεῖ ἐνταῦθα παραμυθεῖσθαι μόνον, ἀλλὰ καὶ τοὺς τὸ ἔθος μὴ διαφθείροντας. καὶ γὰρ εἰκὸς εἶναι ἐν αὐτοῖς καὶ τοὺς διατηροῦντας αὐτό. διὸ καὶ ἔλεγεν "μέρος τι πιστεύω," οὐ καθόλου πιστεύω.

Φωτίου. *Οὐκ ἐπαινῶ, φησὶ, τὸ συνέρχεσθαι ὑμᾶς, καίτοι ἐπαίνου ἄξιον ἦν, ἀλλ' αὐτοὶ αὐτὸ ψόγου καὶ κατηγορίας αἴτιον ἐποιήσατε. ἅμα καὶ ἐντρέπων ὅτι ἐφ' οἷς ἐπαινεῖσθαι αὐτῆς ἐνῆν ἀντὶ τούτου παραγγελίας, καὶ τὸ μὴ ἐπαινεῖσθαι ἑαυτοῖς ἐπεσπάσαντο. δηλονότι δὲ οὐκ ἐπαινεῖ τὸ συνέρχεσθαι, ὅτι οὐκ ἐπὶ τῷ κρείττονι ὥσπερ ἔδει, ἀλλ' ἐπὶ τῷ χείρονι συνέρχεσθε, ἤτοι ἐπὶ τὸ ἀτιμάζειν τοὺς ἀδελφοὺς, καὶ καταισχύνειν, καὶ τὴν ἀλαζονείαν ὑμῶν καὶ γαστριμαργίαν ἐπιδείκνυσθαι.*

20 Συνερχομένων οὖν ὑμῶν ἐπὶ τὸ αὐτὸ, οὐκ ἔστι κυρια-
21 κὸν δεῖπνον φαγεῖν· ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προ-
λαμβάνει ἐν τῷ φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει.
22 μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ
τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε
τοὺς μὴ ἔχοντας; τί ὑμῖν εἴπω; ἐπαινέσω ὑμᾶς ἐν
τούτῳ; οὐκ ἐπαινῶ.

Θεοδωρίτου. *Κυριακὸν καλεῖ δεῖπνον τὸ κυριακὸν μυστήριον. ἐκείνου γὰρ πάντες ὁμοίως μεταλαμβάνουσιν· καὶ οἱ πενίᾳ συζῶντες, καὶ οἱ πλούτῳ κομῶντες. καὶ οἰκέται καὶ δεσπόται καὶ ἄρχοντες καὶ ἀρχόμενοι. ἔδει τοίνυν, φησὶν, καὶ τὰς κοινὰς τραπέζας εἶναι κοινὰς, καὶ τὴν δεσποτικὴν μιμεῖσθαι ἣ πᾶσιν ὁμοίως πρόκειται.*

Θεοδώρου. *Κυριακὸν αὐτὸ καὶ ἀπὸ τοῦ καιροῦ καὶ ἀπὸ τοῦ τόπου λέγει. ὡς ἂν ἐπ' ἐκείνης τῆς ἡμέρας ἐν τῷ τῆς συνελεύσεως τόπῳ κατὰ ταυτὸν ἐσθίειν αὐτοὺς τοῦ νενομισμένου.*

Ἰωάννου. *Ὁρᾷς πῶς ἐντρεπτικῶς καὶ ἐν τάξει διηγήσεως ἤδη τὴν συμβουλὴν κατεσκεύασεν; τὸ μὲν γὰρ σχῆμα τῆς συνόδου φησι· ἄλλο ἀγάπης γάρ ἐστι καὶ φιλαδελφίας· εἷς γοῦν ὑμᾶς πάντας δέχεται τόπος καὶ ὁμοῦ συναγελάζεσθε. ἡ δὲ τράπεζα λοιπὸν οὐχ ὁμοία τῇ συνόδῳ. καὶ οὐκ εἶπεν συνερχομένων ἡμῶν οὐκ ἔστι κοινῇ φαγεῖν, οὐκ ἔστι μετὰ ἀλλήλων ἑστιαθῆναι, ἀλλὰ πολλῷ φοβερώτερον καθάπτεται αὐτῶν λέγων, "οὐκ ἔστι κυριακὸν "δεῖπνον φαγεῖν." ἐκείνῃ παραπέμπων αὐτοὺς ἐντεῦθεν ἤδη τῇ ἑσπέρᾳ, καθ' ἣν τὰ φρικτὰ μυστήρια παρέδωκεν ὁ Χριστός. διὰ τοῦτο καὶ δεῖπνον τὸ ἄριστον ἐκάλεσεν. καὶ γὰρ ἐκεῖνο τὸ δεῖπνον*

κοινῇ πάντας εἶχε κατακεκλιμένους. καίτοι γε οὐ τοσοῦτον τὸ μέσον τῶν πλουτούντων καὶ τῶν πενομένων, ὅσον τοῦ διδασκάλου καὶ τῶν μαθητῶν. ἐννόησον τὸ μέσον τοῦ διδασκάλου καὶ τοῦ προδότου. ἀλλ' ὅμως καὶ αὐτὸς μετ' αὐτῶν κατεκλίνετο. εἶτα ἑρμηνεύει πῶς "οὐκ ἔστιν κυριακὸν δεῖπνον φαγεῖν. ἕκαστος γὰρ "ἴδιον δεῖπνον προλαμβάνει," φησὶν, "ἐν τῷ φαγεῖν. καὶ ὃς μὲν "πεινᾷ, ὃς δὲ μεθύει." εἶδες πῶς ἔδειξεν αὐτοὺς καταισχύνοντας ἑαυτοὺς μᾶλλον; τὸ γὰρ κυριακὸν ἰδιωτικὸν ποιοῦσιν. ὥστε πρῶτοι αὐτοί εἰσιν οἱ καθυβριζόμενοι, οἱ τῆς τραπέζης τὸ μέγιστον ἀφαιροῦντες ἀξίωμα. ὅτι τὸ κυριακὸν δεῖπνον, τοῦτ' ἐστι τὸ δεσποτικὸν, ὀφείλει κοινὸν εἶναι. τὰ γὰρ τοῦ δεσπότου οὐχὶ τοῦδε μὲν τοῦ οἰκέτου ἐστὶν, τοῦδε οὐκ ἔστιν, ἀλλὰ κοινῇ πάντων· τὸ οὖν κυριακὸν τοῦτο φησὶ τὸ κοινόν· νυνὶ δὲ οὐκ ἀφιεὶς αὐτὸ εἶναι κυριακὸν μὴ ἀφιεὶς εἶναι κοινόν· ἀλλὰ κατὰ σαυτὸν αὐτὸ ἑστιώμενος.

Θεοδωρίτου. Ἔδειξεν τῆς δεσποτικῆς τραπέζης τὰς κοινὰς τραπέζας ἐναντίας ἐκ διαμέτρου. ἐξ ἐκείνης μὲν γὰρ ἴσως μεταλαμβάνουσιν ἅπαντες. ἐνταῦθα δὲ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει· διπλὴν τὴν κατηγορίαν ποιούμενος· καὶ ὅτι μόνος πίνει, καὶ ὅτι ὑπὲρ κόρον, ἐπιτιμητικῶς. "μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ "ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε καὶ "καταισχύνετε τοὺς μὴ ἔχοντας;" εἰ τοῦ τρυφᾶν ἕνεκα παραγίνεσθε, ἐν ταῖς οἰκίαις τοῦτο δρᾶτε. ὕβρις γὰρ τοῦτο τῆς ἐκκλησίας καὶ πρόφασις παροινίων. πῶς γὰρ οὐκ ἄτοπον ἔνδον ἐν τῷ τοῦ Θεοῦ ναῷ, τοῦ δεσπότου παρόντος, ὃς κοινὴν ὑμῖν παρέθηκε τραπέζαν, ὑμᾶς μὲν τρυφᾶν, τοὺς δὲ δεομένους πεινῆν καὶ διὰ τὴν πενίαν ἐρυθριᾶν· "τί ὑμῖν εἴπω; ἐπαινέσω ὑμᾶς ἐν τούτῳ; οὐκ "ἐπαινῶ." τῇ συνήθει πραότητι κέχρηται· πατρικῶς, οὐ δικαστικῶς ἐπιμέμφεται· εἶτα σαφέστερον τῶν ἱερῶν αὐτοὺς ἀναμιμνήσκει μυστηρίων.

Φωτίου. Τί ὑμῖν δοκεῖ; ἆρα παραλόγως εἶπον ὑμῖν καὶ ἀρχόμενος τῆς ὑποθέσεως ταύτης, ὅτι οὐκ ἐπαινῶ; οὐχὶ καὶ ἀπ' αὐτῆς τῆς τῶν πραγμάτων ἀκολουθίας ἐμάθετε ὅτι ἐν ἐπαινουμένῳ πράγματι τῷ κυριακῷ δείπνῳ, ψόγου ὑμεῖς ἀλλ' οὐκ ἐπαίνου

ἄξια διαπράττεσθε; ὥστε καὶ ἐγὼ δικαίως οὐκ ἐπαινῶ, καίπερ καθ' αὑτὸ ἐπαινετοῦ μάλιστα τοῦ ἔργου τυγχάνοντος.

23 *Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ* Κυρίου *ὃ καὶ παρέ-*
δωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς Χριστὸς, *ἐν τῇ νυκτὶ*
24 *ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε,*
καὶ εἶπεν, Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ
ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν
25 *ἀνάμνησιν. ὡσαύτως καὶ τὸ ποτήριον, μετὰ τὸ δειπνῆ-*
σαι, λέγων, Τοῦτο *τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν*
ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνά-
μνησιν.

ἸΩΆΝΝΟΥ. Τίνος *ἕνεκεν ἐνταῦθα τῶν μυστηρίων μέμνηται; ὅτι σφόδρα ἀναγκαῖος εἰς τὴν παροῦσαν ὑπόθεσιν ὁ λόγος ἦν οὗτος αὐτῷ. καὶ γὰρ ὁ δεσπότης σου, φησὶν, τῆς αὐτῆς πάντας ἠξίωσε τραπέζης, καίτοι σφόδρα φρικωδεστάτης οὔσης, καὶ πολὺ τὴν πάντων ὑπερβαινούσης ἀξίαν. σὺ δὲ αὐτοὺς καὶ τῆς σῆς ἀναξίους εἶναι ἡγῇ τῆς μικρᾶς ταύτης καὶ εὐτελοῦς; τίνος δὲ ἕνεκεν καὶ τοῦ καιροῦ ἡμᾶς ἀναμιμνήσκει· καὶ τῆς ἑσπέρας ἐκείνης καὶ τῆς προδοσίας; οὐχ ἁπλῶς οὐδὲ ἄνευ λόγου τινὸς, ἀλλ' ἵνα μεθ' ὑπερβολῆς κατανύξῃ. κἂν γὰρ αὐτολίθος ᾖ τις, ἐννοήσας ἐκείνην τὴν νύκτα, πῶς ἦν μετὰ τῶν μαθητῶν ἀδημονῶν, πῶς παρεδόθη, πῶς ἐδέθη, πῶς ἀπήχθη, πῶς κατεδικάσθη, πῶς τὰ ἑξῆς ἔπαθεν ἅπαντα, κηροῦ γίνεται παντὸς ἁπαλώτερος, καὶ τῆς γῆς ἀπαλλάττεται, καὶ τῆς ἐνταῦθα φαντασίας ἁπάσης. διὰ τοῦτο πάντων ἐκείνων εἰς μνήμην ὑμᾶς ἄγει, ἐντρέπων καὶ λέγων, ὅτι ὁ μὲν δεσπότης σου καὶ ἑαυτὸν παρέδωκεν ὑπέρ σου· σὺ δὲ τῷ ἀδελφῷ οὐδὲ σιτίων μεταδίδως ὑπὲρ ἑαυτοῦ.*

ΘΕΟΔΏΡΟΥ. Τὸ "*παρέλαβον ἀπὸ τοῦ* Κυρίου" *λέγει, ἀντὶ τοῦ παρέλαβον, ὡς αὐτοῦ τοῦ* Κυρίου *οὕτω ποιεῖν παραδεδωκότος· οὐ γὰρ δὴ παρῆν τούτων παρ' ἑαυτοῦ τοῖς μαθηταῖς παραδιδομένων.*

ΟἸΚΟΥΜΕΝΊΟΥ. Ἢ *ὅτι ἐδιδάχθη ταῦτα ἀπὸ τοῦ* Κυρίου. *ἵνα ᾖ τὸ "παρέλαβον" ἐδιδάχθην.*

ΦΩΤΊΟΥ. Εἰ *ὁ* Κύριος, *φησὶ, κοινωνεῖν σε τοῦ οἰκείου σώματος*

καὶ αἵματος τὴν τραπέζαν καὶ τὸν κρατῆρα παρατίθησι, σὺ τολμᾷς τοῦτον τῆς σῆς ἀποικίζειν τραπέζης καὶ ὑπερορᾷν; εἰ ἐκεῖνος ηὐχαρίστει τὸ οἰκεῖον σῶμα μερίζων καὶ μεταδιδοὺς, σὺ οὐ πολλῷ μᾶλλον εὐχαρίστως καὶ μετὰ πλείστης χαρᾶς τῶν ἐκεῖθέν σοι δωρηθέντων κοινωνοὺς καὶ συνεστιάτορας λαμβάνεις τοὺς πένητας;

26 Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ
ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγ-
27 γέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ. ὥστε ὃς ἂν ἐσθίῃ τὸν
ἄρτον τοῦτον, ἢ πίνει τὸ ποτήριον τοῦ Κυρίου ἀνα-
ξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ
28 Κυρίου. δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν, καὶ οὕτως ἐκ
29 τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω· ὁ γὰρ
ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει,
μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου.

Θεοδωρίτου. Ὅτι μετὰ τὴν αὐτοῦ παρουσίαν, οὐκ ἔτι χρεία τῶν συμβόλων τοῦ σώματος αὐτοῦ. διὰ τοῦτο εἶπεν "ἄχρις οὗ ἂν "ἔλθῃ." τοῦτο μὲν οὖν ὁ θεῖος Ἀπόστολος ἀντὶ παραδείγματος τέθεικεν, διδάσκων τοῦ παρὰ Κορινθίοις τολμωμένου τὸ ἄτοπον. ἀρξάμενος δὲ τοῦ περὶ τῶν μυστηρίων λόγου καὶ περὶ τούτου τὰ προσήκοντα παραινεῖ. "ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον ἢ πίνει τὸ ποτήριον "τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος "τοῦ Κυρίου." ἐνταῦθα νύττει μὲν τοὺς τὴν φιλαρχίαν νενοσηκότας, νύττει δὲ τὸν πεπορνευκότα, καὶ μετὰ τούτων, τοὺς τῶν εἰδωλοθύτων ἀδιαφόρως μετειληφότας· πρὸς δὲ τούτοις καὶ ἡμᾶς μετὰ πονηροῦ συνειδότος τῶν θείων μυστηρίων ἀπολαύειν τολμῶντας. τὸ δὲ "ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος," τοῦτο δηλοῖ, ὅτι καθάπερ παρέδωκεν μὲν αὐτὸν ὁ Ἰούδας, παροίνησαν δὲ εἰς αὐτὸν Ἰουδαῖοι, οὕτως ἀτιμάζουσιν αὐτὸν οἱ τὸ πανάγιον αὐτοῦ σῶμα χερσὶν ἀκαθάρτοις δεχόμενοι, καὶ ἐναγῆ προσφέροντες στόματι· οὕτω φοβήσας παραινεῖ τὰ προσήκοντα.

Θεοδώρου. Ἕκαστος, φησὶν, ἐξεταζέτω τὴν οἰκείαν διάνοιαν, ἥντινα περὶ τῶν μυστηρίων κέκτηται τὴν ὑπόληψιν, καὶ τότε αὐτῶν μετεχέτω. τὸ γὰρ ἑαυτὸν, ἀντὶ τοῦ τὴν διάνοιαν ἑαυτοῦ

λέγει. καθόλου περὶ τῆς τῶν μυστηρίων ὑπολήψεως ἐν τούτοις λέγων.

Θεοδωρίτου. Σὺ σαυτοῦ γίνου κριτὴς καὶ τῶν βεβιωμένων ἀκριβὴς δικαστής. ἐρεύνα τὸ συνειδὸς, καὶ τότε δέχου τὸ δῶρον.

Ἰωάννου. Τί λέγεις, εἰπέ μοι; ἡ τοσούτων ἀγαθῶν αἰτία, καὶ ζωὴν βρύουσα τράπεζα, αὕτη κρίμα γίνεται; οὐ παρὰ τὴν αὐτῆς φύσιν, ἀλλὰ παρὰ τὴν τοῦ προσιόντος προαίρεσιν. ὥσπερ γὰρ ἡ παρουσία αὐτοῦ, ἡ τὰ ἀπόρρητα ἐκεῖνα καὶ μεγάλα κομίσασα ἀγαθὰ, τοὺς μὴ δεξαμένους αὐτὴν μᾶλλον κατέκρινεν, οὕτως καὶ τὰ μυστήρια μείζονος κολάσεως ἐφόδια γίνεται τοῖς ἀναξίως μετέχουσι. διατί δὲ κρίμα ἑαυτῷ ἐσθίει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου, φησί; τοῦτ' ἔστι μὴ ἐννοῶν ὡς χρὴ τὸ μέγεθος τῶν προκειμένων, μὴ λογιζόμενος τὸν ὄγκον τῆς δωρεᾶς. εἰ γὰρ μάθοις ἀκριβῶς τί ποτέ ἐστι τὸ προκειμένον, καὶ τίς ὢν τίνι ἑαυτὸν δίδωσιν, οὐδενὸς ἑτέρου δεήσῃ λόγου, ἀλλ' ἀρκεῖ σοι τοῦτο εἰς ἅπασαν μέμψιν, εἰ μὴ σφόδρα εἴης ἀναπεπτωκώς.

Φωτίου. Τὸ "ἄχρις οὗ ἂν ἔλθῃ," ἐν ὑπερβάτῳ ληπτέον. οἷον, ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, ἄχρις οὗ ἂν ἔλθῃ ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ, ἕως τότε τὸν θάνατον αὐτοῦ καταγγέλλετε. ἀπὸ τότε γὰρ οὔτε τῶν ἁγίων τούτων μυστηρίων μεταληψόμεθα, εἰς τελειοτέραν καὶ μυστικωτέραν πολιτείαν καὶ ἀπόλαυσιν ἀναγόμενοι.

Τοῦ αὐτοῦ. "Μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου," ἀλλ' ὡς ἀδιαφόρου τῶν λοιπῶν μετέχων αὐτοῦ καὶ προσερχόμενος αὐτῷ.

30 Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι,
31 καὶ κοιμῶνται ἱκανοί. εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν
32 ἐκρινόμεθα· κρινόμενοι δὲ, ὑπὸ τοῦ Κυρίου παιδευόμεθα,
33 ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. ὥστε, ἀδελφοί
μου, συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε·
34 εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω· ἵνα μὴ εἰς κρίμα συν-
έρχησθε. τὰ δὲ λοιπὰ, ὡς ἂν ἔλθω, διατάξομαι.

Θεοδωρίτου. Ταῦτα ὡς γεγενημένα τέθεικεν. οὐ γὰρ ἂν ἠνέσχετο τὰ μὴ γεγενημένα γράψαι, εἰδὼς τοῦ ψεύδους τὸ προφανές.

Ἰωάννου. "Διὰ τοῦτο," ποῖον; διὰ τὸ ἀναξίως προσιέναι. τί οὖν εἴποι τις; οἱ γηράσκοντες οὐχ ἁμαρτάνουσιν ἐπεὶ μὴ κοιμῶνται πρόωροι; ναί· ἀλλ' οὐχ αὕτη μόνη ἀνταπόδοσις τοῖς ἀναξίως προσιοῦσι, τὸ ἀποθνήσκειν πρὸ καιροῦ· ἀλλ' εἰσὶ καὶ ἐκεῖ χαλεπώταται τιμωρίαι.

Τοῦ αὐτοῦ. Οὐκ εἶπεν, εἰ ἑαυτοὺς ἐκολάζομεν, ἀλλὰ μόνον ἐκρίνομεν. τοῦτ' ἔστιν εἰ κατεγινώσκομεν ἑαυτῶν μόνον ἁμαρτανοντες, καὶ τῶν ὧδε καὶ τῶν ἐκεῖ ἀπηλλάγημεν ἂν τιμωριῶν. ὁ γὰρ ἑαυτοῦ καταγινώσκων ὡς δεῖ, οὐκ ἂν εἰς τὴν αὐτὴν πολλάκις ἁμαρτίαν ἐμπέσῃ. ἐπεὶ οὖν τὸ οὕτως κοῦφον οὐ ποιοῦμεν, τοῦτ' ἔστι τὸ καταγινώσκειν ἑαυτῶν, οὐδὲ οὕτως ἀφειδῶς ἡμῖν ὁ Θεὸς κέχρηται· ἀλλ' ὡδὲ παιδεύει, ἵνα ἐκεῖ ἐλεήσῃ. παιδευόμεθα δὲ εἶπεν, οἷον νουθετούμεθα· οὐ γὰρ εἶπεν τιμωρούμεθα, ἀλλὰ παιδευόμεθα. ὡς νουθεσίας καὶ διορθώσεως γινομένης, εἰς τὸν πρότερον ἦλθε λόγον. ὅρα δὲ οὐκ εἶπεν τοῖς πένησι μεταδίδοτε, ἀλλὰ τὸ σεμνότερον "ἀλλήλους ἐκδέχεσθε." ὡς κοινῶν ὄντων τῶν ἐκεῖσε εἰσφερομένων ἐδεσμάτων, ὡς ὅγε τοῦτο, φησὶ, μὴ ποιῶν, ἀνάξιός ἐστι τῆς μυστικῆς μεταλήψεως.

Τοῦ αὐτοῦ. Γαστριμαργίας αὐτῶν καταγινώσκει, καὶ ὡς παιδίοις δυσανασχέτοις κέχρηται, ἀπὸ τῆς ἐκκλησίας εἰς τοὺς ἰδίους οἴκους παραπέμπων· ἵνα μὴ, φησὶν, εἰς κόλασιν συνέρχησθε ἑαυτῶν, τὴν ἐκκλησίαν ὑβρίζοντες καὶ τοὺς πένητας περιορῶντες· διὰ γὰρ ἀγάπην συνέρχεσθε εἰς τὰ δεῖπνα. ταύτης δὲ, φησὶν, μὴ οὔσης, βέλτιον ὑμᾶς οἴκοι σιτίζεσθαι. τοῦτο δὲ φησὶν ἐφελκόμενος αὐτούς. ἢ περὶ τοῦ αὐτοῦ πράγματος τοῦτο φησίν· οἷον τὸ κυριακὸν δεῖπνον, καὶ ἐν ἄλλοις κεφαλαίοις διορθώσεως δεομένου· οὐ πραγμάτων ἀλλὰ τῆς αὐτοῦ παρουσίας.

Θεοδώρου. Τίνες οὐ προσεσχηκότες τῇ διανοίᾳ τῶν κειμένων, νομίζουσι τοῦ Ἀποστόλου πληροῦν τὸν σκοπὸν, εἰ σπανιώτατά που τῶν μυστηρίων μετέχοιεν. δέον αὐτοὺς συνιδεῖν, ὅτι εἴπερ πάντη καθαρεύοντας ἁμαρτίας βούλεται κοινωνεῖν· πρῶτον μὲν ἁμαρτίας ἀδύνατον πάντη καθαρεύειν ἄνθρωπον ὄντα. δεύτερον δὲ, εἰ καὶ τοῦτο ἦν δυνατὸν, ἀλλ' οὐχ ἡμᾶς γε τοῦτο περὶ ἑαυτῶν ὑπειληφότας κοινωνεῖν δίκαιον ἦν. καὶ ποῦ στήσεται τὸ "ὁσάκις ἐὰν "ἐσθίητε;" συνέχειαν γὰρ δείκνυσι τῆς κοινωνίας τὸ εἰρημένον·

ᾧ δὴ σύνδρομος καὶ ὁ ἐπὶ τῆς ἐκκλησίας θεσμὸς, πάντοτε ἐπιτελεῖσθαι βουλόμενος τὰ μυστήρια· τῶν οὖν μυστηρίων, τὸν μὲν τὰ μέγιστα καὶ ἄγαν ἀπηγορευμένα διαπραττομένον, ἀπέχεσθαι ὅσιον· περὶ ὧν καὶ ὁ Ἀπόστολος ἀπεφήνατο σαφῶς, οὐκ ἐνεῖναι τῆς βασιλείας τυχεῖν τὸν διαπραττόμενον· τῷ γὰρ τοιούτῳ τότε καλὸν μετέχει αὐτῶν, ἐπειδὰν τῶν ἁμαρτημάτων δέει[a] τῶν νενομοθετημένων ἀπόσχηται πρότερον. τῶν δέ γε λοιπῶν ὅσα συμβαίνειν ἀνθρώποις ἀνάγκη, πολλὰ μὲν καὶ ὑπὸ τῶν καθημερινῶν συμπτωμάτων, πλεῖστα δὲ καὶ ὑπὸ τῆς ἀσθενείας τῆς φύσεως, σπουδάζειν μὲν ὅση δύναμις ἀπέχεσθαι προσῆκεν. ἐπιμέλεια γὰρ ἀρετῆς καὶ ἡ καθημερινὴ τοῦ βίου μελέτη ἐλαττοῦν τὰ[b] τοιαῦτα δύναται πάντως. περιπίπτοντα δὲ τοῖς τοιούτοις οὐκ ἀποστερεῖν τῶν μυστηρίων καλὸν ἑαυτοὺς, προσιέναι δὲ πλείονι τῷ φόβῳ, λογιζομένους μὲν αὐτῶν τὸ μέγεθος, ποιουμένους δὲ ἐπ' ἐλπίσιν ἀγαθαῖς τὴν μετάληψιν· ὡς ἂν καὶ ἀφέσεως ἡμῖν ἐκεῖθεν προσγινομένης, ὅτ' ἂν ἀπεχώμεθά γε τῶν κατὰ δύναμιν καὶ τῶν λοιπῶν μὴ καταμελοῦντες φαινοίμεθα. καὶ μὴν καὶ πνευματικῆς συνεργείας πρὸς εὐμαρεστέραν τοῦ βίου κατόρθωσιν· πάντα γὰρ ὅσα διὰ τοῦ θανάτου προσγέγονεν ἐν ὑμῖν τοῦ Χριστοῦ, ταῦτα καὶ ἀπὸ τῶν συμβόλων ἐπιτελεῖσθαι τοῦ θανάτου δίκαιον. ὥστε ἐγὼ θαρρῶν εἴποιμι ἂν, ὅτι κἂν τὰ μέγιστά τις ἡμαρτηκὼς τυγχάνει· δοκιμάσας δὲ πάσης ἀτόπου πράξεως ἀπέχεσθαι τοῦ λοιποῦ, καὶ βλέπειν εἰς ἀρετὴν ἀκολούθως τοῖς νόμοις πολιτευόμενος τοῦ Χριστοῦ, τὴν τῶν μυστηρίων ποιήσαιτο[c] πάνυ πεπιστευκὼς ἁπάντων λήψεσθαι τὴν συγχώρησιν, οὐδαμῶς ἀποτεύξεται τῶν πεπιστευμένων.

Τοῦ αὐτοῦ. Οὐ γὰρ περὶ πάντων γράφειν οἷόν τε ἦν· ἀλλὰ περὶ τῶν ἀναγκαιοτέρων γράψας, τὰ λοιπὰ τῇ παρουσίᾳ τετήρηκεν.

Φωτίου. Ἐπειδὴ ἀναξίως φησὶ τῇ μεταλήψει τοῦ δεσποτικοῦ προσέρχεσθε σώματος· διὰ τοῦτο πολλοῖς συμβαίνει ὅσοι τε καὶ πάθη καὶ θάνατοι. πόθεν δέ ἐστι τὸ ἀναξίως προσέρχεσθαι; ἔκ τε τῶν ἄλλων ἁμαρτημάτων ὧν πράττετε, καὶ ἐκ τοῦ συνερχομένους ὑμᾶς εἰς τὸ κυριακὸν δεῖπνον ὑπερορᾷν τοὺς πτωχοὺς, δι' οὓς ἐγεγόνει τὸ συνέρχεσθαι. διὰ γὰρ τοῦτο αὐτό τε τὸ κυριακὸν

[a] δέ εἰ Cod. [b] ἐλαττοῦντα Cod. [c] Verbum aliquod excidit.

ἰδιωτικὸν ποιοῦντες ἐξυβρίζετε, καὶ τὴν ἐκκλησίαν ἐν ᾗ ποιῆσαι τὸ κυριακὸν δεῖπνον συνέρχεσθε, ἀτιμάζετε· γαστριμαργίας ἑαυτοῖς τραπέζαν ἐν αὐτῇ, ἀλλ' οὐ κυριακὸν δεῖπνον, παρατιθέμενοι· καὶ τοὺς πένητας δὲ καταισχύνετε· διὰ γοῦν ταῦτα, ἀναξίους ἑαυτοὺς τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου παρασκευάζετε.

Τοῦ αὐτοῦ. Ὥστε ἀδελφοί μου ἀλλήλους ἐκδέχεσθε. διὰ τί; ἵνα μὴ ἀναξίως δειχθῆτε τοῦ δεσποτικοῦ σώματος καὶ τοῦ αἵματος μετέχοντες. ἵνα μὴ ἀναξίως μετέχοντες, ἔνοχοι τοῦ σώματος αὐτοῦ τῆς ἀναιρέσεως καὶ τοῦ αἵματος τῆς ἐκχύσεως γενόμενοι, ἀπαραίτητον τὸ κρίμα ἕξοιτε· ἵνα μὴ κρίματι τηλικούτῳ περιπεπτωκότες, νόσοις καὶ πάθεσι καὶ θανάτῳ ἐκδαπανηθήσεσθε· ἵνα μὴ ἂν μὴ τούτοις ἀποδῶτε τὴν ἔκτισιν, εἰς ἀπέραντον κόλασιν σὺν τοῖς ἀπίστοις ἐκδοθείητε.

ΚΕΦ. Η.

Περὶ διαφορᾶς χαρισμάτων καὶ οἰκονομίας αὐτῶν.

1 Περὶ δὲ τῶν πνευματικῶν, ἀδελφοὶ, οὐ θέλω ὑμᾶς
2 ἀγνοεῖν. οἴδατε ὅτι ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα,
3 ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι· διὸ γνωρίζω ὑμῖν, ὅτι οὐδεὶς
ἐν Πνεύματι Θεοῦ λαλῶν λέγει, Ἀνάθεμα Ἰησοῦν· καὶ
οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι
4 Ἁγίῳ. διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ Πνεῦ-
5 μα· καὶ διαιρέσεις διακονιῶν εἰσι, καὶ ὁ αὐτὸς Κύριος·
6 καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτός ἐστι Θεὸς,
ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν.

Ἰωάννου. Τοῦτο ἅπαν τὸ χωρίον, σφόδρα ἐστιν ἀσαφές. τὴν δὲ ἀσάφειαν ἡ τῶν πραγμάτων ἄγνοιά τε καὶ ἔλλειψις ποιεῖ, τῶν τότε μὲν συμβαινόντων, νῦν δὲ οὐ γινομένων· δι' ἃς εὐκαίρως αἰτίας ἀφηγήσομαι. τί οὖν τότε συνέβαινεν; εἴ τις ἐβαπτίσθη, γλώσσαις εὐθέως ἐλάλει· πολλοὶ δὲ καὶ προεφήτευον. τινὲς δὲ καὶ ἑτέρας πλείους δυνάμεις ἐπεδείκνυντο. ἐπειδὴ γὰρ ἀπὸ τῶν εἰδώλων προσήεσαν, οὐδὲν εἰδότες σαφῶς, οὐ δὲ ταῖς παλαιαῖς ἐντραφέντες βίβλοις, βαπτισθέντες εὐθέως πνεῦμα ἐλάμβανον. καὶ αἰσθητόν τινα ἔλεγχον ἐδίδου τῆς ἐνεργείας ἐκείνου ἡ χάρις.

καὶ τοῦτο ἐφανέρου τοῖς ἔξωθεν ὅτι πνεῦμά ἐστιν ἐν αὐτῷ τῷ φθεγγομένῳ, γλώττῃ ἣν μὴ μεμάθηκεν. διὸ καὶ οὕτως αὐτὸ καλεῖ λέγων, "ἑκάστῳ δὲ ἡ φανέρωσις δίδοται τοῦ πνεύματος πρὸς τὸ "συμφέρον." τὰ χαρίσματα, φανέρωσιν τοῦ πνεύματος ὀνομάζων· καὶ τοῦτο αἴτιον σχίσματος αὐτοῖς ἐγίνετο, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀγνωμοσύνην τῶν εἰληφότων. οἵτε γὰρ τὰ μείζονα ἔχοντες, ἐπειρῶντο κατὰ τῶν τὰ ἐλάττονα κεκτημένων. οὗτοι δ' αὖ πάλιν ἤλγουν, καὶ τοῖς τὰ μείζονα ἔχουσιν ἐφθόνουν. ἐπεὶ οὖν ἐντεῦθεν καιρίαν ἐλάμβανον πληγὴν, διαλυομένης αὐτοῖς τῆς ἀγάπης, πολλὴν σπουδὴν ποιεῖται ὥστε αὐτὸ διορθῶσαι· καὶ οὐδὲ τοῦτο μόνον αὐτοὺς ἐθορύβει, ἀλλὰ καὶ μάντεις ἦσαν αὐτόθι πολλοὶ, ἅτε Ἑλληνικώτερον τῆς πόλεως διακειμένης. διὸ καὶ ἀρχόμενος πρῶτον τὸ μέσον μαντείας καὶ προφητείας τίθησιν.

Διὰ τοῦτο καὶ διακρίσεις ἔλαβον πνευμάτων, ὥστε διακρίνειν καὶ εἰδέναι τις μὲν ὁ πνεύματι φθεγγόμενος καθαρῷ, τίς δὲ ὁ ἀκαθάρτῳ· ἐπειδὴ γὰρ αὐτόθεν οὐκ ἦν παρασχεῖν τῶν λεγομένων τὴν ἀπόδειξιν, προφητεία γὰρ οὐκ ἐν τῷ καιρῷ ᾧ λέγεται, ἀλλ' ἐν τῷ καιρῷ τῆς ἐκβάσεως, παρέχεται τῆς οἰκείας ἀληθείας τὸν ἔλεγχον. καὶ οὐκ ἦν εὔκολον διαγνῶναι, τίς μὲν ὁ προφητεύων, τίς δὲ ὁ ψευδόμενος, δίδωσιν αὐτοῖς σημεῖον· ὃ καὶ πρὸ τῆς ἐκβάσεως διεδείκνυ τοῦτον, κἀκεῖνον· καὶ ἐντεῦθεν λαβὼν ἀκολουθίαν καὶ ἀρχὴν, οὕτως καὶ εἰς τὸν περὶ τῶν χαρισμάτων ἐκβαίνει λόγον, καὶ τὴν φιλονεικίαν διορθοῦται τὴν καὶ ἐντεῦθεν ἐγγιγνομένην. τέως μέντοι τοῦ περὶ τῶν μάντεων ἄρχεται λόγου, οὕτω λέγων, "περὶ "δὲ τῶν πνευματικῶν οὐ θέλω ὑμᾶς ἀγνοεῖν," πνευματικὰ τὰ σημεῖα καλῶν, ὅτι μάλιστα ταῦτα ἔργα τοῦ Πνεύματος μόνου, οὐδὲν ἀνθρωπίνης ἐπιφερούσης σπουδῆς, εἰς τὸ τὰ τοιαῦτα θαυματουργεῖν. καὶ μέλλων περὶ αὐτῶν διαλέγεσθαι, πρότερον, ὅπερ ἔφην, τὴν διαφορὰν τῆς μαντείας καὶ τῆς προφητείας τίθησιν οὕτω λέγων, "οἴδατε ὅτι ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα "ὡς ἂν ἤγεσθε ἀπαγόμενοι," ἐν τοῖς εἰδώλοις, φησὶν, εἴποτε κατεσχέθη τις ὑπὸ πνεύματος ἀκαθάρτου καὶ ἐμαντεύετο· ὥσπερ ἀπαγόμενος, οὕτως ἕλκετο ὑπὸ τοῦ πνεύματος δεδεμένος, οὐδὲν εἰδὼς ὧν λέγει. τοῦτο γὰρ μάντεως ἴδιον· τὸ ἐξεστηκέναι· τὸ

ἀνάγκην ὑπομένειν· τὸ ὠθεῖσθαι· τὸ ἕλκεσθαι ὥσπερ μαινόμενον· ὁ δὲ προφήτης οὐχ οὕτως, ἀλλὰ μετὰ διανοίας νηφούσης καὶ σωφροσύνης καὶ καταστάσεως, καὶ εἰδὼς ἃ φθέγγεται ἅπαντα, ἅπερ φησίν· ὥστε καὶ πρὸ τῆς ἐκβάσεως κἀντεῦθεν γνώριζε τὸν μάντιν καὶ τὸν προφήτην, καὶ σκόπει πῶς ἀνύποπτον ποιεῖ τὸν λόγον. αὐτοὺς μάρτυρας καλεῖ τοὺς ἐν τῇ πείρᾳ τοῦ πράγματος γενομένους.

Τί δέ ἐστι "πρὸς τὰ εἴδωλα τὰ ἄφωνα;" οὗτοι οἱ μάντεις πρὸς ἐκεῖνα ἤγοντο ἑλκόμενοι· εἰ δὲ αὐτὰ ἄφωνα, πῶς ἑτέροις ἔχρα; τίνος ἕνεκεν τοῖς ξοάνοις αὐτοὺς. προσῆγεν ὁ δαίμων; ὡς αἰχμαλώτους καὶ δεσμίους. ὁμοῦ δὲ καὶ τὴν πλάνην πιθανὴν ἐργαζόμενος· ἵνα γὰρ μὴ δόξῃ ὁ λίθος ἄφωνος εἶναι, ἐσπούδαζεν τοῖς εἰδώλοις προσηλοῦν τοὺς ἀνθρώπους, ἵνα τὰ αὐτῶν ἐκείνοις ἐπιγράφηται. ἀλλ' οὐ τὰ τῶν προφητῶν τῶν ἡμετέρων τοιαῦτα, ἀλλὰ μετὰ συνέσεως καὶ ἐλευθερίας ἁπάσης. διάτοι τοῦτο καὶ τοῦ εἰπεῖν καὶ τοῦ μὴ εἰπεῖν ἦσαν κύριοι· οὐ γὰρ ἀνάγκῃ κατείχοντο, ἀλλ' ἐξουσίᾳ ἦσαν τετιμημένοι. διὰ τοῦτο καὶ Ἰωνᾶς ἔφυγε, καὶ Ἰεζεκιὴλ ἀνεβάλλετο, καὶ Ἱερεμίας παρῃτεῖτο· ὁ δὲ Θεὸς οὐ μετὰ ἀνάγκης αὐτοὺς ὤθει, ἀλλὰ συμβουλεύων, παραινῶν, ἀπειλῶν· οὐ σκοτῶν τὴν διάνοιαν. καὶ αὕτη μὲν πρώτη διαφορὰ μάντεως καὶ προφήτου.

Δευτέρα δὲ ἑτέρα ἣν ἐφεξῆς τίθησι λέγων, "διὸ γνωρίζω ὑμῖν "ὅτι οὐδεὶς Πνεύματι Θεοῦ λαλῶν, λέγει ἀνάθεμα Ἰησοῦν." εἶτα καὶ ἑτέραν· "καὶ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν "Πνεύματι Ἁγίῳ." ὅτ' ἂν οὖν ἴδῃς τινὰ μηδὲ φθεγγόμενος αὐτοῦ τὸ ὄνομα καὶ ἀναθεματίζοντα, νόησον ὅτι μάντις ἐστιν· πάλιν ὅτ' ἂν ἴδῃς ἕτερον μετὰ τοῦ ὀνόματος αὐτοῦ πάντα φθεγγόμενον, νόησον ὅτι πνευματικός ἐστιν. τί οὖν; οὐδεὶς δαίμων ὀνομάζει τὸν Ἰησοῦν; οὐχὶ οἱ δαίμονες ἔλεγον "οἴδαμέν σε τίς εἶ, ὁ Υἱὸς τοῦ Θεοῦ;" οὐχὶ Παύλῳ ἔλεγεν "οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ ὑψίστου εἰσιν;" ἀλλ' ἀναγκαζόμενοι· ἑκόντες δὲ καὶ μὴ μαστιγούμενοι, οὐδαμοῦ.

ΘΕΟΔΩΡΟΥ. Ἀντὶ τοῦ θέλω ὑμᾶς καὶ τῶν πνευματικῶν χαρισμάτων εἰδέναι τὴν τάξιν· ὥστε βούλομαί τι καὶ περὶ τούτων εἰπεῖν.

ΘΕΟΔΩΡΊΤΟΥ. Ἀσαφῶς εἴρηται διὰ πολλὴν συντομίαν. βούλεται δὲ καὶ τῆς Ἑλληνικῆς μυθολογίας τὴν διαφωνίαν ἐλέγξαι, καὶ τῆς εὐσεβείας τὴν ἀλήθειαν δεῖξαι. οἱ γὰρ δαίμονες τὴν Θεοῦ προσηγορίαν ἁρπάσαντες, καὶ ἑαυτοῖς αὐτὴν ἐπιθέντες, πολλὴν πλάνην ἐν τοῖς ἀνθρώποις εἰργάσαντο. τῆς γὰρ εὐθείας οὗτοι παρατραπέντες ὁδοῦ, καὶ τὸν ὄντως καταλίποντες Θεὸν, πολλοῖς τὸ σέβας τὸ θεῖον προσήνεγκαν· οὐ πάντα γὰρ ἰσχύειν ἐνόμιζον ἕκαστον, ἀλλὰ τὸν μὲν σοφίας, τὸν δὲ πολεμικῆς ἐμπειρίας, τὸν δὲ ναυτικῆς ἐπιστήμης χορηγὸν ὑπελάμβανον. τοῦτο τοίνυν ὁ θεῖος Ἀπόστολος διὰ τῶν εἰρημένων δεδήλωκεν, ὅτι πρὶν δέξησθε τῆς ἀληθείας[a] τὸ φῶς, ἔτι τῷ ψεύδει δουλεύοντες, δίκην ἀλόγων, τῇδε κἀκεῖσε περιήγεσθε, τῇ τῶν ἀναισθήτων εἰδώλων ἀπάτῃ δεδουλόμενοι.

ΘΕΟΔΩΡΊΤΟΥ ΚΑῚ ΘΕΟΔΏΡΟΥ. Πλείστη συμφωνία τε καὶ ὁμόνοια. οὐ γὰρ ἄλλα μὲν ὁ μονογενὴς Υἱὸς διδάσκει, ἀλλὰ δὲ τὸ Παναγιον Πνεῦμα· ἀλλ᾽ ὥσπερ ἐν τοῖς θείοις Εὐαγγελίοις τοῦ Παναγίου Πνεύματος τὴν ἀξίαν ἐδίδαξεν ὁ δεσπότης Χριστὸς, οὕτως αὐτοῦ τὴν δεσποτείαν τὸ θεῖον ἐκήρυξε Πνεῦμα· καὶ οὐχ οἷόν τε τὸν ὑπὸ τοῦ θείου Πνεύματος ἐνεργούμενον, ἀλλότριον τῆς θείας φύσεως τὸν Χριστὸν ἀποφῆναι· οὐδ᾽ αὖ πάλιν αὐτὸν δυνατὸν εἰλικρινῶς ὁμολογῆσαι Θεὸν, μὴ ὑπ᾽ ἐκείνης τῆς χάριτος φωτιζόμενον.

ὨΡΙΓΈΝΟΥΣ. Πολλαὶ διαφοραί εἰσι τῶν πνευμάτων· ἅστινας οὐδεὶς εἴσεται ἀκριβῶς, ἂν μὴ ἔχῃ τὸ χάρισμα τῆς διακρίσεως τοῦ πνεύματος. καὶ ἵνα μὴ προπεπτέστερον ἢ ἀποδοκιμάζομεν τὰ πνεύματα τὰ ἐν τοῖς λέγουσιν, ἢ δοκιμάζομεν, φησὶν ὁ Ἰωάννης ἐν τῇ Ἐπιστολῇ, "Ἀγαπητοὶ, μὴ πάντι πνεύματι πιστεύητε· "ἀλλὰ δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ ἐστιν. πᾶν "πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ "Θεοῦ ἐστιν· καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν, οὐκ "ἔστιν ἐκ τοῦ Θεοῦ." καὶ διδάσκει ἡμᾶς ἐὰν ἀκούσωμέν ποτε λεγόντων, μὴ δὲ ὡς ἔτυχεν συγκατατίθεσθαι, μή τε προπετῶς ἀρνεῖσθαι τὰ λεγόμενα, ὡς οὐκ ἀπὸ θείου ὄντα πνεύματος· ἀλλ᾽

[a] In marg. τοῦτο καὶ ὩΡΙΓΕΝΟΥΣ.

ἵνα ἕκαστος τῶν ἀκουόντων εἰδὼς κινδυνεύειν ἐν αὐτῷ τῷ δοκιμάζειν ἢ ἀποδοκιμάζειν, ἐπιμελῶς προσέχῃ· μήτε τῷ ψεύδει πιστεῦσαι, μήτε τῇ ἀληθείᾳ ἀπιστεῦσαι.

Περὶ τούτου καὶ ἑξῆς ἐπιφέρει τούτοις ὁ Ἀπόστολος· "εἴ τίς "ἐν ὑμῖν προφήτης ἢ πνευματικὸς, ἐπιγινωσκέτω ἃ γράφω, ὅτι "Θεοῦ ἐστιν· εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω." οὐ μόνον οὐκ εἴ τις ἀγνοεῖ τὰ τοῦ Ἀποστόλου, οὗτος ἀγνοεῖται ὑπὸ τοῦ Θεοῦ, ἀλλ' εἴ τις ἀγνοεῖ λέγων Πνεύματι θείῳ λέγοι ὅτι μὴ Πνεύματι θείῳ λέγει, ἀγνοεῖται ὑπὸ τοῦ Θεοῦ· ἔοικε δὲ διὰ τούτων διδάσκειν ὁ Ἀπόστολος ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς οὐκ ἔχει ἕτερον πνεῦμα ἐν αὐτῷ παρὰ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ. εἴτε γὰρ ἀλλότριός ἐστι τῆς πίστεως, εἴτε οἰκεῖός ἐστι αὐτῆς, ἔχει πνεῦμα οἰκεῖον παρὰ τοῦ Θεοῦ. πῶς δὲ χρήσομεν οἱ ἀκούοντες τοῦ λόγου τοῦ θείου μανθάνειν "ὅτι οὐδεὶς ἐν Πνεύματι Θεοῦ λαλῶν, λέγει ἀνά- "θεμα Ἰησοῦν;" ἴδωμεν τίνες δύνανται εἶναι ἀμφίβολοι τοῖς μὴ ἀκριβῶς εἰδόσι τὰ πράγματα. πότερον Πνεύματι Θεοῦ λαλοῦσιν, ἢ μὴ, ἀναθεματίζοντες τὸν Ἰησοῦν· εἴποτέ τινα Ἰουδαῖον θεάσῃ διηγούμενον τὰς θείας γραφὰς, καὶ οὐκ εὐκαταφρονήτως τοῖς πολλοῖς προφητικὰ ῥήματα, τάχα ἀμφέβαλεν, μή ποτε Πνεῦμα Θεοῦ ἐστι καὶ ἐν ἐκείνῳ· ἵνα οὖν μὴ περισπασθῇς ὑπὲρ τοῦ τοιούτου, πότερον Πνεῦμα Ἅγιόν ἐστιν ἐν αὐτῷ ἢ μὴ, διδάσκει ὅτι ἐπεὶ ἀνάθεμα λέγει τὸν Ἰησοῦν πᾶς Ἰουδαῖος, οὐδεὶς δὲ ἐν Πνεύματι Θεοῦ λαλῶν, λέγει ἀνάθεμα Ἰησοῦν, οὐκ ἔχει Πνεῦμα Θεοῦ ὁ λέγων τὸν νόμον καὶ τοὺς προφήτας εἰδέναι, ἀναθεματίζων δὲ τὸν Ἰησοῦν. ἔστι τις αἵρεσις ἥτις οὐ προσιέται τὸν προσίοντα, εἰ μὴ ἀναθεματίσῃ τὸν Ἰησοῦν· καὶ ἡ αἵρεσις ἐκείνη ἀξία ἐστὶ τοῦ ὀνόματος οὗ ἠγάπησεν· ἔστι γὰρ ἡ αἵρεσις τῶν καλουμένων Ὀφιανῶν· οἵτινες οὐ θεμιτὰ λέγουσιν εἰς ἐγκώμιον τοῦ ὄφεως, ὃς ἐπικατάρατός ἐστιν ἀπὸ τοῦ Θεοῦ.

Κυρίλλου. Ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἐπηγγέλλετο μὲν ἀπελθὼν πέμψειν ἡμῖν τὸν παράκλητον· προσετίθει δὲ τούτοις τὸ "ἐκεῖνος ἐμὲ δοξάσει." συνίεμεν δὲ ἡμεῖς καὶ μάλα ὀρθῶς, ὅτι δοξάζει Χριστὸν τὸ πνεῦμα αὐτοῦ, καὶ σοφοὺς ἀποτελοῦν τοὺς ἐν οἷς ἂν γένοιτο, καὶ αὐτὸν τοῖς ἁγίοις ἐνοικίζον δι' ἑαυτοῦ. ἔστι γὰρ ἐν ἡμῖν διὰ τοῦ Ἁγίου Πνεύματος. δοξάζει δὲ καὶ ἑτέρως·

ἐνεργεῖ γὰρ τὰ εἰς δόξαν αὐτοῦ διὰ χειρὸς ἁγίων· εἰ δὲ δοξάζει τὸν Υἱὸν τὸ Πνεῦμα αὐτοῦ· πῶς ἂν εἰς αὐτὸν δυσφημήσειεν τις λαλῶν ἐν πνεύματι; ἐρεῖς γὰρ μᾶλλον ὅτι Κύριος Ἰησοῦς· οὐκοῦν οἱ τῇ κτίσει συντάττοντες τὸν διὰ τοῦ τὰ πάντα πάρηκται πρὸς γένεσιν, ἀμέτοχοι παντελῶς εἶεν ἂν τοῦ Ἁγίου Πνεύματος. οἱ δὲ ὅτι Θεὸς καὶ Κύριος ὁμολογοῦντες εὐσεβῶς, ἐξ αὐτοῦ μαρτυρηθήσονται τοῦ πράγματος, ὅτι τῆς ἐπ' αὐτοὺς θεοπτίας τὴν γνῶσιν μεμυσταγώγηνται διὰ Πνεύματος. "τὸ γὰρ Πνεῦμα "πάντα ἐρευνᾷ καὶ βάθη τοῦ Θεοῦ." εἰδὼς δὲ τὸ Πνεῦμα τὰ ἐν Θεῷ κεκρυμμένα, ταῖς τῶν ἁγίων αὐτὰ διαπορθμεύει ψυχαῖς, καὶ ἀπλανῆ καὶ ἀμώμητον αὐταῖς ἐνίησι γνῶσιν. καὶ τούτου μαρτὺρ αὐτὸς ὁ θεσπέσιος Παῦλος προστίθησι καὶ λέγων, "διαιρέσεις "δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακο-"νιῶν εἰσιν· καὶ ὁ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων "εἰσίν· ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν." ὥσπερ γὰρ οἱ τῶν ἐπὶ γῆς κρατοῦντες πραγμάτων καὶ τοῖς τῆς βασιλείας ἐμπρέποντες θρόνοις, διαφόροις τιμαῖς τοὺς τῶν ἰδίων ὑπασπιστῶν στεφανοῦσι γνησιωτέρους, οὕτως ἡ ἁγία τε καὶ ὁμοούσιος Τριὰς τοῖς ἐξ ὑγιοῦς καρδίας καὶ φρενὸς ὁλοτελοῦς ἀγαπῶσιν αὐτὴν, ἀμφιλαφῆ διανέμει τῶν ἄνωθεν ἀγαθῶν τὴν κτίσιν δι' ἑνὸς τοῦ Πνεύματος, ὡς διὰ Χριστοῦ παρὰ τοῦ Πατέρος· πάντα γὰρ παρὰ τοῦ Πατέρος δι' Υἱοῦ ἐν Πνεύματι.

Φωτίου. "Οὐδεὶς," φησὶν, "ἐν Πνεύματι Θεοῦ λαλῶν, λέγει "ἀνάθεμα Ἰησοῦν." μία μὲν διαφορὰ προφητῶν καὶ ψευδοπροφητῶν· ὅτι οἱ μὲν καθεστηκότες καὶ μάλιστα σωφρονοῦντες προλέγουσι τὰ ἐσόμενα· οἱ δὲ προφῆται ἐξεστηκότες καὶ μαινόμενοι, καὶ ὥσπερ βίᾳ ὑπὸ τῶν κινούντων δαιμόνων ἀγόμενοι. δευτέρα δὲ, ὅτι οἱ μὲν οὐδὲν βλάσφημον, οὐδὲ ἀπαίσιον φθέγγονται, ἀλλὰ καὶ θεολογοῦσιν ὡς ἄριστα, καὶ πάντα σεμνῶς λέγουσιν. οἱ δὲ βλασφήμους τε καὶ ἀπηχεῖς φωνὰς ἀπερεύγονται.

Τοῦ αὐτοῦ. "Διαιρέσεις δὲ χαρισμάτων εἰσὶ τὸ δὲ αὐτὸ "Πνεῦμα." χαρίσματα μὲν αὐτὰ καλεῖ, τὴν φιλοτιμίαν δεικνὺς τοῦ δωρησαμένου. διακονίας δὲ διδάσκων μὴ ἐπαίρεσθαι τούτοις τοὺς ἀξιωθέντας, ἀλλὰ μετὰ συστολῆς καὶ μετριοφροσύνης ὡς εἰς ὑπηρεσίαν καὶ διακονίαν τῶν πλησίον κληθέντων, οὕτως ἐντυγ-

χάνειν τοῖς προσιοῦσιν· ἐνεργήματα δὲ πάλιν, αὐτὴν δηλῶν τὴν πρᾶξιν.

Εἰς τὸ αὐτό. Ὅρα ἀκριβῶς πῶς τὸ πανάγιον Πνεῦμα τρανῶς καὶ Κύριον καὶ Θεὸν ἀνεκήρυξεν. εἰπὼν γὰρ "διαιρέσεις δὲ "χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ Πνεῦμα." καὶ πάλιν ἐπὶ τοῦ πράγματος ἐπαγαγὼν, "καὶ διαιρέσεις διακονιῶν εἰσὶν, ὁ δὲ αὐτὸς "Κύριος." εἶτα ἔτι ἐπὶ τοῦ αὐτοῦ μείνας νοήματος, καὶ εἰπὼν "καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτός ἐστι Θεὸς," ἐπισυνάπτει λέγων "ἑκάστῳ δὲ ἡ φανέρωσις τοῦ Πνεύματος δίδοται "πρὸς τὸ συμφέρον," δεικνὺς ὅτι καὶ τὸ Θεὸς καὶ τὸ Κύριος, ἐπὶ τοῦ Ἁγίου ἔταξεν Πνεύματος. πάντα γὰρ ὅσα προεῖπεν, εἰς τὴν τοῦ Πνεύματος συνῆξεν ὑπόστασιν· οὐ μόνον διὰ τοῦ εἰπεῖν "ἑκάστῳ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος," ἀλλὰ καὶ διὰ τῆς ἐφεξῆς τῶν χαρισμάτων ἀπαριθμήσεως. πάντα γὰρ διὰ τοῦ Πνεύματος δίδοσθαι διατείνεται· καὶ συγκεφαλαιούμενος πάλιν λέγει, "πάντα δὲ ταῦτα τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα ἐνεργεῖ." ὥστε φανερὸν ὅτι τὸ Πανάγιον Πνεῦμα καὶ Κύριον καὶ Θεὸν λαμπρῶς καὶ διαρρήδην ἐνταῦθα ὁ θεῖος Παῦλος θεολογεῖ. εἰ δέ τις τὸ μὲν Πνεῦμα ἐπὶ τοῦ Ἁγίου Πνεύματος ἐκλάβοι, τὸ δὲ Κύριος καὶ Θεὸς, τὸ μὲν ἐπὶ τοῦ Υἱοῦ, τὸ δὲ ἐπὶ τοῦ Πατέρος· καὶ οὕτως οὐδὲν ἧττον ἥτε κυριότης καὶ ἡ θεότης ἐξ οὗ τούτων μαρτυρηθήσεται τῷ Ἁγίῳ Πνεύματι. πῶς καὶ τίνα τρόπον; ἃ μὲν ὅτι διαιρεῖν τὰ χαρίσματα εἰπὼν τὸ Πανάγιον Πνεῦμα, τὸ αὐτὸ τοῦτο πράττειν καὶ τὸν Κύριον καὶ τὸν Θεὸν φησίν· ὥστε ἅπερ ἐνεργεῖ τὸ Πνεῦμα, ταῦτα καὶ ὁ Κύριος τῇ κυριότητι, καὶ ὁ Θεὸς τῇ θεότητι ἐνεργεῖ. εἰκότως ἄρα ταῦτα ἐνεργοῦντι τῷ Πνεύματι, καὶ ἡ κυριότης ὑπάρξει τοῦ Υἱοῦ, καὶ ἡ θεότης τοῦ Πατέρος. ὥστε τὸ Πνεῦμα καὶ Κύριος καὶ Θεός. καί μοι δοκεῖ καὶ ὁ θεσπέσιος Παῦλος διὰ τοῦτο ἐπὶ μὲν τοῦ Πνεύματος, τῷ ὑποστατικῷ ὀνόματι χρήσασθαι, ἐπὶ δὲ τοῦ Υἱοῦ καὶ τοῦ Πατέρος τοῖς κοινοῖς, ἵνα ἐξῇ τοῖς συνορῶσιν ἀπὸ τῆς ταυτότητος τῆς ἐνεργείας, τὴν ταυτότητα τῆς οὐσίας, καὶ τὰ αὐτὰ ὀνόματα τὸ Κύριος καὶ Θεὸς κατὰ τὴν ταυτότητα τῆς οὐσίας, ἐπὶ τοῦ Πνεύματος ἐκλαμβάνειν.

Οὐ μόνον δὲ ἐκ τῶν εἰρημένων ἡ κυριότης καὶ ἡ θεότης ἀπο-

δείκνυται τοῦ Πνεύματος, ἀλλὰ καὶ ἐκ τῆς ἐπαγομένης συγκεφαλαιώσεως· φησὶ γὰρ καὶ ἐνταῦθα πάλιν σαφέστερον· ὅτι "πάντα "δὲ ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ." πῶς; αὐτοκρατορικῶς καὶ κυρίως· "καθὼς γὰρ βούλεται," φησίν· ὥστε εἰ πάντα ἃ ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἐνεργεῖ, ταῦτα καὶ τὸ Πνεῦμα ποιεῖ· καὶ θεϊκῶς καὶ κυρίως ποιεῖ· ὡς γὰρ βούλεται, οὕτως ποιεῖ· βούλεται δὲ δηλονότι, ὥσπερ ὁ Κύριος καὶ ὁ Θεός. οὐ γάρ ἐστιν αὐτοῖς ἀντίξουν, ἄπαγε, βούλημα· φανερὸν ὡς καὶ Κύριος ἂν εἴη τὸ Πνεῦμα καὶ Θεός. αὐτοκρατορικῶς τε γὰρ τὰ Πατέρος καὶ Υἱοῦ ἔργα ποιεῖ· καὶ ὡς Κύριος καὶ Θεὸς ποιεῖ, καὶ πάντα ποιεῖ. ἐπισημειῶσαι δὲ δεῖ καὶ τοῦτο, ὡς ἐν πορισμάτων μοίρᾳ ἀναφανέν, πῶς τὸ αὐτὸ πνεῦμα ἐνεργεῖν ἀποφαινόμενος ἅπαντα, ἄλλοτε μὲν τῇ "κατὰ" προθέσει κέχρηται, ἄλλοτε δὲ τῇ "διά," καὶ πάλιν ἐνίοτε τῇ "ἐν·" δεικνὺς ὅτι παρ' αὐτῷ καὶ τῶν προθέσεων χρῆσις ἀδιάφορος. καταυτὸ γὰρ φησὶ, καὶ δι' αὐτοῦ, καὶ ἐν αὐτῷ· περὶ τοῦ αὐτοῦ διαλαμβάνων Ἁγίου Πνεύματος. καὶ τούτοις εἰς ἔλεγχον χρήσῃ τῶν λεσχηνευόντων περὶ τοῦ δι' αὐτοῦ καὶ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ, καὶ διὰ τῆς ἑτερότητος τῶν λεξειδίων εἰς βλασφήμους ἐννοίας ἐξαγομένων.

7 Ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς
8 τὸ συμφέρον. ᾧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται
λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως, κατὰ τὸ αὐτὸ
9 Πνεῦμα· ἑτέρῳ δὲ πίστις, ἐν τῷ αὐτῷ Πνεύματι· ἄλλῳ
10 δὲ χαρίσματα ἰαμάτων, ἐν τῷ αὐτῷ Πνεύματι· ἄλλῳ δὲ
ἐνεργήματα δυνάμεων· ἄλλῳ δὲ προφητεία· ἄλλῳ δὲ
διακρίσεως πνευμάτων· ἑτέρῳ δὲ γένη γλωσσῶν· ἄλλῳ
11 δὲ ἑρμηνεία γλωσσῶν· πάντα δὲ ταῦτα ἐνεργεῖ ἓν καὶ
τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.

ΚΥΡΙΛΛΟΥ. *Οἶδεν γὰρ οἶδεν καιροὺς τοὺς ἑκάστῳ πρέποντας τῶν παρ' αὐτοῦ δρωμένων, "ἐν ᾧ πάντες εἰσὶν οἱ θησαυροὶ τῆς "σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι" κατὰ τὸ γεγραμμένον. ποῖά γε μὴν χαρίσματα καὶ ποῖαί τινες αἱ διανομαὶ, καὶ μὴν καὶ τὰ τῶν δυνάμεων ἐνεργήματα διαλευκαίνει λέγων, "ᾧ μὲν γὰρ "διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας." σοφίας δὲ λόγος*

κατά γε τὸ αὐτῷ μοι δοκοῦν, ὁ ἐν ἀνοίξει τοῦ στόματος ὁ πρόχειρός τε καὶ εὔρους· "ἄλλῳ δὲ λόγος γνώσεως." εἰσὶ γὰρ τῶν ἐν ἡμῖν τινες, οἱ τὸ πρόχειρον εἰς λόγους οὐκ ἔχοντες καὶ τοῦ φράζειν εὐκόλως δύνασθαι τὴν παρρησίαν οὐ κεκτημένοι· βαθεῖς γε μὴν ἄγαν εἰς σύνεσιν νουνεχέστα τά τε τοῖς ἱεροῖς προσβάλλοντες λόγοις· καὶ οὗτος μέντοι ὁ λόγος κἀκεῖνος δι' ἑνὸς τοῦ Πνεύματος τοῖς ἐλεῖν ἀξίοις χορηγεῖται παρὰ τοῦ Πατέρος δι' Υἱοῦ, ὃς διαιρεῖν λέγεται τὰς διακονίας· οὓς μὲν γὰρ τῶν ἁγίων Ἀποστόλων διακυρήττειν ἐκέλευσε τοῖς ἐξ αἵματος Ἰσραὴλ τὸν τῆς πίστεως λόγον· ἑτέρους δι' αὐταῖς τῶν ἐθνῶν ἀπονενέμηκε χώραις. ἐνήργηκε δὲ τοῦτο διὰ τοῦ Ἁγίου Πνεύματος. καὶ γοῦν ἐν ταῖς Πράξεσι τῶν ἁγίων Ἀποστόλων γεγραμμένον εὑρήσομεν ὅτι λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ καὶ νηστευόντων, εἶπεν τὸ Πνεῦμα τὸ Ἅγιον· "ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ τὸν Σαῦλον εἰς "τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς." τέθειται δὲ ὁ θεσπέσιος Παῦλος εἰς ἀποστολὴν ἐθνῶν, καὶ ταύτην ἔλαχεν τὴν διακονίαν, καὶ πιστώσεται γράφων αὐτός· "ἐφ' ὅσον μὲν οὖν ἐγὼ ἐθνῶν "εἰμὶ Ἀπόστολος, τὴν διακονίαν μου δοξάσω."

Οὐκ οὖν διανέμει μὲν ὁ Υἱὸς τὰς διακονίας, ἐνεργεῖ δὲ τὸ χρῆμα τὸ Πνεῦμα τὸ Ἅγιον μετ' ἐξουσίας. Πνεῦμα γάρ ἐστι τοῦ Υἱοῦ· ἀλλὰ καὶ τὰ τῶν δυνάμεων ἐνεργήματα, τοῦτ' ἔστι τὰς διὰ τῶν ἁγίων θεοσημείας ὁ αὐτὸς ἡμῖν ἀποπεραίνει Θεός. πάντα γὰρ, ὡς ἔφην, παρὰ Πατέρος δι' Υἱοῦ ἐν Πνεύματι· καὶ ἐφ' ἅπασι τοῖς κατορθουμένοις ἡγίασται καὶ ὁμοούσιος Τριὰς δοξάζεται. ἄθρει γὰρ ὅπως ἄρχεται μὲν ἀπὸ τοῦ Πνεύματος, ὡς ὄντος ἐν ἡμῖν καὶ τὴν τῶν θείων χαρισμάτων ἐνεργοῦντος διανομήν. ἀναβιβάσας δὲ τὸν λόγον ἐπὶ τὸν Υἱὸν, ὅς ἐστιν Υἱὸς κατὰ φύσιν, ἄνεισιν οὕτω λοιπὸν ἐπὶ τὸν Πατέρα, τὴν διὰ τοῦ Πνεύματος ἐνέργειαν διὰ μέσου τοῦ Υἱοῦ προσνέμων αὐτῷ. "ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι·" πίστις ἐν τούτοις εἴη ἂν καθάπερ ἐγῷμαι· ἡ πρὸς πᾶν ὅτι οὖν τῶν ἀγαθῶν ἑδραιότης καὶ ὧν ἂν βούλοιτο Θεός. φαμὲν γὰρ οὕτω γενέσθαι πιστὸν ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ τὸν ἱεροφάντην Μωσέα. οὐ γὰρ τὸ χρῆναι πιστεῦσαι μόνον ὅτι φύσει καὶ ἀληθῶς εἷς ἐστι τῶν ὅλων Θεὸς, πίστιν ἂν νοοῖτο καὶ λέγοιτο, ἀλλὰ τὸ εὖ βεβη-

κέναι κατὰ ψυχὴν, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ Κυρίου τοῦ Θεοῦ κατὰ τὴν τοῦ προφήτου φωνήν· καὶ γοῦν οἱ θεσπέσιοι μαθηταὶ προσήεσάν ποτε τῷ Χριστῷ λέγοντες ἐναργῶς, "πρόσθες "ἡμῖν πίστιν."

Δίδοται δὲ πρὸς τούτῳ καὶ "χαρίσματα ἰαμάτων ἐν τῷ ἑνὶ "Πνεύματι." καί μοι πάλιν ἐπιτήρει λέπτως. τοῦ γὰρ Πνεύματος διανέμειν λεγομένου τὰ τῶν ἰαμάτων χαρίσματα, Χριστός ἐστιν ὁ διδούς. δέδωκε γὰρ τοῖς ἁγίοις Ἀποστολοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων ὥστε ἐκβάλλειν αὐτά. καὶ δὴ καὶ ἔφασκεν, "ἀσθενοῦντας θεραπεύετε, καὶ νέκρους ἐγείρετε, λεπροὺς καθαρίζετε, καὶ δαιμόνια ἐκβάλλετε. δωρεὰν ἐλάβετε, "δωρεὰν δότε." αὐτοῦ δὲ δὴ πάντως καὶ τὰ τῶν δυνάμεων ἐνεργήματα, πλὴν ἐν Πνεύματι τῷ ἑνί. οἷον ἔρριψεν ὁ Μωσῆς τὴν ῥάβδον εἰς γῆν, καὶ γέγονεν ὄφις· μετεσκεύασεν εἰς αἷμα τοὺς ποταμοὺς, ἐξήγαγεν ὕδωρ ἐκ πέτρας. τετελέκασι δὲ πλεῖστα ὅσα καὶ πέρα λόγου καὶ θαύματος οἱ μακάριοι προφῆται. ταῦτα δὲ εἶναι φαμὲν τὰ τῶν δυνάμεων ἐνεργήματα δι' ἑνὸς τοῦ Πνεύματος. ἀλλὰ καὶ προφητεύει τίς ἕτερος, πλὴν οὐ δίχα τοῦ Πνεύματος. ἔχει δέ τις καὶ διακρίσεις πνευμάτων, εἴρηται πρότερον. διδόναι γε μὴν καὶ ἑτέροις ἰσχυρίζεται τὸ εἰδέναι γένη γλωσσῶν, καὶ μέντοι καὶ ἑρμηνείας· χάρισμα δὲ τοῦτο φαμὲν ἴδιον καὶ ἐν καιρῷ καὶ χρείᾳ τισὶν οἰκονομικῶς κεχορηγημένον· ἀλλ' οἱ μὲν ταῖς γλώσσαις ἐλάλουν, καίτοι πρὶν οὐκ εἰδότες αὐτάς· καὶ συνῆσαν διερμηνεύοντες, καίτοι πάλαι οὐκ ἐν ἔθει τῶν τοιούτων ὄντες φωνῶν· δεδόσθαι γε μὴν ὁ θεσπέσιος Παῦλος τοῖς τὸ τηνικάδε διϊσχυρίζεται τὸ γλώσσαις λαλεῖν, οὐχ ὡς ἐν μοίρᾳ χαρίσματος, ἀλλ' ὡς ἐν τάξει σημείου τοῖς πιστοῖς. καίτοι καὶ προφητικὸν παρετίθει λόγιον οὕτως ἔχον, "ὅτι ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν "ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' ὡς πιστεύσουσιν." ἐνεργεῖ δὲ διαφόρως ἐν ἑκάστῳ τὸ Πνεῦμα τὴν τῶν χαρισμάτων διανομὴν, ἵνα ὥσπερ, φησὶν, τὸ παχὺ δὴ τοῦτο καὶ ἀπὸ γῆς σῶμα συνέστηκεν ἐκ μορίων· οὕτω καὶ ὁ Χριστὸς ἤτοι τὸ σῶμα αὐτοῦ, τοῦτ' ἔστιν ἡ Ἐκκλησία, διὰ πολλῆς ἁγίων πληθύος εἰς ἑνότητα τὴν νοητὴν τελειοτάτην ἔχοι τὴν σύστασιν· ταύτῃ τοι καὶ ὁ

θεσπέσιος Δαβὶδ περιεστάλθαι φησὶν αὐτὴν ἐν ἱματισμῷ διαχρύσῳ περιπεποικιλμένῳ· τὰ τῶν χαρισμάτων οἶμαι πολυειδὲς καὶ τίμιον ὡς ἔν γε τούτῳ σημαίνων.

Ἰωάννου. Ἐνεργήματα καὶ χαρίσματα καὶ διακονίαι ὀνομάτων διαφοραὶ μόναι· ἐπεὶ πράγματα τὰ αὐτά. ὃ γάρ ἐστι χάρισμα, τοῦτο καὶ διακονία, καὶ ὃ φησὶν διακονίαν, τοῦτο ἐνεργείαν λέγει. "τὴν γὰρ διακονίαν σου," φησὶν, "πληροφόρησον. καὶ "δι' ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ "Θεοῦ, ὅ ἐστιν ἐν σοὶ," Τιμοθέῳ γράφων καὶ Γαλάταις ἐπιστέλλων ἔλεγεν, "ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περι"τομῆς, ἐνήργησεν κἀμοὶ εἰς τὰ ἔθνη." λόγον σοφίας εἶχεν Παῦλος καὶ Ἰωάννης ὁ υἱὸς τῆς βροντῆς. λόγον δὲ γνώσεως εἶχον οἱ πολλοὶ τῶν πιστῶν· γνῶσιν μὲν ἔχοντες, διδάσκειν δὲ οὕτως μὴ δυνάμενοι, οὐδὲ εἰς ἕτερον εὐκόλως ἐξενεγκεῖν, ἅπερ ᾔδεσαν. πίστιν δέ φησιν ἐνταῦθα, οὐ τὴν τῶν δογμάτων, ἀλλὰ τὴν τῶν σημείων· περὶ ὧν φησὶν, "ἐὰν ἔχητε πίστιν ὡς κόκκον συνάπεως, "ἐρεῖτε τῷ ὄρει τούτῳ μετάβηθι, καὶ μεταβήσεται." καὶ οἱ Ἀπόστολοι περὶ αὐτῆς ἠξίουν λέγοντες, "πρόσθες ἡμῖν πίστιν·" αὕτη γὰρ ἡ μήτηρ τῶν σημείων ἐστίν. χαρίσματα δὲ ἰαμάτων εἶχον οἱ θεραπεύοντες· ἐνεργήματα δὲ δυναμέων καὶ οἱ τιμωρούμενοι· δύναμις γάρ ἐστιν οὐ τὸ ἰάσασθαι μόνον, ἀλλὰ καὶ τὸ κολάσαι· ὥσπερ ὁ Παῦλος τὸν Ἐλύμαν ἐπήρωσεν, καὶ ὁ Πέτρος ἀνεῖλεν Ἀνανίαν καὶ Σάπφειραν. διάκρισις δὲ πνευμάτων ἐστιν, τὸ εἰδέναι τίς ὁ πνευματικὸς καὶ τίς ὁ μὴ τοιοῦτος· τίς ὁ προφήτης καὶ τίς ὁ ἀπατεών.

Θεοδωρίτου. Χαρίσματα καλεῖται, διὰ τὸ κατὰ θείαν δίδοσθαι φιλοτιμίαν· διακονίαι δὲ δι' ἀνθρώπων τῶν εἰς ταύτην τεταγμένων τὴν λειτουργίαν ἐδίδοντο· ἐνεργήματα δὲ πάλιν ἐκάλεσεν τὰ χαρίσματα, ὡς ὑπὸ τῆς θείας ἐνεργούμενα φύσεως. οὐ γὰρ ὥς τινες ὑπέλαβον τῶν ἀνοήτων αἱρετικῶν, τὰ μὲν ἔφη ὑπὸ τοῦ Πνεύματος ἐνεργεῖσθαι, τὰ δὲ ὑπὸ τοῦ Κυρίου, τὰ δὲ ὑπὸ τοῦ τῶν ὅλων Θεοῦ· ἀλλὰ τῶν αὐτῶν δωρεῶν χορηγὸν ἔδειξε τὴν ἁγίαν Τριάδα. καὶ τοῦτο ἐν τοῖς ἑξῆς διδάσκει σαφέστερον· ἐνταῦθα γὰρ εἰρηκὼς τὸν Θεὸν ἐνεργεῖν, μετὰ βραχέα φησὶν, "πάντα δὲ ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ

"ἑκάστῳ καθὼς βούλεται." ταῦτα μέντοι πρὸς τὰς Ἑλληνικὰς δόξας τέθεικεν ἐπὶ τοῦ παρόντος ὁ θεῖος Ἀπόστολος. ἐκείνων μὲν τὴν διαφωνίαν ἐλέγχων, τῆς δὲ ἀληθείας τὴν συμφωνίαν δεικνύς. πρὸς δὲ τούτῳ καὶ τοὺς τὰ ἐλάττονα δοκοῦντα εἶναι τῶν χαρισμάτων εἰληφότας παραμυθούμενος, καὶ διδάσκων ὡς ἐκ τοῦ αὐτοῦ Πνεύματος δέδοται καὶ ταῦτα κἀκεῖνα. τοῦτο γὰρ αἰνίττεται τὰ ἑξῆς, "ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ "συμφέρον." οὐκ εἶπεν ἡ χάρις, ἀλλ' "ἡ φανέρωσις." ἡ μὲν γὰρ χάρις καὶ νῦν δίδοται τοῖς τοῦ παναγίου Πνεύματος ἠξιωμένοις.

Τοῦ αὐτοῦ. Παραυτίκα καὶ γλώτταις διαφόροις ἐλάλουν καὶ ἐθαυματοποίουν· βεβαιούμενοι διὰ τούτων, καὶ τῆς διδασκαλίας τἀληθὲς διδασκόμενοι. ἀναγκαίως δὲ ἔφη πρὸς τὸ συμφέρον δίδοσθαι τοῦ Πνεύματος τὴν φανέρωσιν, τούτους αὐτοὺς ψυχαγωγῶν, καὶ διδάσκων ὡς πανσόφως ἐπιστάμενος, καὶ τὸ λυσιτελοῦν ἑκάστῳ γινώσκων, σοφῶς τὰ πάντα ἰθύνει· λόγον δὲ σοφίας καὶ λόγον γνώσεως ὁμοίως τῷ μακαρίῳ Ἰωάννῃ ἐξέδωκεν· οὐ τὴν εὐγλωττίαν φήσας λέγειν αὐτὸν λόγον σοφίας, ἀλλὰ τὴν ἀληθῆ διδασκαλίαν, ἧς καὶ μετεῖχον Πέτρος καὶ Παῦλος καὶ Ἰωάννης. οὐ γὰρ ἂν ἠδυνήθησαν, φησὶν, ἄνδρες ἁλιεῖς καὶ ἀποχειροβίωτοι καὶ γραμμάτων ἀμύητοι, καὶ δημηγορίας κατατολμῆσαι καὶ συγγραφῆς, καὶ δυνάμεως ὅτι μάλιστα πλείστης ἐμπλῆσαι τοὺς λόγους, εἰ μὴ παρὰ τοῦ θείου Πνεύματος τὴν ἀληθῆ σοφίαν ἐδέξαντο.

Θεοδώρου. Προφητείαν δέ φησιν εἶναι τὴν τῶν μελλόντων προσαγόρευσιν. λέγεσθαι δὲ καὶ τὸ τὰ ἐν πράξει ἤτοι καὶ βουλεύμασιν, ἄδηλα ὄντα τοῖς πολλοῖς εἰπεῖν. ἀλλὰ μὴν καὶ τὸ τὰ παρεληλυθότα καὶ ἀγνοούμενα τοῖς πᾶσι δυνηθῆναι εἰπεῖν, ὡς Μωϋσῆς διηγήσατο ἅπαντα.

Τοῦ αὐτοῦ. Πολλοὶ τότε διὰ τὸ πλῆθος τῶν πνευματικῶν χαρισμάτων ὑπεκρίνοντο τὴν εὐσέβειαν, εἰς ἀπάτην ἑτέρων. καὶ δὴ καὶ θαύματα δαιμονικῇ τῇ συνεργείᾳ κεχρημένοι ὁμοίως τοῖς πιστοῖς ἐπιτελεῖν ἐδόκουν. οὕτως οἱ τοῦ Σκευᾶ υἱοὶ περιῄεσαν ἐν ἐπορκιστῶν σχήματι, δαίμονας καὶ αὐτοὶ ἀπελαύνειν προσποιούμενοι δῆθεν. ἦν οὖν χάρισμα Πνεύματος καὶ πρὸς τοῦτο ὥστε διακρίνειν, τινὲς μὲν οἱ ἀληθῶς τῇ δυνάμει τοῦ θείου Πνεύματος

ἐπιτελοῦντες τὰ θαύματα, τίνες δὲ οἱ δαιμονικῇ συνεργείᾳ ὑποκρινόμενοι τὴν ἀλήθειαν.

12 Καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστι, καὶ μέλη ἔχει πολλὰ,
πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ ἑνὸς, πολλὰ ὄντα,
13 ἕν ἐστι σῶμα, οὕτως καὶ ὁ Χριστός. καὶ γὰρ ἐν ἑνὶ
πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν, εἴτε
Ἰουδαῖοι, εἴτε Ἕλληνες, εἴτε δοῦλοι, εἴτε ἐλεύθεροι· καὶ
14 πάντες εἰς ἓν πνεῦμα ἐποτίσθημεν· καὶ γὰρ τὸ σῶμα
οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἔσχατον τοῦτο τέθεικεν, τὸ δὲ τῆς διδασκαλίας πρῶτον. ἐπειδὴ δι' ἐκεῖνο καὶ τοῦτο καὶ τὰ ἄλλα ἐδόθη, ἵνα τὸ κήρυγμα πιστευθῇ, οὕτως καὶ ὁ Χριστός. πάντες ὁμοίως φασὶν ὡς Χριστὸν ἐνταῦθα ἐκάλεσεν τὸ κοινὸν τῆς Ἐκκλησίας σῶμα, ἐπειδὴ κεφαλὴ τοῦ σώματός ἐστιν ὁ δεσπότης Χριστός. παρεγγυᾷ τοίνυν ἀπιδεῖν τὸ σῶμα, καὶ γνῶναι ὡς ἐκ διαφόρων μὲν σύγκειται μελῶν, ἓν δὲ σῶμα καὶ ἔστι καὶ καλεῖται. καὶ μαθεῖν ἐντεῦθεν ὡς καὶ ἡ Ἐκκλησία σῶμα μὲν τοῦ δεσπότου Χριστοῦ καλεῖται, μέλη δὲ πολλὰ ἔχει καὶ διάφορα· καὶ τὰ μὲν μείζονα, τὰ δὲ ἐλάττονα· καὶ τὰ μὲν τίμια, τὰ δὲ ἐκείνων ὑποδεέστερα. πάντα δὲ ὁμοίως ἀναγκαῖα καὶ χρήσιμα. διδάσκει δὲ καὶ πῶς ἅπαντες οἱ πιστεύοντες, ἓν προσαγορευόμεθα σῶμα· "καὶ γὰρ ἐν ἑνὶ πνεύ-"ματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν· εἴτε Ἰουδαῖοι, "εἴτε Ἕλληνες, εἴτε δοῦλοι, εἴτε ἐλεύθεροι· καὶ πάντες ἓν πόμα "ἐποτίσθημεν."

ΚΥΡΙΛΛΟΥ. Ἡνώμεθα γὰρ ἀλλήλοις, συσσωμοί τε γεγόναμεν ἐν Χριστῷ συναγείραντι ἡμᾶς καὶ μόνον οὐχὶ συνδέοντι, διὰ τοῦ ἑνὸς καὶ ἐν πᾶσιν Ἁγίου Πνεύματος· ὃ καὶ ἐν πόματος τάξει ζωοποιοῦ πεποτίσμεθα. καὶ γοῦν ἔφη Χριστὸς, ὅτε πρὸς τὸ γύναιον ἐποιεῖτο τοὺς λόγους τὸ ἐπὶ τῇ πηγῇ τοῦ Ἰακὼβ, "ὁ "πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν, ὃς δ' ἂν πίῃ ἐκ τοῦ "ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος "ἀλλομένου εἰς ζωὴν αἰώνιον." ἔφη δέ που καὶ πρὸς Ἰουδαίους, "ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς

"κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος." "τοῦτο δὲ εἶπεν" φησὶ "περὶ τοῦ Πνεύματος οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντος εἰς "αὐτόν." καὶ μὴ θαυμάσῃς. εἰ γάρ ἐστιν αὐτὸς ὁ ποταμὸς τοῦ Θεοῦ, κατὰ τὴν τοῦ ψάλλοντος φωνὴν "ὁ πλήρης ὑδάτων, ὁ χει"μάρρους τῆς τρυφῆς" ὃν ποτίζειν λέγεται τοὺς ἀγαπῶντας αὐτὸν ὁ Θεὸς καὶ Πατὴρ, πῶς οὐκ ἔδει τὸ Πνεῦμα αὐτοῦ πόμα τε καὶ ὕδωρ νοεῖσθαι τὸ ζωοποιόν; οὐκ οὖν εἰς ἑνότητα κεκλημένοι διὰ τοῦ Πνεύματος, συσσωμοί τε γεγονότες Χριστῷ, τῆς ἀγάπης τὸν σύνδεσμον τηρήσωμεν ἀρραγῆ.

ΘΕΟΔΩΡΊΤΟΥ. Τὸ "εἰς ἓν σῶμα ἐβαπτίσθημεν" ἀντὶ τοῦ ἐπὶ τοῦτο· ὥστε εἰς ἓν σῶμα τελεῖν. καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος ἀλλὰ πολλὰ, καὶ ἐκ πολλῶν μορίων συγκείμενον.

ἸΩΆΝΝΟΥ. Οὕτω φησὶν ὁ Χριστὸς, πολλὰ μὲν ἔχει μέλη τοὺς καθέκαστον, ἓν δὲ σῶμα τὴν κοινότητα τῆς Ἐκκλησίας. ἐκ πολλῶν συγκειμένη ἕν ἐστιν σῶμα, κεφαλὴν ἔχουσα τὸν Χριστόν. ὡς εἶναι τὸν Χριστὸν καὶ τὴν Ἐκκλησίαν, ἓν αὐτοτελὲς σῶμα. εἶτα ἐπάγει καὶ τὸ κατασκευάσαν πάντας ἓν σῶμά τε εἶναι, ἕντε πνεῦμα, καὶ πάντας ὑπὸ τοῦ ἑνὸς βεβαπτίσθαι Πνεύματος εἰς ἓν σῶμα, τοῦτ' ἔστιν εἰς τὸ ποιῆσαι πάντας σῶμα ἕν· τέως διὰ δύο τούτων παραμυθεῖται τοῦτο ἔλαττον ἔχοντα χάρισμα· τῷ τε εἰπεῖν ὅτι ἓν σῶμα πάντες ἐσμὲν, καὶ τοῦ εἰπεῖν διὰ τοῦ αὐτοῦ Πνεύματος καὶ διὰ τῆς αὐτῆς κολυμβήθρας ἓν ἡμᾶς γεγονέναι. δι' ἑνὸς φησὶν Πνεύματος ἐσχήκαμεν τῶν χαρισμάτων τὴν δωρεάν. "ἐποτίσθημεν" δὲ εἶπεν, ἀπὸ μεταφορᾶς τῶν δένδρων τῶν ἐκ τῆς αὐτῆς ἀρδομένων πηγῆς. καὶ μὴ θαυμάσῃς, φησὶν, εἰ τοσοῦτοι ὄντες, ἓν σῶμα ἐσμέν· ὁπότε καὶ ἐπὶ τοῦ ἀνθρωπίνου σώματος ἀπὸ πολλῶν μελῶν, ἕν ἐστιν εὑρεῖν τὸ σῶμα.

15 Ἐὰν εἴπῃ ὁ πούς, Ὅτι οὐκ εἰμὶ χείρ, οὐκ εἰμὶ ἐκ τοῦ
σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος.
16 καὶ ἐὰν εἴπῃ τὸ οὖς, Ὅτι οὐκ εἰμὶ ὀφθαλμὸς, οὐκ εἰμὶ
ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώμα-
17 τος. εἰ ὅλον τὸ σῶμα ὀφθαλμὸς, ποῦ ἡ ἀκοή; εἰ ὅλον
18 ἀκοὴ, ποῦ ἡ ὄσφρησις; νυνὶ δὲ ὁ Θεὸς ἔθετο τὰ μέλη,

19 *ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι, καθὼς ἠθέλησεν. εἰ*
20 *δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα; νῦν δὲ πολλὰ*
μὲν μέλη, ἓν δὲ σῶμα.

ΘΕΟΔΩΡΙΤΟΥ. Πάλιν τοὺς τὰ ἐλάττονα τῶν χαρισμάτων εἰληφότας διὰ τούτων παιδεύει μὴ δυσχεραίνειν ἀλλὰ στέργειν τὰ δεδομένα. εἰ γὰρ καὶ μὴ χειρὸς ἐνέργειαν, ἀλλὰ ποδὸς πληροῖς· μήτι μὴν ὀφθαλμοῦ χρείαν, ἀλλ' ἀκοῆς ἐκτελεῖς. εἰδέναι σε χρὴ ὡς καὶ ταῦτα ἀναγκαῖα τῷ σώματι. "εἰ ὅλον τὸ σῶμα ὀφθαλμὸς, "ποῦ ἡ ἀκοή; εἰ ὅλον ἀκοή· ποῦ ἡ ὄσφρησις;" εἰ γὰρ ἔμελλεν ἅπαν τὸ σῶμα ἓν ἔχειν μέλος, τὸ τιμιώτατον ἄχρηστον ἂν ἦν παντελῶς τῶν λοιπῶν ἐστερημένον μελῶν. "νυνὶ δὲ ὁ Θεὸς ἔθετο τὰ μέλη ἓν "ἕκαστον αὐτῶν ἐν τῷ σώματι καθὼς ἠθέλησεν" ἱκανὰ ἦν καὶ ταῦτα πεῖσαι τὸν δυσχεραίνοντα στέργειν τὰ δεδομένα· εἰ γὰρ ὁ Θεὸς τοῖς τοῦ σώματος μορίοις τὰς ἐνεργείας ἀπένειμεν, ὁ μὴ τοῖς κειμένοις ὅροις ἐμμένων, ἄντικρυς ἀντιτείνει τῷ τεθεικότι τοὺς ὅρους. καὶ διὰ τούτων μέντοι τοῦ Θεοῦ καὶ τοῦ Πνεύματος τὸ ὁμότιμον ἔδειξεν. καὶ γὰρ καὶ περὶ τοῦ Πνεύματος εἴρηκεν, ὅτι πάντα ταῦτα ἐνεργεῖ καθὼς βούλεται· "καὶ περὶ τοῦ Θεοῦ, "ἔθετο "τὰ μέλη καθὼς ἠθέλησεν." εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος· ποῦ τὸ σῶμα; νῦν δὲ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα. ἄχρηστον γὰρ ἦν τὸ σῶμα; τὴν τῶν μελῶν οὐκ ἔχον διαφοράν. ἐντεῦθεν λοιπὸν τοὺς τὰ μείζονα τῶν χαρισμάτων εἰληφότας διδάσκει μὴ διαπτύειν τοὺς ἄλλους, ἀλλ' ὡς ἀναγκαῖα μέλη τιμᾶν.

ἸΩΑΝΝΟΥ. Τὰ πρὸς ἐκείνους ἁρμόδια ῥήματα ὡς ἐκ προσώπου τῶν μελῶν τέθεικεν· δεῖξαι θέλων ὅτι εἰ καὶ ἔλαττόν τις ἔχει χάρισμα, οὐ παρὰ τοῦτο ἐκβλητέον τοῦ εἶναι μέλος τοῦ σώματος. καὶ γὰρ καὶ ἐπὶ τοῦ ἀνθρωπίνου συγκρίματος, καὶ τὸ ἔλαττον μέλος καὶ τὸ τιμιώτερον εἰς ἓν συντελεῖ σῶμα· ἐὰν τοῦτο εἴπῃ οὐ πᾶν τὸ εἰπεῖν ἤδη ἀπέστη τοῦ εἶναι ἐκ τοῦ σώματος. οὕτως οὐδὲ σύ· ἐπειδὴ τόδε ἔχεις χάρισμα καὶ οὐχὶ τόδε, ἤδη πέπαυσαι τοῦ εἶναι σῶμα ἓν σὺν τοῖς ἄλλοις. ἐπειδὴ ὀφθαλμοῦ καὶ ποδὸς ἐμνήσθη, ἐκ δὲ τούτου ἐλύπησεν αἰνιξάμενος καὶ αὐτοὺς ἐλάττωσίν τινα ἔχειν ὥσπερ καὶ ἐπὶ τῶν μελῶν, νῦν δείκνυσιν οὕτως εἶναι συμφέρον τὸ διάφορα εἶναι χαρίσματα· ὥσπερ γὰρ

τὸ σῶμα διὰ τοῦτό ἐστι σῶμα, ἐπειδὴ ἐκ διαφόρων συνέστηκε μελῶν· οὕτω καὶ τὸ σῶμα τοῦ Χριστοῦ, τοῦτ' ἔστιν τὴν ἐκκλησίαν, τοῦτο εἶναι ποιεῖ σῶμα· ἡ διαφορὰ τῶν χαρισμάτων καὶ διακονιῶν. εἰ οὖν ὁ Θεὸς οὕτως ἠθέλησεν· ἄτοπον τὸ ἀδημονεῖν ἐφ' οἷς ὁ Θεὸς ἠθέλησεν. τὸ δὲ καθὼς ἠθέλησεν, ἄνω περὶ τοῦ Πνεύματος εἶπεν οὕτως· οὐκ ἔστιν διαφορὰ τῆς Ἁγίας Τριάδος. εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα; αὐτὸ τὸ ποιοῦν ἐκείνοις πρόφασιν μικροψυχίας τὸ εἶναι διάφορα τὰ χαρίσματα, αὐτὸς εἰς πρόφασιν ἑνώσεως λαμβάνει· εἰ γὰρ μὴ εἴχετε, φησὶ, διάφορα χαρίσματα· οὐδὲ σῶμα ἦτε· σῶμα δὲ μὴ ὄντες, οὔτε ἰσότιμοι ἂν ἦτε· ἡ γὰρ ἰσοτιμία καὶ ἡ ἕνωσις ἐκ τοῦ εἶναι ἓν σῶμα.

Φωτίου. Ὅρα κἀνταῦθα πῶς τρανότερον καὶ χωρίς τινος ἀμφιβολίας τὸ Πνεῦμα Θεὸν ἀνεκήρυξεν· εἰπὼν γὰρ πρὸ βραχέως ὅτι πάντα ταῦτα τὸ Πνεῦμα ἐνεργεῖ, νῦν πάλιν περὶ τῶν αὐτῶν λέγων, φησὶν, "ὁ Θεὸς ἔθετο τὰ μέλη ἓν ἕκαστον αὐτῶν καθὼς ἠθέλησεν·" μέλη γὰρ τοὺς τὰ χαρίσματα τὰ διάφορα παρὰ τοῦ Πνεύματος εἰληφότας ὠνόμασεν. κἀκεῖ μὲν ἔλεγεν "ἐνεργεῖ διαιροῦν ἑκάστῳ "καθὼς βούλεται," ὧδε δὲ, "ἔθετο ἕκαστον αὐτῶν ἐν τῷ σώματι "καθὼς ἠθέλησεν."

21 Οὐ δύναται δὲ ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρὶ, Χρείαν
σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσὶ, Χρείαν ὑμῶν
22 οὐκ ἔχω. ἀλλὰ πολλῷ μᾶλλον τὰ δοκοῦντα μέλη τοῦ
23 σώματος ἀσθενέστερα ὑπάρχειν, ἀναγκαῖά ἐστι· καὶ ἃ
δοκοῦμεν ἀτιμότερα εἶναι τοῦ σώματος, τούτοις τιμὴν
περισσοτέραν περιτίθεμεν· καὶ τὰ ἀσχήμονα ἡμῶν εὐ-
24 σχημοσύνην περισσοτέραν ἔχει· τὰ δὲ εὐσχήμονα ἡμῶν
οὐ χρείαν ἔχει. ἀλλ' ὁ Θεὸς συνεκέρασε τὸ σῶμα, τῷ
25 ὑστεροῦντι περισσοτέραν δοὺς τιμὴν, ἵνα μὴ ᾖ σχίσμα
ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι
26 τὰ μέλη· καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα
τὰ μέλη· εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ
μέλη.

Θεοδωρίτου. Ἀσθενέστερα τῶν μορίων καὶ ἀναγκαιότερα. ὁ

ἐγκέφαλος, τὸ ἧπαρ· τούτων γὰρ τὰ ὀστᾶ στεγανώτερα· ἀλλ' ὅμως πλείονος ἀσφαλείας τετύχηκεν παρὰ τοῦ ποιητοῦ. ἀτιμότεροι δὲ πάλιν τῶν τοῦ σώματος μορίων εἶναι δοκοῦσιν οἱ πόδες· ἀλλὰ καὶ τούτων πολλὴν ποιούμεθα πρόνοιαν, τοῖς ὑποδήμασιν αὐτοὺς συγκαλύπτοντες.

Θεοδώρου. "Περιτίθεμεν" εἶπεν καὶ οὐ περίκειται· οὐ γὰρ τῆς φύσεως μέρος τὰ ὑποδήματα, ἀλλ' ὕστερον εὕρηνται παρ' ἡμῶν· "καὶ τὰ ἀσχήμονα ἡμῶν εὐσχημοσύνην περισσοτέραν ἔχει· τὰ δὲ "εὐσχήμονα ἡμῶν οὐ χρείαν ἔχει·" ἀσχήμονα, ὡς πρὸς τὴν κοινὴν ὄψιν ἀποκαλεῖ. ὥστε τῇ μὲν φύσει οὐκ ἔτι ἀσχήμονα· εἴπερ δὴ περισσοτέραν ἔχει τὴν εὐσχημοσύνην. τῇ δὲ ὑπολήψει κρινόμενα λέγεται οὕτως καθ' ἣν οὐκ εὐσχημοσύνην τὴν ἄνευ αἰτίας γύμνωσιν αὐτῶν εἶναι νομίζομεν.

Θεοδωρίτου. Τὸ μὲν γὰρ πρόσωπον οὐ δεῖται καλύμματος· τὰ δὲ παιδογόνα μόρια καὶ ἡμεῖς τῇ ἐσθῆτι καλύπτομεν. καὶ ἡ φύσις αὐτοῖς τὰς τρίχας οἷόν τι περιβόλαιον περιτέθεικεν· τοῦτο γὰρ ἐπήγαγεν, "ἀλλ' ὁ Θεὸς συνεκέρασεν τὸ σῶμα τῷ ὑστεροῦντι "περισσοτέραν δοὺς τιμήν." οὕτω τοῖς γλουτοῖς τὸ τῆς ἀποκρίσεως συνεκάλυψε μόριον. ἀσχήμονα δὲ κέκληκεν ἀπὸ τῆς κατεχούσης δόξης, "ἵνα μὴ ᾖ σχίσματα ἐν τῷ σώματι· ἀλλὰ τὸ αὐτὸ ὑπὲρ "ἀλλήλων μεριμνῶσι τὰ μέλη. καὶ εἴτε πάσχῃ ἓν μέλος, συμ-"πάσχει πάντα τὰ μέλη· εἴτε δοξάζηται ἓν μέλος, συγχαίρῃ "πάντα τὰ μέλη·" ταύτην ἔστιν εὑρεῖν τὴν ἄκραν κοινωνίαν κρατοῦσαν ἐν τοῖς μορίοις τοῦ σώματος. καὶ γὰρ τοῦ ποδὸς προσπταίοντος, ἅπαν ἀνιᾶται τὸ σωμα· καὶ ὄνυχος πέρα τῆς χρείας περιτεμνομένου, πάντοσε χωρεῖ τῆς ὀδύνης ἡ αἴσθησις· καὶ γλώττης βλασφημούσης ἢ ψευδομένης, δακρύουσιν οἱ ὀφθαλμοί· καὶ αὖ πάλιν ῥητορευούσης, μειδιῶσι, τὴν εὐφροσύνην ὑποσημαίνοντες. οὕτω τὴν εἰκόνα δείξας διὰ πλειόνων, ἐπὶ τὸ προκείμενον μεταβαίνει.

Ἰωάννου. Πείσας ἐν ταῖς ἔμπροσθε μὴ ἀθυμεῖν τοὺς τὰ ἐλάττονα ἔχοντας χαρίσματα· νῦν καταστέλλει τὸ φρόνημα τῶν τὰ μείζονα ἐχόντων· ὥσπερ γὰρ ὁ ὀφθαλμὸς οὐ δύναται λέγειν τοῖς λοιποῖς μέλεσι, χρείαν ὑμῶν οὐκ ἔχω· ἑνὸς γὰρ ἐνδέοντος ἅπαν χωλεύει τὸ σῶμα· οὕτως οὐδὲ οἱ τὰ μείζονα εἰληφότες χαρίσματα δύνανται ἐπαίρεσθαι κατὰ τῶν τὰ ἐλάττονα ἐχόντων,

ὡς οὐ χρήζοντες αὐτῶν· ἑνὸς γὰρ ἀποβολὴ χωλεύειν ποιεῖ τὸ πλήρωμα τῆς ἐκκλησίας· οὐκ αὐτάρκων ὄντων τῶν τὰ μείζονα ἐχόντων χαρίσματα μόνων οἰκοδομεῖν αὐτήν.

Τοῦ αὐτοῦ. Νῦν δεῖξαι θέλει ὅτι καὶ χρειωδέστεροι τάχα εἰσὶν οἱ τὰ δοκοῦντα ἐλάττονα τῶν χαρισμάτων εἰληφότες· καλῶς δὲ εἶπεν "τὰ δοκοῦντα," δεικνὺς ἐν δοκήσει μόνῃ τὴν ἐλάττωσιν εἶναι, οὐ μὴν ἐν ἀληθείᾳ.

Τοῦ αὐτοῦ. Φασί τινες περὶ τῶν ὀφθαλμῶν αὐτὸν τοῦτο εἰρηκέναι, οἳ ἀσθενέστεροι μὲν εἰσὶν ὡς πρὸς τὰ λοιπὰ μέλη, μέγα δέ τι συντελοῦσι τῷ σώματι.

Τοῦ αὐτοῦ. Πανταχοῦ τὸ δοκοῦν μὲν ἐπιλέγει· δεικνὺς ἀνθρωπίνην εἶναι ταύτην τὴν οἴησιν· τὸ δὲ "ἀτιμότερα" τινές φασιν αὐτὸν περὶ τῶν ποδῶν εἰρηκέναι· οἱ τὴν μὲν κάτω χώραν εἰλήφασι, θάλπονται δὲ καὶ προνοοῦνται παρ' ἡμῶν πλεῖον σχεδὸν τῶν λοιπῶν μελῶν· ἐπ' αὐτῶν γὰρ ἐστήρικται πᾶν τὸ σῶμα· ἢ γοῦν τοῦτο λάβε περὶ τῶν γεννητικῶν μορίων, ἅπερ δοκεῖ μὲν ἀσχήμονα εἶναι καὶ ἄτιμα· πλὴν ἕλοιτο ἂν τις ὅλον ἔχειν τὸ σῶμα γυμνὸν, ἢ ταῦτα· διὸ ἐπάγει, "τούτοις τιμὴν περισσοτέραν περιτίθεμεν καὶ "εὐσχημοσύνην περισσοτέραν ἔχει· τὰ δὲ ἀσχήμονα ἡμῶν οὐ χρείαν "ἔχει·" ἵνα μή τις εἴπῃ, καὶ ποῖος οὗτος λόγος προνοεῖν τῶν ἀσχημόνων καὶ ἀτίμων, καταφρονεῖν δὲ τῶν εὐσχημόνων; οὐ καταφρονοῦμεν φησὶν, ἀλλ' οὐδενὸς τῶν ἀφ' ἡμῶν δέονται· φύσει τὸ εὔσχημον ἔχοντα. "ἀλλ' ὁ Θεὸς συνεκέρασεν τὸ σῶμα." εἰ συνεκέρασεν, οὐκοῦν καὶ ἐνεποίησεν; τὸ γὰρ κιρνώμενον ἐγγίνεται· ὅρα οὐκ ἔτι εἶπεν τῷ ἀτίμῳ ἢ τῷ ἀσχήμονι· ἀλλὰ "τῷ ὑστεροῦντι" δεικνὺς οὐκ ὄντα φύσει ἀσχήμονα ἢ ἄτιμα.

Τοῦ αὐτοῦ. Ἀντίθεσις. ἐπὶ μὲν τοῦ σώματος τοῦτο εἴδοι τις ἄν· ἐπὶ δὲ τῶν ἀνθρώπων πῶς ἐστιν εὑρεῖν τοὺς ἀτιμοτέρους καὶ ἀσθενεῖς, πλείονος τῆς κηδεμονίας ἀπολάβοντας; καὶ φαμὲν ὅτι ὁ Θεὸς τῶν ἀσθενεστέρων μᾶλλον προνοεῖ· καὶ ὅρα τὸν λῃστὴν πρὸ τῶν Ἀποστόλων εἰς τὸν παράδεισον εἰσελθόντα· καὶ τὸ ἀπολωλὸς ἐκ τῆς ἑκατοντάδος πρόβατον, ὃ καὶ εὑρεθὲν ἐπὶ τῶν ὤμων ἐβαστάγη· καὶ τοὺς τῆς ἑνδεκάτης ἐργάτας, οἱ πρῶτοι τὸν μισθὸν κομίζονται, βαστάζοντος καὶ συγκαταβαίνοντος τοῦ Θεοῦ τοῖς ἀσθενέσι μᾶλλον. διὸ καὶ φησὶ "περισσοτέραν δοὺς τιμὴν, ἵνα ἐκ

τούτου παραμυθήσηται τοὺς τὰ ἐλάττονα ἔχοντας χαρίσματα· ἵνα μὴ ᾖ σχίσματα ἐν τῷ σώματι· ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη. τὸ γὰρ εἶναι ὅλως σῶμα ποιεῖ τὸ μὴ ἀποσχίζεσθαι· ὡς εἴ γε ἀποσχισθείη, τὸ πᾶν ἀπόλωλεν. τοῦτο δὲ φησὶ, φοβῶν τοὺς τὰ μεγάλα κατέχοντας χαρίσματα κατεστάλθαι. ὡς ἥγε τῶν ἐλαττόνων ἐν χαρίσμασιν ἀποφοίτησις καὶ αὐτοὺς ἐκείνους λυμανεῖται κινδυνεύοντας μηκέτι εἶναι σῶμα Χριστοῦ. ὥστε, φησὶ, προνοητέον καὶ μεριμνητέον ἀλλήλων. ἐν γὰρ τῇ ἑνώσει τὸ εἶναι ἔχομεν. εἰ γὰρ ἡνῶσθαι δεῖ ἀκριβῶς καὶ προνοεῖν ἀλλήλων τὰ μέλη, εὔδηλον ὡς καὶ τὰ ἀποβαίνοντα, εἴτε πάθη, εἴτε εὐδοκιμήσεις, κοιναὶ εἶναι ὀφείλουσιν. ἡ γὰρ ἀπορραγὴ τῶν ἐλαττόνων καὶ σοὶ, φησὶ, τῷ μείζονι λυμανεῖται· ὥσπερ καὶ τοὺς ὀφθαλμοὺς λυμαίνεται ὁ ποὺς ἀποκοπείς.

ΦΩΤΙΟΥ. Τὰ δοκοῦντα μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν φησὶν ἀναγκαῖά ἐστιν· ὥστε εἰ ἀσθενεῖς οἴεσθε ἑαυτοὺς, μὴ ἀθυμεῖτε, ἀναγκαῖοι ἐστέ. ὅτι δὲ οὐδὲ ἀσθενεῖς ὑμεῖς, ἀλλ' ἐκεῖνοι μᾶλλον οἷς ἡ οἴησις, δῆλον ἐντεῦθεν, φησὶν, ἃ δοκοῦμεν ἀτιμότερα εἶναι τοῦ σώματος, πλέον ἀξιοῦμεν βοηθείας καὶ προνοίας καὶ ἑξῆς. "καὶ ἃ δοκοῦμεν ἀτιμότερα τοῦ σώματος." ἔστι δὲ τοῦτο οἰκειότερον καὶ οὕτως ἐκλαβεῖν· οὐ σημαίνει ὑμῖν ἐλάττους εἶναι, φησὶν, ἐκ τοῦ δοκεῖν ἐλάττονος χαρίσματος τυχεῖν. οὐ πάντως γὰρ εἴ τις ἔτυχεν μείζονος χαρίσματος, ἤδη καὶ μείζων. ἐπεὶ καὶ πολλοὶ τῶν εἰληφότων, τῶν μηδόλως εἰληφότων ἐλάττους εἰσίν. καὶ τί λέγω ἐλάττους; ἀλλὰ καὶ ἄθλιοι παντελῶς, ὡς ἐκεῖνοι οἱ λέγοντες Κύριε, οὐ τῷ σῷ ὀνόματι τάδε καὶ τάδε ἐποιήσαμεν; οἷς ἀπεῖπεν ὁ δεσπότης, μήτε εἰδέναι αὐτοὺς ποτέ. οὐ γὰρ καλῶς ἐχρήσαντο τῷ χαρίσματι· ἀλλὰ καὶ ἀποχωρεῖν κατὰ κεφαλὴν ἐπέταττεν· οἷος ἦν καὶ ὁ μὴ ἀκολούθων τῷ Χριστῷ καὶ σημεῖα ποιῶν· οἷος αὐτὸς ὁ Ἰούδας· αὐτὸς δὲ ταῦτα μὲν τέως οὐ καταλέγει, ἀπὸ τῶν σωματικῶν δὲ εἰρημένων αὐτῷ, καὶ τοῦτο κατασκευάζει, ὅτι οὐκ ἀνάγκη μείζους νομίζειν τοὺς λογιζομένους μεῖζον εἰληφέναι χάρισμα. τουναντίον δ' ἔσθ' ὅτε καὶ ἐλάττους· φησὶ γὰρ ὅτι τοῖς ἀσχήμοσιν ἡμῶν εὐσχημοσύνην περισσοτέραν περιτιθέαμεν· καὶ τοῖς ἀτιμοτέροις τιμὴν περισσοτέραν.

Μὴ ἄρα διὰ τοῦτο καὶ τιμιώτερα καὶ εὐσχημονέστερα τῶν

τιμιωτέρων καὶ εὐσχημονεστέρων ἐστίν. οὕτως, φησὶ, καὶ ὁ Θεὸς ἐνίοτε τῷ ὑστεροῦντι πλεῖον δίδωσι χάρισμα. τῷ δὲ αὐτάρκως καὶ ἱκανῶς ἔχοντι ῥυθμίσαι ἑαυτὸν ἔλαττον. μὴ οὖν ὑμῖν ἀθυμητέον, ἔλαττον δοκοῦσιν ἔχειν χάρισμα· ἐπεὶ καὶ ἡμεῖς αὐτοὶ τὰ εὐσχημονέστερα καὶ τιμιώτερα ἡμῶν μέλη ἅτε οὐ πολλοῖς ἔχοντα χρείαν εὐσχημοσύνης, ἐφ' ἧς εἰσι κοσμιότητος καὶ σεμνότητος μένειν ἐῶντες, τοῖς ἀτιμοτέροις καὶ ἀσχημονεστέροις τιμὴν καὶ εὐσχημοσύνην περιτιθέαμεν· ὥστ' ἐκ τοῦ ἔλαττον λαβεῖν, μᾶλλόν ἐστιν εὐθυμεῖν καὶ εὐχαριστεῖν, ὅτι οὐ καταρχὰς ἔπλασεν ὁ πάντα σοφῶς καὶ ἀκαταλήπτως Θεὸς ἡμῶν ποιῶν, ὥστε ἐλαττόνων δεῖσθαι εἰς αὐτάρκειαν καὶ τελείωσιν. ταῦτα δὲ φησὶν τούς τε ἔλαττον δοκοῦντας ἔχειν ἐπὶ τῇ ἀθυμίᾳ παρακαλῶν, καὶ τοὺς πλέον λαβεῖν οἰομένους τῆς οἰήσεως κατασπῶν· τί φυσᾷς ἑαυτὸν πλέον ἔχειν δοκῶν; ἀσθενείας σου τοῦτο μαρτύριόν ἐστιν, ὅτι πλειόνων ἐδεήθης. τί καταπίπτεις ἔλαττον ἔχειν δοκῶν; ἰσχύος σου τοῦτο τεκμήριόν ἐστιν, ὅτι ἐλαττόνων σε δεηθέντα παρέδειξεν ὁ Θεός. καὶ σκόπει πῶς ἤρξατο μὲν καταβραχὺ πρὸς τὴν χρείαν ἰσάζειν αὐτούς· κἂν ἀνίσων ἐδοκοῦν τῶν χαρισμάτων τυχεῖν· ἔπειτα δὲ καὶ πλέον ἐπῆρεν τοὺς ἐλαττοῦσθαι δοκοῦντας. μᾶλλον γὰρ οἱ ἀθυμοῦντες δέονται παραψυχῆς, ἢ οἱ ἀλαζονευόμενοι φειδοῦς καὶ ἐπιεικοῦς ἐπιτιμήσεως. εἶτα ταῦτα εἰπὼν, πάλιν ἀναβιβάζει αὐτοὺς εἰς τὴν ὁμοτιμίαν καὶ ὁμόνοιαν· ἵνα μὴ ᾖ φησὶν σχίσμα ἐν τῷ σώματι· ἀλλὰ τὸ αὐτὸ ἀλλήλων μεριμνῶσι τὰ μέλη καὶ ἑξῆς.

27 Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους.
28 καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον Ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν.

Θεοδωρίτου. Οὐ γὰρ ἡμεῖς μόνοι· ἀλλὰ πάντες οἱ κατὰ τὴν οἰκουμένην πεπιστευκότες· τοῦτο γὰρ τὸ ἐκ μέρους προστέθεικεν.

Θεοδώρου. Οὕτω δὴ καὶ ὑμεῖς· ἐπειδὴ τάξιν ἐπέχετε σώματος ἐκ διαφόρων συγκειμένου μελῶν, τῇ δυνάμει τοῦ Πνεύματος εἰς τὴν τοῦ δεσποτικοῦ σώματος καταστάντες συνάφειαν· ταύτην

ἀναγκαίως σώζετε τὴν συμφωνίαν μηδεμίαν ἀπὸ τῆς διαφορᾶς τῶν χαρισμάτων δεχόμενοι φιλονεικίας παρείσδυσιν.

Ἰωάννου. Τί ἐστιν ἐκ μέρους; τό τε εἰς ὑμᾶς ἧκον, καὶ ὅσον ἐξ ὑμῶν οἰκοδομηθῆναι μέρος. ἐπειδὴ γὰρ εἶπεν σῶμα· τὸ δὲ πᾶν σῶμα ἦν, οὐχ ἡ παρὰ Κορινθίοις Ἐκκλησία, ἀλλ' ἡ πανταχοῦ τῆς οἰκουμένης, διὰ τοῦτο ἔφησεν ἐκ μέρους.

Σευηριανοῦ. Οὐκ εἶπεν μέλη ἐκ μελῶν, ἀλλὰ μέλη πολλὰ ἐκ μέλους ἑνός. μέλος γὰρ ἡ κεφαλὴ τοῦ ὅλου σώματος.

Τοῦ αὐτοῦ. Ἐπειδὴ μελῶν μέμνηται καὶ σώματος, ἄρχεται ἀπὸ τοῦ τιμιωτέρου τῶν ἄλλων μελῶν τῶν μετὰ τὴν κεφαλὴν τῶν Ἀποστόλων· προφήτας δὲ λέγει τοὺς ἐν τῇ ἐκκλησίᾳ· οὐ τοὺς ἐν νόμῳ· τρίτον διδασκάλους. μὴ θαυμάσῃς εἰ πρὸ τῶν τὰς ἰάσεις καὶ τὰς δυνάμεις ἐπιτελούντων, τέθειται διδάσκαλος· τὰ γὰρ σημεῖα, ἵνα πιστευθῇ ἡ γνῶσις· ἡ δὲ γνῶσις διὰ τῶν διδασκόντων παρίσταται. "ἀντιλήψεις." τοῦτο ἀλλαχοῦ λέγει, "ὁ προϊστάμενος ἐν σπουδῇ." "κυβερνήσεις·" αἱ διοικήσεις αἱ ἐκκλησιαστικαί.

Ἰωάννου. Ἐπειδὴ μέγα ἐφρόνουν ἐν ταῖς γλώσσαις· ἔσχατον αὐτὸ τίθησι πανταχοῦ· τὸ γὰρ πρῶτον ἐνταῦθα καὶ δεύτερον οὐχ ἁπλῶς εἴρηκεν. ἀλλὰ προτάττων τὸ προτιμότερον, καὶ τὸ καταδεέστερον δεικνύς. διὸ καὶ τοὺς Ἀποστόλους προὔθηκεν, οἱ πάντα εἶχον ἐν ἑαυτοῖς τὰ χαρίσματα. προφήτας δὲ καὶ αὐτὸς τοὺς ἐν τῇ νέᾳ φησί. πολλῷ γὰρ πλείους τότε ἦσαν φησὶν, ἢ ἐπὶ τῆς παλαιᾶς. οὐ γὰρ εἰς δέκα ἢ εἴκοσι ἢ ἑκατὸν περιέστηκε τὸ χάρισμα, ἀλλ' ἐξεχεῖτο δαψιλῶς ἡ χάρις αὕτη. καὶ ἑκάστη ἐκκλησία πολλοὺς εἶχεν τοὺς προφητεύοντας. εἰ δὲ φησὶν ὁ Χριστὸς "ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου" περὶ ἐκείνων φησὶν, τῶν προφητῶν, τῶν τὴν παρουσίαν αὐτοῦ προαναφωνησάντων. τρίτον διδασκάλους· ὁ μὲν γὰρ προφητεύων, πάντα ἀπὸ τοῦ Πνεύματος φθέγγεται. ὁ δὲ διδάσκαλος ἔστιν ὅτε καὶ ἀπὸ οἰκείας ἐννοίας διαλέγεται. διὰ δὴ τοῦτο μετὰ τὸν προφήτην αὐτὸν τέθεικεν, ὅτι τὸ μὲν ἔστιν ὅλον χάρισμα, τὸ δὲ καὶ ἀνθρώπινος πόνος. ἔπειτα "δυνάμεις," ἔπειτα "χαρίσματα ἰαμάτων·" ὁρᾷς πῶς πάλιν διαιρεῖ τὰ χαρίσματα ἀπὸ τῶν ἰαμάτων; ὅπερ καὶ ἐμ-

πρόσθεν ἐποίησεν· ὁ μὲν γὰρ δύναμιν ἔχων, καὶ κολάζει καὶ ἰᾶται· ὁ δὲ χαρίσματα ἰαμάτων, θεραπεύει πόνον.

Καὶ ὅρα πῶς ἀρίστῃ κέχρηται τῇ τάξει· τὴν προφητείαν τῶν δυνάμεων καὶ τῶν ἰαμάτων προτίθησιν· ἀνωτέρω μὲν γὰρ ἔλεγεν ὅτι τῷ μὲν διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας· καὶ ἄλλῳ λόγος γνώσεως· οὐ κατὰ τάξιν τιθεὶς, ἀλλ' ἀδιαφόρως· ἐνταῦθα μέντοι προτίθησι καὶ ὑποτάττει. τίνος οὖν ἕνεκεν τὴν προφητείαν προτίθησιν; ὅτι καὶ ἐν τῇ παλαιᾷ ταύτην ἔχει τὸ πρᾶγμα τὴν τάξιν· ὅτε γοῦν ὁ Ἡσαίας πρὸς Ἰουδαίους διελέγετο, καὶ τῆς τοῦ Θεοῦ δυνάμεως παρεῖχεν ἀπόδειξιν, καὶ τῆς τῶν δαιμόνων εὐτελείας· τοῦτ' αὐτὸ ἔφησε τῆς θεότητος εἶναι δεῖγμα μέγιστον τὸ λέγειν τὰ μέλλοντα· καὶ ὁ Χριστὸς δὲ τοσαῦτα σημεῖα ποιήσας, οὐ μικρὸν τοῦτο τῆς θεότητος αὐτοῦ εἶναι λέγει σημεῖον· καὶ ἐπιλέγει συνεχῶς, "ταῦτα εἴρηκα ὑμῖν· ἵνα ὅτ' ἂν "γένηται, πιστεύσητε ὅτι ἐγώ εἰμι." διατί δὲ καὶ τὰς διδασκαλίας προστίθησιν; ὅτι οὐκ ἔστιν ἴσον λόγον καταγγέλλοντας τοῦ κηρύγματος σπείρειν τὴν εὐσέβειαν εἰς τὰς τῶν ἀκουόντων ψυχὰς καὶ δυνάμεις ποιεῖν· ἐπεὶ καὶ αὗται δι' ἐκεῖνον γίνονται· ὅτ' ἂν οὖν τις καὶ λόγῳ παιδεύῃ καὶ βίῳ, πάντων ἐστὶ μείζων· διδασκάλους γὰρ τούτους φησίν· εἰ δὲ τοὺς προφήτας προτίθησι, μὴ θαυμάσῃς· οὐ γὰρ ἁπλῶς προφήτας τίθησιν, ἀλλὰ τοὺς διὰ τῆς προφητείας καὶ διδάσκοντας, καὶ εἰς τὸ κοινῇ συμφέρον ἅπαντα λέγοντας. ἅπερ προϊὼν σαφέστερον ἡμῖν ποιεῖ. τί δέ ἐστιν ἀντιλήψεις; ὥστε ἀντέχεσθαι τῶν ἀσθενῶν· τοῦτο οὖν χάρισμά ἐστιν. μάλιστα μὲν καὶ τοῦτο τῆς τοῦ Θεοῦ δωρεᾶς τὸ προστατικὸν εἶναι τὸ πρᾶγμα, τὸ οἰκονομεῖν πνευματικά· ἄλλως τε πολλὰ καὶ τῶν ἡμετέρων κατορθωμάτων χαρίσματα καλεῖ· δεικνὺς ὅτι πανταχοῦ τῆς τοῦ Θεοῦ δεόμεθα βοηθείας, καὶ παρασκευάζων εὐχαρίστους εἶναι.

Θεοδωρίτου. Ἀποστόλους οὐ μόνους λέγει δώδεκα, ἀλλὰ καὶ τοὺς ἑβδομήκοντα, καὶ τοὺς μετὰ ταῦτα τῆς χάριτος ταύτης τετυχηκότας. καὶ γὰρ καὶ αὐτὸς ὕστερον κληθεὶς, τῆς χειροτονίας ταύτης τετύχηκεν· καὶ ὁ μακάριος δὲ Βαρνάβας, καὶ ἕτεροι πρὸς τούτοις μυρίοι. καὶ τὸν Ἐπαφρόδιτον δὲ Ἀπόστολον τῶν Φιλιπ-

πησίων καλεῖ. "ὑμῶν γάρ," φησίν, "ἀπόστολον καὶ συνεργὸν "τῆς χρείας μου."

Ὠριγένους. Ἐκεῖ μᾶλλον τὸν λόγον ἐν τάξει τετήρηκεν. ἐνταῦθα δὲ ὡσεὶ ἀποκληρωτικῶς ἐπέρχεται, καὶ κατὰ τὸ ἐπελθὸν αὐτῷ μνημονεύει τῶν χαρισμάτων. πλὴν καὶ οὕτως ἐκ τοῦ δευτέρου ῥητοῦ ἀναφωνεῖ, ὅτι ἐλάττονα τὰ χαρίσματά ἐστι παρὰ τὰς δυνάμεις ἐνεργούμενα τοῦ χαρίσματος, τοῦ κατὰ τὴν ἀποστολὴν καὶ τὴν προφητείαν καὶ τὴν διδασκαλίαν. εἰ μὴ ἄρα τις δύο εἴδη προφητείας δώσει· ἵνα καὶ ἐνθάδε τηρήσῃ τὸ τὴν τάξιν σώζεσθαι. ὥστε εἶναι τινὰ μὲν προφητείαν ὑπερβεβηκυῖαν, τινὰ δὲ προφητείαν ἀναβεβηκυῖαν. τὴν μὲν γὰρ καθολικωτέραν καὶ μιμουμένην τὰς προφητείας Ἡσαίου καὶ Ἱερεμίου δευτέραν τάξιν μετὰ τὴν ἀποστολὴν ἐρεῖ. ταύτην δὲ τὴν τελευταίαν τεταγμένην τάξιν μετὰ τὰ εἰρημένα χαρίσματα τοιαύτην οὖσαν. "ἐὰν δὲ προφητεύητε, εἰσέλθῃ δέ τις ἄπιστος "ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων· ἀνακρίνεται ὑπὸ πάντων." τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται· καὶ οὕτως πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ Θεῷ, καὶ ἀπαγγελεῖ ὅτι ὄντως Θεὸς ἐν ὑμῖν ἐστιν. τοῦτο γὰρ οὐ μακράν ἐστι τοῦ ἐνεργήματος τῶν δυνάμεων· καὶ χαρίσματος ἰαμάτων ἐπὶ ἐκπλήξει γινομένων τῶν ὁρώντων· ἵνα ὁ προφητεύων εἴπῃ, τόδε ἔχεις ἐν τῇ καρδίᾳ σου, ἀπὸ δὲ τοῦ ἁμαρτήματος ἐλήλυθας ἐπὶ τὴν ἐκκλησίαν. δύναται δὲ καὶ αὕτη ἡ προφητεία τάξει εἶναι ὑστέρα παρὰ τὰ πρότερα, κἀκείνη ἡ θειοτέρα καὶ μείζων δευτέρα εἶναι· περὶ ἧς λέγει "ὁ Θεός, "ἔθετο ἐν τῇ ἐκκλησίᾳ πρῶτον Ἀποστόλους, δεύτερον προφήτας· "τρίτον διδασκάλους," εἰς κατασκευὴν τοῦ δύο σημαίνεσθαι ἀπὸ τοῦ τῆς προφητείας ὀνόματος τὰ εἰρημένα προεθέμην ἃ προεῖπον· ὅρα εἰ δύναμαι ἔτι παραστῆσαι σαφέστερον τὸ λεγόμενον. ὁ Θεὸς ἔθετο ἐν τῇ Ἐκκλησίᾳ πρῶτον Ἀποστόλους, ἀλλ' οὐ πάντες Ἀπόστολοι· ἐὰν γὰρ πάντες Ἀπόστολοι, τίσι διακονοῦνται τὴν ἀποστολήν; δεύτερον προφήτας. οὐ πάντες προφῆται· κατὰ δὲ τὴν ἄλλην προφητείαν· "ἐὰν δὲ πάντες προφητεύητε· εἰσέλθῃ δὲ ἄπιστος ἢ "ἰδιώτης," οὐχ ὡς ἀδυνάτου ἀλλ' ὡς δυνατοῦ ὄντος τοῦ πάντας οὕτως προφητεύειν. δύο οὖν σημαινόμενά ἐστιν ἀπὸ τοῦ τῆς προφητείας ὀνόματος· διὸ καὶ ἐνθάδε τετήρηται ἡ τάξις τῷ Ἀποστόλῳ ἡ λέγουσα· "πρῶτον Ἀποστόλους, δεύτερον προφήτας," καὶ τὰ ἑξῆς.

ταῦτα μὲν ὡς περὶ τῆς τάξεως. ἐπεὶ δὲ ἔδοξεν ἡμᾶς θλίβειν τὸ "ἄλλῳ δὲ προφητεία·" τελευταῖα τεταγμένη ἐν ἄλλῃ λέξει.[a]

29 Μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται; μὴ
30 πάντες διδάσκαλοι; μὴ πάντες δυνάμεις; μὴ πάντες
χαρίσματα ἔχουσιν ἰαμάτων; μὴ πάντες γλώσσαις
31 λαλοῦσι; μὴ πάντες διερμηνεύουσι; ζηλοῦτε δὲ τὰ
χαρίσματα τὰ κρείττονα· καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν
ὑμῖν δείκνυμι.

Θεοδωρίτου. Πάλιν διὰ τούτων ἐψυχαγώγησεν τοὺς τὰ ἐλάττονα δοκοῦντας εἰληφέναι χαρίσματα, καὶ σαφῶς ἐδίδαξεν ὡς οὐχ οἷόν τε πάντας τὰ αὐτὰ ἔχειν· καὶ ὅτι ἀλλήλων προσδέονται, ὥσπερ τῆς ἀλλήλων ἐπικουρίας δεῖται τά μέλη.

Θεοδώρου. Ἀντὶ τοῦ ὅλως γὰρ ἐφίεσθε τῶν μειζόνων χαρισμάτων· εἰ ὄντως ἐφίεσθε, ἐγὼ ὑμᾶς ἐπὶ ταῦτα προοδηγήσω προθύμως. τοῦτο γὰρ ἐπήγαγεν, "καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι." τοῦτ' ἔστι τῶν καθ' ὑπερβολὴν μειζόνων χαρισμάτων δείκνυμι τὴν ὁδόν· καὶ διδάσκει αὐτοὺς ὡς τούτων ἁπάντων κρείττων ἡ περὶ τοῦ πέλας ἀγάπη.

Σευηριανοῦ. Διὰ τοῦτο δείκνυσιν ὅτι μέγα ἐφρόνουν ἐπὶ τῷ χαρίσματι τῶν γλωσσῶν· ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις χαρίσμασι· δείκνυσιν οὖν ὅτι τὸ μέγιστον ἡ ἀγάπη ἐστίν. ἐκεῖνα μὲν γὰρ χαρίσματά ἐστιν καὶ τοῖς ἀναξίοις διὰ τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας διδόμενα. τὸ δὲ τῆς ἀγάπης κατόρθωμα τοῦ εὐσεβοῦς. τοῦτο οὖν λέγει. ποθεῖτε τὰ χαρίσματα τὰ κρείττονα· καὶ ἰδὸν ὑμῖν δείκνυμι τὴν ἄγουσαν ὑμᾶς ἐπὶ τὴν τῶν κρειττόνων χαρισμάτων ἀπόλαυσιν· ὁδὸν δὲ τὴν ἀγάπην· ὁ γὰρ ἀγαπῶν νόμον πληροῖ· ὁ δὲ νόμον πληρῶν εὐδοκιμεῖ. ὁ δὲ εὐδοκιμῶν λαμβάνει χάρισμα πνευματικόν.

Ἰωάννου. Εἶτα ἵνα μὴ τῇ τάξει ταύτῃ καὶ τῷ φανερῶσαι τὰ μείζονα καὶ τὰ μικρότερα χαρίσματα, πάλιν λύπην ἐμβάλῃ τοῖς τὰ ἐλάττονα ἔχουσιν, ἄκουσον τί φησίν· "μὴ πάντες Ἀπόστολοι ἢ προφῆται;" εἰ γὰρ πάντες ἓν ἦτε, οὐκ ἔτι διάφορα μέλη. εἰ πάντες, φησὶν, ἦτε προφῆται, ποῦ οἱ Ἀπόστολοι; εἰ πάντες Ἀπόστολοι· ποῦ οἱ διδάσκαλοι; ὥστε φησὶν ἡ τάξις

[a] Nullum est lacunæ indicium in Cod.

αὕτη καὶ συμφέρουσα καὶ ὠφελιμωτέρα, ἵνα ἕκαστος τοῦ πλησίον δέηται. "ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα·" ἠρέμα καὶ ἠνίξατο αὐτοὺς ὅτι ὑμεῖς, φησὶν, αἴτιοι τοῦ μεγάλα λαβεῖν χαρίσματα διὰ τὴν ῥαθυμίαν ὑμῶν. τοῦτο γὰρ τὸ "ζηλοῦτε" ἐμφαίνει· ἀλλ' οὐκ εἶπεν μεγάλα ἀλλὰ "τὰ κρεῖττονα·" τοῦτ' ἔστι τὰ ὠφελιμώτερα καὶ δυνάμενα μᾶλλον τὴν ἐκκλησίαν ὠφελεῖν. καὶ ἔτι καθ' ὑπερβολήν. ἐὰν ὅλως, φησὶ, ζηλωταὶ ἐστὲ κρειττόνων χαρισμάτων, δείκνυμι ὑμῖν καθ' ὑπερβολὴν κρεῖττον χάρισμα· τὴν ἀγάπην δὲ μέλλει δεικνύειν, καὶ ὅρα, οὐκ εἶπεν καθ' ὑπερβολὴν χάρισμα ὑμῖν δείκνυμι, ἀλλ' "ὁδόν·" σημαίνων ὁδὸν εἶναι τὴν ἀγάπην, εἰς πάντα ἀπάγουσαν τὰ χαρίσματα· καὶ ὁ ταύτην κτησάμενος δι' αὐτῆς ὁδεύσει καὶ εἰς τὰ λοιπὰ χαρίσματα.

ΦΩΤΙΟΥ. Τὸ "*ζηλοῦτε δὲ τὰ χαρίσματα,*" *δοκῶ μοι μὴ κατὰ παραίνεσιν καὶ ἀπόφασιν εἰρηκέναι· πῶς γὰρ ὅ γε πολλάκις πρός τε τὸ συμφέρον εἰπὼν λαβεῖν ἕκαστον τὸ χάρισμα, καὶ μηδὲν διαφέρειν πολλάκις ἐνδειξάμενος τὸν δοκοῦντα ἔχειν τὸ μεῖζον χάρισμα, πρὸς τὸν ἔχοντα τὸ ἔλαττον;. ἀλλ' εἰρῆσθαί μοι δοκεῖ τῷ θεσπεσίῳ* Παύλῳ *κατ' ἐρώτησιν· "ζηλοῦτε" φησὶν "τὰ "χαρίσματα τὰ κρείττονα;" καὶ οὔπω ὑμᾶς ἐπείσαμεν μὴ ἀθυμεῖν ἐπὶ τοῖς ἐλάττοσιν· ἀλλ' ἔτι ἐρασταὶ καὶ ζηλωταὶ τῶν μειζόνων ἐστέ· ἐγὼ δὲ ἔτι πρὸς τοῖς εἰρημένοις μέθοδον ὑμῖν καὶ ὁδὸν δείκνυμι, δι' ἧς οὐδὲν τούτων τῶν χαρισμάτων τῶν μεγίστων δεηθέντες, καθ' ὑπερβολὴν ἂν τῶν ἄλλων μείζους ὡς ἀληθῶς καὶ τελειότεροι φανείητε· τί οὖν ἔστιν τοῦτο; ἁπλοῦν καὶ ἄκοπον καὶ ἐκ τοῦ ῥᾴστου παραγινόμενον. τί οὖν ἐστιν; τί δὲ ἄλλο, ἀλλ' ἡ ἀγάπη; ταύτην γὰρ ὁ καθαρῶς ἀναλαβὼν, πάντων προέχει, πάντων ὑπερβέβηκεν· ὁ δὲ ταύτην μὴ ἔχων, πάντων ἐκπέπτωκεν· πάντων ἐστὶν ἔρημος. ἂν δὲ τὴν ἀγάπην ἔχωμεν, οὔτε περὶ χαρισμάτων ἀλλήλοις ἐρίσαντες μικρολογησόμεθα, οὔτ' ἄλλό τι τῶν οὐ προσηκόντων ὑμῖν ἅψεται.*

1 *Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν
ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν
2 ἢ κύμβαλον ἀλαλάζον. καὶ ἐὰν ἔχω προφητείαν, καὶ
εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ*

ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐθέν εἰμι.

Σευηριανοῦ. Καὶ τίς γλῶσσα Ἀγγέλων· παρ' οἷς οὐ στῆθος, οὐ λάρυγξ, οὐ γλῶσσα, οὐ φωνή; ἀλλ' ἐπειδὴ ὡς λέγει Μωϋσῆς ἐν τῷ Δευτερονομίῳ, "ἔστησεν ὁ Θεὸς ὅρια ἐθνῶν κατὰ ἀριθμὸν Ἀγγέλων Θεοῦ, τότε δὲ δηλαδὴ ἔστησεν, ὅτε εἰς γλώσσας ἐμέρισεν τοὺς τὸν πύργον οἰκοδομεῖν ἐπιχειρήσαντας· ἐπειδὴ γὰρ οὐκ ἔτι ἀπὸ τῆς ὁμοφωνίας ἐφυλάττοντο εἰς συμφωνίαν. ἀλλ' ὥσπερ ἠλλοτριώθησαν ἀλλήλων ταῖς τῆς γλώσσης ἐναλλαγαῖς, ἐτέθησαν Ἄγγελοι, ἵνα ἕκαστος φυλάσσῃ ὃ ἐπιστεύθη ἔθνος· καὶ μηδὲν παραναλωθῇ, καὶ ἀπόληται· διὰ τοῦτο Ἀγγέλων γλώσσαις καλεῖ, τὴν διαφορὰν τῶν γλωσσῶν· δεῖ δὲ εἰδέναι ὅτι ὥσπερ "ἄρτον "Ἀγγέλων" λέγει ὁ Δαβὶδ, οὐχ ὡς ἐσθιόντων· οὕτως καὶ Ἀγγέλων γλώσσας οὐχ ὡς λαλούντων. ἐκεῖνό τε γὰρ καὶ τοῦτο, ὡς ὑπουργούντων τῇ τοῦ Θεοῦ διατάξει. ἀνθρώπων μὲν οὖν γλῶσσα ἡ πεπαιδευμένη. ἐπείσακτος γὰρ αὕτη παρὰ τὴν φυσικὴν, ἡ ἔνταγνος[b]· Ἀγγέλων δὲ γλῶσσα, ἡ κατὰ φύσιν εἰς πολλὰ μερισθεῖσα· "γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον·" ἐντεῦθεν φαίνεται ὅτι Ἀγγέλων λέγει τὴν ἐναλλαγὴν τῶν γλωσσῶν καὶ τὴν διαφοράν· ὁ γὰρ λαλῶν ἄλλαις γλώσσαις παρὰ τοῖς οὐκ εἰδόσιν αὐτὰς, ὥσπερ κύμβαλόν ἐστι μόνον ἦχον ἀποτελοῦν, νόημα δὲ οὐδὲν ἐπιδεικνύμενον.

Θεοδώρου. Πρῶτον ἁπάντων τέθεικεν τὴν παρεξέτασιν ποιούμενος. τὸ χάρισμα τῶν γλωσσῶν· ἐπειδὴ τοῦτο ἐδόκει παρὰ τοῖς μεῖζον εἶναι τῶν ἄλλων. μεῖζον δὲ αὐτὸ ὑπέλαβον, ἐπειδὴ πρὸ τῶν ἄλλων ἁπάντων τοῖς Ἀποστόλοις ἐδόθη κατὰ τὴν τῆς Πεντηκοστῆς ἡμέραν τοῦ Παναγίου ἐπιφοιτήσαντος Πνεύματος· λέγει τοίνυν ὅτι κἂν πάσας εἰδῶ τὰ τῶν ἀνθρώπων φωνὰς, πρὸς δὲ τούτοις καὶ τὰς τῶν ἀοράτων δυνάμεων, τὴν δὲ περὶ τὸν πέλας ἀγάπην μὴ ἔχω, τῶν ἀψύχων ὀργάνων οὐδὲν διενήνοχα· Ἀγγέλων δὲ γλώττας οὐκ αἰσθητὰς λέγει, ἀλλὰ νοητὰς τίνας, δι' ὧν καὶ τὸν τῶν ὅλων ὑμνοῦσι Θεόν· καὶ ἀλλήλοις προσδιαλέγονται· ἤκουσεν γὰρ αὐτῶν καὶ Ἡσαίας ὑμνούντων καὶ Ἰεζεκιήλ· καὶ

[b] An ἔντακτος?

μέντοι καὶ Δανιὴλ προσδιαλεγομένων αὐτῶν ἀκήκοεν, Ζαχαρίας[c] καὶ Μιχαίας. τέθεικεν δὲ αὐτὸ ὁ θεῖος Ἀπόστολος ὑπερβολικῶς· δεῖξαι βουλόμενος τῆς ἀγάπης τὸ κέρδος.

Ὠριγένους. Ζητοῦμεν ἐνταῦθα εἰ δύναταί τις ἐν τῷ βίῳ τούτῳ καὶ προφητείαν ἔχειν, καὶ τὰ μυστήρια ἅπαντα γνῶναι χωρὶς ἀγάπης· καὶ ὅλως εἰ δίδοταί τινι τὰ μυστήρια πάντα γνῶναι. φησὶ γὰρ ὁ Παῦλος "εἴ τις δοκεῖ ἐγνωκέναι τι, οὔπω "ἔγνω καθὼς δεῖ γνῶναι." καὶ πάλιν· "ἐκ μέρους," φησὶ, "γινώσκομεν· καὶ ἐκ μέρους προφητεύομεν· ὅτ' ἂν δὲ ἔλθῃ τὸ "τέλειον, τὸ ἐκ μέρους καταργηθήσεται." τὸ δὲ ταῦτα λέγειν περὶ ἑαυτοῦ καὶ τῶν παραπλησίων Ἀποστόλων αὐτῷ, δηλοῖ ὅτι οὐ δυνατόν ἐστιν εἰδέναι πάντα τὰ μυστήρια καὶ πᾶσαν τὴν γνῶσιν. πῶς οὖν ὡς δυνατοῦ ὄντος τοῦ εἰδέναι πᾶσαν τὴν γνῶσιν καὶ πάντα τὰ μυστήρια ἐπίστασθαι ταῦτα φησίν; ἐὰν ἴδωμεν τὸ προοίμιον τῶν λόγων ἐν οἷς φησὶ "καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν "ὑμῖν δείκνυμι," καὶ νοήσωμεν τί ἐστιν ὑπερβολὴ, ταῦτα πάντα ἔσται σεσαφηνισμένα. ὑπερβολὴ τοίνυν ἐστὶν, ὡς καὶ Ἕλληνες ὁρίσαντο, λόγος ἐμφάσεως ἕνεκεν, ὑπεραίρων τὴν ἀλήθειαν. καὶ χρῶνται ἐκεῖνοι παραδείγματι, ὅτι λευκότεροι χιόνος λέγονταί τινες εἶναι· οὐχ ὅτι δυνατόν τι εἶναι λευκότερον χιόνος, ἀλλὰ καθ' ὑπερβολὴν λέλεκται· καὶ ἔτι, τρέχουσί τινες ἵπποι ὡς ἄνεμος· οὐχ ὅτι δυνατόν ἐστι τὸ τοιοῦτον, ἀλλ' ἐμφάσεως ἕνεκεν, ἵνα τὸ τάχος τῶν ἵππων παραστῇ, λέγεται τὸ τοιοῦτον περὶ αὐτῶν· καὶ ἐν τῇ γραφῇ δὲ λέγεται τῶν Ψαλμῶν περὶ τῆς θαλάσσης· "ἀναβαίνουσι τὰ κύματα αὐτῆς ἕως τῶν οὐρανῶν, καὶ καταβαίνουσιν "ἕως τῶν ἀβύσσων." ὅπερ ἀδύνατον· ἀλλ' ἐμφάσεως ἕνεκεν εἴρηται. καὶ ἐν τῷ νόμῳ δὲ εὑρήσεις γεγραμμένον τῆς ὑπερβολῆς τὸν τρόπον ἔνθα γέγραπται, "εἴδομεν πόλεις μεγάλας καὶ τειχήρεις ἕως τοῦ οὐρανοῦ." πῶς δὲ τοῦτο δύναται εἶναι; ἀλλ' ὑπερβολικῶς λέγεται. οὐ πάντως αὐτὸ τὸ δηλούμενον παριστῶντος τοῦ λόγου, ἀλλ' ἵνα δηλώσῃ τὸ μέγεθος τῶν κυμάτων, ἢ τὴν ταπείνωσιν· ἢ τὸ μέγεθος τῶν τειχῶν, ἤτοι τούτοις παραπλήσιον. οὕτω καὶ ἐνθάδε ὑπόθεσιν λαμβάνει ὁ Ἀπόστολος ὑπὲρ τοῦ ἐξε-

[c] Ζαχαρίας Cod.

τασθῆναι φύσιν χαρισμάτων φύσιν ἀγάπης· οὐχ ὅτι δυνατόν ἐστι εἶναι χάρισμα καὶ ταῦτα τηλικοῦτον χωρὶς ἀγάπης· ἢ ὅτι δυνατὸν ἐν τῷ βίῳ τούτῳ εἰδέναι τινὰ πᾶσαν τὴν γνῶσιν χωρὶς ἀγάπης, ἢ ἔχειν πίστιν τηλικαύτην ὥστε ὄρη μεθιστάνειν· ἀλλὰ βουλόμενος παραστῆσαι ὅτι εἰ ἐν ζυγῷ τεθείη ἡ ἀγάπη καθ᾽ ὑπόθεσιν εἰρημένου τοῦ λόγου. δεῖ οὖν, φησὶ, μάλιστα ζηλοῦν τὴν ἀγάπην.

Ἄρα δὲ Ἄγγελοι διαλεγόμενοι πρὸς ἀλλήλους, ταύταις ταῖς γλώσσαις διαλέγονται αἷς καὶ ἄνθρωποι· ὥστε τῶν Ἀγγέλων τινὰς μὲν Ἕλληνας εἶναι τυχόν· τινὰς δὲ Ἑβραίους, καὶ ἄλλους Αἰγυπτίους; ἢ τοῦτο ἄτοπον λέγειν περὶ τῶν ἄνω ἀγγελικῶν ταγμάτων; μή ποτε οὖν ὥσπέρ εἰσιν ἐν ἀνθρώποις διάλεκτοι πολλαὶ, οὕτως εἰσὶ καὶ ἐν Ἀγγέλοις· καὶ ἐὰν ὁ Θεὸς ἡμῖν χαρίσηται ἀπὸ τῆς ἀνθρωπίνης φύσεως ἐπὶ τὴν ἀγγελικὴν καταταγὴν, τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ ἐπαγγελίαν λέγοντος, "ἰσάγγελοι ἔσονται καὶ Υἱοὶ Θεοῦ, "τῆς ἀναστάσεως υἱοὶ ὄντες," οὐκ ἔτι χρησόμεθα διαλέκτῳ ἀνθρώπων, ἀλλὰ διαλέκτῳ τῇ ἀγγελικῇ· καὶ ὥσπερ ἄλλη διάλεκτος παιδίων, καὶ ἄλλη τετρανωμένων τὴν φωνὴν, οὕτως πᾶσα ἐν ἀνθρώποις διάλεκτος οἱονεὶ παιδίων ἐστὶν διάλεκτος· ἡ δὲ ἀγγελικὴ οἱονεὶ ἀνδρῶν ἔστι τελείων καὶ τετρανωμένων· ἴσως δὲ κακεῖ κατὰ τὴν ἀναλογίαν τῆς καταστάσεως καὶ διάλεκτοί εἰσιν· "ἐὰν" οὖν "ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ, καὶ τῶν ἀγγέλων, ἀγάπην "δὲ μὴ ἔχω, γέγονα καλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον." ὥσπερ ὁ χαλκὸς ἠχῶν ἄσημον δίδωσι φωνήν· ὥσπερ τὸ κύμβαλον τὸ ἀλαλάζον οὐδὲν τρανὸν, τὸν αὐτὸν τρόπον χωρὶς μὲν ἀγάπης γλῶσσα κἂν Ἀγγέλων ἐν ἀνθρώποις καθ᾽ ὑπόθεσιν ᾖ, ἀτρανωτός ἐστιν· οὐδὲν γὰρ ποιεῖ τῶν ἀνθρώπων ἤτοι τῶν Ἀγγέλων τρανῆ καὶ σαφῆ, ὡς ἡ ἀγάπη· ἀγάπης δὲ μὴ παρούσης, τὸ λαλούμενον οὐδέν ἐστιν· τίς δὲ ἡ διαφορὰ τῆς γνώσεως καὶ τῆς τῶν μυστηρίων εἰδήσεως; περὶ δύο γὰρ πραγμάτων ὁ Ἀπόστολος λέγει· ἡγοῦμαι τοίνυν τὸ μὲν περὶ τῶν φανερῶν εἰδέναι τὴν γνῶσιν εἶναι γενικωτέραν οὖσαν τῶν μυστηρίων· ἐν μέρει γὰρ τῆς γνώσεως ἡ τῶν μυστηρίων ἐστὶν ἐπιστήμη· τὸ δὲ περὶ τῶν ἀπορρητοτέρων καὶ θειοτέρων εἰδέναι τοῦτ᾽ εἶναι τὸ μυστήριον γινώσκειν, ὡς εἶναι γενικὸν μὲν λόγον τῆς γνώσεως, οὐκ ἔτι δὲ πάσης τῆς γνώσεως

εἶναι τὴν κατάληψιν μυστηρίων περὶ ὧν λέλεκται· ἀλλὰ "λαλοῦ-" "μεν Θεοῦ σοφίαν ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην, ἣν προώ-" "ρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ὑμῶν." ὅτ' ἂν γὰρ εἰδῶ ταῦτα, τότε ἔχω τὴν γνῶσιν τῶν μυστηρίων· "κἂν ἔχω πᾶσαν" "τὴν πίστιν ὥστε ὄρη μεθιστάνειν" γέγραπται ἐν τῷ εὐαγγε-λίῳ· "ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει" "τούτῳ, ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ μεταβήσεται·" "καὶ οὐδὲν ὑμῖν ἀδυνατήσει." ὁ γὰρ ἔχων πίστιν ὡς κόκκον σινά-πεως ὅλην ἔχει τὴν πίστιν.

Ἰωάννου. Γλώσσαις Ἀγγέλων εἰπὼν, οὐ σῶμα τοῖς ἀγγέλοις περιτίθησιν· ἀλλ' ἐκ τοῦ ἡμῖν ἐγνωσμένου φωνῆς ὀργάνου τὴν πρὸς αὐτοὺς τῶν ἀγγέλων ὁμιλίαν δηλοῖ. ὡς καὶ ἀλλαχοῦ φησὶν, ὅτι "αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων."

Τοῦ αὐτοῦ. Ποία οὖν αὕτη ἐστίν ὁδός; ποία ἡ ἀγάπη φησὶν, ἧς χωρὶς, οὐδὲ ἓν ἔνι χάρισμα ἐπωφελές; καὶ πρῶτον ἀπὸ τοῦ παρ' αὐτοῖς τιμίου τῶν γλωσσῶν ἄρχεται, καὶ φησὶν, ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων καὶ τῶν ἀγγέλων λαλῶ ἄνευ ἀγάπης· εἰκῇ καὶ μάτην καὶ εἰς οὐδὲν δέον φθέγγομαι· ὥσπερ τὰ ἄψυχα, ὁ χαλκὸς καὶ τὸ κύμβαλον.

Τοῦ αὐτοῦ. Θέλων δεῖξαι μέγαν τὴν ἀγάπην, αὔξει πρῶτον τὰ χαρίσματα, καὶ τότε φησὶν ἐκτὸς ἀγάπης οὐδὲν εἶναι. ἄνω γὰρ εἰπὼν, ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων καὶ Ἀγγέλων λαλῶ, ὅπερ ἦν μέγιστον· νῦν πάλιν ἐπὶ τῆς προφητείας τὸ αὐτὸ ποιεῖ· προφητείαν γὰρ ἐὰν ἔχω, οὐ τὴν τυχοῦσαν, φησὶν, ἀλλὰ τὴν ἀκροτάτην, τὴν τὰ μυστήρια καὶ τὴν γνῶσιν ἔχουσαν, ἄνευ ἀγά-πης οὐδὲν εἰμί· τοῦτο γὰρ κάτω ἀποδίδωσιν.

Τοῦ αὐτοῦ. Ὃ εἶπεν ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις μέγιστον, τὸ διὰ πίστεως ὄρη μεθιστᾶν, τοῦτο φησὶ μηδὲν εἶναι, ἀγάπης χωρίς· οὐκ εἶπεν μικρός εἰμι καὶ εὐτελὴς, ἀλλ' οὐδέν εἰμι.

Γενναδίου. Νῦν πίστιν οὐ τὴν τῶν πιστῶν ἔφη, τὴν κοινὴν καὶ καθολικήν· ἀλλὰ τὸ χάρισμα τὸ τῆς πίστεως· ἦν γάρ τι χαρίσματος εἶδος, ὁμωνύμως οὕτω τῇ πίστει λεγόμενον· ὅθεν ἐπὶ φανερώσει πνευματικῆς μετουσίας ἐχορηγεῖτο πολλοῖς ἐν τῷ τότε τῶν εὐσεβῶν. περὶ τούτου γὰρ ὁ Κύριος ἐν Εὐαγγελίοις φησὶν, "ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ

“ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ γενήσεται οὕτως.” οὐ δήπου γὰρ ὡς πρὸς ἀπίστους τὴν κοινὴν πίστιν ταῦτα πρὸς αὐτους διελέγετο.

Θεοδωρίτου. *Πίστιν ἐνταῦθα οὐ τὴν κοινὴν ταύτην λέγει· διὰ γὰρ δὴ τὴν τηνικαῦτα κατέχουσαν ἀπιστίαν, πολλὰ τοιαῦτα ἐθαυματούργουν εἰς ἔκπληξιν· διὰ τούτων ποδηγοῦντες πρὸς τὴν ἀλήθειαν.*

3 Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν
παραδῷ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ
4 ἔχω, οὐδὲν ὠφελοῦμαι. ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύ-
εται· ἡ ἀγάπη οὐ ζηλοῖ. ἡ ἀγάπη οὐ περπερεύεται, οὐ
5 φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ πα-
6 ροξύνεται, οὐ λογίζεται τὸ κακὸν, οὐ χαίρει ἐπὶ τῇ
7 ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ, πάντα στέγει, πάντα
8 πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει. ἡ ἀγάπη οὐ-
δέποτε ἐκπίπτει.

Ὠριγένους. *Κἂν ψωμίσω πάντά μου τὰ ὑπάρχοντα οὐ διὰ τὴν ἀγάπην· κἂν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσωμαι, ὡς δυνατοῦ ὄντος ψωμίσαι τινὰ τὰ ὑπάρχοντα, οὐ διὰ τὴν ἀγάπην ἀλλὰ διὰ κενοδοξίαν· καὶ ὡς δυνατοῦ ὄντος καὶ μαρτυρῆσαί τινα ἕνεκεν καυχήσεως, καὶ δόξης ἧς δοξάζονται ἐν ταῖς ἐκκλησίαις οἱ μάρτυρες. ἀγάπην αὐτὸν νῦν λέγειν, οὐ τὴν εἰς Θεὸν, ἀλλὰ τὴν εἰς τὸν πλησίον· πιστοῖς γὰρ, φησὶ, γράφει. καὶ ὅτι ὑπερβολικῶς εἴρηται πάντα τὰ νῦν λεχθέντα.*

Ὠριγένους. *Τὰ ἐγκώμια τῆς ἀγάπης τῆς ὑπερεχούσης τὰ χαρίσματα διεξέρχεται. ἔδει γὰρ αὐτὸν διδάξαι καὶ τί ἐστιν ἀγάπη, καὶ πῶς ἐστιν ὁ ἔχων τὴν ἀγάπην· “ἡ ἀγάπη μακροθυμεῖ.” εἰ ἔχεις μακροθυμίαν τὴν οὖσαν καρπὸν τοῦ Πνεύματος, ἔχεις αὐτὴν διὰ τὴν ἀγάπην· “χρηστεύεται·” τί χρηστότητι ἐναντίον; ἡ πονηρία. εἰ πονηρεύει κατά τινος, οὐκ ἔχεις τὴν ἀγάπην. εἰ χρηστὸς εἶ καὶ γλυκὺς πρὸς πάντας ἀνθρώπους, ἔχεις ἀγάπην· “ἡ “ἀγάπη οὐ ζηλοῖ·” εἰ ζῆλός ἐστιν ἔν σοι, ὁποῖος ἦν ἐν τῷ Καῒν πρὸς τὸν Ἄβελ· ἢ ὁποῖος ἦν ἐν τοῖς ἀδελφοῖς τοῦ Ἰωσὴφ πρὸς τὸν Ἰωσὴφ, οὐκ ἔχεις τὴν ἀγάπην· μαχόμενον πρᾶγμά ἐστι τὸ*

ἀγαπᾶν τῷ ζηλοῦν. "ἡ ἀγάπη οὐκ περπερεύεται·" ὅτ' ἄν τις προπετὴς ᾖ ἐπαγγελόμενος εἰδέναι ἢ περὶ τέχνης ἢ περὶ ἐπιστήμης ἢ περὶ γνώσεως, οὗτός ἐστιν ὁ περπερευόμενος, παρὰ τὸ μὴ ἔχειν τὴν ἀγάπην. "οὐκ ἀσχημονεῖ·" οὐδεὶς τὴν ἀγάπην ἔχων ἄσχημόν τι πράττει· ἐὰν οὖν πότε ἀδελφοὶ ἡμῶν ἄρρεν καὶ θήλεια, φάσκοντες κατὰ Θεὸν ἀλλήλους ἀγαπᾶν, δι' ἀσθενείαν πέσωσι προφάσει ἀγάπης, λέγομεν αὐτοῖς ὅτι οὐκ ἔχουσι τὴν ἀγάπην· "ἡ γὰρ ἀγάπη οὐκ ἀσχημονεῖ· οὐ ζητεῖ τὰ ἑαυτῆς." οὐδεὶς ἀγάπην ἔχων ζητεῖ τὰ ἑαυτοῦ· οἷον μητὴρ τὸ ἀγαπᾶν τὸν υἱὸν, ἢ πατὴρ, οὐ ζητεῖ τὰ ἴδια, ὡς τὰ τοῦ υἱοῦ. τὸ γὰρ ἔχειν ἀγάπην οὐ φίλαυτον. εἰ ἐζήτει τὸ ἑαυτοῦ ὁ Σωτὴρ ἐν μορφῇ Θεοῦ ὑπάρχων καὶ ὢν ἴσα Θεῷ, ἔμενεν ἂν ἐν τῇ μορφῇ ἐκείνῃ· νῦν δὲ σῶσαι κόσμον ἀπολλύμενον θελήσας, "ἑαυτὸν ἐκένωσεν, μορφὴν δούλου λαβὼν, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ." ἔλθε καὶ ἐπὶ τοὺς ἁγίους· ἴδε τὴν ἀγάπην Μωῦσεως· "εἰ μὲν ἀφεῖς αὐτοῖς "τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου "σου, ἧς ἔγραψας." καὶ ὁ Ἀπόστολος δὲ φησὶ "καθὼς κἀγὼ πάντα "πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον ἀλλὰ τὸ τῶν πολ- "λῶν, ἵνα σωθῶσιν· καὶ εὐχόμην αὐτὸς ἀνάθεμα εἶναι ἀπὸ τοῦ "Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα·" ἀνάθεμα τοῦ Χριστοῦ εὔχεται εἶναι ὑπὲρ τῆς ἄλλων σωτηρίας.

Ἰωάννου. Καλῶς τὸ "ψωμίσω·" μετὰ τῆς δόσεως, καὶ τὴν οἰκείαν σημαίνων διακονίαν· ὅρα δὲ καὶ τὸ πάντα τὰ ὑπαρχόντα, οὐ μέρος αὐτῶν· καὶ "ἐὰν παραδῶ τὸ σωμά μου ἵνα καυθήσωμαι," τὸν χαλεπώτατον λέγει θάνατον, ὑπὲρ Θεοῦ δηλονότι γινόμενον. εἶτα λοιπὸν διεξέρχεται τῆς ἀγάπης τὰ γνωρίσματα· δεικνὺς ὅτι οὐ μόνον βλαστήσαντα τὰ πάθη ἐκριζοῖ, ἀλλ' οὐδὲ φῦναι συγχωρεῖ. ὅρα δὲ εὐθὺ τὴν μακροθυμίαν τέθεικεν τὴν ῥίζαν πάσης φιλοσοφίας. ἐπειδὴ τινές εἰσιν οἱ τῇ μακροθυμίᾳ οὐκ εἰς φιλοσοφίαν κέχρηνται· ἀλλὰ πρὸς τὸ διαρρῆξαι τοὺς ἐνοχλοῦντας ἠθικώτερον αὐτοῖς διαλεγόμενος, φησὶ, "χρηστεύεται," τοῦτ' ἔστιν οὐκ ἐπὶ τὸ ἀνάψαι τὴν ὀργὴν τῶν ἐνοχλούντων, ἀλλ' ἐπὶ τῷ καὶ πραῦναι τὴν μακροθυμίαν κεχρημένος· βαβαὶ, οἷόν ἐστι τὸ

μὴ ζηλοῦν τοὺς εὖ πράττοντας· "περπερεύεται·" ἀλαζονεύεται· οὔτε φυσιοῦται καὶ φρονεῖ μέγα ἐπὶ τοῖς οἰκείοις κατορθώμασιν· οὐ μόνον, φησὶν, οὐ φρονεῖ μέγα, ἀλλὰ καὶ τὰ αἴσχιστα πάσχουσα, οὐκ οἴεται ἀσχημοσύνην εἶναι τὸ πρᾶγμα, διὰ τὸν ἀγαπώμενον λέγει τρόπον· πῶς οὐκ ἀσχημονεῖ; ὅτι οὐ ζητεῖ τὸ οἰκεῖον συμφέρον, ἀλλὰ τὸ τοῦ πλησίον· καὶ ἀσχημοσύνην τότε ἡγεῖται, ὅτ' ἂν ἀσχημονοῦντα τὸν πλησίον μὴ ἀπαλλάξῃ· πάντα πάσχουσα οὐ παροξύνεται εἰς ὀργήν· καὶ οὐ μόνον οὐκ ἐργάζεται τὸ κακὸν, ἀλλ' οὐδὲ λογίζεται· οὐκ ἐφήδεται, φησὶ, τοῖς κακῶς πάσχουσιν, συγχαίρει δὲ τοῖς εὐδοκιμοῦσιν. τοῦτο γὰρ αὐτοῖς ἡ μακροθυμία χαρίζεται, περὶ ἧς εἶπεν, πάντα πιστεύει ἃ ἂν εἴποι ὁ ἀγαπώμενος. καὶ οὐδὲν ὕπουλον οὔτε αὐτὸς λαλεῖ, οὐδὲ τὸν λαλοῦντα οἴεται· οὐκ ἀπογινώσκει, φησὶ, τοῦ ἀγαπωμένου· ἀλλ' ἐλπίζει αὐτὸν εἰς τὸ βέλτιον ἐπιδιδόναι· εἰ δὲ καὶ ἐλπίσας, φησὶν, ἀποτύχει, ἐκείνου τῇ κακίᾳ ἐναπομείναντος, φέρει γενναίως αὐτοῦ τὰ ἐλαττώματα· πάντα γὰρ, φησὶν, ὑπομένει· οὐ διαλύεται φησὶν, οὐδὲ διακόπτεται· ἤγουν οὐδέποτε ἐκπίπτει, οὐδὲ ἀποτυγχάνει τῆς εὐδοκιμήσεως.

Θεοδωρίτου. Συγγινώσκει τοῖς ἐπταισμένοις· οὐκ ἐπὶ κακῷ σκόπῳ ταῦτα γεγενῆσθαι ὑπολαμβάνων. μισεῖ τὰ παρανόμα· συνευφραίνεται τοῖς καλοῖς. πάντα στέγει, ἀνέχεται διὰ τὴν ἀγάπην τῶν λυπηρῶν. πάντα πιστεύει· ἀψευδῆ νομίζει τὸν ἀγαπώμενον· πάντα ἐλπίζει· κἂν ἐπὶ τὸ χεῖρον ἴδῃ ῥέψαντα, προσμένει αὐτοῦ τὴν ἐπὶ τὰ κρείττω μεταβολήν. πάντα ὑπομένει· οὐδὲν αὐτὸν τῶν εἰς αὐτὸν γινομένων ἀπορρῆξαι δύναται τῆς ἀγάπης. "ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει" τοῦτ' ἔστιν οὐ διασφάλλεται, ἀλλ' ἀεὶ μένει βεβαία καὶ ἀσάλευτος· τοῦτο γὰρ διὰ τῶν ἐπαγομένων ἐδίδαξεν.

Φωτίου. "Ἡ ἀγάπη," φησὶν, "οὐδέποτε ἐκπίπτει·" ἀλλ' ἀεὶ προφάσεις ἀγαθὰς καὶ καλὰς ἑαυτῇ ἀνευρίσκει. δι' ὧν τῆς πρὸς τοὺς πλησίους στοργῆς καὶ συναφείας κατέχει τοὺς χρωμένους αὐτῇ παραμένειν, καὶ μὴ διαρρήγνυσθαι· κἂν ἐκεῖνοι ἀφηνιῶσιν καὶ ἀποσκιρτᾶν αἰτίας παρέχωσιν· στέγειν γὰρ ποιεῖ καὶ ἐλπίζειν καὶ ὑπομένειν τὸν ἁμαρτάνοντα εἰς αὐτόν.

Εἴτε δὲ προφητεῖαι, καταργηθήσονται· εἴτε γλῶσσαι,
9 παύσονται· εἴτε γνῶσις, καταργηθήσεται. ἐκ μέρους
10 δὲ γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν· ὅταν δὲ
11 ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται. ὅτε
ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν,
ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνὴρ, κατήργηκα
τὰ τοῦ νηπίου.

ΘΕΟΔΩΡΙΤΟΥ. " Εἴτε προφητείαν, καταργηθήσονται· εἴτε " γλῶσσαι, παύσονται· εἴτε γνῶσις, καταργηθήσεται." ὁ γὰρ μέλλων βίος, τούτων ἀνενδεής· περιττὴ γὰρ ἡ προφητεία, τῶν πραγμάτων παρόντων· ἄχρηστοι δὲ καὶ αἱ γλῶτται, τῆς τούτων ἀναιρουμένης διαφορᾶς· ἡ γνῶσις παύσεται, ἡ ἐλάττων, χορηγουμένης τῆς μείζονος· τοῦτο γὰρ ἐπήγαγεν, " ἐκ μέρους γὰρ γινώ" σκομεν, καὶ ἐκ μέρους προφητεύομεν. ὅταν ἔλθῃ τὸ τέλειον, τότε " τὸ ἐκ μέρους καταργηθήσεται." περιττὴ γὰρ τοῖς τελείοις, τῶν μειρακίων ἡ γνῶσις· ταύτῃ μὲν κέχρηται τῇ εἰκόνι καὶ ὁ θεῖος Ἀπόστολος· " ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος " ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνὴρ, τὰ τοῦ " νηπίου κατήργηκα." οἱ γὰρ μετὰ τὴν τελείαν ἡλικίαν ἀγχινοίᾳ καὶ συνέσει κοσμούμενοι, τῆς μειρακιώδους οὐ προσδέονται γνώσεως· ἀπείκασε τοίνυν τὴν μὲν ἐπὶ τοῦ παρόντος βίου δεδομένην ἡμῖν γνῶσιν τῇ τῶν νηπίων γνώσει· τὴν δέ γε προσδοκωμένην τῇ τῶν τελείων ἀνδρῶν διδασκαλίᾳ. πάλιν διὰ τούτων μὴ μέγα φρονεῖν ἐπὶ τῇ γνώσει τοὺς κατατέμνοντας τῆς Ἐκκλησίας τὸ σῶμα.

ὨΡΙΓΕΝΟΥΣ. Γλῶσσαι παύσονται· ὅτε νῷ ὁμιλήσω ᾧ βούλομαι διαλεχθῆναι, Ἰωάννου καταλέξας τῆς ἀγάπης τὰ βλαστήματα. πάλιν αὐτὴν καὶ ἑτέρῳ τρόπῳ ὑψοῖ, τῷ λέγειν, καὶ τὴν προφητείαν καὶ τὰς γλώσσας καὶ τὴν γνῶσιν, τέλος ἕξειν· τὴν δὲ ἀγάπην μονίμον εἶναι καὶ ἀτελεύτητον. εἰ γὰρ καὶ αἱ προφητεῖαι καὶ αἱ γλῶσσαι διὰ τὴν τῆς πίστεως γνῶσιν εἰσὶν, τῆς πίστεως πανταχοῦ ἁπλωθείσης, εἰκότως περιτταὶ ἀργήσωσιν· τοῦτο δὲ καὶ νῦν ἔσται, τότε μάλιστα· τί οὖν τότε; περὶ τοῦ μέλλοντος γὰρ εἶπεν χρόνου καταργεῖσθαι τὴν γνῶσιν· τότε τοίνυν ἐν ἀγνωσίᾳ μέλλο-

μεν διάγειν; μὴ γένοιτο. ἀλλὰ περὶ τῆς συγγνώσεως τῆς ἐκ μέρους εἴρηται αὐτῷ, ὅτι καταργηθήσεται· τῆς γὰρ νῦν οὔσης γνώσεως ἐκ μέρους οὔσης, ἐπὰν ἔλθῃ ἡ τελεία γνῶσις, αὕτη ἡ ἐκ μέρους τέλος ἔχει, τῇ τελείᾳ γνώσει καταργουμένη. τὸ αὐτὸ δέ μοι καὶ περὶ προφητείας νόει· ἐπειδὴ εἶπεν τῆς τελείας γνώσεως ἐρχομένης, τὴν μερικὴν τέλος ἕξειν, καὶ παραδείγματι κυροῖ τὸν λόγον. ὅτε, φησὶν, ἤμην νήπιος καὶ παῖς τὴν ἡλικίαν, πάντα νήπια εἶχον καὶ τὸ λαλεῖν καὶ τὸ φρονεῖν καὶ τὸ λογίζεσθαι· ὅτε δὲ ἀνὴρ γέγονα, ἀπέρριψα τὰ τοῦ νηπίου· οὕτω φησὶ καὶ ἐπὶ τῶν πνευματικῶν· νῦν νηπία ἡμῖν ἐστιν ἡ γνῶσις· ἐπεὶ καὶ ἡμεῖς νήπιοί ἐσμεν. ὅταν τοίνυν τέλειοι γενώμεθα, ἐσόμεθα δὲ ἐν τῷ μέλλοντι χρόνῳ, πάντα τὰ νηπιώδη ἀπορρίψομεν.

Φωτίου. "Εἴτε *γνῶσις.*" *γνῶσιν ἴσως τὴν τοῦ διδάσκειν φησί. πλατυνομένης γὰρ τῆς εὐσεβείας καὶ πίστεως, ἀργήσει ἡ διδασκαλία.* "*καταργηθήσεται.*" *πῶς καταργηθήσεται ἡ γνῶσις; τελειοτέραν ταύτην ἀπολαμβανόντων ἡμῶν· καὶ τῆς ἐνούσης νῦν ἡμῖν ἀχρήστου, τότε διὰ τὴν ἀτέλειαν δεικνυμένης.* "*ἐκ μέρους δὲ γινώσκομεν,*" *ἀντὶ ἐκ μέρους γάρ· αἰτία γὰρ τοῦ διὰ τί μέλλουσι καταργηθῆναι καὶ παύσασθαι.* "*ὅτε ἤμην νήπιος.*" *νηπιότητι γὰρ ἔοικεν ἡ παροῦσα γνῶσις καὶ προφητεία καὶ πολιτεία κατὰ τὴν μέλλουσαν.*

12 Βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε
δὲ πρόσωπον πρὸς πρόσωπον· ἄρτι γινώσκω ἐκ μέρους,
13 τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην. νυνὶ δὲ
μένει πίστις, ἐλπὶς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ
τούτων ἡ ἀγάπη.

Θεοδωρίτου. *Σκία φησὶ τὰ παρόντα τῶν μελλόντων· ἐν γὰρ τῷ παναγίῳ βαπτίσματι, τὸν τύπον ὁρῶμεν τῆς ἀναστάσεως· τότε δὲ αὐτὴν ὀψόμεθα τὴν ἀνάστασιν. ἐνταῦθα τὰ σύμβολα τοῦ δεσποτικοῦ θεώμεθα σώματος. ἐκεῖ δὲ αὐτὸν ὀψόμεθα τὸν δεσπότην. τοῦτο γὰρ λέγει* "*πρόσωπον πρὸς πρόσωπον.*" *ὁρῶμεν δὲ αὐτοῦ οὐ τὴν ἀθέατον φύσιν, τὴν πάσην ἀόρατον, ἀλλὰ τὴν ἐξ ἡμῶν ληφθεῖσαν.*

Τοῦ αὐτοῦ. *Οὐ τοῦτο λέγει, ὡς ἔγνω με, γνώσομαι αὐτόν· ἀλλ'*

ἀκριβέστερον αὐτὸν ὄψομαι· ἅτε δὴ προσωκειωμένος αὐτῷ· τὸ γὰρ ἐπεγνώσθην, ἀντὶ τοῦ ὠκειώθην τέθεικεν. οὕτως καὶ τῷ Μωϋσεῖ *ἔφη, " οἶδά σε παρὰ πάντας." καὶ ὁ* Ἀπόστολος *λέγει· " οἶδεν "* Κύριος *τοὺς ὄντας αὐτοῦ," ἀντὶ τοῦ πλείονος αὐτοὺς ἀξιοῖ προμηθείας.*

Τοῦ αὐτοῦ. Ἔδειξεν *παυόμενα τὰ χαρίσματα, μόνην δὲ τὴν ἀγάπην μένουσαν. ἔδειξεν δὲ καὶ τῶν γνωμικῶν παυομένων κατορθωμάτων, αὐτὴν ὑπερέχουσαν. περιττὴ γὰρ ἡ πίστις ἐν τῷ μέλλοντι βίῳ, τῶν πραγμάτων ἐναργῶς φαινομένων· " ἔστιν γὰρ " πίστις ἐλπιζομένων ὑπόστασις· πραγμάτων ἔλεγχος οὐ βλε- " πομένων." τῶν δὲ πραγμάτων φαινομένων, οὐκ ἔτι χρεία τῆς πίστεως, οὕτω καὶ ἡ ἐλπὶς ἐκεῖ περιττή. ἐλπὶς γὰρ βλεπομένη, οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τίς τι καὶ ἐλπίζει. ἡ δέ γε ἀγάπη ἐκεῖ μᾶλλον ἔχει τὸ κράτος, τῶν παθῶν παυομένων· καὶ τῶν μὲν σωμάτων ἀφθάρτων γινομένων, τῶν δὲ ψυχῶν οὐκ ἔτι νῦν μὲν ταῦτα, νῦν δὲ ἐκεῖνα προαιρουμένων.*

Ὠριγένους. Ὁ *δοκῶν προκόπτειν ἐνθάδε, ὡς ἐν παιδίοις προκόπτει· ἐὰν δὲ ἔλθῃ τὸ τέλειον, καταντήσωμεν εἰς ἄνδρα τέλειον, τότε τὰ τῶν ἀνδρῶν χωρήσομεν καὶ γνῶσιν καὶ προφητείαν καὶ ὄψιν* Θεοῦ, *ἣν ὄψονται οἱ μακάριοι, οἱ διὰ τὴν καθαρότητα τῆς καρδίας.*

Ἰωάννου. Ἐπειδὴ *τὸ ἔσοπτρον παρίστησιν· τὸ ὁρώμενον ὁπωσδήποτε παρήγαγεν ἐν αἰνίγματι μεθ' ὑπερβολῆς δεικνὺς μερικωτάτην τὴν παροῦσαν γνῶσιν. " πρόσωπον δὲ πρὸς πρόσωπον," φησὶν, οὐχ ὡς πρόσωπον τοῦ* Θεοῦ *ἔχοντος· ἀλλ' ἵνα εἴπῃ σαφέστερον καὶ τρανότερον.*

Τοῦ αὐτοῦ. Εἶδες *πῶς διπλῶς τὸ φύσημα αὐτῶν κατέσπασεν, καὶ ὅτι μερικὴ ἡ γνῶσις, καὶ οὐδὲ ταύτην οἴκοθεν ἔχουσιν. οὐ γὰρ ἐγὼ αὐτὸν ἔγνων· ἀλλ' αὐτός με ἐγνώρισεν, φησίν· ὥσπερ οὖν αὐτός με ἐγνώρισεν πρότερος, νῦν καὶ αὐτός μοι ἐπέδραμεν· οὕτως ἐγὼ αὐτῷ ἐπιδραμοῦμαι τότε, καὶ πολλῷ μειζόνως ἢ νῦν. καὶ γὰρ ὁ ἐν τῷ σκότῳ καθήμενος, ἕως μὲν ἂν μὴ βλέπῃ τὸν ἥλιον, οὐκ αὐτὸς ἐπιτρέχει τῷ κάλλει τῆς ἀκτῖνος, ἀλλ' ἐκείνη δείκνυσιν ἑαυτὴν, ἐπειδὰν λάμψῃ. ὅταν δὲ αὐτῆς δέξηται τὴν αὐγὴν, τότε καὶ αὐτὸς λοιπὸν διώκει τὸ φῶς. τοῦτο οὖν ἐστι τὸ,*

" καθὼς ἐπεγνώσθην." οὐχ ὅτι οὕτως αὐτὸν εἰσόμεθα ὡς αὐτὸς ἡμᾶς· ἀλλ' ὅτι ὥσπερ αὐτὸς ἡμῖν ἐπέδραμεν νῦν, οὕτως ἡμεῖς ἀνθεξόμεθα αὐτοῦ τότε, καὶ πολλὰ τῶν νῦν ἀπορρήτων εἰσόμεθα· " νῦν δὲ μένει πίστις, ἐλπὶς, ἀγάπη· τὰ τρία ταῦτα. μείζων δὲ " τούτων ἡ ἀγάπη·" ἡ μὲν γὰρ πίστις καὶ ἡ ἐλπὶς τῶν πιστευθέντων καὶ τῶν ἐλπισθέντων παραγενομένων ἀγαθῶν παύεται· ἡ δὲ ἀγάπη τότε μάλιστα ἐπαίρεται καὶ γίνεται σφοδροτέρα.

Οἰκουμενίου. *Εἰσὶ μὲν καὶ γλῶσσαι καὶ προφητεῖαι καὶ γνώσεις νῦν, εἰ καὶ ἀμυδραί εἰσιν· ἀλλὰ τὸ εἰρημένον " νυνὶ δὲ " μένει" νοήσεις τὸ οἷον μονιμώτεραι εἰσὶ τῶν λοιπῶν αἱ τρεῖς αὗται ἀρεταὶ, ἤγουν τὰ χαρίσματα· ἡ πίστις καὶ ἡ ἐλπὶς καὶ ἡ ἀγάπη. καὶ τούτων δὲ αὐτῶν, πάλιν ἡ ἀγάπη μείζων· ἐπειδὴ καὶ εἰς τὸν μέλλοντα χρόνον παρεκτείνεται. διὰ τοῦτο δὲ τὰ τρία ταῦτα τῶν λοιπῶν μονιμώτερα, οἷον τῆς προφητείας καὶ τῶν γλωσσῶν καὶ τῆς γνώσεως· ἐπειδὴ τῆς πίστεως χεθείσης, ἀργεῖν ἤμελλον λοιπὸν αἱ κατὰ πλάτους προφητεῖαι καὶ γλῶσσαι· καὶ ἡ παρὰ Κορινθίοις δὲ γνῶσις τέλος ἤμελλεν ἕξειν, ἀμυδροτέρα ὑπάρχουσα τῆς νῦν ἐνούσης χάριτι Χριστοῦ ἐν τῷ κόσμῳ γνώσεως.*

Φωτίου. *" Καθὼς καὶ ἐπεγνώσθην·" ἀντὶ τοῦ ἀκριβῶς καὶ τελείως· ἐπὶ τούτῳ γάρ φησι, καὶ τὴν ἀρχὴν ἐγὼ ἐπεγνώσθην, ἵνα καὶ αὐτὸς γνώσωμαι, καθώς ἐστιν ἀνθρώπῳ δυνατὸν τελείως καὶ ἀκριβῶς τὸν ἐπιγνόντα δεσπότην. " νυνὶ δὲ μένει πίστις·" ἡ πίστις καὶ ἡ ἀγάπη οὐ μόνον ἐν τῷ νῦν αἰῶνι, τῶν ἄλλων χαρισμάτων παυομένων, διαμενοῦσιν· ἀλλὰ πολλῷ πλέον καὶ ἐν τῷ μέλλοντι· τότε γὰρ ὡς ἀληθῶς τοῖς ἁγίοις τὸ εἰρηνικὸν καὶ φιλάλληλον καθαρὸν καὶ ἀστασίαστον· καὶ ἡ πίστις δὲ ὁμοίως· τότε γὰρ λαμπρότερον καὶ τελειότερον καὶ ἐντρυφᾶν ἐστι τῇ θεωρίᾳ τοῦ ποθουμένου. τὴν δὲ ἐλπίδα εἴποι τις ἴσως ἔτι τότε παρεῖναι ὡς τῶν ἐλπισθέντων ἤδη παρόντων καὶ μηδὲν διαψεύσασαν τοὺς ἠλπικότας. ἀΐδιον γὰρ τὸ χρῆμα τῆς ἀληθείας.*

Εἰς τὸ αὐτό. *" Νυνὶ δὲ μένει πίστις·" ἀλλ' οὐχ οὕτως φησὶ, τὸ γὰρ νῦν ἐνταῦθα οὐκ ἔστι χρόνου δηλωτικόν· οὐχ οὕτως οὖν φησὶν, ἐπὶ τῆς πίστεώς ἐστιν ἰδεῖν καὶ τῆς ἐλπίδος καὶ τῆς ἀγάπης, ὥσπερ ἐπὶ τῶν ἄλλων χαρισμάτων· τὰ μὲν γὰρ ἄλλα, ἅπερ*

καὶ ἀπηριθμήσατο, καὶ ἐν τῷ μέλλοντι ἀργήσει, τῶν τελειοτέρων ἡμῖν ἐπιγινομένων τότε· ἀλλὰ καὶ ἐν τῷ παρόντι ἐπιλείψει καὶ ἀργήσει, τῆς εὐσεβείας εἰς πάντας ἐξαπλουμένης· "εἰδήσουσι "γάρ με καὶ ἀπὸ μικροῦ ἕως μεγάλου." καὶ γὰρ τὰ πλεῖστα τῶν ἄλλων χαρισμάτων ἐδόθη ἕνεκα τοῦ χειραγωρεῖσθαι καὶ προσάγεσθαι τῇ πίστει τοὺς ἀνθρώπους· προσαχθέντων δὲ καὶ πιστευσάντων, δηλονότι παύσεται· ἀλλ' οὐκ ἔτι ὡσαύτως καὶ ἡ πίστις καὶ ἡ ἐλπὶς καὶ ἡ ἀγάπη· αὗται γὰρ δι' ὅλου τοῦ ἀνθρωπίνου βίου παραμενοῦσιν καὶ παραταθήσονται· καὶ τότε μᾶλλον ἐκλάμψουσιν, ὅτε τὰ ἄλλα ἀργήσει· τότε γὰρ μᾶλλον ἐπικρατήσει καὶ μᾶλλον αὐτῶν ἡ χρεία, ὅτε πάντες εὐσεβήσουσι καὶ πιστεύουσι. τότε γὰρ μᾶλλον καὶ ἐλπίδος ἐστὶ χρεία, καὶ ἐλπίσουσι· καὶ ἀγάπης, καὶ ἀγαπήσουσιν, ὥστε παυομένων καὶ ἄλλων χαρισμάτων, αὗται μᾶλλον ἀκμάσουσιν.

1 Διώκετε τὴν ἀγάπην· ζηλοῦτε δὲ τὰ πνευματικά,
2 μᾶλλον δὲ ἵνα προφητεύητε. ὁ γὰρ λαλῶν γλώσσῃ, οὐκ
ἀνθρώποις λαλεῖ, ἀλλὰ τῷ Θεῷ, οὐδεὶς γὰρ ἀκούει,
3 πνεύματι δὲ λαλεῖ μυστήρια· ὁ δὲ προφητεύων, ἀνθρώ-
ποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν.

Θεοδώρου. *Ἀντὶ τοῦ μάλιστα μὲν ὑμᾶς τῆς ἀγάπης ἐπιμελεῖσθαι βούλομαι· εἰ δ' ἄρα καὶ τῶν πνευματικῶν χαρισμάτων ἐφίεσθε, κἂν γνῶτε ποῖα κρείττονα, καὶ ὅτι τὸ προφητεύειν ἄμεινον τοῦ γλώσσῃ λαλεῖν.*

Θεοδωρίτου. Πάλιν *τῶν ἐπὶ τῷ χαρίσματι τῶν γλωττῶν φιλοτιμουμένων τὴν ὀφρὺν καταστέλλει.*

Τοῦ αὐτοῦ. *Ἀμφότερα κατὰ ταυτὸν ποιεῖ· καὶ τῆς ἐκείνων φιλοτιμίας κατηγορεῖ, καὶ τοῦ χαρίσματος διδάσκει τὴν χρείαν· ἐδόθη γὰρ τοῦτο τοῖς κήρυξιν, διὰ τὰς διαφόρους τῶν ἀνθρώπων φωνάς· ἵνα πρὸς Ἰνδοὺς ἀφικόμενοι τῇ ἐκείνων χρώμενοι γλώττῃ τὸ θεῖον προσφέρωσι κήρυγμα· καὶ Πέρσαις πάλιν διαλεγόμενοι καὶ Σκύθαις καὶ Ῥωμαίοις καὶ Αἰγυπτίοις, ταῖς ἑκάστων κεχρημένοι φωναῖς, τὴν εὐαγγελικὴν διδασκαλίαν κηρύξωσι· περιττὸν τοίνυν ἦν τοῖς ἐν Κορίνθῳ διαλεγομένοις τῇ περὶ τῶν Σκυθῶν ἢ Αἰγυπτίων κεχρῆσθαι φωνῇ, ἐπαΐειν ἐκείνων οὐ δυναμένων· οὗ δὴ*

χάριν καὶ ὁ θεῖος Ἀπόστολος ἔφη τὸν γλώτταις λαλοῦντα μὴ ἀνθρώποις λαλεῖν, ἀλλὰ Θεῷ. τοῦτο γὰρ ἐπήγαγεν "οὐδεὶς γὰρ "ἀκούει." καὶ ἵνα μὴ ἄχρηστον τὸ χάρισμα νομισθῇ, προστέθεικεν, "πνεύματι δὲ λαλεῖ μυστήρια· ὁ δὲ προφητεύων ἀνθρώ-"ποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν." πάντες γὰρ τῶν λεγομένων ἀκούουσιν.

Ἰωάννου. Ἐπεὶ οὖν οὕτω μέγα χρῆμα ἀπεδείχθη ἡ ἀγάπη· "διώκετε" αὐτήν· ὅρα δὲ οὐκ εἶπεν ἀκολουθεῖτε αὐτὴν ἢ κτήσασθε αὐτὴν, ἀλλὰ "διώκετε." δεικνὺς πεφευγέναι ἡμᾶς αὐτῆς καὶ ἔτι φεύγειν· καὶ πολλοῦ δεῖν ἡμῖν δρόμου, ἵνα φθάσωμεν· τοσοῦτον ἀφέστηκεν. "ζηλοῦτε δὲ τὰ πνευματικά," ἵνα μὴ νομίσωσι διὰ τοῦτο αὐτὸν τοὺς περὶ ἀγάπης λόγους εἰρηκέναι ὡς ἔξω τὰ πνευματικὰ, τοῦτ' ἔστι τὰ χαρίσματα. σύγκρισιν ποιεῖ τὸν λοιπὸν προφητείας καὶ γλωσσῶν· καὶ δείκνυσιν ὠφελιμωτέραν τὴν προφητείαν, καταβάλλων τὰς γλώσσας· καὶ γὰρ σφόδρα ἦσαν ἐπηρμένοι δι' αὐτάς.

Τοῦ αὐτοῦ. Πῶς ἑαυτὸν οἰκοδομεῖ, εἰ μὴ οἶδεν ὃ λέγει; ἀλλὰ τέως περὶ τῶν εἰδότων μὲν ἃ λέγουσι διαλέγεται, μὴ ἐπισταμένων δὲ εἰς ἑτέρους ἐξενεγκεῖν.

Τοῦ αὐτοῦ. Ἐν τούτῳ δείκνυσι μὴ ὂν σφόδρα τὸ τῶν γλωσσῶν ὠφέλιμον· οὐδένα γάρ, φησὶν, τῶν ἀκουόντων οἰκοδομεῖ· τῷ γὰρ Θεῷ λαλεῖ οὐκ ἀνθρώποις· ἐπεὶ μηδεὶς νοεῖ τὰ λεγόμενα. εἶτα ἵνα μὴ παντελῶς ἀχρήστους αὐτὰς δείξῃ, ἐπάγει, "πνεύματι δὲ "λαλεῖ μυστήρια." τοῦτ' ἔστιν ἢ τῷ ἰδίῳ πνεύματι, οἷον τῇ ψυχῇ προσδιαλέγεται· ἢ ὅτι ἐν Πνεύματι Ἁγίῳ· οἷον διὰ Πνεύματος Ἁγίου λαλεῖ. ἀλλ' εἰ καὶ ἐν Πνεύματι λαλεῖ, ἧττόν ἐστιν τῆς προφητείας, ὅσῳ καὶ ἧττων ἡ ὠφέλεια. ἀπὸ τοῦ κοινῇ συμφέροντος δείκνυσι τὴν προφητείαν κρείττονα. τοὺς γὰρ ἀνθρώπους, φησὶν, οἰκοδομεῖ καὶ παρακαλεῖ ἐπὶ πίστιν· καὶ παραμυθεῖται ἐπὶ τοῖς ἐσομένοις πειρασμοῖς.

Κυρίλλου. Ἐξίστησιν αὐτοὺς τοῦ χρῆναι νομίζειν ὥς ἐστι δὴ μᾶλλον πρὸς εὐκλείας αὐτῆς τοῦ διερμηνεύειν τὰ προφητῶν τὸ γλώσσαις λαλεῖν· προυποκειμένων γὰρ ἐν ἡμῖν πίστεώς τε καὶ ἐλπίδος, καὶ μὴν καὶ ἀγάπης τῆς εἰς Θεόν τε καὶ ἀδελφοὺς, ἣ καὶ παντὸς τοῦ νόμου τὴν πλήρωσιν ἔχει, προσεπαγέσθω τὰ ἑτέρα·

τότε γὰρ τότε καὶ λίαν ἐπὶ καιροῦ καὶ αὐτῶν ἐσόμεθα τῶν παρὰ Θεοῦ χαρισμάτων μεμεστωμένοι, καὶ τὰς διὰ τοῦ Πνεύματος καταπλουτήσομεν δωρεάς· τὸ προφητεύειν δύνασθαί φημι, τουτέστι τὸ διερμηνεύειν τὰ προφητῶν. ἐνηνθρωπηκότος γὰρ ἅπαξ τοῦ μονογενοῦς, παθόντος τε καὶ ἐγηγερμένου, καὶ τῆς καθ' ἡμᾶς οἰκονομίας ἐκπεπερασμένης, ποίας ἦν ἔτι προφητείας καιρός; ἢ ποίων ἔσται πραγμάτων ἡ προαγόρευσις; οὐκ οὖν τὸ προφητεύειν ἐν τούτοις εἴη ἂν ἕτερον οὐδὲν, πλὴν ὅτι καὶ μόνον τὸ διερμηνεύειν δύνασθαι προφητείας, καὶ τοῖς ἀκροωμένοις ὡς ἔνι καταλευκαίνοντες· εἶτα πρὸς ἀλήθειαν τὸν οἰκεῖον ἐξ αὐτῶν ἐμπεδοῦντες λόγον, ὀρθοί τε καὶ ἀπλανεῖς ἐσόμεθα τῶν καλλίστων ἐξηγηταί.

Ὁ τοίνυν, φησὶ, γλώσσῃ λαλῶν, οὐκ ἀνθρώποις μᾶλλον ἀλλὰ τῷ Θεῷ προσλαλεῖ· πῶς δὲ ἢ τίνα τρόπον; οὐδεὶς γὰρ ἀκούει φησίν· εἰ γὰρ δέδοται τυχὸν τῷ μὲν δεῖνι τῶν μαθητῶν τὸ γλώσσῃ τῇ Μήδων δύνασθαι λαλεῖν· ἑτέρῳ δὲ αὖ τῇ Ἐλαμιτῶν· εἶτα ταῖς Ἰουδαίων προσδιαλέγοιτο συναγωγαῖς, οἱ περὶ ὧν ὁ λόγος ἤγουν ταῖς Ἑλλήνων ἀγέλαις, τίς ὁ ἀκουσόμενος; ἢ ποία τῶν λόγων ἡ ὄνησις ἔσται; συνήσει γὰρ οὐδεὶς πλὴν μόνου τοῦ πάντα εἰδότος Θεοῦ· τῷ γὰρ Πνεύματι, φησὶ, λαλεῖ μυστήρια· ἄθρει δὲ ὅπως ὁ Θεῷ λαλῶν, πνεύματι λαλεῖ· Θεὸς οὖν ἄρα τὸ Πνεῦμα· οὐκ οὖν ὁ γλώσσῃ λαλῶν, Θεῷ μᾶλλον, φησὶ, καὶ οὐκ ἀνθρώποις λαλεῖ· "ὁ δὲ προφητεύων ἀνθρώποις λαλεῖ· οἰκοδομὴν καὶ παρά-" "κλησιν καὶ παραμυθίαν." συνίεις οὖν ὅτι τὸ προφητεύειν ἐν τούτοις τὸ διερμηνεύειν ἐστὶ τὰ τῶν προφητῶν, δι' ὧν ὁ τῆς παρακλήσεως πιστοῦται λόγος, καὶ ὁ τῶν μυσταγωγουμένων χειραγωγεῖται νοῦς εἰς ἀλήθειαν τὴν ἐπὶ Χριστῷ· προαποδείκνυσι καὶ ἑτέρως ἀσυγκρίτως ὅσον[g] ἐν ἀμείνοσι τοῦ γλώσσῃ λαλεῖν τὸ διερμηνεύειν τὰ προφητῶν· ἑαυτὸν μὲν γὰρ οἰκοδομεῖ, φησὶν, ὁ γλώσσῃ λαλῶν· συνίησι γὰρ αὐτός· ἕτερος δὲ ὅλως οὐδείς· ὁ δὲ ταῖς τῶν ἁγίων προφητῶν φωναῖς καὶ προρρήσεσιν εἰς μαρτυρίαν χρώμενος, Ἐκκλησίαν οἰκοδομεῖ. μεῖζον οὖν ἄρα καὶ ἐν ὑπερτάτοις αὐχήμασι τὸ προφητεύειν ἐστὶν, καὶ ἐν ἐλπίσι λαμπραῖς. εἴπερ ἐστὶν ἄμεινον ὁμολογουμένως τὴν Ἐκκλησίαν οἰκοδομεῖν, τοῦ ἑαυτῷ τε καὶ μόνῳ προσδιαλέγεσθαι γλώσσῃ.

g ὂν ἂν Cod.

Σευηριανου. Ἐὰν γὰρ μὴ διερμηνεύει, μόνον δὲ λαλεῖ γλώσσῃ, καὶ τὴν δύναμιν μὴ σαφηνίζῃ, ὡς οὐκ ἔχων τοῦτο τὸ τῆς διερμηνείας χάρισμα, μυστήρια μὲν λαλεῖ, τὸ γὰρ Πνεῦμα χορηγοῦν τὰς γλώσσας δηλονότι, καὶ μυστήρια φθέγγεται διὰ τῶν γλωσσῶν, οὐκ οἰκοδομεῖ δὲ τὴν Ἐκκλησίαν οὐκ ἐπισταμένην ἃ λέγει· ὁ λαλῶν γλώσσῃ, ἑαυτὸν οἰκοδομεῖ, ἐπιστάμενος ὅτι ἃ μὴ ἤδη ἐφθέγγετο ἐνόει, Πνεύματος Ἁγίου ἦν χάρις ἐν αὐτῷ, καὶ ᾠκοδομεῖτο.

Φωτίου. "Ζηλοῦτε δὲ τὰ πνευματικά." ἀντὶ τοῦ μὴ δὲ ἐκείνων ἀμελεῖτε· μείζων μὲν γὰρ ἡ ἀγάπη καὶ ταύτην διώκειν· οὐ δεῖ δὲ οὐδὲ τῶν ἄλλων ἀμελεῖν χαρισμάτων, καὶ μάλιστα τοῦ περὶ τὴν προφητείαν χαρίσματος.

4 Ὁ λαλῶν γλώσσῃ, ἑαυτὸν οἰκοδομεῖ· ὁ δὲ προφη-
5 τεύων, ἐκκλησίαν οἰκοδομεῖ. θέλω δὲ πάντας ὑμᾶς λα-
λεῖν γλώσσαις, μᾶλλον δὲ ἵνα προφητεύητε· μείζων γὰρ
ὁ προφητεύων ἢ ὁ λαλῶν γλώσσαις, ἐκτὸς εἰ μὴ διερ-
μηνεύῃ, ἵνα ἡ ἐκκλησία οἰκοδομὴν λάβῃ.

Θεοδωρίτου. Ὁρῶντες καὶ τὴν τῶν λογισμῶν ἀποκάλυψιν καὶ τὴν τῶν κρύβδην γινομένων φανέρωσιν, πλείστην ὄνησιν εἰσεδέχοντο. καὶ ἵνα μή τις αὐτὸν ὑποτοπήσῃ φθόνῳ βαλλόμενον ταῦτα λέγειν, ἀναγκαίως ἐπήγαγεν, "θέλω δὲ ἵνα προφητεύητε· μείζων "γὰρ ὁ προφητεύων· ἢ ὁ λαλῶν γλώσσῃ, ἐκτὸς εἰ μὴ διερμηνεύει· "ἵνα ἡ ἐκκλησία οἰκοδομὴν λάβῃ." σαφῶς ἔδειξεν διατί τὸ μᾶλλον τέθεικεν· οὐ γὰρ σμικρύνω, φησὶ, τὸ χάρισμα, ἀλλὰ τὴν χρείαν αὐτοῦ ζητῶ· μὴ παρόντος γὰρ ἑρμηνέως, ἀμείνων ἡ προφητεία. πλέον γὰρ ἔχει τὸ κέρδος.

Σευηριανου. Ὥσπερ ὁ γλώσσαις λαλῶν καὶ διερμηνεύει, οὐκ ἔλαττόν ἐστι τοῦ προφήτου.

Κυρίλλου. Ἐπειδὴ παράδοξον ἦν καὶ θεόσδοτον ἀληθῶς τὸ δύνασθαι γλώσσαις ταῖς ἑτέρων λαλεῖν, ἄνδρας ὄντας Ἑβραίους, ἵνα μή τις οἴηται τὸν Ἀπόστολον καθορίζειν ἀβούλως τοῦ γεγονότος τὸ εἰκαῖον εἶναι λέγειν, τὸ διὰ τῆς τοῦ Πνεύματος ἐνεργείας δεδωρημένον ἀποδέχεται καὶ φησὶ, "θέλω δὲ πάντας λαλεῖν "γλώσσαις." ἀποκείρει δὲ παραχρῆμα σαφῶς τὴν ἔν γε τούτῳ

σπουδὴν, καὶ μεθίστησι πρὸς τὸ ἄμεινον, ἐπενεγκὼν εὐθὺς, " μᾶλλον " δὲ ἵνα προφητεύητε·" μείζονά τε τὸν προφητεύοντα τοῦ γλώσσῃ λαλοῦντος ἐναργέστατα λέγων· καταδείκνυσι δὲ οὐδὲ παντελῶς ἀνόητον ἐκεῖνο τοῖς ἔχουσι καὶ τοῖς ἀκροωμένοις, ἐπιφέρων, " ἐκτὸς " εἰ μὴ διερμηνεύῃ." τοῦτ' ἔστιν, εἰ μὴ ἔχοι τινὰ τὸν ἀεὶ προσεδρεύοντα καὶ τοῖς μυσταγωγουμένοις διερμηνεύοντα.

Ἰωάννου. Περὶ τῶν *εἰδότων μὲν αὐτῶν ὃ λαλοῦσιν, οὐκ εἰδότων δὲ ἑτέροις ἑρμηνεῦσαι, διαλέγεται· " ὁ δὲ προφητεύων," φησὶν, " Ἐκκλησίαν οἰκοδομεῖ·" ὅσον οὖν τὸ μέσον τοῦ ἕνα ὠφελεῖσθαι καὶ τοῦ Ἐκκλησίαν, τοσοῦτον τὸ μέσον γλωσσῶν καὶ προφητείας. εἶτα ἐπειδὴ πολλοὶ παρ' αὐτοῖς γλώσσαις ἐλάλουν· ἵνα μὴ νομισθῇ κατὰ φθόνον ἀποσμικρύνειν τὰς γλώσσας, φησί· " θέλω " πάντας γλώσσαις λαλεῖν," οὐχ ἕνα ἢ δύο. μᾶλλον ὑμᾶς προφητεύειν βούλομαι· ἐπειδὴ μείζων ὁ προφητεύων, διὰ τὸ πλείονας ὠφελεῖν. ἐπειδὴ δὲ ἀπεφήνατο μείζονα τὸν προφήτην, ἐπάγει, " ἐκτὸς εἰ μὴ διερμηνεύῃ." τοῦτ' ἔστιν μείζων ὁ προφήτης, ἐκτὸς ἐκείνου τοῦ καὶ γλώσσαις λαλοῦντος καὶ διερμηνεύοντος ἃ λέγει. ὁ γὰρ τοιοῦτος ἴσός ἐστι τῷ προφήτῃ· ὁμοίως γὰρ τὸ κοινὸν τῆς Ἐκκλησίας ὠφελεῖ.*

6 Νυνὶ δὲ, ἀδελφοὶ, ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις
λαλῶν, τί ὑμᾶς ὠφελήσω, ἐὰν μὴ ὑμῖν λαλήσω, ἢ ἐν
ἀποκαλύψει, ἢ ἐν γνώσει, ἢ ἐν προφητείᾳ, ἢ ἐν διδαχῇ;
7 ὅμως τὰ ἄψυχα φωνὴν διδόντα, εἴτε αὐλὸς, εἴτε κιθάρα,
ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ διδῷ, πῶς γνωσθήσε-
8 ται τὸ αὐλούμενον ἢ τὸ κιθαριζόμενον; καὶ γὰρ ἐὰν
ἄδηλον φωνὴν σάλπιγξ δῷ, τίς παρασκευάσεται εἰς
πόλεμον;

Θεοδωρίτου. Πάλιν *τὸ ἑαυτοῦ ὑπέθηκεν πρόσωπον· τοὺς κατηγορουμένους ταύτῃ παραμυθούμενος· ἐγὼ γὰρ, φησὶ, πρὸς ὑμᾶς ἀφικνούμενος, καὶ τῇ διαφορᾷ τῶν γλωττῶν κεχρημένος, ποῖον ἂν ὑμῖν προσκομίσαιμι κέρδος· εἰ μή ποτε ἄρα διδασκαλίᾳ χρησαίμην, ἀποκαλύπτων ὑμῖν τὰ κεκρυμμένα μυστήρια, καὶ ποδηγῶν πρὸς τὰ θεῖα, καὶ παραινῶν τὰ προσήκοντα; τίθησι δὲ καὶ*

εἰκόνα τῷ προκειμένῳ λόγῳ κατ' ἄλληλον· "ὅμως τὰ ἄψυχα "φωνὴν διδόντα, εἴτε αὐλὸς εἴτε κιθάρα, ἐὰν διαστολὴν τοῖς "φθόγγοις μὴ διδῷ, πῶς γνωσθήσεται τὸ αὐλούμενον ἢ τὸ κιθα-"ριζόμενον; καὶ γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ δῷ, τίς παρα-"σκευάσεται εἰς πόλεμον;" ἴστε δὲ καὶ ὑμεῖς ὡς καὶ αὐλὸς καὶ κιθάρα ῥυθμοῦ τινος δεῖται καὶ τέχνης· τοῦτον γὰρ ἀπολαβόντα, καίτοι ἄψυχα ὄντα ἐναρμόνιόν τινα ἐκπέμπει ἠχήν. εἰ δὲ παρὰ ταῦτα τίς χρήσαιτο τούτοις, ἄσημον τὸ ἀποτελούμενον. οὕτω καὶ σάλπιγξ, εἰ μὴ τὸ πολεμικὸν ἠχήσοι, οὐχ ὁπλίζει τοὺς στρατιώτας.

Ἰωάννου. Ἐπὶ τοῦ οἰκείου προσώπου δεῖξαι θέλων τὸ τῶν γλωσσῶν ὑποδεὲς, καὶ φησὶν, ὑποθώμεθα ἐμὲ ἑαυτὸν εἶναι τὸν γλώσσαις λαλοῦντα· ἀλλ' οὐδὲν ὑμᾶς ἐκ τούτου ὠφελήσω· ἐὰν γὰρ, φησὶν, μὴ λαλήσω ὑμῖν ἐν ἀποκαλύψει, τοῦτ' ἐστιν εὐσυλληπτά τινα καὶ νοούμενα· ἢ ἐν γνώσει, τοῦτ' ἔστιν, ἵνα γινώσκηται ἃ λαλῶ. ἢ ἐν προφητείᾳ, ταύτην γὰρ ἐνόουν κατὰ τὴν κοινὴν ὁμιλίαν λαλουμένην. ἢ ἐν διδαχῇ, καὶ γὰρ καὶ ἐδίδασκον σπουδάζειν νοεῖν τοὺς διδασκομένους τὰ λεγόμενα. οὐκ ἔσομαι φησὶν, ὑμῖν ἐπωφελής· καὶ τί, φησὶ, λέγω, ὅτι ἐφ' ἡμῶν τὸ μὲν νοούμενον ὠφέλιμον, ἀκερδὲς δὲ τὸ μὴ νοούμενον. καὶ γὰρ καὶ ἐν τοῖς ἀψύχοις ὀργάνοις τοῦτό τις εὕροι· καὶ χρὴ καὶ ἐπὶ κιθάρας καὶ αὐλοῦ μὴ συγχεῖσθαι τὰ λεγόμενα· ἐπεὶ οὐκ ἂν ποτέ τινα ψυχαγωγήσοι. εἰ οὖν ἐπὶ τῶν μικρῶν μέγα ἡ σαφήνεια, πόσῳ μᾶλλον ἐπὶ τῶν πνευματικῶν; ἐκ τῶν παραδειγμάτων δείκνυσι τίς ἡ δυνάμις καὶ ἡ ὠφέλεια τῆς σαφηνείας, καὶ φησὶν οὐ μόνον αὐλὸς καὶ κιθάρα ἀλλὰ καὶ σάλπιγξ ἄδηλον εἰ δῷ φωνὴν, οὐδεὶς ἔσται ὁ εἰς πόλεμον παρασκευαζόμενος, ἀγνοουμένου τοῦ σαλπισθέντος.

Φωτίου. Νυνὶ δὲ ἀδελφοὶ, νυνὶ δὲ, φησὶ, βούλομαι ἐπὶ τοῦ ἐμοῦ προσώπου, διὰ τὸ μὴ γενέσθαι ὑμῖν φορτικὸν, ταῦτα μετασχηματίσαι, καὶ δεῖξαι ὅσον λείπει εἰς τελείωσιν τὸ γλώσσαις μόνον λαλεῖν. "ἐὰν γὰρ," φησὶν, "ἔλθω πρὸς ὑμᾶς γλώσσαις "λαλῶν" καὶ ἑξῆς. πρότερον δὲ ἐπὶ οἰκείου σχηματίσας, λοιπὸν προϊὼν καὶ ἐπὶ αὐτῶν ἐκείνων ταῦτα γυμνάζει. ἀλλὰ κἀκεῖ ἔνθα

τραχύτερόν τι μέλλει λέγειν εἰς ἑαυτὸν τοῦτο ἀναδέχεται, ὡς τὸ "ἔσομαι τῷ λαλοῦντι βάρβαρος," καὶ ἔτι ὅμοιον· "ἐὰν ἔλθω πρὸς "ὑμᾶς γλώσσαις λαλῶν," τὰ εἴδη λέγει τῶν ἐν λόγῳ χαρισμάτων. ταῦτα δέ ἐστι γλώσσας ἑρμηνεύειν, καὶ τὰ λαλούμενα παρ' αὐτῶν ἀποκαλύπτειν· ἢ συνάμφω, καὶ γλώσσαις λαλεῖν καὶ ἀποκαλύπτειν· ὃ καὶ γνῶσιν καλεῖ, ὅτι καὶ λαλεῖ καὶ ἑρμηνεύει ὡς εἰδὼς ὃ λέγει· ἢ προφητεύειν· τοῦτο δὲ δῆλον τί ἐστιν· ἢ διδάσκειν· ἕτερον γὰρ τοῦτο χάρισμα παρὰ τὰ εἰρημένα. φησὶν οὖν, ἐὰν ἔλθω, ἔχων μὲν τὸ χάρισμα τοῦ γλώσσαις λαλεῖν· μὴ ἔχων δέ τι ἄλλο χάρισμα τῶν εἰρημένων τεσσάρων, τί ἔσται ὑμῖν ὄφελος;

9 Οὕτως καὶ ὑμεῖς διὰ τῆς γλώσσης ἐὰν μὴ εὔσημον
λόγον δῶτε, πῶς γνωσθήσεται τὸ λαλούμενον; ἔσεσθε
10 γὰρ εἰς ἀέρα λαλοῦντες. τοσαῦτα, εἰ τύχοι, γένη φωνῶν
11 ἔστιν ἐν κόσμῳ, καὶ οὐδὲν αὐτῶν ἄφωνον· ἐὰν οὖν μὴ
εἰδῶ τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρ-
βαρος· καὶ ὁ λαλῶν, ἐν ἐμοὶ βάρβαρος.

Θεοδωρίτου. Ὅπέρ ἐστιν ὁ ἐναρμόνιος ῥυθμὸς ἐπὶ τῆς κιθάρας καὶ ἐπὶ τῆς σάλπιγγος ἡ πολεμικὴ σημασία, τοῦτο ἐπὶ τῶν γλωττῶν ἡ ἑρμηνεία. τῶν γὰρ παρόντων οὐ συνιέντων, εἰς ἀέρα μάτην διαχεῖται τὰ ῥήματα.

Ἰωάννου. Ταῦτα εἰ τύχοι γένη φωνῶν ἐστιν, τοῦτ' ἔστι τοσαῦται γλῶσσαι· τοσαῦται φωναὶ Ῥωμαίων, Σκυθῶν, καὶ τῶν ἄλλων ἁπάντων.

Κυρίλλου. Ἄφωνον λέγει παντελῶς οὐδὲν τῶν τελούντων ἐν λογικοῖς, ἤγουν ἐν ἀνθρώποις, ἀλλὰ τῆς ἑκάστου φωνῆς τὴν δύναμιν. εἰ μή τις εἰδῇ τυχὸν, μήτε μὴν ἐκεῖνοι τῆς αὐτοῦ γλώσσης, εἰ ἀνεπιστήμονες, ἀλλήλοις ἔσονται βάρβαροι· καίτοι λαλοῦντες ὀρθῶς, κατάγε τὴν ἰδίαν ἑκάστου φωνήν. δεῖ δὴ οὖν ἄρα τοὺς διδάσκειν ἑτέρους ἐθέλοντας τὸν συνήθη τοῖς ἀκροωμένοις ἐρεύγεσθαι λόγον.

Ἰωάννου. Εἶτα ἵνα μὴ λέγωσι, καὶ τί πρὸς ἡμᾶς ταῦτα τὰ παραδείγματα; ἐπάγει, οὕτω καὶ ὑμεῖς, εἰ μὴ σαφῆ, φησὶ, καὶ

νοούμενα λαλήσετε λόγον, ἔσεσθε εἰς ἀέρα λαλοῦντες· τοῦτ᾽ ἔστιν εἰκῆ καὶ μάτην καὶ ἀνωφελές.

Ἀντίθεσις. *Καὶ εἰ ἀνωφελές ἐστι τὸ τῶν γλωσσῶν, διατί ἓν χάρισμα τοσαύτας ἔλαβον, ἵνα ὁ ἔχων καὶ λαλῶν ὠφελῆται μόνος; εἰ δὲ μέλλοι καὶ ἑτέροις εἶναι χρήσιμος, ἑρμηνείας χρεία, ἣν ἐλάμβανον οἱ μᾶλλον κεκαθαρμένοι· κατὰ τὴν ἀναλογίαν γὰρ τῆς καθάρσεως καὶ τῆς πίστεως, καὶ τὰ χαρίσματα.*

Τοῦ αὐτοῦ. *"Τοσαῦτα," τοῦτ᾽ ἔστι πολλά· πολλά φησιν, καθὼς ἔτυχεν ὄντα γένη φωνῶν ἐστιν ἐμψύχων τε καὶ ἀψύχων· ἀλλ᾽ οὐδὲ ἐξ ἑνὸς τούτων, φησὶν, ὠφεληθείη τις, εἰ μὴ εἰδείη τὴν δύναμιν τῆς φωνῆς. τοιγαροῦν οὐδὲ ἐκ τῶν ὑμετέρων γλωσσῶν ὠφέλειά τις εἰς ἄλλους διαβήσεται, εἰ μὴ εἰδείη τὴν δύναμιν τοῦ λαλουμένου. ἔσται δὲ τοῦτο, εἰ διερμηνεύεις λαλῶν· διερμηνεύσει δὲ εἰ πλεῖον ἄληπτον βίον καὶ πίστιν πεπυρωμένην κτήσεται· εἰσὶ μὲν οὖν μυρίαι φωναὶ ἐν τῷ κόσμῳ· ἐὰν οὖν μὴ ἴδω καὶ οἶδα τί λαλεῖς, ἐσόμεθα ἀλλήλοις βάρβαροι· οὐ παρὰ τὴν τῆς φωνῆς κακίαν, ἀλλὰ παρὰ τὴν ἡμῶν ἄγνοιαν.*

Φωτίου. Τὸ *"τοσαῦτα γένη φωνῶν" καὶ ἑξῆς, διχῶς ἐστιν ἐκλαβεῖν· ἢ ὅτι πολλά ἐστι γένη φωνῶν καὶ τούτων τῶν γενῶν οὐδέν ἐστι ἄφωνον. ἵνα ᾖ ἐκ παραλλήλου τὸ τοσαῦτα γένη φωνῶν καὶ τὸ οὐδὲν αὐτῶν ἄφωνον· ἢ πολλά ἐστι γένη φωνῶν· ἀλλ᾽ οὐδεμία τοῖς ὁμογενέσιν αὐτῶν ἄσημος καὶ ἀνεπίγνωστος. τὸ γὰρ ἄφωνον, τὰ δύο ἐστὶ σημαῖνον εὑρεῖν· καὶ τὸ παντελῶς ἄφωνον, καὶ τὸ ἄσημον μόνον καὶ ἀδιάγνωστον. εἰ μὲν οὖν, ὡς προείρηται, ἐκληψόμεθα, εἴη ἂν τοιοῦτος ὁ ἀποστολικὸς νοῦς· πολλά ἐστι μὲν γένη φωνῶν, καὶ τούτων τῶν γενῶν οὐδέν ἐστιν ἄφωνον. ἀλλά τι κερδαίνομεν ἡμεῖς ἐκ τῶν φωνῶν ἐκείνων μηδὲν αὐτοὶ συνιέντες; ἐὰν μὲν γὰρ μὴ ἴδω τί σημαίνει ἡ φωνὴ, ἔσομαι ἐγώ τε ἐκείνῳ καὶ ἐκεῖνος ἐμοὶ βάρβαρος· εἰ δὲ ὡς ὕστερον εὑρέθη ἐκληψόμεθα, τότε ἄφωνον ἀντὶ τοῦ ἀσήμου ἐκληψόμεθα, καὶ ὁ νοῦς τοιοῦτος. πολλὰ γένη φωνῶν ἐστιν ἐν κόσμῳ, καὶ οὐδὲν τούτων ἐστὶ τοῖς ὁμογενέσιν ἄσημον καὶ ἀνεπίγνωστον. πῶς οὖν ὑμεῖς εἰς ἀέρα λαλοῦντες καὶ ἄσημα τοῖς ὁμογενέσι φθεγγόμενοι, ὡς μέγα τι κατωρθωκότες ἐπαίρεσθε· ἀλλ᾽ οὐχὶ σπουδάζετε μᾶλλον καὶ ἐπι-*

μελεῖσθε, ἵνα καὶ τὸ διερμηνεῦον τὰς γλώσσας προσλαβόντες, εἰς κοινὴν ὠφέλειαν χρήσεσθε τῷ χαρίσματι; ὁ γὰρ δὴ μόνον γλώσσαις λαλῶν, ἀσήμου καὶ ἀνεπιγνώστου τῆς φωνῆς ὑπαρχούσης τῷ ἀκροατῇ, ἀντὶ τοῦ ὠφελεῖν ἔσεται αὐτῷ βάρβαρος· καὶ ὁ ἀκροατὴς ὁμοίως τῷ λαλοῦντι βάρβαρος λογισθήσεται· καὶ τί τὸ ἐνταῦθα κέρδος;

12 Οὕτω καὶ ὑμεῖς, ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, πρὸς
τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας ζητεῖτε ἵνα περισσεύητε.
13 διόπερ ὁ λαλῶν γλώσσῃ, προσευχέσθω ἵνα διερμηνεύῃ.
14 ἐὰν γὰρ προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμά μου προσ-
εύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστιν.

ΘΕΟΔΩΡΙΤΟΥ. *Τὸν δεδωκότα σοι τῶν γλωττῶν τὸ χάρισμα, προσθεῖναι καὶ τὸ τῆς ἑρμηνείας ἵνα προσφέρῃς τῇ ἐκκλησίᾳ τὴν ὠφέλειαν· "ἐὰν γὰρ προσεύχωμαι γλώττῃ, τὸ πνεῦμά μου προσ-"εύχεται· ὁ δὲ νοῦς μου ἄκαρπός ἐστιν·" καρπὸς τοῦ λέγοντος ἡ ὠφέλεια τῶν ἀκουόντων· τοῦτο καὶ ἐν τῇ πρὸς Ῥωμαίους εἴρηκεν· "ἵνα τίνα καρπὸν σχῶ καὶ ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς "ἔθνεσιν." ἑτέρᾳ τοίνυν γλώττῃ διαλεγόμενος, καὶ τοῖς παροῦσι μὴ προσφέρων τὴν ἑρμηνείαν, οὐδένα ἔχω καρπὸν, ὄνησιν ἐκείνων μὴ δεχομένων.*

ΚΥΡΙΛΛΟΥ. *Πνεῦμα ἐν τούτοις τὴν διὰ τοῦ Πνεύματος ὀνομάζει χάριν· τοῦτ᾽ ἔστι τὸ δύνασθαι γλώσσαις λαλεῖν· ἐὰν οὖν φησὶν, τὰς ἐν ταῖς ἐκκλησίαις εὐχὰς προσεύξωμαι πνεύματι, τοῦτ᾽ ἔστιν ἀποκεχρημένος τῇ γλώσσῃ τῇ διὰ τοῦ Πνεύματος, ἔξω ἄκαρπον τὸν νοῦν· δεῖ γὰρ ἐν προσευχαῖς συντείνεσθαι, καὶ τὰ τελοῦντα πρὸς σωτηρίαν παρὰ Θεοῦ ζητεῖν· οὐκ ἐναβρύνεσθαι γλώσσῃ, καὶ γίνεσθαι ἁπλῶς τοῦ γλώσσῃ λαλεῖν· ἐπεὶ ὁ νοῦς ἄκαρπος γίνεται, μηδεμίαν ἐκ τῆς τοιαύτης φιλοτιμίας ἀποφερόμενος ὄνησιν.*

ἸΩΑΝΝΟΥ. *Οὕτως πῶς ὥσπερ οἱ λαλοῦντες καὶ μὴ νοούμενοι, καὶ διὰ τοῦτο ὄντες αὐτοῖς βάρβαροι· παυσάμενος γὰρ τῶν παραδειγμάτων γυμνότερον αὐτοῖς παραινεῖ· ἐπειδὴ ὅλως ζηλοῦτε καὶ οἷον προθεῖτε χαρίσματα, τοῦτο γὰρ τὰ πνεύματα, τοιαῦτα ἐπιθυμεῖτε, τὰ δυνάμενα τὴν ἐκκλησίαν οἰκοδομῆσαι· οὐκ εἶπεν δὲ*

ἵνα κτήσεσθε τὰ χαρίσματα, ἀλλ' "ἵνα περισσεύητε·" τοῦτ' ἔστιν ἵνα μετὰ πολλῆς αὐτὰ σχοίητε δαψιλείας. εἶτα καὶ λέγει τρόπον πῶς ἂν σχοίησαν χαρίσματα, τὴν Ἐκκλησίαν ὠφελοῦντα· "ὁ γὰρ "λαλῶν," φησὶ, "γλώσσαις" προσευχέσθω· ἵνα καὶ τὸ διερμηνεύειν λάβῃ·" ἄρα οὖν αὐτοὶ αἴτιοι τοῦ μὴ τὸ μεῖζον λαβεῖν, οὐκ αἰτοῦντες τὸ μεῖζον· ἐὰν γάρ, φησι, λαλῶ γλώσσῃ, οὐ μὴν καὶ διερμηνεύω, τὸ μὲν πνεῦμά μου, οἷον ἡ ψυχὴ αὐτὴ καθ' ἑαυτὴν ὠφελεῖται, ἄκαρπος δέ μου ὁ νοῦς εὑρεθήσεται, τὸ μὴ καὶ ἄλλους ὠφελεῖν· νοῦ γὰρ καρπὸς τὸ διὰ ποικίλων καὶ παντοδαπῶν νοημάτων ὠφέλειαν τοῖς πλησίον ἐπινοεῖν.

Φωτίου. "Οὕτως καὶ ὑμεῖς·" ἀντὶ τοῦ διὰ τοῦτο καὶ ὑμεῖς. διὰ ποῖον; ἵνα μὴ ἦτε ἀλλήλοις βάρβαροι. διὰ τοῦτο οὖν καὶ ὑμεῖς, ἐπεὶ ἐπιθυμίαν ἔχετε χαρισμάτων, ἐκείνων τυχεῖν ἀγωνίσασθε, δι' ὧν ὑμῖν ἡ ὠφέλεια τῆς Ἐκκλησίας καὶ ἡ οἰκοδομὴ κατορθωθήσεται· αὐτοὶ δὲ "ἵνα περισσεύητε" φησὶ, τοῦτ' ἔστιν, ἵνα πλέον ἢ νῦν ἔχητε, γλώσσαις νῦν μόνον λαλοῦντες καὶ οὐχ ἑρμηνεύοντες. ἢ ἵνα περισσεύητε μᾶλλον ἀντὶ τοῦ γλώσσαις λαλεῖν· τὰ γὰρ ἄλλα χαρίσματα περισσεύει τῶν γλωσσῶν, ὡς πλείονα ὠφέλειαν παρεχόμενα· "ἐὰν γὰρ προσεύχωμαι γλώσσῃ· τὸ "πνεῦμά μου προσεύχεται·" τὸ προσεύχομαι καὶ προσεύξομαι ἀντὶ τοῦ λαλεῖν τι ταῖς γλώσσαις καλὸν καὶ σπουδαῖον εἴληφεν· καὶ γὰρ καὶ ἡ προσευχὴ εἶδος τί ἐστι τοῦ λόγου· φησὶν οὖν ὅτι ἐάν τι λαλῶ τῶν ἀναγκαίων καὶ καλῶν, μὴ διερμηνεύω δὲ αὐτὸ καὶ τοῖς ἀκροαταῖς, ἐμαυτὸν μὲν ὠφελῶ, τοῦτο γάρ ἐστι "τὸ "πνεῦμά μου προσεύχεται," τοῦτ' ἔστιν ἐγὼ μόνος ἀπολαύω τοῦ ἀναγκαίου ἐκείνου καὶ τοῦ καλοῦ. ἄλλος δὲ οὐκ ὠφελεῖται· ἵνα ἐκέρδησέ μου ἐντεῦθεν ὁ νοῦς καὶ τὸν καρπὸν τῆς ἐκείνων ὠφελείας· τὸν νοῦν δὲ ἐστερῆσθαι τοῦ τοιούτου καρποῦ· καὶ πάλιν ἀπολαύειν ὑποτίθεται, ὅτι ἐκεῖνος μᾶλλον τῶν ἐν ἡμῖν δυνάμεων ἐραστής ἐστιν τῆς τοῦ πλησίον ὠφελείας· ἅτε μήτε ὡς τὸ θυμικὸν, μήτε ὡς τὸ ἐπιθυμητικὸν ῥαδίως οὕτω πυνθανόμενος, καὶ τῆς ἰδίας καὶ κατὰ φύσιν ἀρετῆς εὐχερῶς μεθιστάμενος· καὶ ἐκεῖνός ἐστι μᾶλλον ὁ καὶ ἄκαρπος ὅτε ἐστὶ συναισθανόμενος· καὶ πάλιν ἐπειδὰν ἐπιτύχῃ τοῦ καρποῦ ἐνευφραινόμενος.

Εἶτα φησὶ, "τί οὖν ἔστι;" οἷον τί δεῖ γενέσθαι· πῶς ἔσται

ἡμῖν μὴ ἀκάρποις εἶναι; πῶς; ἐπιμεληθεὶς, δι' ἀρετῆς ὥστε γλώσσαις λαλοῦντα καὶ τῷ πνεύματι λαλεῖν καὶ τῷ νοΐ. τοῦτ' ἐστιν καὶ ἕνεκα τῆς ἰδίας ὠφελείας λαλεῖν, καὶ ἕνεκα τοῦ ἀπολαύειν τὸν νοῦν τοῦ καταλλήλου καρποῦ. τοῦτο δέ ἐστιν ἡ τῶν πλησίων ὠφέλεια· ἔσται δὲ τοῦτο, ἐὰν ταῖς γλώσσαις λαλοῦντες λάβωμεν χάρισμα, καὶ ἵνα διερμηνεύωμεν· ἐπειδὴ δὲ ἐπὶ τοῦ λαλεῖν τι τῶν καλῶν καὶ σπουδαίων τὸ τῆς προσευχῆς ὄνομα λαβὼν ἐπέμεινεν χρώμενος αὐτῷ, ἵνα μὴ νομίσῃς ὅτι προηγουμένως περὶ προσευχῆς ἐστιν ὁ λόγος, ἀλλ' οὐχὶ περὶ παντὸς ἀναγκαίου καὶ ἐπιτηδείου λόγου γλώσσαις λαλουμένου, μετέπεισεν εἰς τὸ ψάλλειν· ὡσανεὶ λέγων, ὅτι εἴτε ἐπὶ προσευχῆς, εἴτε ἐπὶ ψαλμῳδίας, εἴτε ἐπὶ ἄλλου τινὸς τῶν ἀναγκαίων καὶ καλῶν, ἐπὶ πάντων ὁμοίως δεῖ καὶ ἑαυτὸν ὠφελεῖν καὶ τοὺς πλησίον. εἶτα φέρει καὶ παράδειγμα, δεικνὺς ὅτι κατὰ πολλὰ ἐλλείπει καὶ ὑστερεῖ τὸ γλώσσαις μόνον λαλεῖν ἄνευγε τοῦ διερμηνεύειν. ἐὰν γάρ, φησι, τῷ πνεύματι εὐλογήσῃς, τοῦτ' ἐστιν σὺ μόνος συνίεις καὶ σαυτὸν οἷς εὐλογεῖς ὠφελῶν, ὁ δὲ ἀκροατὴς οὐ συνίησιν ἃ λέγεις, τί ἀποκριθήσεται πρὸς σέ; πῶς ἐρεῖ τὸ ἀμὴν, ἂν τοῦτο ᾖ χρεία τυχὸν αὐτὸν ἀποκρίνασθαι, μηδὲν ὅλως εἰδὼς ὧν λέγεις σύ. σὺ μὲν γὰρ καλῶς καὶ ἐπὶ σαυτοῦ συμφέροντι εὐλογεῖς ἢ εὐχαριστεῖς εἰ τύχοι, ἢ ἄλλό τι τῶν δεόντων ποιεῖς. καθόλου γὰρ τὸν λόγον βούλεται ἐξακούεσθαι, καὶ οὐκ ἐπί τινος εἴδους ὡρισμένου. διὸ πότε μὲν τὸ ψάλλειν, ἄλλοτε δὲ τὸ εὐλογεῖν καὶ μεταυτὸ καὶ ἂν ταυτοῦ τίθησιν τὸ εὐχαριστεῖν, δεικνὺς ὅτι καθόλου περὶ παντὸς ἀναγκαίου καὶ ἐπιτηδείου γλώσσαις λαλουμένου ἔστιν αὐτῷ ἡ παραίνεσις καὶ ἡ σπουδή. ἀλλ' ὅπερ ἔλεγον, σὺ μέν, φησιν, ἐπὶ τῷ σεαυτοῦ συμφέροντι γλώσσαις λαλῶν, εὐλογεῖς ἢ εὐχαριστεῖς ἢ ἄλλό τι λαλεῖς, ὁ δὲ ἀκροατὴς οὐδὲν κερδαίνει, οὐδὲν ὠφελεῖται ἀπὸ σοῦ.

15 Τί οὖν ἐστι; προσεύξομαι τῷ πνεύματι, προσεύξο-
μαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ
16 τῷ νοΐ. ἐπεὶ ἐὰν εὐλογήσῃς τῷ πνεύματι, ὁ ἀναπληρῶν
τὸν τόπον τοῦ ἰδιώτου πῶς ἐρεῖ τὸ ἀμὴν ἐπὶ τῇ σῇ

17 *εὐχαριστίᾳ, ἐπειδὴ τί λέγεις οὐκ οἶδεν; σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ' ὁ ἕτερος οὐκ οἰκοδομεῖται.*

Κυρίλλου. *Δεῖ φησὶν, εἴπερ ἑλοίμην εὐδοκιμεῖν καὶ γλώσσῃ τυχὸν κεχρῆσθαι τῇ διὰ τοῦ πνεύματος καὶ μὴ πειρᾶσθαι σπουδαίως ἄκαρπον ἔχειν τὸν νοῦν, συναγείρειν δὲ ὥσπερ ἐν ἐμαυτῷ τὸν νοῦν· καὶ εἰ ψάλλοιμι τυχὸν ἐν γλώσσῃ, ψάλλειν οὐδὲν ἧττον καὶ τῷ νοΐ· τοῦτ' ἔστιν συνιέναι λεπτῶς τῆς ψαλμῳδίας τὴν δύναμιν, καὶ τῆς προφητείας τοὺς λόγους μὴ ἀζητήτους ἐᾶν· οὐκ οὖν ἄμεινον τὸ προφητεύειν ἤτοι διερμηνεύειν ἐν ἐκκλησίᾳ τὰ ἐκ τῶν ἱερῶν γραμμάτων, ἢ γλώσσαις ἁπλῶς κατακεχρῆσθαι φιλεῖν.*

Σευηριανοῦ. *Ἐὰν, φησὶ, λαλήσω γλώσσῃ τινὶ ἣν οὐκ οἶδα, μηδὲ εἰδὼς αὐτῆς τὴν δύναμιν, πέπεισμαι μὲν ὅτι νοῦν ἄκαρπον ἔχω, οὐκ ἔχοντα τῶν εἰρημένων τὴν δύναμιν.*

Ἰωάννου. *Καὶ γὰρ ἦσαν τὸ παλαιὸν καὶ χαρίσματα εὐχῆς ἔχοντες μετὰ τῆς γλώσσης πολλοί· καὶ ηὔχοντο μὲν, καὶ ἡ γλῶττα ἐφθέγγετο τῇ Περσῶν ἢ τῇ Ῥωμαίων φωνῇ εὐχομένη· ὁ νοῦς δὲ οὐκ ᾔδει τὸ λεγόμενον· διὸ καὶ ἔλεγεν· "ἐὰν προσεύ-"χωμαι τῇ γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται·" τοῦτ' ἔστι τὸ χάρισμα τὸ δοθέν μοι καὶ κινοῦν τὴν γλῶσσαν, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστιν· τί ποτ' οὖν τὸ ἄριστον καὶ ὠφέλιμον, ἵνα καὶ ἡ γλῶσσα φθέγγηται καὶ ὁ νοῦς μὴ ἀγνοῇ τὰ λεγόμενα.*

Θεοδωρίτου. *Προσήκει τὸν ἑτέρᾳ γλώττῃ διαλεγόμενον, εἴτε ἐπὶ ψαλμῳδίας, εἴτε ἐπὶ προσευχῆς, εἴτε ἐπὶ διδασκαλίας, ἢ αὐτὸν ἑρμηνεύειν ὠφέλειαν τῶν ἀκουόντων· ἢ ἑτέρον τοῦτο ποιεῖν δυνάμενον συνεργὸν τῆς διδασκαλίας λαμβάνειν· "ἐπεὶ ἐὰν εὐλο-"γήσῃς τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου, πῶς "ἐρεῖ τὸ ἀμὴν ἐπὶ τῇ σῇ εὐχαριστίᾳ. ἐπειδὴ τί λέγεις οὐκ οἶδεν;" ἰδιώτην καλεῖ τὸν ἐν τῷ λαϊκῷ τάγματι τεταγμένον.*

Κυρίλλου. *Ὅτ' ἂν, φησὶν, αὐτὸς μὲν γλώσσῃ λαλῇ, ὅ γε μὴν ἐν τάξει τῇ τοῦ λαϊκοῦ κείμενος, εἰ τὴν σὴν οὐκ εἰδείη φωνήν· πῶς προσυπακούσεται τὸ ἀμὴν ἐν ταῖς ἰδίαις εὐχαριστίαις, ἤτοι προσευχαῖς; ἵνα τῇ τῶν ἱερέων τελειότητι τὸ δοκοῦν ἐλλείπειν τοῖς τῶν λαῶν ἀναπληρῶτο μέτροις, καὶ οἷον τοὺς μικροὺς μετὰ τῶν μεγάλων ὡς ἑνότητι πνεύματος παραδέχοιτο Θεός.*

Θεοδωρίτου. Οἶδα, φησὶν, ὅτι ὑπὸ τῆς θείας ἐνεργούμενος χάριτος ἀνυμνεῖς τὸν Θεόν· ἀλλ' οὐ συνίησι τῶν λεγομένων ὁ τὴν γλῶτταν οὐκ ἐπιστάμενος.

18 Εὐχαριστῶ τῷ Θεῷ μου, πάντων ὑμῶν μᾶλλον
19 γλώσσαις λαλῶν· ἀλλ' ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους
διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω,
20 ἢ μυρίους λόγους ἐν γλώσσῃ. ἀδελφοὶ, μὴ παιδία
γίνεσθε ταῖς φρεσίν· ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ
φρεσὶ τέλειοι γίνεσθε.

Ἰωάννου. Ἵνα μὴ δείξῃ διὰ τοῦτο εὐτελίζειν καὶ ὑποτιθέναι τὸ τῶν γλωσσῶν χάρισμα, ὡς αὐτὸς μὴ κεκτημένος αὐτῷ, φησὶν, πάντων πλέον γλώσσαις λαλῶ· τοῦτ' ἔστιν ἵνα οἶδα αὐτὸ ἑρμηνεύειν καὶ τοῖς ἀκούουσι σαφηνίζειν, ὅπως ὠφελῶνται· ἢ μυρίους λόγους ἐν γλώσσῃ, τοῦτ' ἔστιν ἵνα μὴ ἰσχύω αὐτὸ ἑρμηνεῦσαι. τότε γὰρ εἰς ἐμὲ μόνον ἡ ὠφέλεια περιστήσεται.

Θεοδωρίτου. Πρῶτος ὑμῶν τοῦδε τοῦ χαρίσματος ἠξιώθην. δι' ἐμοῦ καὶ ὑμεῖς τήνδε τὴν χάριν ἐδέξασθε. ἀλλ' ὅμως ἐγὼ τῆς τῶν πολλῶν ὠφελείας κηδόμενος, τὴν σαφῆ διδασκαλίαν τῆς ἀσαφοῦς γλώσσης προτιμῶ· εἶτα κατ' ἐπιτίμησιν, "ἀδελφοὶ, μὴ "παιδία γίνεσθε ταῖς φρεσίν· ἀλλὰ τῇ κακίᾳ νηπιάζετε· ταῖς δὲ "φρεσὶ, τέλειοι γίνεσθε·" μὴ ἀντιστρέψητε τὴν τάξιν, μηδὲ τῶν παιδίων τὴν ἄνοιαν, ἀλλὰ τὴν κακίαν ζηλώσατε· τῶν δὲ τελείων μὴ τὴν πονηρίαν ἀλλὰ τὴν ἀγχίνοιαν.

Ἰωάννου. Μετὰ τὸ δεῖξαι μείζονα τὴν προφητείαν, λοιπὸν πληκτικωτέρῳ χρῆται λόγῳ· "μὴ παιδία γίνεσθε," φησὶν, νηπίων γάρ ἐστι τὸ τὰ μικρὰ θαυμάζειν· οἷον τὰς γλώσσας, τῶν δὲ μεγάλων καταφρονεῖν· τοῦτ' ἔστι τῆς προφητείας. ὅταν πρόκειται ἀδικία τις ἢ ἁμαρτία, τότε νηπιάζετε· νηπιάζειν δέ ἐστι, τὸ μὴ εἰδέναι κακοποιεῖν ἢ ἁμαρτάνειν. ἡ δὲ τῶν φρενῶν τελειότης, καὶ κακίαν φεύγει, καὶ ἀρετὴν διώκει, καὶ τὰ μείζω καὶ ὠφελιμώτερα τῶν χαρισμάτων διακρίνειν ἐπίσταται.

Φωτίου. "Διὰ τοῦ νοός μου λαλῆσαι," τοῦτ' ἔστι διὰ τῆς τοῦ νοὸς καρποφορίας, ἥτις ἐστὶν ἡ ὠφέλεια τῶν πολλῶν· διὰ τοῦ

νοός μου δὲ ἕνεκα, φησὶ, τοῦ νόος μου, τοῦ μὴ εἶναι ἄκαρπον αὐτὸν, ἀλλὰ ἀπολαύειν καρποῦ τῆς ὠφελείας τῶν πολλῶν.

21 *Ἐν τῷ νόμῳ γέγραπται, Ὅτι ἐν ἑτερογλώσσοις, καὶ*
ἐν χείλεσιν ἑτέροις, λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ'
22 *οὕτως εἰσακούσονταί μου, λέγει Κύριος. ὥστε αἱ γλῶσ-*
σαι εἰς σημεῖον εἰσὶν, οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς
ἀπίστοις· ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς
23 *πιστεύουσιν. ἐὰν οὖν συνέλθῃ ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ*
αὐτὸ, καὶ πάντες γλώσσαις λαλῶσιν, εἰσέλθωσι δὲ
24 *ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν ὅτι μαίνεσθε; ἐὰν δὲ*
πάντες προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης,
25 *ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων, καὶ*
οὕτως τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται,
καὶ οὕτως πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ Θεῷ,
ἀπαγγέλλων ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν ἐστιν.

ΘΕΟΔΩΡΙΤΟΥ. Π*ροφητικὴ μέν ἐστιν ἡ φωνή· νόμος δὲ τὴν παλαιὰν γραφὴν προσηγόρευσεν· τεθεικὼς δὲ τὴν μαρτυρίαν, ἐπάγει τὴν ἑρμηνείαν.*

ΣΕΥΗΡΙΑΝΟΥ. *Ἐπισημήνασθαι χρὴ ὅτι ἀπαιτούμενοι Ἰουδαῖοι ὅπου ὁ Θεὸς ἐν πολλαῖς αὐτοῖς ἐλάλησεν γλώσσαις, κἀκεῖνοι ἠπίθησαν, οὐκ ἔχουσι δεῖξαι· ἡμεῖς δὲ δείκνυμεν ὅτι ὅτε ἦλθε τὸ Πνεῦμα τὸ Ἅγιον καὶ ἐμέρισεν γλώσσας, οἱ Ἰουδαῖοι ἀπιθοῦντες ἔλεγον, γλεύκους μεμεστωμένοι εἰσίν· ὥστε αἱ γλῶσσαι εἰς σημεῖον εἰσὶν, οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις· ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν. ὥστε οἰκοδομοῦσιν αἱ γλῶσσαι, ὅτ' ἂν μάθῃ ὁ ἀκούων ὅτι ὁ λαλῶν λαλεῖ γλῶσσαν ἣν οὐκ οἶδεν, οὐ μὴν οἰκοδομὴν λαμβάνει τῆς ὠφελείας τῆς πνευματικῆς διδαχῆς, διὰ τὸ μὴ νοεῖσθαι μὴ προχωρούσης· ἡ μὲν γὰρ προφητεία μελλόντων, τοῖς δὲ περὶ τούτων λεγομένοις ὁ τυχὼν οὐ πιστεύει, ἀλλ' ὁ πιστός. ὁ δὲ ἄπιστος χρεῖαν ἔχει τοῦ οὐκ εἰδότος τὴν γλῶσσαν, ᾗ κέχρηται, καὶ δεικνύντος ὅτι Θεοῦ Πνεῦμα ἐν αὐτῷ· ὥστε θαῦμα ἦν ἡ γλῶττα· ἡ δὲ προφη-*

τεία ἀπὸ τῆς ἐκβάσεως θαῦμα, οὐκ ἐν τῷ λέγεσθαι. διχῶς δὲ λέγεται ἀπιστία ἐν τῇ θείᾳ γραφῇ· καὶ ἡ ἀληθῶς ἀπιστία, ἡ τῶν Ἑλλήνων· καὶ ἡ ὀλιγοπιστία, ἡ τῶν εὐσεβῶν.

Ἰωάννου. Πολλὴν ἐνταῦθα ἐκ τῶν εἰρημένων ἐπαπόρησιν ἴδοι τις ἄν· εἰ γὰρ τοῖς ἀπίστοις σημεῖόν εἰσιν αἱ γλῶσσαι, πῶς λέγει ἐφεξῆς, ὅτι ἐὰν ἴδωσιν ὑμᾶς γλώσσαις λαλοῦντας οἱ ἄπιστοι, ἐροῦσιν ὅτι μαίνεσθε; καὶ εἰ ἡ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν· πῶς καὶ οἱ ἄπιστοι ἐξ αὐτῆς κερδανοῦσιν; "ἐὰν γὰρ εἰσέλθῃ" φησὶν "ἄπιστος, ἐλέγχεται ὑπὸ πάντων" προφητευόντων ὑμῶν, καὶ ἀνακρίνεται. οὐκ αὐτὴ δὲ μόνον, ἀλλὰ καὶ μετ' αὐτὴν δευτέρα ζήτησις ἐντεῦθεν φύεται· φανεῖται γὰρ ἡ γλῶττα πάλιν μείζων τῆς προφητείας· εἰ γὰρ αἱ γλῶσσαι εἰσὶν σημεῖον τοῖς ἀπίστοις, ἡ δὲ προφητεία τοῖς πιστοῖς, τὸ τοὺς ἀλλοτρίους ἐφελκόμενον καὶ οἰκειοῦν, μεῖζον τοῦ ῥυθμίζοντος τοὺς ἰδίους.

Τί οὖν ἐστι τὸ εἰρημένον; πρῶτον ἐκεῖνο γίνωσκε ἀπίστους μὴ τοὺς αὐτοὺς πανταχοῦ λέγεσθαι· ἀλλὰ ποτὲ μὲν τοὺς ἀνίατα νοσοῦντας καὶ ἀδιορθώτους μένοντας· ποτὲ δὲ καὶ τοὺς μεταβάλλεσθαι δυναμένους· οἷοι ἦσαν ἐπὶ τῶν Ἀποστόλων οἱ θαυμάζοντες τὰ λεγόμενα τοῦ Θεοῦ μεγαλεῖα· οἷοι ἐπὶ Κορνηλίου. ὃ τοίνυν λέγει, τοῦτό ἐστιν, ὅτι τὴν γλῶτταν ἀκούοντες οἱ ἄπιστοι καὶ ἀνόητοι, οὐ μόνον οὐ κερδανοῦσιν, ἀλλὰ καὶ καταγελάσουσιν ὡς μαινομένων τῶν φθεγγομένων. καὶ γὰρ εἰς σημεῖον αὐτοῖς ἐστι μόνον, τοῦτ' ἔστιν εἰς τὸ ἐκπλήττεσθαι· τὸ γὰρ σημεῖον τῶν μέσων ἐστίν· ὡς ὅτ' ἂν λέγῃ, "ποίησον μετ' ἐμοῦ σημεῖον" καὶ προστίθησιν "εἰς ἀγαθόν·" καὶ ἵνα μάθῃς ὅτι τὸ σημεῖον ἐνταῦθα οὐχ ὡς πάντως χρήσιμόν τι ποιοῦν παρήγαγεν, ἐπήγαγεν τὸ ἐξ αὐτοῦ γινόμενον· ἐροῦσι γὰρ οἱ ἄπιστοι ὅτι μαίνεσθε· τοῦτο δὲ οὐ παρὰ τὴν τοῦ σημείου φύσιν· ἀλλὰ παρὰ τὴν ἐκείνων ἄνοιαν· ὅσοι γὰρ νοῦν εἶχον καὶ ἐκέρδαινον· διὸ καὶ ἐδόθη τὸ σημεῖον. οὐδὲ γὰρ ἐπὶ τῶν Ἀποστόλων μόνοι οἱ μέθην αὐτῶν κατηγοροῦντες ἦσαν τότε· ἀλλὰ πολλοὶ καὶ ἐθαύμαζον αὐτούς, ὡς τὰ μεγαλεῖα τοῦ Θεοῦ διηγουμένους· ἡ δὲ προφητεία οὐκ εἶπεν, ὅτι οὐκ ἔστιν χρήσιμος τοῖς ἀπίστοις· ἀλλ' ὅτι οὐκ ἔστιν εἰς σημεῖον ὥσπερ ἡ γλῶττα ἁπλῶς· ἀλλ' ὅτι καὶ εἰς πίστιν καὶ εἰς ὠφέλειαν ἀμφοτέροις

ἐπιτηδεία καὶ χρήσιμος. καὶ τοῦτο εἰ καὶ μὴ εὐθέως, ἀλλὰ διὰ τῶν ἑξῆς σαφέστερον ἡρμήνευσεν εἰπὼν, "ἐλέγχεται ὑπὸ πάντων· "ἀνακρίνεται ὑπὸ πάντων· τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ "γίνεται· καὶ πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει, ἀπαγγέλλων "ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν ἐστιν."

Ὥστε οὖν οὐ τούτῳ μόνῳ μεῖζον ἡ προφητεία τῷ ἐν ἑκατέροις ἰσχύειν, ἀλλὰ καὶ τῷ τοὺς ἀναισχυντοτέρους τῶν ἀπίστων ἐφέλκεσθαι· οὐδὲ γὰρ τὸ αὐτὸ θαῦμα ἦν ὅτε τὴν Σάπφειραν ἤλεγξεν ὁ Πέτρος, ὅπερ προφητείας ἦν· καὶ ὅτε γλώσσῃ ἐλάλει· ἀλλὰ τότε μὲν πάντες συνεστάλησαν· ὅτε δὲ γλώσσαις ἐλάλει, καὶ παραπαίοντος ἔλαβεν δόξαν· οὕτω καὶ Ναβουχοδονόσορ τὸν Θεὸν προσεκύνησεν λέγων, "ἐπ' ἀληθείας ὁ Θεὸς ὑμῶν αὐτός ἐστι Θεὸς "ἀποκαλύπτων μυστήρια, ὅτι ἠδυνήθης ἀποκαλύψαι τὸ μυστήριον "τοῦτο·" εἶδες τῆς προφητείας τὴν ἰσχύν; πῶς τὸν ἄγριον ἐκεῖνον μετέβαλεν, καὶ εἰς πίστιν ἤγαγεν; ὅπερ δὲ ἔφθην εἰπὼν οὐκ ἐν τοῖς διαβεβλημένοις, ἀλλ' ἐν τοῖς μὴ σφόδρα ὠφελοῦσι σπουδάζει κατατάξαι τὸ χάρισμα τῶν γλωσσῶν· ὥστε καταστεῖλαι αὐτοὺς καὶ εἰς ἀνάγκην ἀγαγεῖν τοῦτον ἑρμηνεύοντα ἐπιζητεῖν. ἐπειδὴ γὰρ οὐ πρὸς τοῦτο ἑώρων, ἀλλὰ πρὸς ἐπίδειξιν αὐτὸ καὶ φιλοτιμίαν ἐκέχρηντο οἱ πολλοὶ, ἀπὸ τούτου μάλιστα ἀπάγει, δεικνὺς ὅτι μάλιστα εἰς δόξαν παραβλάπτονται μανίας ὑπολήψιν κτώμενοι.

Σευηριανοῦ. *Ἄπιστον λέγει τὸν Ἕλληνα· ἰδιώτην δὲ τὸν μὴ βαπτισθέντα, τὸν ἀστράτευτον. τότε γὰρ οὐκ ἐλέγοντο κατηχούμενοι οἱ*[a] *ἀβάπτιστοι.*

Θεοδωρίτου. *Ἐπισημήνασθαι δεῖ ὡς Θεὸν ἐνταῦθα σαφῶς τὸ Πανάγιον Πνεῦμα προσηγόρευσε· τοῦ γὰρ θείου Πνεύματος ἦν ἡ τῆς προφητείας ἐνέργεια· "πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ "τὸ αὐτὸ πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται·" ἀλλ' ὅμως ἐνταῦθα τέθεικεν ὅτι "πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ "Θεῷ, ἀπαγγέλλων ὅτι Θεὸς ὄντως ἐν ὑμῖν ἐστιν," Θεὸν εἰπὼν τὸ Πανάγιον Πνεῦμα.*

Τί οὖν ἐστιν, ἀδελφοὶ, ὅτ' ἂν συνέρχησθε, ἑκάστος
26 *ὑμῶν ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν ἔχει, ἑρμηνείαν ἔχει· πάντα πρὸς οἰκοδομὴν*

[a] ἡ Cod.

27 γινέσθω. εἴτε γλώσσῃ τὶς λαλεῖ, κατὰ δύο ἢ τὸ πλεῖ-
28 στον τρεῖς, καὶ ἀνὰ μέρος· καὶ εἷς διερμηνευέτω. ἐὰν δὲ
μὴ ᾖ διερμηνευτὴς, σιγάτω ἐν ἐκκλησίᾳ· ἑαυτῷ δὲ
29 λαλείτω καὶ τῷ Θεῷ. προφῆται δὲ δύο ἢ τρεῖς λαλεί-
τωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν.

Θεοδωρίτου. Διὰ τοῦ συνέρχεσθαι ἐνέδειξεν τὸ σῶμα· διὰ τοῦ ἕκαστος ὑμῶν τάδε ἔχει καὶ τάδε, τὴν τῶν μελῶν διαφοράν· εἶτα πάλιν τὴν τῷ κοινῷ παρ' ἑκάστου προσφερομένην ὠφέλειαν "πάντα πρὸς οἰκοδομὴν γινέσθω· εἴτε γλώσσῃ τίς "λαλεῖ, κατὰ δύο ἢ τὸ πλεῖστον τρεῖς· καὶ ἀνὰ μέρος." μὴ κοινῇ διαλέγεσθαι· τοῦτο γὰρ ἀταξίας καὶ συγχύσεως· μήτε μὴν πολλοί· ἀρκοῦσι γὰρ καὶ δύο· ἀλλ' ὅμως μέχρι τριῶν ὁρείσθω τῶν οὕτω διαλεγομένων ὁ ἀριθμός· "καὶ εἷς διερμηνευέτω·" χρὴ γὰρ τοὺς παρόντας νοεῖν τὰ λεγόμενα· "ἐὰν δὲ μὴ ᾖ διερμηνευτὴς, "σιγάτω ἐν ἐκκλησίᾳ· ἑαυτῷ λαλείτω καὶ τῷ Θεῷ·" ἀτοπώτατον γὰρ κατὰ φιλοτιμίαν καὶ μὴ δι' ὠφέλειαν τῷ θείῳ κεχρῆσθαι χαρίσματι· "προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν· καὶ οἱ ἄλλοι "διακρινέτωσαν·" σκοπεῖν καὶ διακρίνειν παρακελεύεται τοὺς ἠξιωμένους τοῦ χαρίσματος τῆς διακρίσεως τῶν πνευμάτων, εἰ κατ' ἐνέργειαν τοῦ θείου Πνεύματος λέγεται. ὥσπερ γὰρ τοῖς προφήταις ψευδοπροφήτας ἀντέταξεν ὁ διάβολος· οὕτω τοῖς Ἀποστόλοις ψευδαποστόλους.

Ἰωάννου. Τί οὖν, φησὶ, ποιητέον ὑμῖν; ἰδοὺ γὰρ ἀκηκόατε τὰς τῶν χαρισμάτων διαφοράς· καὶ λοιπὸν ἐπάγει· "εἴτε ψαλμὸν "ἔχει·" ἀπὸ γὰρ χαρίσματος καὶ ψαλμὸν ἐποίουν· "εἴτε διδα-"χὴν ἔχει·" οἷον εἰ δύναται διδάξαι καὶ ὠφελῆσαι· "εἴτε προ-"φητείαν ἔχει·" τοῦτο γὰρ ἡ ἀποκάλυψις· "εἴτε γλῶσσαν ἔχει·" καλῶς δὲ καὶ τῶν γλωσσῶν ἐμνήσθη. ἐπειδὴ γὰρ αὐτὰς ἐν τοῖς προλαβοῦσι σφόδρα καθεῖλεν· νῦν καὶ αὐτῶν ἐμνήσθη· ἐπεὶ ἔδοξεν ἂν μήτε εἶδος χαρίσματος τὸ τῶν γλωσσῶν· "εἴτε ἑρμηνείαν "ἔχει" καὶ δύναται ταῖς γλώσσαις ἑρμηνεύειν· πρὸς ἓν τέλος πάντα ὁρᾷ τῷ τὸ οἰκοδομεῖν τὴν Ἐκκλησίαν. μὴ πολλοὶ, μὴ δὲ συγκεχυμένως, ἵνα μὴ ἀκαταστασία γίνηται, "ἀλλὰ δύο ἢ τρεῖς "τὸ πλεῖστον καὶ ἀνὰ μέρος·" τοῦτ' ἐστιν εἷς ἀφ' ἑνὸς τῷ αὐτῷ

λαλείτω· οὐκ ἔστιν ἐπιτρέποντος, ἀλλ' οὐδὲ κωλύοντος· ὡσεὶ ἔλεγεν, εἰ μὴ ἔχῃ ἑρμηνείαν, σιγάτω· εἰ δὲ μὴ καρτερεῖ σιγᾶν, τοῦτο δὲ κατηγορίας ἐστὶν, ἑαυτῷ λαλείτω· τοῦτ' ἔστιν ἀψοφητὶ καὶ ἠρέμα, ὡς Θεὸν μόνον ἀκούειν, οὐ μὴν ἀνθρώπους. ὅρα πῶς ἐν τῷ δοκεῖν ἐπιτρέπειν, ἀποτρέπει· ἦσαν ἐν τοῖς προφήταις καὶ μάντεις λανθάνοντες· διὸ φησὶ, "δύο ἢ τρεῖς, καὶ οἱ ἄλλοι διακρινέτωσαν·" τοῦτ' ἔστιν διακρινέτωσαν, μή που τις μάντις προφήτης εἶναι ὑποκρίνοιτο. διὰ τοῦτο δὲ δύο ἢ τρεῖς· ἵνα μὴ διὰ τὸ πλῆθος λαθῶσιν οἱ μάντεις.

30 Ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος
31 σιγάτω. δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν, ἵνα
32 πάντες μανθάνωσι, καὶ πάντες παρακαλῶνται· καὶ πνεύ-
33 ματα προφητῶν προφήταις ὑποτάσσεται· οὐ γάρ ἐστιν
ἀκαταστασίας ὁ Θεὸς, ἀλλὰ εἰρήνης, ὡς ἐν πάσαις ταῖς
ἐκκλησίαις τῶν ἁγίων.

Θεοδωρίτου. Ἐὰν ἄλλον, φησὶν, κινήσῃ ἡ χάρις τοῦ Πνεύματος· παραχωρείτω ὁ τοῦ λέγειν ἀρξάμενος· "δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν· ἵνα πάντες μανθάνωσι καὶ πάντες παρακαλῶνται·" μηδὲν ἀτάκτως μηδὲ συγκεχυμένως γινέσθω. καὶ γὰρ οἷόν τε πάντας ὑμᾶς τὴν προφητείαν τοῖς ἀθροιζομένοις προσφέρειν, καὶ τὴν ἐντεῦθεν αὐτοῖς ὄνησιν πραγματεύεσθαι· αὕτη μέχρι τοῦ παρόντος ἡ τάξις ἐν ταῖς ἐκκλησίαις μεμένηκεν· καὶ τῶν διδασκάλων, οἱ μὲν ἐν ταύτῃ τῇ πανηγύρει, οἱ δὲ ἐν ἑτέρᾳ, τῷ λαῷ διαλέγονται.

Ἰωάννου. Εἰ σοῦ, φησὶν, προφητεύοντος, ἄλλον ἐκίνησε τὸ Πνεῦμα τὸ Ἅγιον, σὺ σίγα· ἵνα μὴ τῶν δύο ἅμα προφητευόντων, σύγχυσις γένηται· διὰ τοῦτο γὰρ σοῦ, φησὶν, προφητεύοντος, ὁ ἄλλος ἐνεπνεύσθη, βουλομένου τοῦ Πνεύματος, καὶ δι' ἐκείνου λεχθῆναί τι. ἐπειδὴ δὲ τὸν πρῶτον σιγᾶν ἐκέλευσεν, παραμυθεῖται αὐτόν· μὴ δυσχεράνῃς, φησὶ, σιγᾶν κελευόμενος· δυνῇ γὰρ καὶ σὺ καὶ ἄλλος καὶ πάντες προφητεύειν. τοῦτ' ἔστιν οὐκ ἐκλείψει ὁ καιρὸς, ἵνα πάντες οἱ τὴν ἐκκλησίαν πληροῦντες, καὶ μανθάνωσι καὶ εἰς πίστιν παρακαλῶνται.

Σευηριανοῦ. Διὰ τούτων δείκνυσιν ὅτι ταῖς ψυχαῖς τὸ Πνεῦ-

μα τὸ Ἅγιον ἀπεκάλυπτεν τὰ μυστήρια· κἀκεῖναι φωτισθεῖσαι ἀπεκάλυπτον ἀνθρώποις, οὐχ ὡς ἐν ταῖς μαντείαις οὐκ οἶδεν ὁ μάντις τί φθέγγεται. ἀπέδωκεν οὖν ἐκεῖνο τὸ πρῶτον, ὃ ἔλεγεν, ὅτι "ὅτε ἦτε ἔθνη, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα ὡς ἂν ἤγεσθε "ἀπαγόμενοι." "προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν· οἱ ἄλλοι "δὲ διακρινέτωσαν·" οἱ ἔχοντες τὸ χάρισμα τῆς διακρίσεως τῶν πνευμάτων. "ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος "σιγάτω·" ὡς ἐν αὐτοῖς ὂν ποτὲ μὲν σιγᾶν, ποτὲ δὲ λέγειν. "καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται·" μὴ φοβηθῇς φησὶν, ἐὰν σιγήσῃς ὡς ἀθετῶν τὸ Πνεῦμα· οἶδεν γὰρ τὰ χαρίσματα ἀλλήλοις ὑποτάσσεσθαι· οὕτως Ἰησοῦς ὑπετάσσετο τῷ Μωϋσεῖ· οὕτως ὁ Ἑλισσαῖος τῷ Ἡλίᾳ· οὕτως αὐτῷ τῷ Ἑλισσαίῳ τὸ πλῆθος τῶν προφητῶν· οὕτως αὐτῷ τῷ Ἀποστόλῳ Τιμόθεος καὶ Τίτος καὶ οἱ λοιποί.

Ἰωάννου. Ἵνα μὴ φιλονεικῇ ἄνθρωπος, αὐτὸ τὸ πνεῦμα δείκνυσιν ὑποτασσόμενον· πνεῦμα γὰρ ἐνταῦθα, τὴν ἐνέργειαν λέγει· εἰ δὲ τὸ πνεῦμα ὑποτάσσεται, πολλῷ πλέον σὺ ὁ κεκτημένος, οὐκ ἂν εἴης δίκαιος φιλονεικεῖν.

Οἰκουμενίου. Ἄντικρυς ἢ ἐπὶ τῶν μάντεων· ἐκεῖνοι γὰρ μετὰ τὴν παρ' αὐτοῖς ἐνθουσίασιν, καὶ ἄκοντες οἱ δαιμονῶντες λαλοῦσιν ἃ οὐ βούλονται. εἰ τοίνυν τὸ χάρισμα τοῖς προφήταις ὑποτέτακται· πῶς οὐκ ἄτοπον ὑμᾶς μὴ ὑποτάσσεσθαι τῷ κοινῇ συμφέροντι; ἵνα ὅτ' ἂν ᾖ καιρὸς σιωπῆς, σιωπᾶτε.

Ἰωάννου. Πνεύματα προφητῶν φησὶν αὐτὸ τὸ πνευματικὸν χάρισμα· εἶτα ἵνα μὴ λέγῃ τις, καὶ πῶς σιγᾶν δύναμαι; αὐτὸ γὰρ τὸ ἐπιπνέον Ἅγιον Πνεῦμα καὶ ἑκόντα καὶ ἄκοντα ἀναγκάζει λαλεῖν· οὐχὶ, φησὶν, ὑποτέτακται γὰρ τῷ προφήτῃ τὸ χάρισμα· τοῦτ' ἔστιν ἐν αὐτῷ ἐστι καὶ λαλεῖν καὶ σιωπᾶν.

Ὠριγένους. Κίνδυνός ἐστι τοῖς ἀναγινώσκουσιν ἁπλῶς ἀποφαίνεσθαι· ὁμοίως δὲ καὶ τοῖς ἀκούουσιν. ἄκουε γοῦν Παύλου λέγοντος· "εἴτις δοκεῖ ἐν ὑμῖν προφήτης εἶναι, ἢ πνευματικὸς, "ἐπιγινωσκέτω ἃ γράφω, ὅτι Θεοῦ ἐστιν·" ὡς οὐ παντὸς ἐπιγινώσκοντος τὰ τοῦ Θεοῦ· ἐὰν μὴ ᾖ προφήτης ἢ πνευματικός. διέγραψεν δὲ τὸν πνευματικὸν ὁ Ἀπόστολος εἰπών· "ὁ δὲ πνευμα"τικὸς ἀνακρίνει τὰ πάντα· αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται·"

τίς δέ ἐστιν ὁ διακρίνων τὰ πάντα, ἢ ὁ δυνάμενος πάντα λόγον ἐξετάζειν καὶ κρίνειν; οὗτος δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται, διὰ τὸ βάθος τῶν νοημάτων αὐτοῦ μὴ καταλαμβανόμενος· ὁ γὰρ πνευματικὸς νοῦν ἔχει Κυρίου. ὥσπερ οὖν παιδίον οὐ δύναται ἀνακρῖναι νοῦν ἀνδρὸς καὶ ἐξετάσαι τὰ νοήματα αὐτοῦ, οὐδὲ γὰρ τὴν ἀρχὴν παρακολουθεῖ τοῖς τοῦ ἀνδρὸς νοήμασιν ὁ βραχὺς παῖς· τὸν αὐτὸν τρόπον οὐδὲ ψυχικὸς δύναται εἰδέναι ποῖα τὰ τοῦ Θεοῦ καὶ ποῖα οὐχί. μόνου δὲ πνευματικοῦ ἐστι τοῦτο τὸ ἔργον. ἐγὼ πολλάκις ἐζήτουν κατεμαυτὸν τί δήποτε, ὅτε οἱ προφῆται ἦσαν τοῦ Θεοῦ καὶ οἱ ψευδοπροφῆται, οἱ ψευδοπροφῆται εὐδοκίμουν παρὰ τοῖς βασιλεῦσιν αὐτῶν, παρὰ τοὺς προφήτας· καὶ τὰ μὲν βιβλία τῶν ψευδοπροφητῶν οὐκ ἐγράφη, οὐδὲ ἐσώθη ἐν τῷ λαῷ· τὰ δὲ τῶν προφητῶν καταδικασθέντων, μισηθέντων, πεπονθότων ἃ ἴσμεν, ἦλθεν εἰς μέσον, καὶ τετίμηται· τίς γέγονεν ἡ τούτων ἀρχή; ἀπὸ τοῦ Ἀποστόλου ἀφορμὰς λαβὼν λέγω, ὅτι ἦν χάρισμα ἐν τῷ λαῷ ὥσπερ προφητεύειν, οὕτω διακρίνειν προφήτας. "δύνασθε γὰρ καθ' "ἕνα πάντες προφητεύειν·" ἀφθονία ἦν τότε τῶν λεγόντων καὶ τῶν ἐπιτρεπομένων λέγειν. διὰ γὰρ τοῦτο ἐπέτρεψεν ὁ Ἀπόστολος πᾶσι λέγειν ἐν Ἐκκλησίᾳ· μικροῦ δεῖν καὶ ταῖς γυναιξὶν ἐπέτρεψε λαλεῖν, εἰ μὴ εἰρήκει τὸ ἑξῆς.

ἸΩΑΝΝΟΥ. Εἶτα δείκνυσιν ὅτι καὶ τῷ Θεῷ τοῦτο δοκεῖ, τὸ τὸν πρῶτον σιγᾶν. ἐπεὶ μὴ "ἔστιν Θεὸς ἀκαταστασίας, ἀλλ' "εἰρήνης." ἐκ γὰρ τούτου, φησὶν, ἀκαταστασία καὶ σύγχυσις γίνεται. οὕτως δὲ ὁ τῆς εἰρήνης νόμος ἐν πάσαις ἔστιν ἐκκλησίαις τῶν ἁγίων. καλῶς δὲ φησὶν "τῶν ἁγίων," ἐπειδὴ καὶ Ἑλλήνων ἦσαν ἐκκλησίαι.

ΦΩΤΙΟΥ. "Ὁ πρῶτος" εἶπεν, οὐχὶ πρῶτος κατὰ τὸ ἀξίωμα τῆς προφητείας, ἀλλὰ καθὸ πρότερος αὐτὸς ἤρξατο λέγειν τοῦ μεταυτόν.

34 Αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν· οὐ
γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι,
35 καθὼς καὶ ὁ νόμος λέγει. εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν
οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν· αἰσχρὸν γάρ
36 ἐστι γυναιξὶν ἐν ἐκκλησίαις λαλεῖν. ἢ ἀφ' ὑμῶν ὁ λόγος
τοῦ Θεοῦ ἐξῆλθεν; ἢ εἰς ὑμᾶς μόνους κατήντησεν;

'Ωριγένους. Ὡς γὰρ πάντων λεγόντων καὶ δυναμένων λέγειν, ἐὰν ἀποκάλυψις αὐτοῖς γένηταί φησιν, "αἱ γυναῖκες ἐν ταῖς "ἐκκλησίαις σιγάτωσαν." ταύτης δὲ τῆς ἐντολῆς οὐκ ἦσαν οἱ τῶν γυναικῶν μαθηταὶ, οἱ μαθητευθέντες Πρισκίλλῃ καὶ Μαξιμίλλῃ· οὐ Χριστοῦ τοῦ ἀνδρὸς τῆς νύμφης· ἀλλ' ὅμως εὐγνωμονῶμεν καὶ πρὸς τὰ πιθανὰ ἐκείνοις ἀπαντῶντες. τέσσαρες φασὶ θυγατέρες ἦσαν Φιλίππου τοῦ Εὐαγγελιστοῦ, καὶ προεφήτευον. εἰ δὲ προεφήτευον· τί ἄτοπόν ἐστι καὶ τὰς ἡμετέρας, ὥς φασιν ἐκεῖνοι, προφήτιδας προφητεύειν; ταῦτα δὲ λύσομεν· πρῶτον μὲν λέγοντες, ὅτι αἱ ὑμέτεραι προεφήτευον· δείξατε τὰ σημεῖα τῆς προφητείας ἐν αὐταῖς. δεύτερον δὲ εἰ καὶ προεφήτευον αἱ θυγατέρες Φιλίππου, ἀλλ' οὐκ ἐν ταῖς ἐκκλησίαις ἔλεγον· οὐ γὰρ ἔχομεν τοῦτο ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων· ἀλλ' οὐδ' ἐν τῇ παλαιᾷ. Δεββῶρα μεμαρτύρηται προφῆτις εἶναι. λαβοῦσα δὲ Μαριὰμ ἡ ἀδελφὴ Ἀαρὼν τὸ τύμπανον, ἐξῆρχε τῶν γυναικῶν. ἀλλ' οὐκ ἂν εὕροις ὅτι Δεββῶρα ἐδημηγόρησεν εἰς τὸν λαὸν, ὥσπερ Ἱερεμίας καὶ Ἡσαΐας· οὐκ ἂν εὕροις ὅτι Ὀλδὰ προφῆτις οὖσα ἐλάλησε τῷ λαῷ, ἀλλ' ἑνί τινι ἐλθόντι πρὸς αὐτήν· ἀλλὰ καὶ ἐν τῷ Εὐαγγελίῳ ἀναγέγραπται Ἄννα προφῆτις θυγάτηρ Φανουὴλ ἐκ φυλῆς Ἀσήρ· ἀλλ' οὐκ ἐν ἐκκλησίᾳ ἐλάλησεν. ἵνα οὖν καὶ δοθῇ ἐκ σημείου προφητικοῦ εἶναι προφῆτις γυνή· ἀλλ' οὐκ ἐπιτρέπεται ταύτῃ λαλεῖν ἐν ἐκκλησίᾳ. ὅτε ἐλάλησε Μαριὰμ προφῆτις ἄρχουσα ἦν τινῶν γυναικῶν· αἰσχρὸν γὰρ γυναικὶ λαλεῖν ἐν ἐκκλησίᾳ· καὶ διδάσκειν δὲ γυναικὶ οὐκ ἐπιτρέπω ἁπλῶς, ἀλλ' οὐδὲ αὐθεντεῖν ἀνδρός.

Καὶ ἄλλοθεν δὲ τοῦτο παραστήσω. εἰ καὶ ἐκεῖνο ἀσφαλέστερον εἴρηται, περὶ τοῦ μὴ τὴν γυναῖκα ἡγεμόνα γίνεσθαι τῷ λόγῳ τοῦ ἀνδρὸς, "πρεσβύτιδας ἐν καταστήματι, ἱεροπρεπεῖς καλοδιδα"σκάλους, ἵνα σωφρονίζωσι τὰς νέας." οὐχ ἁπλῶς ἵνα διδάσκωσιν, καλοδιδάσκαλοι μὲν γὰρ ἔστωσαν καὶ γυναῖκες. οὐχ ἵνα ἄνδρες καθήμενοι ἀκούωσι γυναικῶν, ὡς ἐκλειπόντων ἀνδρῶν τῶν δυναμένων πρεσβεύειν τὸν τοῦ Θεοῦ λόγον. "εἰ δέ τι μαθεῖν "ἐθέλουσιν· ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν· αἰσχρὸν "γάρ ἐστι γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν." δοκεῖ μοι τὸ τοὺς ἰδίους ἄνδρας οὐκ ἐπὶ τοὺς γαμετοὺς ἀναφέρεσθαι μόνον· αἱ παρ-

θένοι γὰρ ἢ λαλήσουσιν ἐν ἐκκλησίᾳ ἢ οὐχ ἕξουσι τοὺς διδάσκοντας· καὶ αἱ χηρεύουσαι ὁμοίως. ἀλλὰ μήποτε τοὺς ἰδίους ἄνδρας, οἷον καὶ τὸν ἀδελφὸν καὶ τὸν οἰκεῖον καὶ τὸν υἱόν. ἅπαξ ἁπλῶς ἀνδρὸς πυνθανέσθω γυνὴ τοῦ ἰδίου, κατὰ τὸ γενικὸν ὄνομα ἀνδρὸς πρὸς ἀντιδιαστολὴν γυναικός· "αἰσχρὸν γὰρ γυναικὶ λαλεῖν ἐν "ἐκκλησίᾳ·" ὁποῖα ἐὰν λαλῇ, κἂν θαύμαστα λαλῇ, κἂν ἅγια, μόνον δὲ ἀπὸ στόματος γυναικείου ἐξέρχηται. γυνὴ ἐν ἐκκλησίᾳ δηλονότι κατὰ τὸ αἰσχρὸν λέγεται, ἐπὶ κατηγορίᾳ τῆς ὅλης ἐκκλησίας. "ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ ἐξῆλθεν; ἢ εἰς ὑμᾶς μόνους "κατήντησεν;" ὡς τῆς ἀταξίας ταύτης οὔσης ἐν Κορίνθῳ, μετὰ καὶ τῶν ἄλλων ἁμαρτημάτων. τοῦτο οὖν λέγει, ὅτι ἀπέστειλεν τὸν λόγον αὐτοῦ ὁ Θεὸς εἰς τὸν κόσμον. ἄρ' οὖν ἡ ἀλήθεια καὶ ὁ κανὼν ὁ ἐκκλησιαστικὸς εἰς ὑμᾶς μόνους τοὺς Κορινθίους κατήντησεν;

Ἰωάννου. *Οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι, καθὼς καὶ ὁ νόμος λέγει. καὶ ποῦ τοῦτο λέγει ὁ νόμος; "πρὸς τὸν ἄνδρα σοῦ ἡ ἀποστροφή σου, καὶ αὐτός σου "κυριεύσει." εἶδες Παύλου τὴν σοφίαν; ἡλίκην παρήγαγεν μαρτυρίαν, οὐ σιγᾶν αὐταῖς κελεύουσαν μόνον, ἀλλὰ καὶ μετὰ φόβου σιγᾶν, καὶ φόβου τοσούτου, μεθ' ὅσου τὴν δούλην ἡσυχάζειν χρή. παράγει δὲ τὰς λοιπὰς ἐκκλησίας τῆς σιωπῆς τηρούσας τὸν νόμον· ἀπὸ τῆς καινοτομίας τὸν θόρυβον ὑποτεμνόμενος, καὶ τῇ τῶν πολλῶν ψήφῳ τὸν λόγον ποιῶν εὐπαράδεκτον. οὔτε γὰρ πρῶτοι, φησὶν, ὑμεῖς οὔτε μόνοι πιστοὶ, ἀλλ' ἡ οἰκουμένη πᾶσα.*

37 Εἴ τις δοκεῖ προφήτης εἶναι ἢ πνευματικὸς, ἐπιγι-
38 νωσκέτω ἃ γράφω ὑμῖν, ὅτι τοῦ Κυρίου εἰσὶν ἐντολαί·
39 εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω. ὥστε, ἀδελφοί μου, ζηλοῦτε
τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε.
40 πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.

Ὠριγένους. *Ἵνα οὖν ἐπιγινώσκωμεν τὰ τοῦ Θεοῦ· παρακαλέσωμεν τὸν διδόντα χαρίσματα, ἵνα δώῃ ἡμῖν χάρισμα προφητικὸν, καὶ ποιήσῃ ἡμᾶς ἀπὸ τοῦ κρατοῦντος Πνεύματος πνευματικούς. καὶ οὕτως ἐπὶ τοῦ κρίνειν ποῖα τοῦ Θεοῦ ἐστιν, ἢ ποῖα οὐκ ἔστιν αὐτοῦ· ὁ γὰρ τῆς χάριτος ταύτης ἐστερημένος συνεῖναι οὐ δύναται. ὅθεν ἐπήγαγεν, "εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω."*

Ἰωάννου. Πολλαχῶς διδάξας τὸ δεῖν τὰς γυναῖκας σιγᾶν, νῦν καὶ τοῦτο προστίθησιν, ὅτι, φησὶ, καὶ τῷ Θεῷ τοῦτο δοκεῖ· εἴ τις γάρ, φησιν, ἢ προφήτης ἐστὶν ἢ ἄλλως πνευματικὸν ἔχει χάρισμα, εἰς τὸ εἰδέναι τὰ γραφόμενα παρ᾽ ἐμοῦ· ἴστω ὅτι Θεοῦ εἰσιν ἐντολαὶ, ἃ γράφω· καὶ οὐκ ἀφ᾽ ἑαυτοῦ, φησὶ, πρὸς τούτοις κινοῦμαι· εἰ δέ τις ἀγνοεῖ, ὅτι Θεοῦ εἰσιν αὐταὶ ἐντολαὶ, ἀγνοείτω· τοῦτ᾽ ἔστιν, ἐγὼ εἶπον, ὁ θέλων πειθέσθω· ὁ μὴ θέλων, ὃ οἶδεν ποιείτω. τὸ δὲ ταῦτα λέγειν σημεῖόν ἐστιν ἀνδρὸς οὐ τὰ ἑαυτοῦ πάντως βουλομένου στῆσαι, ἀλλὰ τὸ κοινῇ συμφέρον σκοποῦντος· τὸ δὲ τοιοῦτον σχῆμα τοῦ λόγου ποιεῖν εἴωθεν, ἔνθα οὐ μέγα ἐστὶν τὸ γινόμενον πλημμέλημα. τί γὰρ μέγα τὸ ἀγνοεῖν αὐτοὺς ὅτι Θεοῦ εἰσιν ἐντολαὶ τὸ σιγᾶν τὰς γυναῖκας;

Θεοδωρίτου. Πάλιν τὸ μὲν ἔδειξε τιμιώτερον· τὸ δὲ καὶ αὐτὸ χρεῶδες. τοῦτο γὰρ δηλοῖ τὸ "μὴ κωλύετε· πάντα δὲ εὐσχημόνως "καὶ κατὰ τάξιν γινέσθω·" τὴν δὲ τάξιν ἐν τοῖς πρόσθεν ἐδίδαξεν.

Ἰωάννου. Πάλιν ἐπανῆλθεν ὅθεν ἐξῆλθεν· καὶ μείζονα δείκνυσι τὴν προφητείαν, τῷ εἰπεῖν "ζηλοῦτε·" ἧττον δὲ τὴν τῶν γλωσσῶν χάριν· τὸ γὰρ λαλεῖν γλώσσαις, φησὶ, μὴ κωλύετε· εἶτα ἐπανακεφαλαιοῦται τὰ πρῶτα. "πάντα," φησὶν, "εὐσχημόνως καὶ "κατὰ τάξιν γινέσθω. ἔσται δὲ τοῦτο ἐὰν οἱ γλώσσαις λαλοῦντες δύο ἢ τρεῖς λαλοῦσι καὶ ἀνὰ μέρος· καὶ οἱ προφῆται ἀλλήλοις παραχωροῦσι· καὶ αἱ γυναῖκες ἐν ἐκκλησίᾳ σιωπῶσιν.

ΚΕΦ. Θ.

Περὶ ἀναστάσεως σωμάτων καθολικῆς.

1 Γνωρίζω δὲ ὑμῖν, ἀδελφοὶ, τὸ εὐαγγέλιον ὃ εὐηγγε-
2 λισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε, δι᾽
οὗ καὶ σώζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ
κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε.

Κυρίλλου. Ἐπὶ καιροῦ δὴ λίαν καὶ σοφῶς εὐαγγέλιον ἀποκαλεῖ τὸ περὶ τῆς τῶν νεκρῶν ἀναστάσεως κήρυγμα, καὶ αὐτοῦ δὲ πάντως τοῦ Χριστοῦ. καὶ γάρ ἐστιν ἀληθῶς ἀγαθοῦ παντὸς ἀπαγγελία τοῖς τὴν πίστιν εἰσδεδεγμένοις· ἐν αὐτῷ δὲ φησὶν αὐτοῖς ἑστάναι τε καὶ σώζεσθαι. τοῦ μὲν ἑστάναι κατασημαί-

νοντος τὸ ἐν ἑδραιότητι τῆς ἐλπίδος καὶ τὸ ἐν καλῷ τῆς δόξης γενέσθαι τοὺς πεπιστευκότας· τοῦ δέ γε σώζεσθαι, τὸ καὶ αὐτῆς ἀναπεφάνθαι τῆς ἁμαρτίας ἀμείνους, καὶ τῶν τοῦ θανάτου βρόχων ἐπέκεινα δραμεῖν.

ἸΩΑΝΝΟΥ. *Εἰς τὸν περὶ ἀναστάσεως ἔρχεται λόγον. λέγει δὲ ὅτι οὐδὲν ξένον ὑμῖν ἐρῶ, ἀλλὰ τὸ ἤδη γνωρισθὲν ὑμῖν, εἰς λήθην δὲ ἐλθόν· τὸ γὰρ "γνωρίζω" οἷον ὑπομιμνήσκω κεῖται· ἀδελφοὺς δὲ καλέσας, ὁμοῦ μὲν αὐτοὺς καταπραΰνει, ὁμοῦ δὲ τὸ τῶν δωρεῶν ἀναμιμνήσκει τοῦ Χριστοῦ. διὰ γὰρ τὴν αὐτοῦ ἔνσαρκον παρουσίαν, πάντες ἀδελφοὶ γεγόναμεν ὥσπέρ τινι παρακαταθήκην· οὐ λόγῳ γὰρ μόνῳ παρειλήφεσαν, ἀλλὰ καὶ διὰ σημείων καὶ ποικίλων δυνάμεων· ὅρα δὲ τὴν σοφίαν Παύλου· ἐσαλεύοντο οὗτοι, καὶ ὅμως ἑστάναι αὐτοὺς λέγει· ἵνα μὴ ἀναισχυντοτέρους ποιήσῃ ἑκὼν ἀγνοῶν· εἶτα τοῦ ἑστάναι τὸ κέρδος, δι' οὗ φησὶ καὶ σώζεσθαι.*

ΣΕΥΗΡΙΑΝΟΥ. *Οὐ ξένον, φησὶ, λέγω, ἀλλ' ὅπερ ἐκήρυξα. καὶ οὐχὶ ἐγὼ μὲν ἐκήρυξα, ὑμεῖς δὲ οὐκ ἐδέξασθε· ἀλλ' ὃ καὶ παρελάβετε· καὶ οὐχὶ μάταιον παρελάβετε καὶ ἀνόνητον, ἀλλ' ἐν ᾧ σώζεσθε· μέλλων δὲ λέγειν ὅτι ἐγνώρισα ὑμῖν, ὁ Κύριος Ἰησοῦς ἀπέθανεν ὑπὲρ ὑμῶν, φησὶ, τίνι δὲ λόγῳ τοῦτο τὸ εὐαγγέλιον; ἵνα πιστευθῇ ἡ ἀνάστασις· ἀπαρχὴ γὰρ υἱὸς Ἰησοῦς τῆς ἀναστάσεως, ἀποθανὼν ὑπὲρ ἡμῶν. εἰ γὰρ μὴ ἔδει τὸν θάνατον ἀναιρεθῆναι, οὐκ ἂν ἐνηνθρώπησεν ὁ Σωτήρ· "ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε." ἀντὶ τοῦ πλὴν εἰ μὴ εἰκῇ ἐπιστεύσατε· ἐγὼ γὰρ λέγω, ὅτι εἰ μὴ κατέχετε, φανερὸν ὅτι εἰκῇ ἐπιστεύσατε.*

ἸΩΑΝΝΟΥ. *Ὡσανεὶ αὐτῶν σαφήνειαν μόνον ζητούντων, οὐ μὴν ἀμφιβαλλόντων περὶ τὴν ἀνάστασιν, οὕτω λέγει· "τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν·" τοῦτ' ἔστι, ποίῳ τρόπῳ ἀνάστασις ἐλέχθη γενέσθαι· ὡσεὶ ἔλεγεν, περὶ μὲν τοῦ δόγματος οὐκ ἂν φαίην ὑμᾶς ἀμφιβάλλειν, τὸν δὲ τούτων ζητεῖν λόγον· ὅθεν, φησὶ, τὸν τῆς ἀναστάσεως λόγον ὑμᾶς ὑπομιμνήσκω· εἶτα ἵνα μὴ ῥαθύμους ἐργάσηται μαρτυρῶν αὐτοῖς τὸ ἑστάναι, ἐπάγει· "εἰ κατέχετε·" ἐκτὸς γὰρ τοῦ κατέχειν τὸ περὶ ἀναστάσεως δόγμα, "εἰκῇ ἐπιστεύσατε," ὡς τοῦ κεφαλαίου τῆς πίστεως ἐν τούτῳ ὑπάρχοντος.*

ΘΕΟΔΩΡΟΥ. Εἰ γὰρ εὐηγγελίσατο καὶ παρέλαβον καὶ μὴν καὶ κατέχουσιν ἔτι, τοῦτο γάρ ἐστι τὸ "ἐν ᾧ καὶ ἑστήκατε," περιττὸν τὸ περὶ τούτου γράφειν· εἰ μὴ ἄρα ἐκεῖνοι τῷ δοκεῖν τὰ Χριστιανικὰ κατέχοντες δόγματα, ἐπὶ τῶν πραγμάτων τὰ ἐναντία φαίνονται ἀσπαζόμενοι· ὅθεν καλῶς ἐπήγαγεν τὸ "δι' οὗ καὶ "σώζεσθε." ἀντὶ τοῦ, οὕτω κατέχετε, ὡς ἂν καὶ σωτηρίας τυχεῖν ἐλπίζοντες ἀπ' αὐτοῦ· τὸ δὲ "τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν·" ἀντὶ τοῦ, τίς ὁ σκοπὸς τοῦ εὐαγγελίου, τίς ἡ αἰτία· ἵνα τὸ μὲν εὐαγγέλιον ᾖ τοῦ Χριστοῦ ἡ ἀνάστασις· ὁ δὲ τούτου σκοπὸς τὸ πιστεῦσαι ὅτι καὶ πάντες ἀναστησόμεθα ἀκολούθως ἐκείνῳ.

ΘΕΟΔΩΡΙΤΟΥ. Πάλιν τῇ διδασκαλίᾳ τὴν εὐφημίαν ἀνέμιξεν, προλεαίνων τὴν ἀκοήν· διὰ τοῦτο εἶπεν "ἐν ᾧ ἑστήκατε, δι' οὗ "καὶ σώζεσθε." λέγει δὲ τοῦτο, βούλομαι ὑμᾶς ἀναμνῆσαι τοῦ παρ' ἐμοῦ κηρυχθέντος εὐαγγελίου, ὃ προθύμως μὲν ἐδέξασθε, τὴν ἐκ τούτου δὲ φυομένην προσμένετε σωτηρίαν· ἀναμιμνήσκω δὲ ὑμᾶς, ὑποδεῖξαι θέλων τὸν τούτου σκοπόν. τοῦτο γὰρ εἶπεν "τίνι "λόγῳ εὐηγγελισάμην ὑμᾶς." εἶτα ἐπάγει· "εἰ κατέχετε, ἐκτὸς "εἰ μὴ εἰκῇ ἐπιστεύσατε." τῆς γὰρ τῶν σωμάτων ἀπιστουμένης ἀναστάσεως, περιττὸν τοῦ εὐαγγελίου τὸ κήρυγμα.

ΘΕΟΔΩΡΟΥ. Εἴπερ δὴ κατέχετε καὶ μὴ ἀπεβάλλετε πάντα, ὡς ἂν εἰκῇ πεπιστευκότες τοῖς παρ' ἡμῶν λεχθεῖσιν.

ὨΡΙΓΕΝΟΥΣ. Ἰουδαῖοι οὐχ ἑστήκασιν ἐν τῷ εὐαγγελίῳ, τὸν Ἰησοῦν μὴ παραδεξάμενοι· οἱ ἀπὸ τῶν αἱρέσεων κακῶς ἑστήκασι, μὴ νοοῦντες τὸ εὐαγγέλιον, ἀλλ' ἰδίως αὐτὸ ἐκδεχόμενοι· οἱ ἁμαρτάνοντες οὐχ ἑστήκασι ἐν τῷ εὐαγγελίῳ. ἢ οἱ παραλαβόντες αὐτὸ καὶ παραδεξάμενοι καὶ καταυτὸ βιοῦντες. ἐὰν δὲ νοηθῇ "τίνι "λόγῳ εὐαγγελισάμην ὑμῖν εἰ κατέχετε," καὶ νοηθῇ τὸ ἐπιφερόμενον εὐλόγως τοῖς τὸ ἐκτὸς εἰ μὴ εἰκῇ πεπιστευκότα οὕτω πεπιστευκέναι ψευδεῖ· ἀλλὰ τὸ πεπιστευκέναι μὲν, ἀληθεῖ δέ· ἔργον οὐκ ἔστιν κρίσει πιστεύειν· οἱ πρὸς καιρὸν πιστεύοντες καὶ ἐν καιρῷ πειρασμοῦ ἀφιστάμενοι εἰκῇ πιστεύουσιν· καίτοιγε οὐ ψευδῆ πεπιστεύκασιν· ἀλλὰ τῷ ἀληθεῖ μέν· ἐπειδὴ δὲ οὐ βεβαίως πεπιστεύκασιν, διὰ τοῦτο ἐν καιρῷ πειρασμοῦ ἀφίστανται· καλῶς γὰρ πιστεύων τις, οὐ πεσεῖται.

3 Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον·
ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ
4 τὰς γραφάς· καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ
5 ἡμέρᾳ, κατὰ τὰς γραφάς· καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα
6 τοῖς δώδεκα. ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς
ἐφάπαξ, ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι, τινὲς δὲ
7 καὶ ἐκοιμήθησαν· ἔπειτα ὤφθη Ἰακώβῳ, εἶτα τοῖς Ἀπο-
στόλοις πᾶσιν.

Κυρίλλου. Παραδεδωκέναι φησὶν ὑμῖν οὐ τὸ εἰς νοῦν ἧκον ἁπλῶς καὶ ἀβασανίστως εἰσδεδεγμένοι, ἀλλ' Εὐαγγέλιον ὃ παρέλαβεν· ἐνίεντος αὐτῷ τὴν γνῶσιν τοῦ δι' ἡμᾶς ἐνηνθρωπηκότος· ἔφη γὰρ πάλιν ὁ αὐτὸς διὰ τοῦ Εὐαγγελίου· "οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτὸ, οὐδ' ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ·" εἴπερ οὖν ἐστι θεοδίδακτος ὁ παραδιδοὺς, πῶς οὐκ ἀληθὲς τὸ δι' αὐτοῦ κηρυσσόμενον; "ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς." δηλονότι τῆς τε παλαιᾶς καὶ νέας· πολλοὶ γὰρ λίαν οἵτε τοῦ θανάτου Χριστοῦ καὶ τῆς ἀναστάσεως μάρτυρες εἶναι λοιπὸν, κατ' οὐδένα τρόπον ἐνδοίαστον τὸ ἐκτεθνάναι μὲν ὑπὲρ ἡμῶν κατὰ σάρκα Χριστὸν Ἰησοῦν, ἵνα ἐξέλῃ τοῦ κόσμου τὴν ἁμαρτίαν· ἐγηγέρθαι τε αὖ πατοῦντα τὸν θάνατον, ἵνα καὶ ἡμεῖς τὸ χρῆμα κερδάνωμεν. ἀναγκαίως δὲ εἰς τὸ παρὸν οὐ τεθνάναι μόνον, ἀλλὰ καὶ τετάφθαι φησὶν αὐτόν. πιστούμενος γὰρ τὸ τεθνάναι κατὰ ἀλήθειαν ὁ Ἐμμανουὴλ τέθειται ἐν μνημείῳ· πλὴν ἀνεβίω, καθάπερ ἔφην ἀρτίως, διὰ μὲν τοῦ τεθνάναι σαρκὶ πληροφορῶν ὅτι γέγονε σὰρξ, καίτοι Θεοῦ ὢν ὁ Λόγος. διὸ δὲ τοῦ πατῆσαι τὸν θάνατον, ὅτι Χριστὸς κατὰ φύσιν ἐστὶν ἐναργῶς ἀποφαίνων. πλὴν οὐκ ἀλλότριον ζωοποιεῖ ναὸν ὁ ἐκ Θεοῦ Πατέρος Λόγος· οὐ δὲ τὸ τίνος ἁπλῶς, σῶμα δὲ μᾶλλον τὸ ἴδιον αὐτοῦ, δι' οὗ καὶ ὑπὲρ ἡμῶν τεθνάναι λέγεται, ἵνα καὶ τὸ τῆς ἀναστάσεως ἀγαθὸν ὑπὲρ ἡμῶν ἀληθῶς γεγονὸς εὑρεθῇ. ὅλη γὰρ ἦν ἡ ἀνθρώπου φύσις ἐν αὐτῷ πατοῦσα τὸν θάνατον· οὕτω γὰρ αὐτῷ συνταφῆναί τε καὶ συνεγηγέρθαι λεγόμεθα, συγκαθίσαι τε καὶ ἐν τοῖς ἐπουρανίοις. οὐκ

οὖν ἐγηγέρθαι μὲν φησὶ κατὰ τὰς γραφάς· ὦφθαι δὲ τοῖς ἁγίοις Ἀποστόλοις, ἀνὰ μέρος τε τισὶν ὡς ἐξειλεγμένοις, καὶ μὴν καὶ κατὰ πλῆθος· "ὤφθη δὲ κἀμοὶ ὡσπερεὶ τῷ ἐκτρώματι τῶν Ἀποστόλων. μετριάζει δὲ σφόδρα· διῶξαί τε τὴν ἐκκλησίαν ἰσχυρίζεται· πλὴν ἠλεῆσθαι παρὰ Χριστοῦ καὶ κεκλῆσθαι πρὸς Ἀποστολὴν, ἀποφῆναι δὲ τὸ μέγα τῆς ἀναστάσεως μυστήριον, οὔτε τοῖς ἀρχαίοις ἁγίοις ἠγνοήμενον· προείρηται γὰρ "οὔτε μὴν τοῖς ἐξειλεγμένοις εἰς ἀποστολήν· οἳ καὶ αὐτόπται καὶ ὑπηρέται γεγόνασι τοῦ λόγου."

ἸΩΑΝΝΟΥ. Ποῦ εἰρήκασιν αἱ γραφαὶ ὅτι ἐτάφη καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται; διὰ τοῦ κατὰ τὸν Ἰωνᾶν τύπου. ὃν καὶ αὐτὸς παράγει λέγων, "ὥσπερ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς, τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας." καὶ διὰ τοῦ βάτου τοῦ ἐν τῇ ἐρήμῳ. ὥσπερ γὰρ ἐκεῖνος ἐκαίετο καὶ οὐ κατεκαίετο· οὕτω καὶ τὸ σῶμα ἐκεῖνο ἀπέθανεν μὲν, οὐ κατεσχέθη δὲ ὑπὸ τοῦ θανάτου διηνεκῶς. καὶ ὁ δράκων δὲ ὁ ὑπὸ τοῦ Δανιὴλ τοῦτο αἰνίττεται· καθάπερ γὰρ ἐκεῖνος λαβὼν τὴν τροφὴν, ἣν ἔδωκεν ὁ προφήτης, ἐρράγη· οὕτως καὶ ὁ Ἅδης καταπίων τὸ σῶμα ἐκεῖνο διεσχίσθη, τοῦ σώματος διατεμόντος αὐτοῦ τὴν νηδὺν καὶ ἀναστάντος. εἰ δὲ καὶ ῥημάτων θέλεις ἀκοῦσαι, ἄκουσον τοῦ Ἡσαΐου λέγοντος "ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ," καὶ "Κύριος βούλεται καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς, δεῖξαι αὐτῷ φῶς." καὶ τοῦ Δαβὶδ πρὸ ἐκείνου, "ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν." διὰ τοῦτο καὶ ὁ Παῦλος παραπέμπει σε ἐπὶ τὰς γραφάς· ἵνα μάθῃς ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῇ ταῦτα ἐγένετο. "καὶ ὅτι ὤφθη Κηφᾶ." καὶ μὴν τὸ Εὐαγγέλιον λέγει ὅτι τῇ Μαρίᾳ πρώτῃ ὤφθη. ἀλλ' ἐν ἀνδράσι τοῦτο πρῶτον τὸ μάλιστα αὐτὸν ποθοῦντι ἰδεῖν· "ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ." τινὲς τὸ ἐπάνω τὸ ἄνωθεν ἐκ τῶν οὐρανῶν εἶναι φασίν· οὐ γὰρ ἐπὶ τῆς γῆς βαδίζων, ἀλλ' ἄνωθεν καὶ ὑπὲρ κεφαλῆς αὐτοῖς ὤφθη· καὶ γὰρ οὐχὶ τὴν ἀνάστασιν πιστώσασθαι ἐβούλετο μόνον, ἀλλὰ καὶ τὴν ἀνάληψιν· τινὲς δὲ λέγουσιν τὸ "ἐπάνω πεντακοσίοις" τὸ πλείοσιν ἢ πεντακοσίοις.

Σευηριανοῦ. Τὸ "ἐν πρώτοις" εἶπεν ἀντὶ τοῦ πρὸ πάντων τοῦτο ὑμῖν παρέδωκα.

Οἰκουμενίου. Λέγομεν ἢ γραφικόν ἐστι σφάλμα, ἢ ὅτι τῷ προγνωστικῷ ὀφθαλμῷ ὁ Κύριος εἰδὼς ὅτι συγκαθαριθμηθήσεται τοῖς ἕνδεκα, ὤφθη καὶ αὐτῷ, ἵνα μηδὲ ἐν τούτῳ ἔλαττον ἔχῃ τῶν λοιπῶν Ἀποστόλων. τοιοῦτόν τι παραδηλοῖ καὶ Ἰωάννης, μηδαμοῦ μὲν λέγων ὅτι ὤφθη τοῖς ἕνδεκα, ἀλλὰ καὶ περὶ τοῦ Θωμᾶ διελεγόμενος εἶπεν "Θωμᾶς δὲ εἷς ἐκ τῶν δώδεκα." μᾶλλον γὰρ ἂν εἴποιμεν ὅτι τὸν Ματθίαν συνέταξε κατὰ πρόγνωσιν τοῖς λοιποῖς Ἀποστόλοις, ἢ τὸν Ἰούδαν μετὰ τὴν προδοσίαν τὴν ἀγχόνην.

8 Ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη
9 κἀμοί. ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν Ἀποστόλων· ὃς
οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος, διότι ἐδίωξα τὴν
10 Ἐκκλησίαν τοῦ Θεοῦ· χάριτι δὲ Θεοῦ εἰμὶ ὅ εἰμι, καὶ
ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισ-
σότερον αὐτῶν πάντων ἐκοπίασα, οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ
12 χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. εἴτε οὖν ἐγὼ, εἴτε ἐκεῖνοι,
οὕτω κηρύσσομεν, καὶ οὕτως ἐπιστεύσατε.

Ἰωάννου. Ταπεινοφροσύνης μὲν τὸ ῥῆμα· πλὴν οὐ διὰ τοῦτο ἐλάττων τινὸς ὁ Παῦλος, ὅτι ἐσχάτῳ αὐτῷ ὤφθη· οὔτε γὰρ Ἰάκωβος ἐλάττων ἦν τῶν πεντακοσίων, ἐπειδὴ ὕστερον ἐκείνων ὤφθη αὐτῷ·" πλὴν ὅτι καὶ οἰκονομικῶς ἑαυτὸν ἐξευτελίζει· ἵνα ὅτ' ἂν εἴπῃ τὸ μέγα ῥῆμα ἐκεῖνο τὸ "περισσότερον αὐτῶν πάντων "ἐκοπίασα," μὴ ἀπιστηθῇ.

Σευηριανοῦ. Ἔκτρωμα δέ ἐστι τὸ πρὸ τοῦ διαμορφωθῆναι καὶ λαβεῖν τὸν προσήκοντα αὐτῷ χρόνον τὸν ἐν τῇ γαστρὶ ἐκβαλλόμενον· ὃ καὶ ζῆν οὐ δύναται. ἐπειδὴ τοίνυν ὡς ἐν γαστρὶ τὰ βρέφη πλάττεται, ἐν τῷ νόμῳ προεμορφοῦντο αἱ ψυχαὶ πρὸς εὐσέβειαν· ἀνεγεννῶντο δὲ ἐξ ὕδατος καὶ Πνεύματος· ὁ δὲ Παῦλος ἐδίωκεν τὴν Ἐκκλησίαν οὐ μορφούμενος ἐν νόμῳ εἰς τὸ τέλειον· ἐδίωκεν γάρ· διὰ τοῦτο ἔκτρωμα ἑαυτὸν ἐκάλεσεν· καὶ τοῦτο ἑξῆς ἐπιφέρει· "διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ."

Ἰωάννου. Λοιπὸν καὶ ἀποφαίνεται περὶ ἑαυτοῦ· ὅρα δὲ οὐκ

εἶπεν μόνον δώδεκα, ἀλλὰ "πάντων τῶν Ἀποστόλων·" καὶ τὴν αἰτίαν λέγει, "διότι ἐδίωξα τὴν Ἐκκλησίαν."

Σευηριανοῦ. *Ἐλάχιστος ἐν τοῖς Ἀποστόλοις· ἐπειδὴ ἐκείνων μὴ διωξάντων ἀλλὰ πιστευσάντων, ἐγὼ δὲ ἐδίωξα.*

Ἰωάννου. *Ὅρα δὲ εὐγνωμοσύνην· τὰ μὲν ἁμαρτήματα ἑαυτῷ καταλογίζεται, τὰ δὲ κατορθώματα τῇ χάριτι τοῦ Θεοῦ ἀνατίθησιν· καὶ τοῦτο μεθ' ὑποστολῆς εἴρηκεν· οὐ γὰρ εἶπεν ἄξια τῆς χάριτος ἔπραξα· ἀλλ' οὐ ματαία φησὶν ἡ χάρις εὑρέθη ἐν ἐμοί. πῶς; ὅτι "πάντων," φησὶ, "τῶν Ἀποστόλων περισσότερον ἐκο- "πίασα·" ὅρα δὲ καὶ ὧδε, πῶς ὑφειμένως αὐτὸ τέθεικεν· οὐ γὰρ εἶπεν, ἠγωνισάμην ἢ ἐκήρυξα ἢ ἐκινδύνευσα, ἀλλ' "ἐκοπίασα." ταύτῃ τὸ περὶ ἑαυτοῦ ἐγκώμιον ὑποτεμνόμενος· ὅμως ἐπὶ ταῦτα τὰ ῥήματα ἐξ ἀνάγκης ἦλθεν· δεῖ γὰρ τὸν διδάσκαλον ἀξιόπιστον εἶναι.*

Τοῦ αὐτοῦ. *Εἶτα ὥσπερ δειλιάσας μὴ αὐτῷ τὸ κατόρθωμα λογισθῇ, ἐπὶ τὴν τοῦ Θεοῦ χάριν αὐτὸ ἀνατίθησιν· οὕτως κηρύσσομεν, ὃ μορφοῦμεν, φησὶν, ἅπαντες ἐπὶ τὸ κήρυγμα. καὶ οὐκ εἶπεν, εἰ μὴ ἐμοὶ πιστεύετε ἐκείνοις πείθητε, ἐξηυτέλιζε γὰρ ἑαυτὸν, καὶ οὐκ ἀξιόπιστον μάρτυρα τῆς ἀληθείας ἑαυτὸν ἀπέφηνεν· ἀλλὰ τί λέγει; συμφωνοῦμεν ἅπαντες καὶ τὸ εἰπεῖν κηρύσσομεν τὸ ἀληθὲς τῶν λεγομένων παρίστησιν· οὐ γὰρ εἶπεν ἐν παραβύστῳ καὶ ἐν γωνίᾳ λαλοῦμεν περὶ τούτων, ἀλλὰ φανερῶς ἕως ἄρτι· τοῦτο γὰρ τὸ "κηρύσσομεν, καὶ οὕτω" φησὶν "ἐπιστεύσατε." μετὰ τῶν ἄλλων καὶ αὐτὴν τὴν ἐκείνων πίστιν καλεῖ μάρτυρα τῆς ἀληθείας· οὐ γὰρ ἂν, φησὶν, ἁπλῶς ἐπιστεύσατε λόγοις ἐψευσμένοις καὶ ἀπατηλοῖς, εἰ μὴ ἐπείσθητε ἀληθῆ εἶναι τὰ κηρυσσόμενα.*

Σευηριανοῦ. *Οὐ μάτην ἔλαβον πολλὴν χάριν· ἀλλ' ἐχρησάμην αὐτῇ ὑπὲρ τοῦ κηρύγματος, περισσότερον αὐτῶν πάντων κοπιάσας.*

12 Εἰ δὲ Χριστὸς κηρύσσεται, ὅτι ἐκ νεκρῶν ἐγήγερται,
πῶς λέγουσί τινες ἐν ὑμῖν, ὅτι ἀνάστασις νεκρῶν οὐκ
13 ἔστιν; εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς
14 ἐγήγερται· εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα καὶ

15 *τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν. εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ Θεοῦ, ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ Θεοῦ, ὅτι ἤγειρεν τὸν Χριστὸν, ὃν οὐκ ἤγειρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται.*

ἸΩΑΝΝΟΥ. Ἄριστα συλλογίζεται αὐτός· ἀποδείξας γὰρ πρότερον ὅτι Χριστὸς ἐγήγερται, ἐκ τῆς αὐτοῦ ἐγέρσεως καὶ τὴν κοινὴν ἀνάστασιν κατασκευάζει· ὡς ἑπομένου πάντοτε καὶ πάντως τοῦ λόγου τῷ μέρει καὶ κεφαλῇ τοῦ λοιποῦ σώματος· ὅρα δὲ πῶς οὐ κατὰ πάντων ποιεῖται τὴν κατηγορίαν, ἵνα μὴ ἀναισχυντοτέρους ἐργάσηται· καὶ ἵνα μὴ λέγωσιν, ὅτι ὁ μὲν Χριστὸς ἐγήγερται, φησὶν, οὐ μὴν ἔσται καὶ καθολικὴ ἀνάστασις· ἐκ τοῦ ἐναντίου κατασκευάζει αὐτό· εἰ ἀνάστασις, φησὶν, οὐκ ἔστιν· οὐ δὲ Χριστὸς ἐγήγερται· ἕκαστον γὰρ, φησὶν, τοῦ ἑτέρου κατασκευαστικὸν καὶ ἀποδεικτικὸν τυγχάνει· οὐκ εἶπεν γὰρ οὐκ ἐσαρκώθη, ἀλλ' οὐκ ἐγήγερται. δείκνυς καὶ τὴν σάρκωσιν τῇ ἀναστάσει συνῆφθαι, καὶ διὰ τοῦτο ἐνσαρκῶσθαι αὐτὸν, ἵνα τὴν ἀνάστασιν κατορθώσῃ.

ΚΥΡΙΛΛΟΥ. Καταπλήττεται τῶν οὐκ οἶδ' ὅπως ἀναπεπεισμένων ταῖς ἱεραῖς τε καὶ θείαις ἀντιφέρεσθαι γραφαῖς, καὶ ἕτερόν τι παρὰ τοῦτο φρονεῖν ἀποτολμώντων· εἰ γὰρ ἀπέθανεν ὁ Χριστὸς, οὐκ ἵνα μένῃ νεκρὸς, ἀλλ' ἵνα κρεῖττον θανατοῦ καὶ φθορᾶς εὑρεθεὶς, ὁδὸς ὥσπέρ τις καὶ θύρα τῇ τοῦ ἀνθρώπου γένηται φύσει· πρός τε τὸ δύνασθαι καταθλεῖν τῆς φθορᾶς καὶ παλινδρομῆσαι πρὸς ζωήν. πῶς ἐγηγερμένου τοῦ δι' ἡμᾶς ἐν νεκροῖς, ἵνα καὶ ἡμεῖς σὺν αὐτῷ πρὸς ζωὴν, τοῖς τοῦ θανάτου βρόχοις καταδεσμοῦσιν ἔτι τοὺς δι' οὓς τεθνάναι καὶ ἀναβιῶναι λέγεται Θεὸς κατὰ φύσιν ὑπάρχων ὁ Ἐμμανουήλ; τί παραιροῦνται τὸ γένος τὸ ἀνθρώπινον τῶν ἐξ ἀναστάσεως ἀγαθῶν, καὶ τὸ τῆς μετὰ σαρκὸς οἰκονομίας συκοφαντοῦσι πέρας; εἰ γὰρ γέγονεν "ὁ Χριστὸς "ἀπαρχὴ τῶν κεκοιμημένων καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν" ἕψεταί που πάντως ἀπαρχῇ ἰδίᾳ τὸ λεῖπον αὐτῇ· καὶ τῷ πρωτοτόκῳ συμπαρομαρτήσειεν ἄν· καὶ μάλα εἰκότως· οἷόν περ ἂν νοοῖτο πρωτότοκος· καὶ μαρτυρήσει λέγων αὐτὸς ὁ θεσπέσιος Παῦλος· "εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ,

“ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα.” οὐκ οὖν εἰ συναινοῦσί τινες ὡς ἐγήγερται μὲν ὁ Χριστὸς, οὐ προσίενται δὲ τῆς ἐκ νεκρῶν ἀναστάσεως τὸ μυστήριον, ἠγνοήκασι παντελῶς τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς τὸν σκοπόν. γέγονε γὰρ ἄνθρωπος, οὐ δι’ ἑαυτὸν, “ὁ δὲ ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρὸν, “αἰσχύνης καταφρονήσας.” διὰ ποίαν αἰτίαν, διδάξει λέγων αὐτὸς ὁ σοφώτατος Παῦλος· “ἐπειδὴ γὰρ τὰ παιδία κεκοινώ- “νηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετεῖχεν “τῶν αὐτῶν· ἵνα διὰ τοῦ θανάτου, καταργήσῃ τὸν τὸ κράτος “ἔχοντα τοῦ θανάτου τοῦτ’ ἔστι τὸν διάβολον,” καὶ ἀπαλλάξῃ ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. οὐκ οὖν εἰ μὴ καταργηθῇ θάνατος, εἰκαῖον αὐτῷ τὸ σκέμμα· ἀνόνητον δὲ καὶ ἡμῖν αὐτοῖς τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον· διημαρτήκαμεν δὲ καὶ τῆς εἰς ζωὴν ἐλπίδος· κεκλήμεθα δὲ πῶς εἰς υἱοθεσίαν, καὶ ἐσμὲν τέκνα Θεοῦ, καθ’ ἃ φησὶν Ἰωάννης ὁ σοφός· “εἴπέρ ἐστιν ἀληθὲς ὡς υἱοθεσίαν ἀπεκδεχόμεθα τὴν “ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν.” ποῖα δὲ ὅλως ἡ ἀπολύτρωσις, εἰ μὴ θανάτου κρείττους ἡμᾶς ἀπέφηνεν ὁ Χριστός; ἢ πῶς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινόσεως ἡμῶν σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ; ποῖος γὰρ ὅλως ὁ τοῦδε καιρὸς, εἰ μὴ ἀπρακτήσῃ θάνατος; ἢ ποῖος ἔσται μετασχηματισμὸς τοῖς ἐν ταυτότητι, μᾶλλον δὲ καὶ ἐν χείροσιν ἐσομένοις;

Ἄθρει δὲ ὅπως περιΐστησιν εὐτεχνῶς εἰς ἀναγκαίαν ὁμολογίαν τοῦ χρῆναι λέγειν ὡς ἀναβιώσοντες κατὰ καιροὺς τὰ ἐκ γῆς ἡμῶν σώματα. εἰ γὰρ δὴ, φησὶν, διὰ πάσης τῆς θεοπνεύστου γραφῆς ἐγηγερμένος ἐκ νεκρῶν διακεκήρυκται Χριστὸς, πῶς λέγουσιν ἐν ὑμῖν τινες ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; ἀπέθανεν γὰρ, ὡς ἤδη φθάσαντες εἴπομεν, οὐχ ἑαυτῷ μᾶλλον, ἀλλ’ ἡμῖν· ἵν’ ἐπείπερ ἐστὶ ζωὴ κατὰ φύσιν ὡς Θεὸς, τῷ θανάτῳ τῆς ἰδίας σαρκὸς καταργήσῃ θάνατον ὡς ἑψομένης αὐτῷ τῆς ἀνθρώπου φύσεως· ἀνεβίω γὰρ καὶ γέγονεν ὥσπέρ τις ἀνθρωπότητος ἀπαρχὴ μεταφοιτώσης εἰς ζωὴν, καὶ ἀνακτιζομένης εἰς ἀφθαρσίαν, καὶ νικώσης θάνατον· καινὴ γὰρ κτίσις τὰ ἐν Χριστῷ. λαβόντος τοῦ πράγματος τὴν ἀρχὴν, πῶς ἀπομενοῦμεν ἐν γῇ; ἢ πῶς ἐν ὑμῖν τινες ἀποτολμῶσι λέγειν οὐκ ἀναβιώσεσθαι τοὺς νεκρούς; Σαδδουκαῖοι δὲ οὗτοι κατάγε

τὸ εἰκός· ἔφασκον γὰρ αὐτοὶ μὴ εἶναι ἀνάστασιν, μήτε Ἄγγελον, μήτε πνεῦμα· σεσυκοφαντήκασι δὲ τῆς ἀναστάσεως τὸ μυστήριον καὶ Ὑμέναιος καὶ Ἀλέξανδρος, λέγοντες ἀνάστασιν ἤδη γεγονέναι· πλὴν ἐναυάγησαν ἐκεῖνοι περὶ τὴν πίστιν, καὶ ὅσοι ταῖς ἐκείνων ἐξιτηλίαις ἕπεσθαι βούλονται.

Ἰωάννου. Ὡσεὶ εἶπεν, ἅπαντα ἀπόλωλεν καὶ μεματαίωται, καὶ τὸ κήρυγμα ἡμῶν καὶ ἡ πίστις ὑμῶν· καὶ οὐ μόνον ματαίως ἀλλὰ καὶ ὅλως ἀνόσιον, φησὶν, τὸ συκοφαντεῖν ἡμᾶς τὸν Θεὸν, ὅτι ἐποίησέν τι ὅπερ οὐκ ἐποίησεν.

Σευηριανοῦ. Ζητοῦμεν ποῖον θάνατον λέγουσιν ὑπομεμενηκέναι τὸν Σωτῆρα, ἢ ποῖαν ἀνάστασιν· εἰ μὲν γὰρ δοκήσει ἑκάτερα, εἰς δόκησιν ἡ πίστις τῶν Χριστιανῶν. εἰ δὲ ἀληθὴς ὁ θάνατος· ἀληθὴς δὲ καὶ ἡ ἀνάστασις αὐτοῦ· λεγέτωσαν ποῖος θάνατος ἢ ποῖα ἀνάστασις. ἆρα θάνατος τὸ σάρκα λαβεῖν; οὐκ οὖν σάρκα εἶχεν ὁ Κύριος; εἰ δὲ εἶχεν σάρκα, καὶ ἀπέθανεν· εἰ δὲ ἀπέθανεν, καὶ ἀνέστη. ἀπαρχὴ τῶν κεκοιμημένων γενόμενος Χριστὸς, ἐγήγερται ἄρα καὶ τὰ ἡμέτερα σώματα. ἀλλὰ ποῖον θάνατον λογίσομαι; ἆρα τὸ ἁμαρτίαις ἀποθανεῖν; ἀλλ' αὐτὸς λέγει, "ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ οὐκ ἔχει "οὐδέν." εἰ δὲ καὶ ἀπέθανεν ὡς ἁμαρτὼν, καὶ τὸν θάνατον τὸν τῆς ἁμαρτίας· ἐπειδὴ ἦρεν τὴν ἁμαρτίαν τοῦ κόσμου· τούτῳ τῷ λόγῳ μέχρι τῆς τήμερον οὐκ ἀνέστη· ἀεὶ γὰρ ἁμαρτωλός ἐστι τῷ αἴρειν τὴν ἁμαρτίαν τοῦ κόσμου. ἀνάστασιν δὲ ποῖαν λέγει ὁ Παῦλος τοῦ Κυρίου; ἆρα τῆς σαρκὸς ἀπαλλαγήν; οὐκ οὖν ὁ αὐτὸς ῥηθήσεται λόγος ὁ καὶ πρότερος· ἄλλως τε εἰ ἀπαρχὴ τῶν κεκοιμημένων Χριστὸς, πᾶσα ἀνάγκη οἵαν ἂν δῶμεν ἑαυτοῖς ἀνάστασιν, τοιαύτην διδόναι καὶ τῷ Σωτῆρι. ποῖαν οὖν ἀνάστασιν ἡμεῖς λαμβάνομεν; ἆρα τῆς σαρκὸς τὴν ἀπαλλαγήν; οὐκ οὖν καὶ ὁ Κύριος εἶχεν ἁμαρτίας, ὧν ἀπηλλάγη. οὕτως πανταχόθεν τῶν ἀποστολικῶν ῥητῶν ἀκολουθίας καὶ δύναμεως [c].

Κυρίλλου. Ἀκολουθεῖ γὰρ ὥσπερ τῷ πρώτῳ τὸ δεύτερον, καὶ τῷ δευτέρῳ συναναιρεῖται τὸ πρῶτον· οὗ δὴ γεγονότος, ἤγουν πρὸς ἡμῶν παραδεχθέντος εἰς πίστιν, κενὸν ἔσται τῶν ἁγίων Ἀποστόλων τὸ κήρυγμα, κενὴ καὶ ἡ πίστις· ἔχει γὰρ ὧδε τὸ ῥῆμα τῆς

[c] Quædam deesse videntur.

πίστεως τὸ διὰ τῶν ἁγίων μυσταγωγοῦν τοῖς ἀνὰ πᾶσαν τὴν γῆν μεμυσταγωγημένοις. πῶς οὖν ἔτι πιστεύσομεν, εἰ μὴ ἀνεβίω κατά τινας; “εὑρισκόμεθα γὰρ,” φησὶ, “καὶ ψευδομάρτυρες κατὰ “τοῦ Θεοῦ, ὅτι ἤγειρεν τὸν Χριστὸν, ὃν οὐκ ἤγειρεν, εἴπερ νεκροὶ “οὐκ ἐγείρονται.” εἶτα τοσαύτη πληθὺς ἁγίων πῶς ἂν διαφύγοι συκοφαντίας γραφήν; οὐκ οὖν εἶεν ἂν οὐδὲ ἅγιοι, πόθεν οἷς ἂν εἴη τὸ πλημμέλημα συκοφαντία κατὰ τοῦ Θεοῦ. ἀλλ' οὐχ ὧδε ταῦτα ἔχει· ἀψευδεῖς γὰρ οἱ μυσταγωγοὶ, Χριστὸν ἐγήγερται λέγοντες.

Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερ-
16 ται· εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ἡμῶν,
17 ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἄρα καὶ οἱ κοιμηθέντες
18 ἐν Χριστῷ, ἀπώλοντο.

Ἰωάννου. Πάλιν τῷ αὐτῷ ἐπαγωνίζεται λόγῳ· διὰ τοῦτο γὰρ, φησὶν, ἀνέστη, ἵνα καθολικὴν ἀνάστασιν ποιήσει· εἰ δὲ ἀνάστασις οὐκ ἔστιν, ἄρα οὐδὲ αὐτὸς ἀνέστη.

Κυρίλλου. Ἀληθέστατα καὶ λίαν ὀρθῶς προσεπάγει τοῖς ἄλλοις καὶ τοῦτο. δικαιοῖ μὲν γὰρ ἡ πίστις, ἀλλ' εἴ τις αὐτῇ καθαρίζει τὸ μάταιον, ὡς Χριστοῦ μὴ ἐγηγερμένου, τί τὸ διάφορόν ἐστι λοιπόν; οὐκ οὖν ἐνεσχήμεθα τοῖς ἀρχαίοις ἐγκλήμασιν; ἀναπόνιπτον ἔχομεν τὴν ἁμαρτίαν; μάτην καὶ ὁ θεσπέσιος ἔφη μελῳδός· “εὐδόκησας, Κύριε, τὴν γῆν σου· ἀφῆκας τὰς “ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν.” καὶ πάλιν· “μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι· καὶ ὧν ἐκα-“λύφθησαν αἱ ἁμαρτίαι· μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται “Κύριος ἁμαρτίαν.” καίτοι τὸν ἔν γε τούτοις μακαρισμὸν ἐπί τε τὴν περιτομὴν καὶ τοὺς ἐξ ἐθνῶν κατευρύνεσθαι, φησὶν ὁ μακάριος Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους· “δεδικαιώμεθα γὰρ ἐν Χριστῷ· “ὃς παρεδόθη διὰ τὸ παραπτώματα ἡμῶν, καὶ ἠγέρθη διὰ τὴν “δικαίωσιν.”

Ἰωάννου. Εἰ γὰρ καὶ αὐτὸς κατεσχέθη ὑπὸ τοῦ θανατοῦ ἡμῶν, πῶς πάντας τοὺς ἄλλους ἀπήλλαξεν θανάτου τοῦ διὰ τὴν ἁμαρτίαν γεγονότος; ἀκολούθως τοιγαροῦν οὔτε ἡ ἁμαρτία τῷ σταυρῷ τοῦ Χριστοῦ ἀνήρηται· εἰ γὰρ ἀνήρηται, ἀνήρητο ἂν καὶ ὁ δι' αὐτῆς θανάτος· εἰ δὲ τοῦτο ἐγεγόνει, ἔδει πάντως τὸν καὶ τοὺς ἄλλους

θάνατου ἀπαλλάξαντα, αὐτὸν πρῶτον ἀναστῆναι καὶ ὁδηγὸν τοῖς ἄλλοις γενέσθαι πρὸς ἀνάστασιν.

ΚΥΡΙΛΛΟΥ. *Ἠπάτηνται γὰρ ὡς ἔοικεν, καὶ ἀμισθὶ τεθείκασιν ὑπὲρ αὐτοῦ τὴν ψυχὴν, εἴ γε μὴ ἐγήγερται Χριστός. εἰ μὴ ἀθανασίας ἐστὶ πλήρης τῶν ἁγίων ἡ ἐλπίς· εἰ μὴ προσδοκῶσι συμβασιλεύειν αὐτῷ· ἀπολώλασι τάχα που· ἄπαγε τῆς οὕτω δεινῆς ἀμαθίας· " ἀναστήσονται γὰρ οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν " τοῖς μνημείοις," κατὰ τὴν τοῦ προφήτου φωνήν.*

ἸΩΑΝΝΟΥ. *Τῷ ὀνόματι τῆς κοιμήσεως τὴν ἀνάστασιν προσηγεῖται· οἱ διὰ τὸν Χριστόν, φησιν, ἀποθανόντες, οἱ τοὺς πολλοὺς διανύσαντες καμάτους, καὶ τοὺς μυρίους κινδύνους ὑπομεμενηκότες. ὅπερ ἄτοπον ἦν ἀπολέσθαι τοὺς δι᾿ αὐτὸν ἀποθανόντας· πανταχοῦ γὰρ εἰς ἄτοπον ἀγωγὴν πρόεισιν.*

ΣΕΥΗΡΙΑΝΟΥ. *Εἰ ψυχῆς ἡ ἀνάστασις· ἀνάστασις δὲ αὐτῆς νοεῖται, ἤτοι σαρκὸς ἀπαλλαγὴ ἢ ἁμαρτιῶν, πῶς οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο, εἴγε δίκαιοι ἦσαν; εἰ γὰρ ἐν Χριστῷ οὐχ ἁμαρτωλοί· καὶ εἰ σαρκὸς ἀπηλλάγη, ἀθάνατος δέ ἐστιν, οὐκ ἀπώλετο· ὁρᾷς ὅτι περὶ τῆς σαρκὸς τῆς ἡμετέρας λέγει τῆς ἐν Χριστῷ κοιμωμένης, ὅτ᾿ ἂν ἀποθάνωμεν· Χριστὸς ἢ* [d] *ὁ ἀπελθών.*

ΘΕΟΔΩΡΙΤΟΥ. *Τύπος γὰρ τοῦ δεσποτικοῦ θανάτου τὸ βάπτισμα· περιττὸς δὲ ὁ τύπος, τῆς ἀληθείας οὐκ οὔσης. εἰ δὲ περιττὸς ὁ τύπος, οὐκ ἔχει τῶν ἁμαρτημάτων τὴν ἄφεσιν· ἔτι τοίνυν φέρεται τὸ τῶν ἁμαρτημάτων φορτίον. τοῦτο μέντοι πρὸς ἐκεῖνο τέθεικεν, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς. ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο; μάτην ὡς ἔοικεν ἀνῃρέθησαν ὑπὲρ τῆς εἰς Χριστὸν ὁμολογίας οἱ καλλίνικοι μάρτυρες· καὶ τοὺς μὲν ἀγῶνας προθύμως ἐδέξαντο, τῶν δὲ στεφάνων διήμαρτον· ἀναστάσεως γὰρ ἀνῃρημένης, καὶ ἡ ἀνάρρησις συνῄρηται.*

Εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ
19 *μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν.*

ΣΕΥΗΡΙΑΝΟΥ. *Προσθεὶς τὸ " μόνον," ἔδειξε καὶ παροῦσαν καλὴν ζωήν· καὶ γὰρ ἐν ταύτῃ τῇ ζωῇ εὐσεβοῦμεν, ἐν ἐκείνῃ δὲ τοὺς μισθοὺς ἀπολαμβάνομεν.*

[d] Sic.

Ἰωάννου. Εἰ ἄχρι τῆς ὧδε, φησὶ, ζωῆς ἐστι τὰ ἡμέτερα, καὶ εἰς ταύτην μόνην περικέκλεισται ἡμῖν τὰ τῶν ἐλπίδων, ἄθλιοί ἐσμεν· τὸ γὰρ πᾶν ἀπωλέσαμεν, τὰ μέλλοντα ἀπολέσαντες· καὶ τί λέγω, φησι, καὶ ὅτι τὸ ἐλπίζειν ἐν τῇ ζωῇ ταύτῃ ἐλεεινοὺς ποιεῖ· εἰ καὶ ἐν Χριστῷ ἐλπίζομεν ἐν ταύτῃ μόνῃ τῇ ζωῇ· καὶ οὕτως ἄθλιοί ἐσμεν, εἰ μετὰ καμάτους τοσούτους καὶ κινδύνους ἄχρι ταύτης[d] τῆς ζωῆς ἔσται ἡμῖν τὰ ἀγαθὰ καὶ αἱ τῶν καμάτων ἀντιδόσεις.

Θεοδωρίτου. Μετὰ παντοδαπῶν γὰρ κινδύνων τὸν βίον ὁδεύομεν, λιμῷ πιεζόμενοι καὶ διηνεκῶς αἰκιζόμενοι· καὶ τὰ δεσμωτήρια τῆς οἰκουμένης ἀμείβοντες· ἀνέστιοι καὶ μετανάσται καὶ κλυδωνίοις διηνεκέσι παλαίοντες. ἀλλ' οὐχ οὕτω ταῦτα ἔχει· ἐπεὶ γὰρ ἀγαθῆς ἐλπίδος ὀχούμεθα, καὶ τοῦ ἡμετέρου Σωτῆρος ἀνάστασιν ἐχέγγυον τῆς ἡμετέρας ἀναστάσεως ἔχομεν.

20 Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν
21 κεκοιμημένων ἐγένετο. ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θά-
22 νατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν. ὥσπερ γὰρ
ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ
23 Χριστῷ πάντες ζωοποιηθήσονται. ἕκαστος δὲ ἐν τῷ
ἰδίῳ τάγματι.

Θεοδωρίτου. Πρῶτος γὰρ ἔλυσε τοῦ θανάτου τὸ κράτος· τῇ ἀπαρχῇ δὲ πάντως ἀκολουθήσει τὸ φύραμα· καὶ κυροῖ τὸν λόγον διὰ παλαιοῦ παραδείγματος.

Ἰωάννου. Μετὰ τὸ πολλαχῶς ἀποδεῖξαι τὴν ἀνάστασιν, λοιπὸν ἀποφαντικῶς λέγει. εἰ δὲ ἀπαρχὴ γεγένηται Χριστὸς τῆς ἀναστάσεως, δῆλον ὡς καὶ οἱ λοιποὶ συνεγερθήσονται· ἀπαρχὴ γάρ ἐστι τὸ ἐκ πολλῶν ἕνα τινα τόδε ἢ τόδε ποιῆσαι, ὃ μέλλουσι καὶ οἱ λοιποὶ ποιεῖν.

Θεοδωρίτου. Ἀποβλέψατε εἰς τὴν κρηπῖδα τοῦ γένους· καὶ βλέπετε τῷ προγόνῳ τοὺς ἀπογόνους ἀκολουθήσαντας, καὶ θνητοὺς ἅπαντας γενομένους· ἐπειδήπερ ἐκεῖνος ἐδέξατο τὴν θνητότητα, οὕτω ἅπασα τῶν ἀνθρώπων ἡ φύσις ἀκολουθήσει τῷ δεσπότῃ

[d] ταύτῃ Cod. In marg. ταύτης.

Χριστῷ, καὶ κοινωνήσει τῆς ἀναστάσεως· πρωτότοκος γὰρ καὶ οὗτος τῶν νεκρῶν· ὥσπερ ἐκεῖνος πρωτόπλαστος. εἰκότως δὲ αὐτὸν νῦν προσηγόρευσεν ἄνθρωπον, εἰδὼς αὐτὸν καὶ Θεόν. ἵνα τὸ ὁμοφυὲς δείξας, τὸν περὶ τῆς ἀναστάσεως βεβαιώσῃ λόγον. ἐπειδὴ δὲ πάντας εἶπεν ζωοποιηθήσεσθαι· μετὰ δὲ τὴν ἀνάστασιν διάκρισις ἔσται τῶν σωφρόνως βεβιωκότων καὶ τῶν ἀκολασίᾳ συνεξηκότων· τῶν τὴν ἀπιστίαν νενοσηκότων, καὶ τῶν τῇ πίστει λαμπρυνομένων, καὶ τῶν ἄλλων ἅπαξ ἁπλῶς τῶν τὰ ἐπαινούμενα καὶ κατηγορούμενα μετεληλυθότων, ἀναγκαίως ἐπήγαγεν· "ἕκα"στος δὲ ἐν τῷ ἰδίῳ τάγματι·" οὕτω καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις διδάσκει ὡς τοὺς μὲν ἀμνοὺς στήσει ἐκ δεξιῶν· τοὺς ἐρίφους ἐξ εὐωνύμων.

Σευηριανοῦ. Οἱ δεχόμενοι ταῦτα τὰ ῥήματα, λεγέτωσαν διὰ ποίου ἀνθρώπου ὁ θάνατος ἢ ποῖος θάνατος· ἄρα διὰ τοῦ Ἀδάμ; ἀλλ' ἥμαρτεν μὲν ἡ ψυχὴ, κατεκρίθη δὲ τὸ σῶμα· εἶτα "ὥσπερ "ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσι," καὶ τὰ ἑξῆς, κατὰ τὴν ἀπόφασιν λέγει ἐπὶ τῷ πράγματι· οὔτε πάντες ἀποτεθνηκέναι λέγονται, ζῇν δὲ τὸν Ἐνὼχ καὶ τὸν Ἠλιάν· καὶ εὑρίσκονταί τινες ζῶντες ἐπὶ τῇ παρουσίᾳ τοῦ Σωτῆρος.

Ἰωάννου. Τί οὖν; πάντες, εἰπέ μοι, ἀπέθανον τὸν τῆς ἁμαρτίας θάνατον ἐν τῷ Ἀδάμ; πῶς οὖν Νῶε δίκαιος ἐν τῇ γενεᾷ αὐτοῦ; πῶς δὲ Ἀβραάμ; πῶς Ἰώβ; πῶς δὲ οἱ ἄλλοι πάντες; πῶς δὲ ζωοποιηθήσονται ἐν Χριστῷ; καὶ ποῦ οἱ εἰς γέενναν ἀπαγόμενοι; ἂν μὲν γὰρ περὶ σώματος εἰρημένον ᾖ τοῦτο, ἕστηκεν ὁ λόγος· ἂν δὲ περὶ δικαιοσύνης καὶ ἁμαρτίας, οὐκ ἔτι· εἶτα ἵνα μὴ τὴν ζωοποίησιν κοινὴν ἀκούσας, καὶ τοὺς ἁμαρτωλοὺς νομίζεις σώζεσθαι, ἐπήγαγεν· "ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι." μὴ γὰρ δὴ ἐπεὶ ἀνάστασιν ἤκουσας, νομίζῃ πάντας τῶν αὐτῶν ἀπολαύειν· εἰ γὰρ ἐπὶ τῆς τιμωρίας, οὐ πάντες τὰ αὐτὰ πείσονται, ἀλλὰ πολλὴ ἡ διαφορά· πολλῷ μᾶλλον ἔνθα ἁμαρτωλοὶ καὶ δίκαιοι, πλείων ἡ διάστασις ἔσται.

Ὠριγένους. Ἐπεὶ οἱ ἀπὸ τῶν αἱρέσεων λέγοντες τὴν ἐκκλησιαστικὴν πίστιν καὶ μυκτηρίζοντες ὡς ἀνόητον πίστιν, ἀθετοῦσιν τῷ ἔργῳ, εἰ καὶ μὴ τῷ λόγῳ, μὴ γίνεσθαι ἀνάστασιν λέγοντες, ὡς ἡ Ἐκκλησία πιστεύει· ὅρα πῶς αὐτοῖς ἀπαντητέον ἐκ τῆς

ἀποστολικῆς ταύτης λέξεως· καὶ ἐξ ἄλλων δὲ μυρίων. ἀνέστη Χριστὸς ἐκ νεκρῶν, ἢ οὔ; ἀλλὰ περὶ τούτου πᾶσα αἵρεσις συγκατέθετο· εἰ ἀνέστη Χριστὸς ἐκ νεκρῶν· πρωτότοκος δὲ ἐκεῖνός ἐστιν ἐκ νεκρῶν· οὐδεὶς δὲ πρωτότοκός ἐστιν ἑτερογενῶς· ἀνάγκη ὁμογενῆ εἶναι τὴν ἀνάστασιν αὐτοῦ τῇ ἀναστάσει τῶν ἀνισταμένων· οἷον, πρωτότοκός ἐστι Ῥουβὶμ υἱὸς ὢν τοῦ Ἰακὼβ, ὁμογενῶν τῶν ἀδελφῶν ὄντων· οὐ γὰρ ἄλλης φύσεως ὁ Ῥουβὶμ, καὶ ἄλλης φύσεως ὁ Συμεὼν ἢ ὁ Λευὶ καὶ οἱ ἑξῆς· καὶ ἐπὶ τῶν ἄλλων πρωτοτόκων τὸ αὐτό· εἰ τοίνυν καὶ οἷς πρωτότοκος ἔστιν ἐκ νεκρῶν· ἀνάγκη ὁμογενῆ εἶναι τὴν ἀνάστασιν τῶν ἀνισταμένων· εἰ δὲ ἐκεῖνος μὲν ἐφόρησε[f] σῶμα, καὶ ἡ ἀνάστασις αὐτοῦ μετὰ σώματος ἦν, ὥστε αὐτὸν καὶ φαγεῖν, ὡς γέγραπται, ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ· ἄλλως δὲ ἀνίστανται ὡς οἴονται οἱ ἀπὸ τῶν αἱρέσεων οἱ ἀνιστάμενοι τῶν πιστευόντων εἰς τὸν Χριστόν· οὐ δύνανται παραστῆσαι, πῶς Ἰησοῦς πρωτότοκός ἐστιν ἐκ τῶν νεκρῶν· "εἰ γὰρ σύμμορφοι γεγόναμεν τῷ θανάτῳ τοῦ Χριστοῦ· καὶ τῆς ἀναστάσεως αὐτοῦ σύμμορφοι ἐσόμεθα." καὶ πῶς διδάσκει λέγων ὁ Παῦλος "ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπει-"νώσεως ἡμῶν, σύμμορφον τῷ σώματι τῆς δόξης τοῦ Χριστοῦ."

Ἀναιδῶς τοίνυν τινὲς παραδέχονται μὲν ὅτι ἐγήγερται Χριστὸς ἐκ νεκρῶν, λέγουσι δὲ ὅτι ἀναστάσις νεκρῶν οὐκ ἔστιν· διὸ φησὶν ὁ Ἀπόστολος· "εἰ δὲ Χριστὸς κηρύσσεται ἐκ νεκρῶν ὅτι ἐγήγερ-"ται· πῶς λέγουσιν ἐν ὑμῖν τινες ὅτι ἀνάστασις νεκρῶν οὐκ "ἔστιν;" κἂν μὴ τῷ στόματι λέγῃ τις, τῇ δὲ καρδίᾳ λέγει, ἀνάστασις νεκρῶν οὐκ ἔστιν· δυνάμει ἀθετεῖ καὶ τὴν Ἰησοῦ Χριστοῦ ἀνάστασιν. εἰ γὰρ τὸ καθολικὸν ψεῦδος, δῆλον ὅτι περιέχεται ἐν τῷ καθολικῷ καὶ ὁ εἷς ἀνάστας ἐκ νεκρῶν· εἰ γὰρ οὐκ ἐγείρονται οἱ νεκροί· γέγονε δὲ καὶ ἐν νεκροῖς ὁ Ἰησοῦς, οὐκ ἐγήγερται οὐδὲ ὁ Ἰησοῦς· εἰ δὲ ἐκεῖνος ἐγήγερται, δι' ἐκείνου δηλοῦται ἡ ἀνάστασις τῶν νεκρῶν· εἰ μὴ τῷ ἀδυνάτῳ τοῦ πράγματος καθαυτὸ ἀπιστῶμεν, ἐπιλανθανόμενοι τίς ὁ ἐπαγγειλάμενος· τί γὰρ ὡς ἐν ἀδυνάτοις, ἵν' οὕτως εἴπω, ἀδυνατώτερον, τὸ ζωοποιηθῆναι τὸ σῶμα; ἢ οὐρανὸν ἐξ οὐκ ὄντων γένεσθαι; ἢ ἥλιον· ἢ σελήνην· ἢ τὰ λοιπὰ τῶν κτισμάτων;

f ἐφόρασε Cod.

Ἐλθὲ δὲ καὶ ἐπ' αὐτὴν τὴν τοῦ ἀνθρώπου ἀρχήν· ἀναπόλησον[f] αὐτοῦ τὴν ἀρχήν· δείκνυταί σοι σπέρμα ἀνθρώπου· εἰ ἔλεγέν τις, τοῦτο τὸ σπέρμα ἄνθρωπος ἔσται, μορφωθήσεται ὀστᾶ, ἔσται ἀπὸ τούτου σάρκες, νεῦρα, φλέβες· περιπατήσει· ἀπὸ τούτου τοῦ σπέρματος τοῦ βραχέος, τοῦ εὐτελοῦς, ἄνθρωπος ἐπὶ γῆς διεγηγερμένος, χρήσεται ὀργάνοις· οὐκ ἂν ἐλέγομεν ἀνόητον εἶναι τὸν ταῦτα ἡμῖν κηρύσσοντα, εἰ μὴ πεῖραν εἰλήφαμεν τούτου; ἵν' οὖν τολμήσω καὶ παραστήσω σοι τὴν ἀνάστασιν· καὶ μᾶλλον αὐτὴν παραδέξῃ πιστεύσας τῇ τελειότητι τοῦ Θεοῦ· ὅπερ ἐκεῖνο τὸ σπέρμα ἦν πρὸς τοῦτο τὸ σῶμα τὸ ἐνεστηκός· νῦν τὸ παρεστηκὸς τὸ γενικόν· τὸ σπεῖρον τὸ ὄργανον γενόμενον λόγων καὶ ἔργων τῶν κατὰ δικαιοσύνην· τοῦτο τὸ σῶμα πρὸς ἐκεῖνο γίνεται· " ὁ κόκκος τοῦ σίτου ἐὰν μὴ πεσὼν εἰς τὴν γὴν ἀποθάνῃ, αὐτὸς " μόνος μένει· ἐὰν δὲ πεσὼν εἰς τὴν γὴν ἀποθάνῃ" καὶ διασαπῇ ἐκ τῆς διασήψεως τοῦ κόκκου τοῦ σίτου στάχυς ἑκατοντάχους γίνεται.

Ὅτι γὰρ τὸ σῶμά σου σπέρμα ἐστι τοῦ ἀναστησομένου, ἄκουε Παύλου λέγοντος, " σπείρεται ἐν φθορᾷ· ἐγείρεται ἐν ἀφθαρσίᾳ· " σπείρεται ἐν ἀτιμίᾳ· ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενίᾳ· " ἐγείρεται ἐν δυνάμει· σπείρεται σῶμα ψυχικόν· ἐγείρεται σῶμα " πνευματικόν." ὁρᾷς ὡς ἐκεῖ ἐπὶ τοῦ σπέρματος εὐτελὲς καὶ οὐδενὸς λόγου ἄξιον ἐσπάρη. καὶ ἐγήγερται ἄνθρωπος ὡραῖος καὶ καλός· τὸν αὐτὸν τρόπον τοῦτο τὸ νεκρὸν κόκκος ἐστὶ σίτου τῷ Θεῷ ὡς τὸ προαναστησόμενον. ὥσπερ οὖν εὐπόρησεν ὁ Θεὸς ἀπὸ τοῦ κόκκου τοῦ σίτου στάχυν ποιῆσαι· οὐκ ἔξωθεν τῶν ἀφορμῶν τῶν ἐν τῷ σπέρματι τῷ βραχεῖ· ἀπὸ γὰρ ἐκείνου ἤγειρεν τὸν στάχυν· καὶ ἀφ' ἑκάστου σπέρματος ἐγείρει τὸ δυνάμει ἐνυπάρχον τῷ σπέρματι· οὕτως ἀπὸ σπέρματος μὲν ἀνθρώπου κατὰ τὴν ἀρχὴν, γέγονεν οὗτος ὁ ἄνθρωπος· ἐὰν δὲ ἀποθάνῃ τὸ σῶμα αὐτοῦ, σπέρμα γίνεται τοῦ ἀναστησομένου ἐκ νεκρῶν ἐν δόξῃ ἐν Χριστῷ Ἰησοῦ. τὸ ἄπιστον δὲ τῇ ἀναστάσει τῇ ἀπὸ τῶν νεκρῶν ἴσον ὑπέλαβεν εἶναι ὁ Ἀπόστολος τὸ μὴ πιστεύειν ὅτι ἐσόμεθα τὴν ἀρχὴν μετὰ τὴν ἔξοδον. διὸ τοῖς πιστεύουσιν ἀνάστασιν ἔσεσθαι νεκρῶν φησὶν, ὡς μὴ ἄλλης καταυτοῦς[g] ζωῆς παρὰ τὴν ἐνεστῶσαν, τὸ " εἰ ἐν

[f] ἀναπόλεσον Cod. [g] Sic.

" τῇ ζωῇ ταύτῃ ἐν Χριστῷ ἠλπικότες ἐσμὲν μόνον, ἐλεεινότεροι " ἐσμὲν πάντων ἀνθρώπων."

Καὶ ἐν τοῖς ἑξῆς δὲ ὡς κατὰ τοὺς λέγοντας μὴ εἶναι ἀνάστασιν νεκρῶν, μηδὲ ζωῆς ὑπαρχούσης κατὰ τὸν βίον τοῦτον φησίν· " τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν; καθ' ἡμέραν ἀποθνήσκω· " μὴ τὴν ἡμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ " ἡμῶν" καὶ τὰ ἑξῆς. δηλοῖ δὲ καὶ ἡ αἵρεσις τῶν Σαδδουκαίων ἀθετούντων τὴν ἀνάστασιν τῶν νεκρῶν, ὅτι ἀκολουθεῖ αὐτοῖς τὸ μηδὲ ζῆν ὑμᾶς μετὰ τὴν παροῦσαν ζωήν. διόπερ ὁ Σωτὴρ πρὸς αὐτοὺς ἀπὸ τοῦ νόμου μόνον παράδειγμα λαμβάνει περὶ τοῦ εἶναι ἀνάστασιν τὴν ἐκ νεκρῶν ῥητὸν λέγων, " περὶ δὲ τῆς ἀναστάσεως " τῶν νεκρῶν, οὐκ ἂν ἔγνωτε ὅτι ὁ Θεὸς εἶπεν ἐπὶ τῆς βάτου " λέγων, ἐγὼ ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς " Ἰακώβ. Θεὸς οὐκ ἔστι νεκρῶν ἀλλὰ ζώντων." " νυνὶ δὲ Χριστὸς " ἐγήγερται ἐκ νεκρῶν ἀπαρχὴ τῶν κεκοιμημένων." ἡ ἀπαρχὴ πολλῶν ἔστιν ἀπαρχή.

Ὡς δὲ ἐπὶ παραδείγματος τῶν ἐν τῷ νόμῳ εἴσομεν, ἀπαρχὴ ἀναφέρεται σίτου ὑπὸ τῶν σίτον θερισάντων· καὶ φέρε εἰπεῖν οἴνου, ὑπὸ τῶν οἶνον τρυγησάντων· καὶ ἐλαίου ἀπὸ τῶν ἐλαίαν ἐκθερισάντων· οὕτω εἴπερ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀπαρχή ἐστι, τῶν κεκοιμημένων ἀναγκαιόν ἐστι οὗτος ἀπαρχή. καὶ ζητοῦμεν πότερον πάντων ἀπαρχή ἐστιν ἢ πολλῶν· " Χριστὸς γάρ," φησιν, " ἀπαρχὴ τῶν κεκοιμημένων·" εἰ μὲν οὖν μὴ ἔχομεν λέξιν ἀπὸ τῆς ἀρχῆς· κἂν λέγωμεν δύσφημόν τι νομίσαντες εἶναι κατὰ τὸν τόπον τὸ λέγειν αὐτὸν ἀπαρχὴν πάντων εἶναι· ὅτι ἀπαρχή ἐστι τῶν κεκοιμημένων, δικαίων μόνων οὐχὶ δὲ τῶν λοιπῶν· νυνὶ δὲ καὶ αὐτὸς ὁ Ἀπόστολος λέγει· " ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος· " καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν·" πῶς ἐπί τινας αὐτὸς λέγει, ὅτι ἐπὶ πάντας; " ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν· " οὕτως ἐν τῷ Χριστῷ" οὐκ εἴρηκεν οἱ δίκαιοι ζωοποιηθήσονται. εἶτα ἵνα μὴ ταραχθῇς καὶ εἴπῃς, ἄρα οὖν μάτην ἐμοὶ ὁ κάματος ὁ τοσοῦτος ἀνήντληται· εἴ γε Χριστὸς ἀναστὰς ἐκ νεκρῶν, πάντων ἐστὶν ἀπαρχὴ τῶν κεκοιμημένων, καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται· ἀλλ' εἰ καὶ ἐν τῷ Ἀδὰμ πάντες ἀπέθανον· οὐδὲν ἧττον Ἀβραὰμ δίκαιος ἦν· Ἰσαὰκ πατριάρχης ἦν, Ἰακὼβ τοὺς

δώδεκα πατριάρχας γεννήσας, Ἰσραὴλ ἦν· οὕτω δὲ ἐλεύσει καὶ ἐπὶ τοὺς λοιποὺς δικαίους. κατατολμῶ εἰπεῖν, ὅτι ὁ μὲν Ἀπόστολος εἶπεν ἀπαρχὴν εἶναι τῶν κεκοιμημένων Χριστὸν Ἰησοῦν. ἐγὼ δὲ παρ᾽ ἐκεῖνον ποιήσαιμ᾽ ἄν· οὗτος μὲν ἀπαρχὴ ἐπὶ ζωὴν τῶν μελλόντων ζῆν· Ἀδὰμ δὲ ἀπαρχὴ τοῦ θανάτου τῶν ἀνθρώπων γεγένηται· "ἐν γὰρ τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν·" ἐκείνου τὴν ἀπαρχὴν τοῦ θανάτου εἰληφότος· ἀλλ᾽ ὁ μὲν Σωτὴρ θέλων τὴν ἀπαρχὴν τῆς ζωῆς ἀναλαβεῖν, ἀνέλαβεν πρῶτον τὸν θάνατον τῶν ἀποθανόντων· ἵνα καταργήσας τὸν θάνατον, γένηται οὗτος ἀπαρχὴ τῶν κεκοιμημένων καὶ ζώντων.

Κυρίλλου. Δέχεται λοιπὸν ὡς ὁμολογούμενον τὸ χρῆναι πιστεύειν, ὡς ἀνεβίω μὲν Χριστὸς, καὶ γέγονεν ἀπαρχὴ τῶν κεκοιμημένων· πρῶτος τῶν ἐπὶ τῆς γῆς, πατήσας τὸν θάνατον. καθάπερ ἀμέλει καὶ ὁ προπάτωρ Ἀδὰμ πρῶτος εἰς αὐτὸν ἐμβέβηκεν, καὶ γέγονεν ἀπαρχὴ τῶν ὠλισθηκότων εἰς φθοράν. ἕψεται δὲ ὅτι τῇ τοῦ Σωτῆρος ἡμῶν ἀναστάσει καὶ ἡ τῶν νεκρῶν, προσεπάγει λέγων, "ὥσπερ γὰρ δι᾽ ἀνθρώπου θάνατος, καὶ δι᾽ ἀνθρώ-"που ἀνάστασις νεκρῶν." ἄθρει δὲ ὅπως τῆς μετὰ σαρκὸς οἰκονομίας τὸ μυστήριον θεοπρεποῦς ἀνάμεστον εὐτεχνίας ἀποφαίνει πάλιν· ἔδει γὰρ, ἔδει, φησὶν, ἄνθρωπον ὑπὲρ ἡμῶν νικῆσαι τὸν θάνατον· ταύτης δὲ ἕνεκα τῆς αἰτίας ὁ ἐκ Θεοῦ πεφηνὼς Θεὸς Λόγος, "οὐκ ἀγγέλων ἐπελάβετο," καθὰ φησὶν αὐτὸς, "ἀλλὰ "σπέρματος Ἀβραάμ· ἵνα κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῇ." ἔδει γὰρ, ὡς ἔφην, θεραπεύεσθαι τὸ ἠρρωστηκός· ἀναστῆναι τὸ πεπτωκός. ἔδει καταθλῆσαι θανάτου δι᾽ ὑπακοῆς καὶ δικαιοσύνης τὸ ὑπ᾽ αὐτῷ γεγονὸς διὰ παραβάσεως καὶ ἁμαρτίας.

Ταύτῃ γέγονεν ἄνθρωπος οὐκ εἰδὼς ἁμαρτίαν, ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος. ἵνα ὥσπερ ἐν τῷ Ἀδὰμ πάντες κατακεκρίμεθα, τῆς ἀνθρώπου φύσεως πατούσης τὸν θάνατον, οὕτω καὶ δικαιωθέντες ἐν Χριστῷ, συναποδυσόμεθα τῇ ἁμαρτίᾳ τὸν ἐξ αὐτῆς ἀναφύντα θάνατον. καὶ μαρτυρήσει λέγων αὐτὸς ὁ θεσπέσιος Παῦλος· "ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ "κατεστάθησαν, οἱ πολλοί." οὐκοῦν ὥσπερ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσι· καταδεδικασμένης, ὡς ἔφην, ἐν αὐτῷ τῆς φύσεως διὰ τὴν παράβασιν· οὕτως ἐν τῷ Χριστῷ ζωοποιηθήσονται, πάλιν

εὐλογουμένης ἐν αὐτῷ τῆς φύσεως κατὰ τὸν ἴσον τρόπον διὰ τὴν δικαίωσιν. λύσις οὖν ἄρα τῶν πρώτων τὰ δεύτερα· "παρεδόθη "γὰρ διὰ τὰ παραπτώματα ἡμῶν, καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν "ἡμῶν·" ἐγηγερμένῳ δὴ οὖν συνεγηγέρμεθα καὶ ἡμεῖς. ζωὴ γάρ ἐστι κατὰ φύσιν ὁ ἐκ Θεοῦ Λόγος. οὐχὶ δήπου μόνῃ τῇ ἰδίᾳ σαρκὶ τὸ τῆς αὐτοῦ φύσεως ἀγαθὸν δωρούμενος, φημὶ δὴ τὴν ζωήν· ἀλλ' εἰς ὅλην αὐτὸ παραπέμπων τὴν τοῦ ἀνθρώπου φύσιν· ἐγήγερται μὲν γὰρ ὁμολογουμένως ὡς ἀπαρχὴ Χριστός· ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων κατὰ τὸ γεγραμμένον. ἕψεται γε μὴν ἐν καιρῷ τὸ ἀναβιῶναι τοὺς ἄλλους. πλὴν κατὰ τὸ εἰκὸς οὐ χύδην, ἀλλ' ἐν κόσμῳ τε καὶ διακεκριμένως καὶ οἷον ἐν κελεύσματι· μετὰ γάρ τοι τὴν ἀπαρχὴν τοῦτ' ἔστιν Χριστὸν, τοὺς αὐτοῦ φησὶν ἐγερθήσεσθαι. δῆλον δὲ ὅτι τοὺς ἐν καιρῷ τῆς ἐπιδημίας, ἤγουν γεγονότας μετὰ τὴν ἐνανθρώπησιν καὶ ὡς ἐν πίστει κεκοιμημένους.

Ἦσαν μὲν γὰρ ὁμολογουμένως ἅγιοι κατὰ καιροὺς ἐν τῷ Ἰσραὴλ, τῆς ἐν νόμῳ ζωῆς ἐπαινουμένης τε καὶ κρατούσης ἔτι· πλὴν ἀμείνους οἱ ἐν Χριστῷ· δεδικαίωνται γὰρ διὰ πίστεως, καὶ τῆς θείας φύσεως γεγόνασι κοινωνοί· καὶ τὸ τῆς υἱοθεσίας ἐκπεπλουτήκασι πνεῦμα. κέκληνται δὲ καὶ εἰς ἀδελφότητα κατὰ χάριν τοῦ κατὰ φύσιν τε καὶ ἀληθῶς Υἱοῦ. καὶ ἦν μὲν πνεῦμα δουλείας ἐν τοῖς ὑπὸ νόμον· "κράζομεν δὲ ἡμεῖς ἀββὰ ὁ πατήρ." οὐκ οὖν ἀμείνους ὡς ἔφην τῶν ἀρχαιοτέρων οἱ ἐν Χριστῷ· τοι γάρ τοι καὶ πρώτους αὐτοὺς ἀναβιώσεσθαι φησὶν, οἷον ἰόντας κατ' ἴχνος τῇ πάντων ἀρχῇ· διά τοι τὸ εἶναι προσεχεστέρους αὐτῇ, καὶ προτετιμῆσθαι ταύτῃ τοι τῶν ἄλλων. ὑπεμφαίνει δέ τι τοιοῦτον καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν παραβολαῖς εὐαγγελικαῖς· ἔφη γὰρ ὅτι τοὺς ἐργάτας εἰς τὸν ἀμπελῶνα μισθούμενος, οἰκοδεσπότης δὲ οὗτος, ὀψίας γεγενημένης ἔφη τῷ ἐπιτρόπῳ αὐτοῦ· "κάλεσον τοὺς ἐργάτας, καὶ ἀπόδος αὐτοῖς τὸν μισθὸν, "ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων."

Ἀπαρχὴ Χριστὸς, ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρ-
24 ουσίᾳ αὐτοῦ· εἶτα τὸ τέλος, ὅτ' ἂν παραδῷ τὴν βασι-
λείαν τῷ Θεῷ καὶ Πατέρι, ὅτ' ἂν καταργήσῃ πᾶσαν

25 ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν· δεῖ γὰρ αὐτὸν
βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ
26 τοὺς πόδας αὐτοῦ. ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θά-
νατος.

ΙΩΑΝΝΟΥ. Ἀπαρχὴ, φησὶν, καὶ ὁδὸς τῆς ἀναστάσεως ὁ Χριστὸς γεγέννηται. μετ' αὐτὸν οἱ αὐτοῦ πρῶτοι ἀναστήσονται· αὐτοῦ δὲ λέγει, τοὺς δικαίους κατὰ τὸν λόγον τῆς οἰκειώσεως. ἔδει γὰρ ἔχειν προτέρημα καὶ ἐπ' αὐτῷ τῷ ἐγείρεσθαι τοὺς δικαίους· ἐπειδὴ γὰρ μέλλουσιν ἁρπάζεσθαι εἰς ἀέρα εἰς ἀπάντησιν τοῦ Κυρίου· προεγείρονται, ἵνα ἀπαντῆσαι φθάσωσιν· τίς γὰρ ἦν χρεία προεγείρεσθαι τοὺς ἁμαρτωλοὺς, τοὺς κάτω μέλλοντας μένειν τὸν κριτήν· εἶτα μετὰ τοῦτο τὸ τέλος τῶν πάντων πραγμάτων καὶ αὐτῆς τῆς ἀναστάσεως· τὸ καὶ τοὺς λοιποὺς λοιπὸν ἐγείρεσθαι· οὐχ ὥσπερ γὰρ νῦν ἐπὶ τοῦ Χριστοῦ ἀναστάσεως μεμένηκε τὰ νῦν ἀνθρώπινα πράγματα, οὕτως καὶ τότε ἔσται, ἀλλὰ πάντα τέλος λήψεται.

ΘΕΟΔΩΡΙΤΟΥ. Τοῦ Χριστοῦ καλεῖ οὐ μόνον μετὰ τὴν ἀνθρώπησιν εἰς αὐτὸν πεπιστευκότας, ἀλλὰ καὶ τοὺς ἐν νόμῳ καὶ τοὺς πρὸ νόμου ἐν εὐσεβείᾳ καὶ ἀρετῇ διαλάμψαντας. "εἶτα τὸ τέλος." ἀντὶ τοῦ ἡ κοινὴ πάντων ἀνάστασις· ὅτ' ἂν γὰρ αὕτη γένηται, πάντα λήψεται τέλος· καὶ τὰ παρόντα πράγματα καὶ τῶν προφητῶν αἱ προρρήσεις.

"Ἀπαρχὴ Χριστός·" εἰς ἀφθαρσίαν πρῶτος ὁ Χριστὸς ἐκ νεκρῶν ἀνέστη· ὅσοι τετυχήκασιν ἀναστάσεως. εἴτε δι' αὐτοῦ τοῦ Σωτῆρος, εἴτε διὰ προφητῶν καὶ Ἀποστόλων αὖθις τεθνήκασιν. "ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ·" τοῦτ' ἔστιν, ὅτ' ἂν ἀπ' οὐρανοῦ φανῇ ἐν δόξῃ, πρῶτον οἱ πιστοὶ καὶ δίκαιοι καὶ εἰς αὐτὸν προηλπικότες καὶ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν δεξάμενοι, ἀναστήσονται· "εἶτα τὸ τέλος" μετὰ τὴν τῶν δικαίων ἀνάστασιν καὶ ἐν νεφέλαις ἁρπαγὴν εἰς ἀπάντησιν τοῦ Κυρίου. τότε τὸ τέλος, τοῦτ' ἔστιν ἡ πάντων ἀνάστασις τῶν ἀπὸ καταβολῆς κόσμου τετελευτηκότων, καὶ τῇ κρίσει παραδοθῆναι τελείως ὀφειλόνται.

ΙΩΑΝΝΟΥ. Ἐνταῦθά μοι προσέχετε μετὰ ἀκριβείας, καὶ ὁρᾶτε

μήτι διαφύγῃ τῶν λεγομένων ὑμᾶς· καὶ γὰρ πρὸς ἐχθροὺς ἡμῖν ἡ μάχη. διὸ πρότερον τὴν εἰς ἄτοπον ἀπαγωγὴν δεῖ γυμνάζειν· ὃ καὶ Παῦλος πολλάκις ποιεῖ. οὕτω γὰρ μάλιστα λέγουσιν· εὐφωρατὰ ὑμῖν φανεῖται. ἐρώμεθα αὐτούς· τί ἐστι τὸ εἰρημένον, "ὅτ' ἂν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατέρι;" εἰ γὰρ ἁπλῶς ἐκλάβοιμεν τοῦτο καὶ μὴ θεοπρεπῶς, οὐκ ἔσται μετὰ ταῦτα ἔχων αὐτήν· ὁ γὰρ παραδοὺς ἑτέρῳ, παύεται τοῦ κατέχειν αὐτός· καὶ οὐ τοῦτο μόνον ἔσται τὸ ἄτοπον, ἀλλ' ὅτι οὐδὲ ἐκεῖνος ὁ παραλαβὼν εὑρεθήσεται πρὶν ἢ παραλαβεῖν ἔχων. οὐκοῦν κατ' ἐκείνους, οὔτε ὁ Πατὴρ βασιλεὺς ἔμπροσθεν βασιλεὺς ἦν καὶ διῴκει τὰ ἡμέτερα, οὔτε ὁ Υἱὸς φανεῖται μετὰ ταῦτα βασιλεύων. πῶς οὖν περὶ μὲν τοῦ Πατέρος φησὶν αὐτός· "ὁ Πατήρ μου ἕως "ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι." περὶ δὲ αὐτοῦ Δανιὴλ, "ὅτι "ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, ἥτις οὐ παρελεύσεται." εἶδες πόσα ἄτοπα τίκτεται καὶ μαχόμενα ταῖς γραφαῖς, ὅτ' ἂν ἀνθρωπίνως ἐκλαμβάνῃ τις τὰ λεγόμενα. ποίαν δὲ καὶ ἀρχὴν ἄρα ἐνταῦθα φησὶ καταργεῖν· τὴν τῶν Ἀγγέλων; ἄπαγε, ἀλλὰ τὴν τῶν πιστῶν; οὐδὲ τοῦτο· ἀλλὰ ποίαν; τὴν τῶν δαιμόνων, περὶ ἧς φησὶν, "οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ "πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας "τοῦ σκότους τοῦ αἰῶνος τούτου." νῦν μὲν γὰρ οὐδέπω κατήργηνται τέλεον· ἐνεργοῦσι γὰρ πολλαχοῦ. τότε δὲ παύσονται. "δεῖ γὰρ "αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ "τοὺς πόδας αὐτοῦ."

Πάλιν ἐντεῦθεν ἕτερον ἄτοπον τίκτεται, ἂν μὴ καὶ τοῦτο θεοπρεπῶς ἐκλάβωμεν. τὸ γὰρ "ἄχρι" τέλους ἐστὶ καὶ διορισμοῦ. ἐπὶ δὲ Θεοῦ, τοῦτο οὐκ ἔστιν. "ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνα-"τος·" πῶς ἔσχατος; μετὰ πάντας, μετὰ τὸν διάβολον, μετὰ τὰ ἄλλα πάντα. καὶ γὰρ ἐν ἀρχῇ ἔσχατος εἰσῆλθεν· πρότερον γὰρ ἡ συμβουλὴ τοῦ διαβόλου καὶ ἡ παρακοή· καὶ τότε ὁ θάνατος. τῇ μὲν οὖν δυνάμει καὶ νῦν κατήργηται, τῇ δὲ ἐνεργείᾳ τότε.

Οἰκουμενίου. Ὅμοιον φησὶν ὁ Δαβὶδ, "καὶ ἐν τῇ σκίᾳ "τῶν πτερύγων σοῦ ἐλπιῶ, ἕως οὗ παρέλθῃ ἡ ἀνομία·" τότε γὰρ

παρέρχεται, ὅτ' ἂν αἱ ἀρχαὶ καὶ αἱ ἐξουσίαι καταργηθῶσιν, καὶ ἀνενέργητοι μένωσιν.

Κυρίλλου. *Ἐν βίβλῳ τετάρτῳ τῶν κατὰ Ἰουλιανοῦ πρὸς αὐτὸ τὸ πέρας, οὕτω φησὶν, "ὅτ' ἂν παραδῷ τὴν βασιλείαν," τοῦτ' ἔστιν ἐλευθέραν ὡς ὑπὸ τυράννου διηρπασμένην, ἐξελὼν καὶ προσάγων τῷ ἰδίῳ γεννήτορι.*

Γρηγορίου. *Οὐ τέλος ἐπιτιθεὶς τῇ βασιλείᾳ εἶπεν τὸ "ἄχρις·" ἀλλὰ ἀξιόπιστον ποιῶν τὸ εἰρημένον καὶ θαρρεῖν παρασκευάζων· ὡσανεὶ ἔλεγεν, μὴ ἐπειδὴ ἤκουσας, ὦ οὗτος, ὅτι καταργήσει πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ αὐτὸν τὸν θάνατον, φοβηθῇς, ὡς ἀτονοῦντος αὐτοῦ· ἕως γὰρ ἂν πάντα ποιήσῃ, βασιλεύει· οὐ τοῦτο λέγων ὅτι μετὰ τὸ ποιῆσαι, οὐ βασιλεύει· ἀλλ' ἐκεῖνο δεικνὺς ὅτι κἂν μὴ νῦν γένηται, πάντος ἔσται· κρατεῖ γὰρ αὐτοῦ ἡ βασιλεία καὶ οὐκ ἀτονεῖ, ἄχρι πάντα κατορθώσει· ἡ δὲ κρατοῦσα ἄχρι οὗ κατορθωθῇ πάντα. πολλῷ μᾶλλον μετὰ τὸ κατορθωθῆναι κρατήσει· "καὶ τῆς βασιλείας γὰρ αὐτοῦ" φησὶν "οὐκ ἔσται "τέλος."*

Φωτίου. *Παραδίδωσιν, οὐκ αὐτὸς στερούμενος. ἀνόητον γὰρ λίαν ὑπονοεῖν ὡς στασιάζουσαν μὲν εἶχεν, ἀπαλλάξας δὲ πόνοις ἰδίοις, ταύτης ἐστερήθη· ἀλλὰ παραδίδωσιν, οἱονεῖ κοινωνὸν ποιεῖται τὸν Πατέρα τοῦ ἰδίου κατορθώματος· κοινὰ γαρ ἅπαντα τὰ τῆς Τριάδος. εἰ γὰρ καὶ ὁ Υἱὸς σεσάρκωται· ἀλλ' εὐδοκίᾳ τοῦ Πατέρος, καὶ συνεργίᾳ τοῦ Ἁγίου Πνεύματος· οὐκοῦν κοινὰ καὶ ἃ σαρκωθεὶς ὁ Υἱὸς καὶ σταυρωθεὶς καὶ ἀναστὰς εἰργάσατο κατορθώματα. καλῶς οὖν φησὶν, τὴν βασιλείαν παραδίδωσιν, τοῦτ' ἔστιν κοινοποιεῖται καὶ εὐφραίνει τῷ κατορθώματι. ὥσπερ γὰρ ὁ Υἱὸς παραλαβὼν αὐτὴν στασιάζουσαν, οὐκ ἀφείλετο αὐτὴν τοῦ Πατέρος· οὕτω νῦν παραδιδοὺς, οὐδ' αὐτὸς ἀφαιρεθήσεται αὐτῆς. παραδίδωσι δὲ, εἴποι τις ἂν, οὐκ ἔξω σκοποῦ, καὶ οὐκ ἐφ' ᾧ μὴ ταλαιπωρεῖσθαι περὶ αὐτήν· καὶ ἐφ' ᾧ μήτε συμμαχεῖν, μήτε τροποῦσθαι, μήτε ἄλλό τι ποιεῖν, ὧν τὰ μὲν πρὸ τοῦ πάθους, τὰ δὲ καὶ μετὰ τὴν ἀνάστασιν, ὡς Υἱὸς Θεοῦ καὶ ἄνθρωπος γεγονὼς εἰς ἡμᾶς ἐπεδείξατο. παραδίδωσιν οὖν, ὡς ἔφημεν, οὐκ ἐφ' ᾧ μὴ ἔχειν, ἀλλ' ἐφ' ᾧ μηκέτι τῶν εἰρημένων τι περὶ αὐτὴν ἐπιτελεῖν·*

ἐπεὶ καὶ παρείληφεν οὐκ ἐφ' ᾧ ἔχειν· εἶχεν γὰρ ὥσπερ ὁ Πατήρ· ἀλλ' ἐφ' ᾧ πόνοις ἰδίοις στάσεως αὐτὴν καὶ τυραννίδος ἀπαλλάξει.

Τοῦ αὐτοῦ. *"Τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατέρι·" εἶχεν ἀεὶ ὁ Πατὴρ τὴν τῶν ἀνθρώπων βασιλείαν, καὶ μὴν τῶν Ἀγγέλων· ἀλλὰ τὴν μὲν τῶν Ἀγγέλων ἀστασίαστον· τὴν δὲ τῶν ἀνθρώπων στασιάζουσαν, καὶ πάθεσιν αἰχμαλωτιζομένην, καὶ δαιμόνων ἐπηρείαις τυραννουμένην. ἀλλ' ὁ Υἱὸς διὰ τοῦ οἰκείου πάθους, ὃ ἐν σαρκὶ γεγονὼς, ἀνεδέξατο· πᾶσαν ἐσάθρωσεν τυραννίδα καὶ ἀσθενεστάτην εἰργάσατο, καὶ τὸ αἰχμαλωτίζον ἐταπείνωσεν καὶ ᾐχμαλώτισεν· ὅμως τῶν ἐν βίῳ καθαραθυμούντων ἀνθρώπων, ὥσπερ σπινθῆρες τινὲς τῆς κακίας διὰ τῆς ἡμῶν ἀμελείας ἀνάπτουσιν καὶ ἀναφλέγονται· μετὰ δὲ τὸ τέλος, τῶν μὲν παθῶν πεπαυμένων, τῶν δὲ δαιμόνων κολαζομένων, καὶ τῶν δικαίων ἀνενοχλήτων ἐν παραδείσῳ διαιτωμένων, παραδίδωσιν ὁ Υἱὸς τῷ Πατέρι τὴν βασιλείαν, ὡς κατορθώσας καθαρὰν τυραννίδος καὶ ἀστασίαστον, "δεῖ "γὰρ αὐτὸν βασιλεύειν," τὸ βασιλεύειν ἐνταῦθα οὐχ ἁπλῶς· ἀλλ' οἷον δεῖ αὐτὸν τὰ τοῦ βασιλεύοντος ποιεῖν· τοῦτ' ἔστι πολεμεῖν τοὺς ἐχθροὺς, συμμαχεῖν τοῖς ἰδίοις. τοὺς μὲν τροποῦσθαι, τοὺς δὲ ῥύεσθαι· "ἄχρις οὗ ἂν θῇ" καὶ ἑξῆς. μετὰ γὰρ ταῦτα, οὐδενὸς τῶν εἰρημένων χρεία. ἀστασίαστος γὰρ λοιπὸν ἡ βασιλεία.*

27 Πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ· ὅταν
δὲ εἴπῃ ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ
28 ὑποτάξαντος αὐτῷ τὰ πάντα· ὅταν δὲ ὑποταγῇ αὐτῷ
τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ
ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα
ἐν πᾶσιν.

Ἰωάννου. *Καὶ γὰρ ἔμπροσθεν οὐκ αὐτὸν τὸν Πατέρα ἔλεγεν εἶναι τὸν ὑποτάξαντα, ἀλλ' αὐτὸν καταργοῦντα. καὶ ὅτ' ἂν γὰρ καταργήσῃ, φησὶν, πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν. καὶ πάλιν· "δεῖ "γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ "τοὺς πόδας αὐτοῦ." πῶς οὖν ἐνταῦθα τὸν Πατέρα φησίν; καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δοκοῦν ἄπορον εἶναι· ἀλλ' ὅτι τι καὶ δέδοικε δέος σφόδρα ἄτοπον, καὶ κέχρηται ἐπὶ διορθώσει λέγων,*

"ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα," ὥς τινων ὑποπτευόντων μή ποτε καὶ ὁ Πατὴρ ὑποταγῇ τῷ Υἱῷ· οὗ τί γένοιτ' ἂν ἀλογώτερον; ἀλλ' ὅμως αὐτὸ δέδοικεν. τί οὖν ἐστι; καὶ γὰρ πολλὰ τὰ ζητήματα ἐφ' ἑξῆς κεῖται· ἀλλὰ συντείνατέ μοι τὴν διάνοιαν. καὶ γὰρ ἀναγκαῖον ὑμῖν πρῶτον Παύλου τὸν σκοπὸν εἰπεῖν καὶ τὴν γνώμην, ἣν πανταχοῦ τις ἂν εὕροι διαλάμπουσαν· καὶ τότε τὴν λύσιν ἐπαγαγεῖν· καὶ γὰρ καὶ τοῦτο πρὸς τὴν λύσιν ἡμῖν συντελεῖ. τίς οὖν ἡ Παύλου γνώμη, καὶ τί τὸ ἔθος; ἄλλως ὅτε περὶ τῆς θεότητος διαλέγεται μόνης φθέγγεται· καὶ ἑτέρως ὅτ' ἂν εἰς τὸν τῆς οἰκονομίας ἐμπέσῃ λόγον. ὅτ' ἂν γὰρ ἐπιλάβηται τῆς σαρκὸς, ἀδεῶς ἅπαντα λέγει λοιπὸν ταπεινά· θαρρῶν ὡς οὔσης τῆς δεξομένης τὰ λεγόμενα.

Εἴδωμεν τοίνυν καὶ ἐνταῦθα πότερον περὶ γυμνῆς τῆς θεότητος ὁ λόγος αὐτῷ, ἢ μετὰ τῆς οἰκονομίας ἀποφαίνεται περὶ αὐτοῦ ταῦτα ἅπερ φησίν· μᾶλλον δὲ πρότερον δείξομεν ποῦ τοῦτο ὅπερ εἶπεν ἐποίησεν, Φιλιππησίοις γράφων φησὶν, "ὃς ἐν μορφῇ Θεοῦ ὑπάρ-"χων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν "ἐκένωσεν, μορφὴν δούλου λαβών· ἐν ὁμοιώματι ἀνθρώπων γενό-"μενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, "ὑπήκοος γενόμενος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. διὸ καὶ "ὁ Θεὸς αὐτὸν ὑπερύψωσεν·" εἶδες πῶς ὅτε μὲν περὶ τῆς θεότητος διελέγετο μόνης, τὰ μεγάλα ἐκεῖνα εἴρηκεν, τὸ ἐν μορφῇ Θεοῦ ὑπάρχειν, καὶ τὸ εἶναι ἴσα τῷ γεγεννηκότι· καὶ αὐτῷ τὸ πᾶν ἀνατίθησιν. ἐπειδὴ δὲ ἔδειξέν σοι αὐτὸν σαρκωθέντα, κατεβίβασε πάλιν τὸν λόγον. εἰ γὰρ μὴ ταῦτα οὕτως διέλοις, πολλὴ ἡ μάχη τῶν εἰρημένων. καὶ γὰρ εἰ ἴσα Θεῷ ἦν, πῶς τὸν ἴσον ἑαυτῷ ὑπερύψωσεν; εἰ ἐν μορφῇ Θεοῦ ἦν, πῶς ἐχαρίσατο αὐτῷ ὄνομα; ὁ γὰρ χαριζόμενος τῷ μὴ ἔχοντι χαρίζεται· καὶ ὁ ὑψῶν, τὸν ἔμπροσθεν ταπεινὸν ὄντα ὑψοῖ. εὑρεθήσεται ἄρα ἀτελὴς ὢν καὶ ἐνδεῶς ἔχων πρὶν ἢ λαβεῖν τὸ ὕψος καὶ τὸ ὄνομα. καὶ μυρία ἕτερα λήμματα ἐντεῦθεν ἕψεται ἄτοπα· ἀλλ' ἐὰν τὴν οἰκονομίαν προσθῇς, οὐχ ἁμαρτήσεις ταῦτα λέγων.

Ταῦτα δὴ καὶ ἐνταῦθα λογίζου, καὶ μετὰ τῆς γνώμης ταύτης ἐκδέχου τὰ εἰρημένα. μετὰ δὲ τούτων, καὶ ἑτέρας αἰτίας ἐροῦμεν τοῦ οὕτως συγκεῖσθαι ταυτηνὶ τὴν περικοπὴν τῆς γραφῆς. τέως

δὲ ἐκεῖνο ἀναγκαῖον εἰπεῖν, ὅτι καὶ περὶ ἀναστάσεως ὁ λόγος ἦν τῷ Παύλῳ· πράγματος ἀδυνάτου δοκοῦντος εἶναι καὶ σφόδρα ἀπιστουμένου· καὶ πρὸς Κορινθίους ἐπέστελλεν, ἔνθα πλείους οἱ φιλόσοφοι οἱ τὰ τοιαῦτα κωμῳδοῦντες ἀεί. καὶ γὰρ ἐν τοῖς ἄλλοις ἀλλήλοις συρρηγνύμενοι, ἐν τούτῳ πάντες ἅτε ἐξ ἑνὸς στόματος συνέπνευσαν, δογματίζοντες μὴ εἶναι ἀνάστασιν. ἀγωνιζόμενος τοίνυν ὑπὲρ τῆς τοιαύτης ὑποθέσεως οὕτως ἀπιστουμένης, καὶ διὰ τὴν πρόληψιν τὴν γεγενημένην, καὶ διὰ τὴν τοῦ πράγματος δυσκολίαν· καὶ βουλόμενος κατασκευάσαι αὐτὸ δυνατὸν, πρῶτον ἐκ τῆς ἀναστάσεως τοῦ πρώτου τοῦτο ἐργάζεται· καὶ ἀποδείξας αὐτὴν καὶ ἀπὸ τῶν προφητῶν, καὶ ἀπὸ τῶν ἑωρακότων, καὶ ἀπὸ τῶν πιστευσάντων, ἐπειδὴ ἔλαβεν ὡμολογημένην τὴν εἰς ἄτοπον ἀπαγωγὴν, καὶ τὴν τῶν ἀνθρώπων κατασκευάζει λοιπόν.

Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, φησὶν, οὐδὲ Χριστὸς ἐγήγερται· εἶτα συνεχῶς ταῦτα ἀντιστρέψας ἐν τοῖς ἔμπροσθεν, ἑτέρως πάλιν ἐπιχειρεῖ· ἀπαρχὴν αὐτὸν καλῶν, καὶ δεικνὺς καταργοῦντα πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν καὶ θάνατον ἔσχατον· πῶς οὖν καταργηθείη, φησὶν, ἐὰν μὴ πρότερον ἅπερ εἶχεν ἀποβάλῃ σώματα; ἐπειδὴ καὶ μεγάλα περὶ τοῦ μονογενοῦς ἐφθέγξατο, ὅτι παραδίδωσι τὴν βασιλείαν, τοῦτ' ἔστιν, ὅτι αὐτὸς ἀνύει ταῦτα, καὶ αὐτὸς τὸν πόλεμον νικᾷ, καὶ πάντα τίθησιν ὑπὸ τοὺς πόδας αὐτοῦ, ἐπήγαγεν, τὴν ἀπιστίαν τῶν πολλῶν διορθούμενος, "δεῖ "γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς "ὑπὸ πόδας αὐτοῦ." οὐ τέλος ἐπιτιθεὶς τῇ βασιλείᾳ τὸ ἄχρις, ἀλλ' ἀξιόπιστον ποιῶν τὸ εἰρημένον, καὶ θαρρεῖν παρασκευάζων. μὴ γὰρ ἐπειδὴ ἤκουσας, φησὶν, ὅτι καταργήσει πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν, καὶ τὸν διάβολον καὶ τὰς τῶν δαιμόνων φάλαγγας τὰς τοσαύτας, καὶ τῶν ἀπίστων τὰ πλήθη, καὶ τοῦ θανάτου τὴν τυραννίδα, καὶ τὰ κακὰ ἅπαντα, φοβηθῇς ὡς ἀτονοῦντος αὐτοῦ. ἕως γὰρ ἂν ποιήσει ταῦτα πάντα, δεῖ βασιλεύειν αὐτόν. οὐ τοῦτο λέγων, ὅτι μετὰ τὸ ποιῆσαι οὐ βασιλεύει, ἀλλ' ἐκεῖνο κατασκευάζων ὅτι καὶ μὴ νῦν γένηται, πάντως ἔσται· οὐ γὰρ διακόπτεται αὐτοῦ ἡ βασιλεία· κρατεῖ γὰρ καὶ ἰσχύει καὶ μένει, ἕως ἂν πάντα κατορθώσῃ. τοῦτο δὲ τὸ ἔθος καὶ ἐν τῇ παλαιᾷ εὕροι τις ἄν· ὡς ὅτ' ἂν λέγῃ, "τὸ δὲ ῥῆμα τοῦ Κυρίου

" μένει εἰς τὸν αἰῶνα. καὶ σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ " ἐκλείψουσι." ταῦτα δὲ λέγει ὁ προφήτης καὶ τὰ τοιαῦτα, ἐπειδὰν περὶ πραγμάτων διηγῆται μακρῷ χρόνῳ κατορθουμένων· τὴν δειλίαν τῶν παχυτέρων ἀκροατῶν ἐκβάλλων. ὅτι δὲ τὸ " ἄχρι" ἐπὶ Θεοῦ λεγόμενον καὶ ἕως οὐκ ἔστι τέλους, ἄκουσον τί φησιν, " ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ·" καὶ πάλιν, " ἐγώ " εἰμι, ἐγώ εἰμι· καὶ ἕως ἂν καταγηράσητε, ἐγώ εἰμι." διὰ δὴ τοῦτο καὶ ἔσχατον τίθησι τὸν θάνατον, ἵν' ἀπὸ τῆς τῶν ἄλλων νίκης, καὶ τοῦτο εὐπαράδεκτον γένηται τῷ διαπιστοῦντι· ὅτ' ἂν γὰρ τὸν διάβολον ἕλῃ τὸν εἰσαγαγόντα τὸν θάνατον, πολλῷ μᾶλλον τὸ ἔργον τὸ ἐκείνου καταλύσει.

Ἐπεὶ οὖν πάντα αὐτῷ ἀνατέθεικε τὸ καταργεῖν τὰς ἀρχὰς, τὰς ἐξουσίας, τὸ κατορθῶσαι τὴν βασιλείαν, λέγω δὴ τῶν πιστῶν τὴν σωτηρίαν, τὴν τῆς οἰκουμένης εἰρήνην, τὴν τῶν κακῶν ἀναίρεσιν· τοῦτο γάρ ἐστι τὴν βασιλείαν κατορθῶσαι, τὸ καταλῦσαι τὸν θάνατον. καὶ ἐπεὶ οὐκ εἶπεν ὅτι ὁ Πατὴρ δι' αὐτοῦ, ἀλλ' αὐτὸς καταργήσει ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ οὐδαμοῦ τοῦ γεγεννηκότος ἐμνημόνευσεν, ἐφοβήθη λοιπὸν μὴ διὰ τοῦτο δόξῃ παρά τισι τῶν ἀλογωτέρων, ἢ μείζων εἶναι τοῦ Πατέρος ὁ Υἱὸς, ἢ ἑτέρα τις ἀρχὴ ἀγέννητος. καὶ διὰ τοῦτο ἠρέμα ἀσφαλιζόμενος, παραμυθεῖται τὸν ὄγκον τῶν εἰρημένων, λέγων, " πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς " πόδας αὐτοῦ·" πάλιν τῷ Πατέρι τὰ κατορθώματα ἀνατιθεὶς, οὐχ ὡς ἀτονοῦντος τοῦ παιδὸς, πῶς γὰρ ᾧ τοσαῦτα ἐμαρτύρησεν ἔμπροσθεν, καὶ πάντα ἀνέθηκε τὰ εἰρημένα; ἀλλὰ διὰ τὴν αἰτίαν ἣν εἶπον, καὶ ἵνα δείξῃ κοινὰ Πατέρος καὶ Υἱοῦ τὰ ὑπὲρ ἡμῶν γενόμενα ἅπαντα.

Ὅτι γὰρ αὐτὸς αὐτῷ ἤρκεσεν εἰς τὸ ὑποτάξαι ἑαυτῷ τὰ πάντα, ἄκουσας πάλιν Παύλου λέγοντος, " ὃς μετασχηματίσει τὸ σῶμα " τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι σύμμορφον τῷ σώματι " τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν ὑπο- " τάξαι αὐτῷ τὰ πάντα." εἶτα καὶ ἐπιδιορθώσει κέχρηται λέγων, " ὅτ' ἂν δὲ εἴπῃ, ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ " ὑποτάξαντος αὐτῷ τὰ πάντα·" οὐ μικρὰν κἀντεῦθεν τῷ μονογενεῖ μαρτυρῶν δόξαν. εἰ γὰρ ἐλάττων εἴη καὶ πολὺ καταδεέστερος, οὐκ ἂν τοῦτο ἐφοβήθη ποτὲ τὸ δέος· καὶ οὐδὲ τούτῳ ἀρκεῖται,

ἀλλὰ καὶ ἕτερον προστίθησι λέγων, ἵνα γὰρ μή τις ὑποπτεύῃ καὶ λέγῃ, τί γὰρ εἰ καὶ μὴ ὑποτέτακται ὁ Πατήρ; οὐδὲν τοῦτο κωλύει ἰσχυρότερον εἶναι τὸν Υἱόν· δείσας τὴν ἀσεβῆ ταύτην ὑπόνοιαν· ἐπειδὴ ἐκεῖνο οὐκ ἤρκει καὶ τοῦτο δεῖξαι, προσέθηκεν ἐκ περιουσίας πολλῆς, "ὅτ' ἂν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ "αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται," τὴν πολλὴν πρὸς τὸν Πατέρα ὁμόνοιαν δεικνύς· καὶ ὅτι οὗτος ἀρχὴ πάντων ἀγαθῶν καὶ αἰτία πρώτη, ὁ τὸν τοσαῦτα δυνάμενον καὶ κατορθοῦντα γεγεννηκώς. εἰ δὲ πλέον εἴρηκεν ἢ ἀπῄτει τοῦ πράγματος ἡ ὑπόθεσις, μὴ θαυμάσῃς· τὸν γὰρ διδάσκαλον τὸν αὐτοῦ μιμούμενος, τοῦτο ποιεῖ. καὶ γὰρ αὐτὸς ὁμόνοιαν δεῖξαι βουλόμενος πρὸς τὸν γεγεννηκότα, καὶ ὅτι οὐ παρὰ γνώμην αὐτοῦ ἀφίηται, τοσοῦτον καταβαίνει· οὐχ ὅσον ἀπῄτει τῆς ὁμονοίας ἡ ἀπόδειξις, ἀλλ' ὅσον ἔδει τῶν παρόντων ἡ ἀσθένεια. εὔχεται γὰρ τῷ γεγεννηκότι δι' οὐδὲν ἕτερον, ἢ διὰ τοῦτο· καὶ τὴν αἰτίαν τιθείς, φησίν, "ἵνα πιστεύσωσιν ὅτι "σύ με ἀπέστειλας."

Τοῦτον οὖν μιμούμενος καὶ ἐνταῦθα ἐκ περιουσίας τῇ λέξει κέχρηται· οὐχ ἵνα δουλείαν κατηναγκασμένην ὑποπτεύσῃς, ἄπαγε· ἀλλ' ἵνα τὰ ἄτοπα ἐκεῖνα δόγματα ἐκ περιουσίας ἐκβάλῃ. καὶ γὰρ ὅτ' ἂν βούληταί τι πρόρριζον ἀνασπάσαι, πολλῇ κέχρηται τῇ περιουσίᾳ. οὕτω γοῦν περὶ γυναικὸς πιστῆς λέγων καὶ ἀνδρὸς ἀπίστου ὁμιλούντων ἀλλήλοις νόμῳ γάμου· ἵνα μὴ νομίσῃ ἡ γυνὴ μολύνεσθαι ἀπὸ τῆς μίξεως καὶ τῶν περιπλοκῶν τῶν πρὸς τὸν ἄπιστον, οὐκ εἶπεν ὅτι οὐκ ἔστιν ἀκάθαρτος ἡ γυνή, ἢ ὅτι οὐδὲν βλάπτεται παρὰ τοῦ ἀπίστου, ἀλλ' ὃ πολλῷ πλέον ἦν, ὅτι καὶ ὁ ἄπιστος ἡγίασται δι' αὐτῆς. οὐ τοῦτο βουλόμενος δεῖξαι ὅτι ὁ Ἕλλην ἅγιος ἐγένετο ἐξ ἐκείνης, ἀλλὰ τῇ ὑπερβολῇ τοῦ ῥήματος τὸν φόβον αὐτῆς ἐκλῦσαι σπεύδων· οὕτω καὶ ἐνταῦθα τῇ περιουσίᾳ τῆς λέξεως τὸ ἀσεβὲς ἐκεῖνο δόγμα ἀνελεῖν ἐσπουδακώς, εἶπεν ὅπερ εἴρηκεν. ὥσπερ γὰρ ἀσθενῆ τὸν Υἱὸν ὑποπτεύειν, τῆς ἐσχάτης παρανομίας ἐστί· διόπερ αὐτὸ διορθοῦται λέγων, ὅτι πάντας τοὺς ἐχθροὺς αὐτοῦ θήσει ὑπὸ τοὺς πόδας αὐτοῦ· οὕτω τοῦτο πάλιν ἀσεβέστερον τὸ ἐλάττονα νομίζειν τὸν Πατέρα. διὸ καὶ αὐτὸ μετὰ πολλῆς ἀναιρεῖ τῆς ὑπερβολῆς. καὶ ὅρα πῶς αὐτὸ τίθησιν· οὐ γὰρ εἶπεν ἐκτὸς τοῦ ὑποτάξαντος ἁπλῶς, ἀλλὰ

δῆλον ὅτι εἰ γὰρ καὶ ὁμολόγηταί φησιν, ἀλλ᾽ ὅμως ἀσφαλίζομαι.

Καὶ ἵνα μάθῃς ὅτι αὕτη ἐστὶν ἡ αἰτία τῶν εἰρημένων, ἐκεῖνο ἄν σε ἐροίμην. ἆρα προσθήκη γίνεται τότε ὑποταγῆς τῷ Υἱῷ; καὶ πῶς οὐκ ἄτοπον καὶ Θεοῦ ἀνάξιον; ἡ γὰρ μεγίστη ὑποταγὴ ἡ ὑπακοὴ αὕτη, τὸν Θεὸν ὄντα δούλου μορφὴν λαβεῖν· πῶς οὖν τότε ὑποταγήσεται; ὁρᾷς ὅτι τὴν ἄτοπον ὑποψίαν ἀναιρῶν τοῦτο τέθεικεν; καὶ τοῦτο δὲ μετὰ τῆς προσηκούσης ὑπονοίας· ὡς γὰρ Υἱῷ προσῆκεν καὶ Θεῷ, οὕτως ὑπακούει· οὐκ ἀνθρωπίνως, ἀλλ᾽ ἐλευθεριάζων καὶ ἐξουσίαν πᾶσαν ἔχων· ἐπεὶ πῶς σύνθρονος; πῶς ὡς ὁ Πατὴρ ἐγείρει, οὕτω καὶ αὐτὸς οὓς θέλει; πῶς τὰ τοῦ Πατέρος αὐτῷ πάντα, καὶ τὰ αὐτοῦ τοῦ Πατέρος; ταῦτα γὰρ ἐξουσίαν ἀπηκριβωμένην πρὸς τὸν γεγεννηκότα ἡμῖν ἐνδείκνυται.

Τί δέ ἐστιν, "ὅτ᾽ ἂν παραδῷ τὴν βασιλείαν;" βασιλείας τοῦ Θεοῦ δύο οἶδεν ἡ γραφή· τὴν μὲν κατ᾽ οἰκείωσιν, τὴν δὲ κατὰ δημιουργίαν. βασιλεύει μὲν γὰρ ἁπάντων, καὶ Ἑλλήνων καὶ Ἰουδαίων, καὶ δαιμόνων τῶν ἀντιτεταγμένων κατὰ τὸν τῆς δημιουργίας λόγον. βασιλεύει δὲ τῶν πιστῶν καὶ ἑκόντων καὶ ὑποτεταγμένων κατὰ τὸν τῆς οἰκειώσεως. αὕτη ἡ βασιλεία· καὶ ἀρχὴν λέγεται ἔχειν· περὶ γὰρ ταύτης φησὶν καὶ ἐν τῷ δευτέρῳ ψαλμῷ· "αἴτησαι παρ᾽ ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου." περὶ ταύτης καὶ αὐτὸς εἴρηκεν τοῖς μαθηταῖς· "ἐδόθη μοι ἐξουσία "παρὰ τοῦ Πατέρος μου·" τῷ γεγεννηκότι πάντα ἀνατιθείς· οὐχ ὡς αὐτὸς οὐκ ἀρκῶν, ἀλλὰ δεικνὺς ὅτι Υἱός ἐστι καὶ οὐκ ἀγέννητος. ταύτην οὖν παραδίδωσι, τοῦτ᾽ ἐστιν κατορθοῖ. τί δή ποτ᾽ οὖν περὶ τοῦ Πνεύματος, φησὶν, οὐδὲν εἴρηκεν; ὅτι οὐ περὶ τούτου ὁ λόγος αὐτῷ ἦν νῦν· οὐδὲ ὁμοῦ πάντα συγχεῖ. ἐπεὶ καὶ ὅτ᾽ ἂν λέγει "εἷς Θεὸς ὁ Πατὴρ, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς," οὐ πάντως ἀφεὶς εἶναι τὸ Πνεῦμα, διὰ τοῦτο σιγᾷ· ἀλλ᾽ ἐπειδὴ τέως οὐ κατήπειγεν τοῦτο εἰπεῖν. οἶδεν γὰρ καὶ τοῦ Πνεύματος μεμνῆσθαι μόνου· καὶ οὐ διὰ τοῦτο τὸν Υἱὸν ἐκβαλοῦμεν. οἶδεν καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος μόνου· καὶ οὐ διὰ τοῦτο τὸν Πατέρα ἀθετήσομεν.

Τί δέ ἐστιν, "ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν;" ἵνα ἅπαντα εἰς αὐτὸν ἀνηρτημένα ᾖ. ἵνα μὴ δύο τις ἀρχὰς ἀνάρχους ὑπο-

πτεύῃ, μὴ δὲ ἑτέραν βασιλείαν ἀπεσχισμένην. ἵνα μηδὲν αὐτοῦ ἀπηλλοτριωμένον ᾖ· ὅτ' ἂν γὰρ οἱ μὲν ἐχθροὶ ὑπὸ τοὺς πόδας ὦσι κείμενοι τοῦ παιδός· ὁ δὲ ἔχων αὐτοὺς ὑπὸ ποδας ἐρριμμένους, μὴ στασιάζῃ πρὸς τὸν γεγεννηκότα· ἀλλ' ὁμονοεῖ μετὰ πολλῆς τῆς ἀκριβείας, αὐτὸς ἔσται τὰ πάντα ἐν πᾶσιν. τινὲς δὲ καὶ τῆς κακίας τὴν ἀναίρεσιν δηλοῦντα τοῦτό φασιν αὐτὸν εἰρηκέναι. ὡς πάντος εἴκοντος λοιπὸν, καὶ οὐδενὸς ἀνθισταμένου, οὐδὲ πονηροευομένου· ὅτ' ἂν ἁμαρτία μὴ ᾖ, εὔδηλον ὅτι ὁ Θεὸς ἔσται τὰ πάντα ἐν πᾶσιν.

Θεοδωρίτου. Ὅπερ ἐνταῦθα ἐπὶ τοῦ Θεοῦ καὶ Πατέρος εἴρηκεν ὁ θεῖος Ἀπόστολος, ἀλλαχοῦ ἐπὶ τοῦ Χριστοῦ τέθεικεν. λέγει δὲ οὕτως, "ὅπου οὐκ ἔνι Ἰουδαῖος καὶ Ἕλλην, περιτομὴ καὶ "ἀκρόβυστία, βάρβαρος καὶ Σκύθης· ἀλλὰ τὰ πάντα καὶ ἐν "πᾶσι Χριστός·" οὐκ ἂν δὲ τὰ ἁρμόττοντα τῷ Πατέρι προσήρμοσε τῷ Υἱῷ, εἰ μὴ τὸ ὁμότιμον αὐτῶν παρὰ τῆς θείας χάριτος ἐδίδαχθη.

Ἰωάννου. Εἰ δὲ μὴ ἀνίσταται τὰ σώματα, πῶς ταῦτα ἀληθῆ; ὁ γὰρ χαλεπώτατος ἐχθρὸς θάνατος μένει, ἀνύσας ὅπερ ἠθέλησεν; οὐχὶ φησὶν, οὐδὲ γὰρ ἁμαρτήσονται λοιπόν. καὶ τί τοῦτο; οὐδὲ περὶ τοῦ θανάτου τοῦ τῆς ψυχῆς, ἀλλὰ περὶ τοῦ σωματικοῦ διαλέγεται ἐνταῦθα. πῶς οὖν καταργεῖται; νίκη γὰρ τοῦτό ἐστι τὸ τὰ ἀφαιρεθέντα καὶ κατεχόμενα λαβεῖν· εἰ δὲ μέλλοι κατέχεσθαι ἐν τῇ γῇ τὰ σώματα, ἄρα μενεῖ αὐτοῦ ἡ τυραννίς· τούτων μὲν κατεχομένων, ἑτέρου δὲ οὐκ ὄντος σώματος ἔνθα ἡττηθήσεται· "τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ "πάντα." ὁ Ἀπόστολος φάρμακον κατασκευάζει τῆς Ἑλληνικῆς νόσου, οὐ δόγμα ἐκκλησιαστικὸν εἰσάγει, ἀλλ' ὑπόνοιαν Ἑλληνικὴν ἐκβάλλει. εἰ δὲ δεῖ ἀπολύτῳ χρησάμενον εἰπεῖν τῷ λόγῳ· ὑποταγὴν λέγει τοῦ Χριστοῦ γιγνομένην τὴν διὰ τῆς Ἐκκλησίας. ὅτ' ἂν Ἐκκλησία ὑποταγῇ, μηδένα νόθον ἔχουσα μὴ δὲ σπίλον, ἀλλ' εἰλικρινῆ καὶ ἄνοθον προσφέρουσα τῷ Θεῷ τὴν διάθεσιν, τότ' αὐτῷ γνησίως ὑποταγήσεται· ὥσπερ γὰρ ὁ Χριστὸς μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν καὶ τὴν εἰς οὐρανοὺς ἀνάληψιν, καὶ τὴν ἐκ δεξιῶν καθέδραν ὑπὸ πάσης ἀγγελικῆς δυνάμεως προσκυνούμενος·

οὐκ ὢν οὔτε ἐν τοῖς θλιβομένοις, οὔτε ἐν τοῖς διωκομένοις· ἐπειδὴ μεμηνότα τὸν Παῦλον εἶδεν κατὰ τῆς Ἐκκλησίας καὶ πολὺν χέοντα τὸν θυμὸν κατὰ τῶν ἁγίων, φησὶ πρὸς αὐτὸν, "Σαοὺλ, Σαοὺλ, τί "με διώκεις;" οἰκειοῦται τῆς Ἐκκλησίας τὰ πάθη καὶ τὴν τιμὴν ὁ Χριστός. ἐτίμησας Ἐκκλησίαν, τὸν Χριστὸν ἐτίμησας. ἐδίωξας Ἐκκλησίαν, εἰ καὶ μὴ τῇ ὄψει ἀλλὰ τῇ προαιρέσει, Χριστὸν ἐδίωξας.

Οἰκουμενίου. *Καὶ δίκαιος ὁ φόβος· πρὸς γὰρ ἄνδρας ἀπὸ Ἑλλήνων πιστεύσαντας ἔγραφεν, οἵ δοξάζουσι τὸν Δία ἐπαναστάντα τῷ οἰκείῳ πατρὶ, ἐξῶσαι αὐτὸν τῆς βασιλείας. δέος οὖν μήτι τοιοῦτον καὶ παρ' ἡμῖν ὑποπτεύσωσι. πρός τε τὴν Ἑλλήνων μυθολογίαν τε καὶ ἀπάτην εἰρῆσθαι ταῦτα εἰπόντων καὶ φασκόντων πατραλοίας εἶναι θεούς· καὶ ὅτι τῆς Ἐκκλησίας ὑποτασσομένης, αὐτὸς λέγεται ὑποτάττεσθαι, οἰκειούμενος τῆς Ἐκκλησίας τοὺς διωγμοὺς καὶ τὰ πάθη καὶ τὴν ὑποταγήν.*

Οἰκουμενίου. *Οἰκειοποιεῖται γὰρ τοῦ Υἱοῦ, ὡς Πατὴρ, καὶ πᾶν ὅπερ δύναται ὁ Υἱὸς, τοῦτο εἰς τὸν Πατέρα ἀνάγεται. αὐτὸς γὰρ αὐτῷ αἴτιος τοῦ δύνασθαι ὁ γεννήσας αὐτὸν ἀχρόνως.*

Φωτίου. "*Τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται·*" *τοῦτ' ἔστιν τότε δείκνυται ἀληθῶς καὶ θεοπρεπῶς ὑποτεταγμένος, ὅτι ἐπλήρωσε τὸ πνευματικὸν βούλημα, παραστήσας τὴν βασιλείαν πάσης στάσεως καὶ τυραννίδος ἠλευθερωμένην.*

29 *Ἐπεὶ τί ποιήσουσι οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν;*
εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται; τί καὶ βαπτίζονται ὑπὲρ
30 *τῶν νεκρῶν; τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν;*
31 *καθημέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, ἣν*
ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ἰωάννου. *Ἐνταῦθα παραποιοῦσι ταύτην τὴν ῥῆσιν οἱ τὰ Μαρκίωνος νοσοῦντες. ἐπειδὰν γάρ τις κατηχούμενος ἀποθάνῃ παρ' αὐτοῖς· τὸν ζῶντα ὑπὸ τὴν κλίνην τοῦ τετελευτηκότος κρύψαντες, προσίασι τῷ νεκρῷ, καὶ διαλέγονται καὶ πυνθάνονται εἰ βούλοιτο λαβεῖν τὸ βάπτισμα. εἶτα ἐκείνου μηδὲν ἀποκρινομένου, ὁ κεκρυμμένος κάτωθεν ἀντ' ἐκείνου φησὶν ὅτι δὴ βούλοιτο βαπτι-*

σθῆναι· καὶ οὕτω βαπτίζουσιν αὐτὸν ἀντὶ τοῦ ἀπελθόντος, καθάπερ ἐπὶ τῆς σκηνῆς παίζοντες. εἰ γὰρ τοῦτο ἔλεγε Παῦλος, τίνος ἕνεκεν ἠπείλησεν ὁ Θεὸς τῷ μὴ βαπτιζομένῳ; οὐ γάρ ἐστί τινα βαπτισθῆναι ἐπινοηθέντος τούτου. ἄλλως δὲ τὸ ἔγκλημα οὐκ ἔτι παρὰ τὸν ἀπελθόντα γίνεται, ἀλλὰ παρὰ τὸν ζῶντα· τισὶ δὲ ἔλεγεν "εἰ μὴ φάγετε τὴν σάρκα μου καὶ πίητε τὸ αἷμα μου, οὐκ "ἔχετε ζωὴν ἐν αὐτοῖς·" τοῖς ζῶσιν ἢ τοῖς τετελευτηκόσιν, εἰπέ μοι; καὶ πάλιν, "ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, "οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ." εἰ γὰρ τοῦτο ἐφίεται, καὶ οὐ χρεία γνώμης τῆς τοῦ λαμβάνοντος, οὐδὲ συγκαταθέσεως τῆς ἐν τῷ ζῆν, τί κωλύει καὶ Ἕλληνας καὶ Ἰουδαίους οὕτω γενέσθαι πιστούς· ἑτέρων μετὰ τὴν τελευτὴν, ἐκείνων ὑπὲρ ἐκείνων ταῦτα ποιούντων;

Ἀλλ' ἵνα μὴ ἐπὶ πλεῖον τὰ ἀράχνια διακόπτοντες ματαιοπονῶμεν, φέρε τῆς ῥήσεως ταύτης τὴν δύναμιν ὑμῖν ἀναπτύξωμεν. τί οὖν φησὶν ὁ Παῦλος; πρῶτους ἀναμνῆσαι βούλομαι τοὺς μεμνημένους ὑμᾶς μίας ῥήσεως· ἣν οἱ μυσταγωγοῦντες λέγειν κελεύουσι· καὶ τότε ἐρῶ καὶ τὸ τοῦ Παύλου· οὕτω γὰρ ἡμῖν καὶ τοῦτο ἔσται σαφέστερον· μετὰ γὰρ τὰ ἄλλα πάντα τοῦτο προστίθεμεν, ὃ νῦν ὁ Παῦλος λέγει· μετὰ γὰρ τὴν ἐπαγγελίαν τῶν μυστικῶν ῥημάτων ἐκείνων, καὶ τοῦτο τῷ τέλει προστίθεμεν· ὅταν μέλλωμεν βαπτίζειν, κελεύοντες λέγειν ὅτι πιστεύω εἰς νεκρῶν ἀνάστασιν, καὶ ἐπὶ τῇ πίστει ταύτῃ βαπτιζόμεθα, τοῦτο τοίνυν ὁ Παῦλος ἀναμιμνήσκων σε λέγει, εἰ μὴ ἔστιν ἀνάστασις· τί καὶ βαπτίζῃ ὑπὲρ τῶν νεκρῶν; τοῦτ' ἔστιν τῶν σωμάτων· καὶ γὰρ ἐπὶ τούτῳ βαπτίζῃ, τῇ τοῦ νεκροῦ σώματος ἀναστάσει πιστεύων ὅτι οὐκ ἔτι μένει νεκρόν.

Θεοδωρίτου. Ὁ βαπτιζόμενος τῷ δεσπότῃ Χριστῷ συνθάπτεται· ἵνα τοῦ θανάτου συγκοινωνήσας, καὶ τῆς ἀναστάσεως γένηται κοινωνός. εἰ δὲ νεκρόν ἐστι τὸ σῶμα, καὶ οὐκ ἀνίσταται· τί δήποτε καὶ βαπτίζεται;

Ἰωάννου. "Καύχησιν" ἐνταῦθα τὴν αὐτῶν προκοπὴν λέγει. ἐπειδὴ γὰρ πολλοὺς ἔδειξε τοὺς κινδύνους ὄντας· ἵνα μὴ δόξῃ ὡς ἀποδυρόμενος ταῦτα λέγειν, οὐ μόνον οὐκ ἀλγῶ, φησὶν, ἀλλὰ καὶ καυχῶμαι τῷ ταῦτα πάσχειν ὑπὲρ ἡμῶν. διπλῇ ἐναβρύνεσθαι,

φησὶ, καὶ τῷ δι' αὐτοὺς κινδυνεύειν, καὶ τῷ ὁρᾷν αὐτοὺς ἐπιδιδόντας· εἶτα τὸ[a] αὐτῷ σύνηθες ποιῶν, ἐπειδὴ μεγάλα ἐφθέγξατο, ἀμφότερα ἀνατίθησι τῷ Χριστῷ.

ΦΩΤΙΟΥ. *"Ἐπεὶ τί ποιήσουσι," φησὶν, "οἱ βαπτιζόμενοι," ὥστε μὴ εἶναι διὰ παντὸς νεκροὶ, καὶ ἐν τῷ Ἅιδῃ κατέχεσθαι; οἷον τῆς ἀναστάσεως, φησὶν μὴ οὔσης, οἱ ἐπὶ τοιαύταις ἐλπίσι βαπτιζόμενοι, ὥστε μετὰ θάνατον ἀναστῆναι, τί ποιήσουσιν;*

ΤΟΥ ΑΥΤΟΥ. *Εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί βαπτίζονται ἵνα ἀναστῶσιν; αὐτὸς δὲ ἐπιπληκτικώτερον ὑπὲρ τῶν νεκρῶν φησὶν, οἷον, οὓς ὑμεῖς διὰ τῆς ἰδίας δόξης ἀϊδίους νεκροὺς ἀπεφήνατε· νεκροὺς δὲ καὶ τοὺς ἄλλους καὶ ἑαυτοὺς, καὶ νεκροὺς αἰωνίους ἀποφηνάμενοι, τί βαπτίζεσθε ὑπὲρ ὑμῶν τῶν μηκέτι καθ' ὑμᾶς ἀναστησομένων ἀλλ' ἀεὶ νεκρῶν ἐσομένων; ἐπὶ ἄλλων δὲ προσώπων προσάγει τὸν λόγον, καὶ οὐχὶ ἐπὶ αὐτῶν ἐκείνων, ἵνα μὴ πλέον καθαψάμενος εἰς ἀπόνοιαν ἐκκαλέσηται.*

ΤΟΥ ΑΥΤΟΥ. *"Καθ' ἡμέραν ἀποθνήσκω." ὅσον ταῖς ἐπιφοραῖς τῶν θλίψεων καὶ πειρασμῶν, καὶ τῇ καθημερινῇ ἐλπίδι τοῦ θανάτου.*

Εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι
32 τὸ ὄφελος; εἰ νεκροὶ οὐκ ἐγείρονται, Φάγωμεν καὶ πίω-
μεν, αὔριον γὰρ ἀποθνήσκομεν. μὴ πλανᾶσθε· Φθεί-
33 ρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. ἐκνήψατε δικαίως,
34 καὶ μὴ ἁμαρτάνετε· ἀγνωσίαν γὰρ Θεοῦ τινες ἔχουσιν·
πρὸς ἐντροπὴν ὑμῖν λέγω.

ΙΩΑΝΝΟΥ. *Τί ἐστιν "εἰ κατὰ ἄνθρωπον;" ὅσον εἰς ἀνθρώπους ἧκον ἐθηριομάχησα. τί γὰρ εἰ ὁ Θεὸς ἐξήρπασέ με τῶν κινδύνων; ὥστε ὁ μάλιστα ὑπὲρ τούτων ὀφείλων μεριμνᾶν, ἐγώ εἰμι ὁ τοσούτους κινδύνους ὑπομένων, καὶ μηδεμίαν μηδέπω λαβὼν ἀμοιβήν. εἰ γὰρ μὴ παραγίνεται ὁ τῆς ἀντιδόσεως καιρὸς, ἀλλὰ μέχρι τοῦ παρόντος τὰ ἡμέτερα συγκέκλεισται, ἡμεῖς ἐν μείζονι ζημίᾳ ἐσμέν· ὑμεῖς μὲν γὰρ ἀκινδύνως ἐπιστεύσατε· ἡμεῖς δὲ καθ' ἑκάστην σφαττόμεθα τὴν ἡμέραν.*

ΘΕΟΔΩΡΙΤΟΥ. *Διαστέλλειν δεῖ τὸ "εἰ κατὰ ἄνθρωπον," καθ' ὑπόκρισιν ἀναγινώσκοντα· εἰ τὰ, τὸ κατὰ ἄνθρωπον ἐπάγοντα,*

[a] τῷ Cod.

ἐθηριομάχησα ἐν Ἐφέσῳ· βούλεται γὰρ εἰπεῖν, ὅτι ὅσον ἐπ' ἀνθρώποις θηρίων ἐγενόμην βορά.

Οἰκουμενίου. Ἢ οὕτως· εἰ μὴ διὰ τὴν ἐσομένην ἐλπίδα καὶ ἀντίδοσιν ἐθηριομάχησα, ἀλλὰ διὰ δόξαν ἀνθρωπίνην, τί ὀφέλημαι; θηριομαχῆσαι δὲ καλεῖ, τὸ πρὸς τοὺς Ἰουδαίους σχεῖν· τὸ πρὸς Δημήτριον τὸν ἀργυροκόπον· τί γὰρ οὗτοι θηρίων διέφερον;

Ἰωάννου. Τοῦτο τὸ ῥῆμα λοιπὸν κωμῳδοῦντός ἐστιν. διὸ οὐδὲ οἴκοθεν αὐτὸ παρήγαγεν, ἀλλὰ τὸν προφήτην ἐπέστησεν Ἡσαΐαν· ὃς περί τινων ἀπηλγηκότων διαλεγόμενος καὶ ἀπεγνωσμένων, ἔλεγε ταῦτα τὰ ῥήματα· "οἱ σφάζοντες μόσχους καὶ θύοντες πρό- "βατα, ὥστε φαγεῖν κρέα καὶ πιεῖν οἴνους, οἱ λέγοντες, φάγωμεν "καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. ἀνακεκαλυμμένα ταῦτά "ἐστιν εἰς τὰ ὦτα Κυρίου Σαβαώθ· καὶ οὐκ ἀφεθήσεται ὑμῖν ἡ "ἁμαρτία αὕτη, ἕως ἂν ἀποθάνηται." εἰ δὲ τότε συγγνώμης ἦσαν ἀπεστερημένοι οἱ ταῦτα λέγοντες, πολλῷ μᾶλλον ἐπὶ * * [f].

Θεοδωρίτου. Μόνον οὐχὶ τοῦτο φησὶ, περιττὴ τῆς χάριτος ἡ νηστεία, περιττὴ ἡ ἐγκράτεια· τῶν κατὰ τὸν παρόντα βίον ἀπολαύσωμεν ἡδονῶν, ἀντιδόσεως οὐδὲ μιᾶς τοῖς τῆς ἀρετῆς ἐργάταις ἀποκειμένης· εἶτα ἐντρεπτικῶς, "μὴ πλανᾶσθε· φθείρουσιν ἤθη "χρηστὰ ὁμιλίαι κακαί·" χρηστὰ ἐνταῦθα τὰ κοῦφα ἐκάλεσεν· τὰ ῥαδίως ἐξαπατώμενα.

Ἰωάννου. "Ἐκνήψατε δικαίως·" τί ἐστιν δικαίως; ἐπὶ συμφέροντι καὶ χρησίμῳ· ἔστι γὰρ ἀδίκως νήφειν· ὅτ' ἂν ἐπὶ βλάβῃ τῆς ἑαυτοῦ ψυχῆς διεγηγερμένος ᾖ τις.

Θεοδωρίτου. Ὡς ἀποβουκοληθεῖσι καὶ τῇ ἀπιστίᾳ μεθύουσι, τὸ "ἐκνήψατε" εἴρηκεν· ἄγαν δὲ σοφῶς Θεοῦ ἄγνοιαν τῆς ἀναστάσεως τὴν ἀπιστίαν ἐκάλεσεν· ὁ γὰρ ὁμολογῶν εἰδέναι Θεὸν, δίκαιον τοῦτον εἶναι πιστεύει· τῷ δικαίῳ δὲ ἡ ἀντίδοσις πρέπει· τὴν δὲ δικαίαν ἀντίδοσιν κατὰ τὸν παρόντα βίον οὐ βλέπομεν· δεῖ τοίνυν προσμεῖναι τὴν ἀνάστασιν τὸν τῷ Θεῷ πιστεύειν ὁμολογοῦντα.

Φωτίου. Ἢ ὅτι καὶ τὰ χρηστὰ ἤθη αἱ συνεχεῖς τῶν κακῶν ὁμιλίαι διαφθείρουσι· καὶ γὰρ ῥανὶς ἐνδελεχοῦσα κοιλαίνει πέτραν. διὰ τοῦτο δὲ παραινεῖ αὐτοὺς ἐκτρέπεσθαι τὰς ὁμιλίας τῶν

[f] ἐπὶ τῆς χάριτος Chrys. Edd.

μοχθηρῶν· καὶ μὴ θαρροῦντας ἑαυτοῖς, ὅτι οὐ βλαβήσονται αὐτοὶ χρηστοὶ ὄντες, τὸ πρὸς αὐτοὺς ἐνδελεχῶς ὁμιλεῖν τῆς ἐκεῖθεν λύμης ἠρέμα καὶ κατὰ μικρὸν ὑποπίμπλασθαι.

35 Ἀλλ' ἐρεῖ τὶς, Πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ
36 σώματι ἔρχονται; ἄφρον, σὺ ὃ σπείρεις, οὐ ζωοποιεῖται,
37 ἐὰν μὴ ἀποθάνῃ· καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενη-
σόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι, σίτου
38 ἤ τινος τῶν λοιπῶν· ὁ δὲ Θεὸς αὐτῷ δίδωσι σῶμα κα-
θὼς ἠθέλησεν, καὶ ἑκάστῳ τῶν σπερμάτων τὸ ἴδιον
σῶμα.

Θεοδωρίτου. *Διπλῆ ἡ ἐρώτησις· καὶ περὶ τοῦ τρόπου τῆς ἀναστάσεως, καὶ περὶ τῆς ἐσομένης τῶν σωμάτων ποιότητος. εἶτα ἀπὸ τῶν ἀνθρωπίνων ἀμφότερα δείκνυσιν, καὶ ἄφρονα προσαγορεύει, τὸν ταῦτα συνιδεῖν οὐ δυνηθέντα.*

Ἰωάννου. *Ἄφρονα καλῶ φησὶν, ὅτι τὰ καθ' ἡμέραν γινόμενα παρὰ σοῦ ἀγνοεῖς· διὸ σφόδρα ἐμφατικῶς εἶπεν· "σὺ ὃ σπείρεις·" σὺ ὦ θνητὸς καὶ ἀπολλύμενος· καὶ ὅρα πῶς ταῖς λέξεσιν οἰκείως τῇ παρούσῃ κέχρηται ὑποθέσει· οὐ ζωοποιεῖται γὰρ, φησὶν, ἐὰν μὴ ἀποθάνῃ· τὰς γὰρ οἰκείας λέξεις τῶν σπερμάτων ἀφεὶς, οἷον τὸ βλαστάνει καὶ φύεται καὶ σήπεται, τὰς καταλλήλους τῇ ἡμετέρᾳ σαρκὶ ἥρμοσε τὸ "ζωοποιεῖται" καὶ "ἀποθάνῃ." ὅπερ οὐ σπερμάτων κυρίως ἐστὶν, ἀλλὰ σωμάτων· καὶ οὐκ εἶπεν ὅτι μετὰ τὸ ἀποθανεῖν ζῇ, ἀλλ' ὃ μεῖζόν ἐστιν, ὅτι διὰ τοῦτο, ἐπειδὴ ἀποθνήσκει. ὁρᾷς ὅτι ὅπερ ἀεὶ λέγω εἰς τουναντίον ἀεὶ περιτρέπει τὸν λόγον· ὃ γὰρ ἐποιοῦντο ἐκεῖνοι τεκμήριον τοῦ μὴ ἀνίστασθαι, τοῦτο τοῦ ἀνίστασθαι ποιεῖται ἀπόδειξιν. καὶ τί δήποτε οὐχ ὅπερ οἰκειότερον ἦν, τοῦτο ἤγαγεν εἰς μέσον, τὸ σπέρμα λέγω τὸ ἀνθρώπινον· καὶ γὰρ ἡ ἡμετέρα γένεσις ἀπὸ φθορᾶς ἄρχεται ὥσπερ ἡ τοῦ σίτου; ὅτι οὐκ ἦν ἴσον, ἀλλὰ τοῦτο πλέον· ὁλόκληρον γάρ τι ζητεῖ φθειρόμενον· ἐκεῖνο δὲ μέρος ἦν· διόπερ τοῦτο εἰς μέσον ἄγει· ἄλλωστε ἐκεῖνο μὲν καὶ ἀπὸ ζῶντος πρόεισι, καὶ εἰς ζῶσαν ἐμπίπτει γαστέρα. ἐνταῦθα δὲ οὐκ εἰς σάρκα ἀλλ' εἰς γῆν ὁ σπόρος καταβάλλεται, καὶ εἰς αὐτὴν διαλύεται, καθάπερ τὸ σῶμα τὸ τεθνηκός.*

Σευηριανοῦ. Οἱ Ἕλληνες ἀντιλέγουσιν ὅτι σπέρμα διχασθὲν οὐκ ἔτι βλαστάνει· ἄρα οὖν καὶ ἄνθρωπος ἀποκοπεὶς τὸν πόδα, ἢ ὅλως ἀκρωτηριασθεὶς τὸ σῶμα, οὐκ ἔτι ἐγείρεται; ἀγνοοῦντες ὅτι οὐ φύσις φησὶ παρετέθη, ἀλλ' ἡ δύναμις τοῦ πεποιηκότος. τοῦτ' ἔστι, τοῦ σπέρματος τὴν βλαστητικὴν φύσιν καὶ τὴν σπερματικὴν δύναμιν τίς ἔδωκεν; οὐχ ὁ Θεός; τίς ὁ ποιῶν ἀποθανεῖν πρῶτον τὸν σπόρον εἶτα ἀνίστασθαι; οὐχ ὁ Θεός; ἄρα ὁ τῷ κόκκῳ δεδωκὼς τὴν σπερματικὴν δύναμιν, ἔδωκεν καὶ τοῖς ἡμετέροις σώμασι τὴν τῆς ἀναστάσεως ἰσχύν.

Ὠριγένους. Ἆρα οὖν τὸ τοῦ ἀνθρώπου σπέρμα παρὰ πάντα ἐκεῖνα τὰ σώματα τῷ δημιουργῷ ἄχρηστόν ἐστιν· ὡς ἐλπίζεται μὲν ἀνάστασιν εἶναι νεκρῶν, εἰ δεῖ οὕτως εἰπεῖν, ἐλαϊκῶς καὶ ἀμπελικῶς καὶ σιτικῶς καὶ ἀπὸ τῆς κιγκραμίδος τῆς συκῆς ἀνίσταται τηλικαύτη συκῆ· καὶ οὐ γελᾷς τοῦτο ὃ ἐπὶ τῇ πείρᾳ βλέπεις; καὶ εἴ τις σοι λέγει ὅτι ἀπὸ τούτου τοῦ βραχέος ἐγείρεται συκῆ καρποφοροῦσα· τῇ πείρᾳ μαθὼν οὐ καταγελᾷς· ἐπεὶ δὲ οὐδέπω ἦλθεν ὁ καιρὸς τοῦ ἀνατεῖλαι ἀπὸ τοῦ ἀνθρωπείου σώματος κατὰ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν· τὸ ἀναστησόμενον οὐ θέλεις περιμεῖναι, ἵνα καὶ τοῦτο ἴδῃς; ἢ οὐκ οἶδας ὅτι καὶ ἐπὶ τῶν ἄλλων πάντων σπερμάτων, οὐ πᾶς καιρὸς ἐπιτήδειός ἐστι πρὸς τὸ ἀνατεῖλαι τὰ σπέρματα, ἀλλ' ἐγείρεται κόκκος σίτου· τῷ δὲ τῷ καιρῷ τοῦ ἐνιαυτοῦ ἐγείρεται τὸ γίγαρτον· τῇ δὲ τῇ ὥρᾳ τοῦ ἐνιαυτοῦ, ὁ πυρὴν τῆς ἐλαίας κατὰ τόνδε τὸν μῆνα, οὐ κατὰ πάντα χρόνον· θέλεις δὲ ἐπὶ τοῦ σώματος τοῦ ἀνθρώπου, ἵνα πιστεύσῃς κατ' ἐνιαυτὸν ὡς τὸ γίγαρτον, ὡς τὴν ἐλαίαν ἀνίστασθαι τοὺς νεκροὺς, καὶ οὐχὶ ἕνα καιρὸν παράδοξον, ὄψει ἵνα εἰδῇς τὴν ἀνάστασιν τῶν νεκρῶν· τίς ὁ εἷς καιρός; ἐπὶ συντελείᾳ τοῦ αἰῶνος· ἵνα μετὰ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν, μηκέτι ᾖς ἐν τῷ αἰῶνι τῷ ἐνεστῶτι πονηρῷ· Ἰησοῦς γὰρ Χριστὸς πέπονθεν, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ αἰῶνος τοῦ ἐνεστῶτος πονηροῦ. καὶ "ἐξαγοραζόμενοι τὸν καιρὸν, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν." καλῶς οὖν ὁ Θεὸς καὶ τοῦτο μετὰ τῶν ἄλλων ᾠκονόμησεν.

Κυρίλλου. Ὁ προφήτης Ἡσαΐας, μετὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως τὸ μυστήριον ὡς ἔσται κατὰ καιροὺς Θεοῦ κατανεύοντος καὶ ἀφάτῳ δυνάμει μεταπλάττοντος εἰς ζωὴν τὸ τῷ θανάτῳ

κεκρατημένον, προανακεκράγει λέγων, “ ἀναστήσονται οἱ νεκροὶ “ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ “ ἐν τῇ γῇ. ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν.” δρόσον οἶμαι λέγων τροπικῶς τὴν ζωοποιὸν ἐνέργειαν τοῦ Θεοῦ· καθ᾽ ἣν καὶ τὸ εἶναι τοῖς οὐκ οὖσι προσνέμει, καὶ τοῖς ἤδη παρενηνεγμένοις εἰς ὕπαρξιν τὸ εὖ εἶναι χαρίζεται· συνέστηκε γὰρ τὰ πάντα ἐν αὐτῷ· καθάπερ ἀμέλει καὶ δι᾽ αὐτοῦ παρήχθη πρὸς γένεσιν. ψάλλει δέ που καὶ ὁ θεσπέσιος Δαβὶδ περὶ τῶν ἐπὶ γῆς πρὸς τὸν τῶν ὅλων Σωτῆρα Θεόν· “ ἀνοίξαντος δέ σου τὴν χεῖρα, τὰ “ σύμπαντα πλησθήσεται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ “ πρόσωπον, ταραχθήσονται. ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκ-“ λείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν· ἐξαποστελεῖς “ τὸ Πνεῦμά σου καὶ κτισθήσονται· καὶ ἀνακαινιεῖς τὸ πρόσωπον “ τῆς γῆς.”

Πέπονθε μὲν γὰρ ἡ ἀνθρώπου φύσις τοῦ θείου προσώπου τὴν ἀποστροφὴν ἐν Ἀδὰμ διὰ τὴν παράβασιν· τοίγαρτοι μονονουχὶ συγκέχυται καὶ τετάρακται καὶ εἰς τὸν ἴδιον ὑπενόστησε χοῦν· κατεβιβάσθη τε καὶ εἰς θάνατον καὶ φθοράν. ἐπειδὴ δὲ γέγονε καθ᾽ ἡμᾶς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος καὶ τὴν τοῦ Ἁγίου Πνεύματος πεπλουτήκαμεν μέθεξιν, ἀναμορφούμεθα πρὸς τὸ ἐν ἀρχαῖς, καὶ οἷον ἀνεκτίσμεθα· κεκλήμεθα γὰρ εἰς καινότητα ζωῆς· τὸ τοῦ θανάτου διαδιδράσκοντες κράτος· καὶ μαρτυρήσει λέγων ὁ σοφώτατος Παῦλος· “ εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν οἰκεῖ ἐν “ ὑμῖν, ὁ ἐγείρας ἐκ νεκρῶν Ἰησοῦν Χριστὸν, ζωοποιήσει καὶ τὰ “ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν “ ὑμῖν·” ὅτε τοίνυν ἀνεβίω μὲν ὁ Χριστὸς, πατήσας τοῦ θανάτου τὸ κράτος, καὶ γέγονεν ἀπαρχὴ τῶν κεκοιμημένων, ὡς ἑψομένων πάντως τοῖς ἴχνεσιν αὐτοῦ, πῶς οὐκ ἀπόπληκτον κομιδῆ τὸ κατάτι γοῦν ὅλως ἐνδοιάζειν ἔτι περὶ τὸ τῆς ἀναστάσεως μυστήριον; ἀλλ᾽ ἴσως ἐκεῖνο ἐρεῖς, καὶ λέγεις ὀρθῶς· παρίημί τε λοιπὸν τὸ χρῆναι ζητεῖν πῶς ἐγείρονται οἱ νεκροί· διειδέναι γε μὴν ἀναγκαῖον, ποίῳ σώματι ἔρχονται. ἆρα γὰρ τὸ ἐκ γῆς δὴ τοῦτο καὶ τῇ φθορᾷ κάτοχον ἀναβιώσεται σῶμα; ἢ ἕτερόν τι παρ᾽ αὐτὸ πλὴν ἐξ αὐτοῦ;

Φαίην δ᾽ ἂν ἔγω γε πρὸς τοῦτο εὐθὺς, ὡς ὁ μὲν ὀρθὸς τῆς

πίστεως λόγος περιΐστησιν ἡμᾶς εἰς τήνδε τὴν σάρκα τὴν ἀνάστασιν· ἀνεβίω γὰρ οὕτω Χριστὸς ὁ πρωτότοκος ἐκ νεκρῶν, ἡ ἀπαρχὴ τῶν κεκοιμημένων· ἐπειδὴ δὲ οὐ σφόδρα τισὶν ἀρέσκει τὸ δόγμα· φέρε, παραθέντες ὃν εὖ ἔχειν οἴονται λόγον, τὰ εἰκότα λέγωμεν· εἶτα παραθεὶς τῶν προυπάρχειν λεγόντων τὰς ψυχὰς τὰς μυθολογίας φησίν· εἶτα πῶς ἀποσεμνύνεται Θεὸς ἐπὶ τῇ τοῦ ἀνθρώπου κατασκευῇ· φησὶ γάρ που πρὸς τὸν μακάριον Ἰώβ[g]· "εἰ σὺ λαβὼν γῆς πηλὸν ἔπλασας ζῶον καὶ λαλητὸν[h] αὐτὸ "ἔθου ἐπὶ τῆς γῆς;" πέρα μὲν γὰρ οἶμαι παντὸς ἂν ἴοι θαύματος, τὸ λογικὸν ἐκ γῆς ἀποτελέσαι ζῶον· πῶς δὲ γεγονότα τὸν ἄνθρωπον εὐθὺς καὶ πεπλασμένον ἐκ γῆς εὐλόγησεν ὁ δημιουργός· "αὐξάνεσθε καὶ πληθύνεσθε" λέγων, "καὶ πληρώσατε τὴν γήν." καὶ πολλὰ ἕτερα πρὸς αὐτοὺς εἰπὼν ἐπιφέρων, ἀρίστῳ χρῆται παραδείγματι ὁ θεσπέσιος Παῦλος· πίπτειν μὲν εἰς γῆν τὸ σῶμα λέγων, οἷά τινα κόκκον, οὐχ οὕτως ἀναστησόμενον, καθὰ καὶ ἐσπάρη γυμνός· ἀλλ' ἐν ἀμφιάσει καὶ περιστολῇ τῶν ἐξ ἔθους ἐμφυομένων αὐτῷ, καλάμης δὴ λέγω καὶ φυλλάδος· "δίδωσι" γάρ φησιν, "ὁ Θεὸς ἑκάστῳ τῶν σπερμάτων ἴδιον σῶμα." ἐπειδὴ γὰρ οὐχ ἅπαντας τοὺς κεκοιμημένους ἀναβιώσεσθαι φησὶν ἐν δόξῃ, κἂν εἰ πάντες ἐν ἀφθαρσίᾳ· οὐ γάρ που τοῖς ἀνεπιεικέσι καὶ τοῖς τῶν φαύλων ἐργάταις τὸ ἐν εὐκλείᾳ τῇ παρὰ Θεοῦ στεφανοῦσθαι πρέπει· ταύτῃ τοι χρησίμως διαφόρων μέμνῃ καὶ σπερμάτων, οἷς καὶ διανέμει Θεὸς καθ' ὃν ἂν ἕλοι τρόπον αὐτὸς τὸ ἐν τοιῷδε τυχὸν ἢ ἑτεροίῳ σχήματι διαφέρεσθαι· φησὶν γὰρ "καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις."

Ἰωάννου. Τὰ μὲν ἔμπροσθεν εἴρηται πρὸς τὸ λέγειν "οἱ "νεκροὶ πῶς ἐγείρονται;" τοῦτο δὲ πρὸς τὸ διαπορεῖν ποίῳ σώματι ἔρχονται· τί δέ ἐστιν "οὐ τὸ σῶμα τὸ γενησόμενον;" οὐ στάχυν ὁλόκληρον οὐ δὲ σῖτον νέον· ἐνταῦθα γὰρ οὐκ ἔτι πρὸς τὴν ἀνάστασιν ὁ λόγος· ἀλλὰ πρὸς τὸν τρόπον τῆς ἀναστάσεως. ποταπὸν τὸ σῶμα τὸ μέλλον ἀναστήσεσθαι; οἱονεῖ τοιοῦτον, ἢ βέλτιον καὶ λαμπρότερον· καὶ ἀμφότερον ἀπὸ τοῦ αὐτοῦ ὑποδείγματος λαμβάνει· δεικνὺς ὅτι πολλῷ βέλτιον. καὶ ἵνα μὴ ἄλλο τις

g Cap. xxxviii. 14.   h λα   τὸν Cod.

ὑποπτεύσῃ ἐντεῦθεν εἰρῆσθαι, παραμυθεῖται τὸ αἴνιγμα, καὶ αὐτὸς ἑρμηνεύει τὸ εἰρημένον, τί ἐστιν· "οὐ τὸ σῶμα τὸ γενησόμενον·" εὐθέως γὰρ ἐπάγει, "ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι σίτου," ἤ τινος τῶν τοιούτων σωμάτων. τοῦτ' ἔστιν οὐχ οὕτω περιβεβλημένον, οὐ δὲ καλάμην ἔχοντα καὶ ἀνθέρικας· "καὶ ἑκάστῳ τῶν "σπερμάτων, τὸ ἴδιον σῶμα." ποῦ τοίνυν τὸ ἀλλότριον· τὸ γὰρ ἴδιον δίδωσιν· ὥστε ὅτ' ἂν λέγει· "οὐ τὸ γενησόμενον σπείρεις," οὐ τοῦτο λέγει ὅτι ἄλλη ἀντ' ἄλλης οὐσία ἀνίσταται· ἀλλ' ὅτι βελτίων, ὅτι λαμπροτέρα.

Φωτίου. "Σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται." εἰ οὖν σὺ ὃ σπείρεις καὶ τρόπον τινὰ τάφῳ καλύπτεις καὶ θανατοῖς, τοῦτο ὁ Θεὸς ἀνίστησι καὶ δίδωσι τὸ ἴδιον σῶμα τὸ σαπὲν καὶ διαλυθὲν, δίδωσι δὲ καθὼς ἠθέλησεν ἐκπρεπέστερον καὶ ὡραιότερον· ὃ αὐτὸς ἐκεῖνος διὰ τῆς οἰκείας ἀποφάσεως εἰς γῆν καὶ τάφον ἐκέλευσεν κατατίθεσθαι καὶ ἀποθνήσκειν, τοῦτο αὐτὸς πάλιν οὐκ ἔχει ῥᾶον τὸ ζωοποιῆσαι καὶ ἀναστῆσαι ὅτε βούλεται καὶ θελήσει;

39 Οὐ πᾶσα σὰρξ, ἡ αὐτὴ σάρξ· ἀλλὰ ἄλλη μὲν σὰρξ
ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων,
40 ἄλλη δὲ πτηνῶν. καὶ σώματα ἐπουράνια· καὶ σώματα
ἐπίγεια· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα
41 δὲ ἡ τῶν ἐπιγείων. ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα
σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος
42 διαφέρει ἐν δόξῃ. οὕτως καὶ ἡ ἀνάστασις τῶν νεκρῶν.

Ἰωάννου. Τί βούλεται αὐτῷ ταυτὶ τὰ ῥήματα· καὶ τίνος ἕνεκεν ἐν τῆς ἀναστάσεως τῶν σωμάτων εἰς τὸν περὶ ἄστρων καὶ ἡλίου λόγον ἐξέπεσεν; οὐκ ἐξέπεσεν οὐδὲ ἀπερράγη τῆς ὑποθέσεως· ἄπαγε· ἀλλ' ἔτι αὐτῆς ἔχεται. ἐπειδὴ γὰρ τὸν τῆς ἀναστάσεως κατεσκεύασε λόγον, δείκνυσι λοιπὸν ὅτι πολλὴ τῆς δόξης τότε ἡ διαφορὰ, εἰ καὶ ἡ ἀνάστασις μία· καὶ διαιρεῖ εἰς δύο τὸ πᾶν τέως εἰς τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια, τομὴν δικαίων καὶ ἁμαρτωλῶν λέγων. διὰ μὲν τῶν ἐπιγείων τούτους αἰνιττόμενος, διὰ δὲ τῶν ἐπουρανίων ἐκείνους· εἶτα λοιπὸν τῶν ἁμαρτωλῶν διαφορὰν πρὸς ἁμαρτωλοὺς εἰσάγει λέγων, "οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ." εἰ καὶ τὰ πάντα σώματα, ἀλλὰ τὰ μὲν ἐν πλείονι εὐτελείᾳ καὶ

ἐν ζωῇ δὲ ὁμοίως καὶ ἐν αὐτῇ τῇ κατασκευῇ· καὶ εἰπὼν τοῦτο, ἀναβαίνει πάλιν εἰς τὸν οὐρανὸν λέγων, "ἄλλη δόξα ἡλίου καὶ ἄλλη "δόξα σελήνης·" ὥσπερ γὰρ φησὶν ἐν τοῖς ἐπιγείοις ἡ διαφορὰ, οὕτω καὶ ἐν τοῖς ἐπουρανίοις· καὶ διαφορὰ οὐχ ἡ τυχοῦσα, ἀλλὰ μέχρι τῶν ἐσχάτων.

Σευηριανοῦ. Οὐχ *ὡς ἀνισταμένων τῶν ἄλλων σαρκῶν· ὑποδείγματι γὰρ κέχρηται· καὶ σώματα ἐπουράνια τὸν ἥλιον λέγει καὶ τὴν σελήνην, καὶ τὰ ἑξῆς δείκνυσιν· οὕτως καὶ ἡ ἀνάστασις τῶν νεκρῶν· ὁρᾷς ὅτι ὑποδείγματα ἦν τὰ πρῶτα· ἀποδέδοται δὲ νῦν οὗ ἔστιν τὸ ὑπόδειγμα.*

Θεοδωρίτου. Μία *τῆς σαρκὸς ἡ φύσις· ἐκ γὰρ τῶν τεσσάρων στοιχείων συνέστηκεν· ἡ δὲ διαφορὰ ἐν τῷ εἴδει· οὕτω τοίνυν ἡ μία μὲν πάντων ἀνάστασις, καὶ ἡ τῶν σωμάτων εἰς ἀφθαρσίαν μεταβολή· ἡ δὲ τῶν τρόπων διαφορὰ τὴν τῶν ἀντιδόσεων κατασκευάζει διαφοράν· τοῦτο καὶ ὁ* Κύριος *ἐν τοῖς ἱεροῖς* Εὐαγγελίοις *εἴρηκεν· "πολλαὶ γὰρ," ἔφη, "μοναὶ παρὰ τῷ* Πατέρι *μου."*

Κυρίλλου. *Ἰστέον ὅτι δυσὶν ἀρτίως παραδειγμάτοιν εἰς μέσον ἡμῖν παρενηνεγμένοιν, τοῦτε κατὰ τὸν κόκκον, φημὶ, καὶ τοῦ διεκφαίνοντος τὴν τῶν οὐρανίων σωμάτων· τὴν ὡς ἐν δόξῃ διαφορὰν ἀποφέρει τέως πρὸς τὴν τοῦ πρώτου δύναμιν τῆς τῶν νεκρῶν ἀναστάσεως ἐμφέρειαν· καὶ φησὶν τὰ ἑξῆς.*

Ἰωάννου. Οὕτως *καὶ ἡ ἀνάστασις τῶν νεκρῶν· οὕτω πῶς; ἐν διαφορᾷ πολλῇ· καθὼς καὶ τὰ παραχθέντα ἐδήλωσε παραδείγματα.*

43 Σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρε-
ται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ,
44 ἐγείρεται ἐν δυνάμει· σπείρεται σῶμα ψυχικὸν, ἐγείρε-
ται σῶμα πνευματικόν. ἔστι σῶμα ψυχικὸν, καὶ ἔστι
45 σῶμα πνευματικόν. οὕτως καὶ γέγραπται, Ἐγένετο ὁ
πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψύχην ζῶσαν· ὁ δεύτερος
46 Ἀδὰμ εἰς σῶμα ζωοποιοῦν. ἀλλ' οὐ πρῶτον τὸ πνευ-
ματικὸν, ἀλλὰ τὸ ψυχικὸν, ἔπειτα τὸ πνευματικόν.

Κυρίλλου. *Ὅνπερ γὰρ τρόπον ὁ τοῦ σίτου κόκκος ἐγκατα-*

βληθεὶς τῷ βώλῳ γυμνὸς καὶ νεκρὸς, ἐν περιστολῇ σώματος καὶ ἐν προσθήκῃ κάλλους ἀναφὺς θαυμάζεται· κατὰ τὸν αὐτὸν τουτονὶ τρόπον καὶ τὸ ἀνθρώπινον σῶμα, σπείρεται μὲν ἐν φθορᾷ καὶ ἐν ἀσθενείᾳ τε καὶ ἐν ἀτιμίᾳ, πλὴν ἀναβιώσεται τιμῇ τε καὶ ἀφθαρσίᾳ· καὶ μὴν καὶ δυνάμει κατημφιασμένον.

Ἀξίως δὲ θαυμάζειν τοῦ θεηγόρου τὴν νῆψιν· ἐρηρεισμένην γὰρ ἔχων τὴν πίστιν, καὶ ὅτι πάντῃ τε καὶ πάντως ἀναβιώσεται πεποιθὼς, σπορᾷ παρεικάζει τὴν τοῦ σώματος φθοράν· εὐτέχνως δὴ λίαν καὶ σοφῶς πανταχῇ τῷ παραδείγματι τὴν τοῦ πράγματος φύσιν ἐξομοιῶν· οὐκ οὖν τῷ κόκκῳ παραπλησίως οὐ γυμνὸν ἀναβιώσεται τὸ σῶμα φησὶν, ἀλλ' εὖ μάλα περιεσταλμένον τὴν ἀφθαρσίαν, τὴν δόξαν· καὶ πρός γε τούτοις τὸ εὐσθενές· καὶ μὴν καὶ τοῦτο καταπλουτοῦν τὸ ἐν φρονήματι γενέσθαι πνευματικῷ, μεταπλαττούσης τρόπον τινὰ τῆς ἄνωθεν χάριτος τῆς ἀσυγκρίτου δυνάμεως τοῦ πάντων δημιουργοῦ πρὸς πᾶν τουναντίον τὰ ἐν αὐτῷ. ἐνυπάρχει μὲν γὰρ τῷ πεσόντι σώματι, καὶ οἷον εἰς γῆν ἐσπαρμένῳ φθορὰ καὶ ἀσθενεία· καὶ τὸ ἀκαλλὲς, φρόνημά τε τὸ ψυχικὸν, ὃ καὶ ταυτὸν εἶναι φαμὲν τῷ σαρκικῷ καὶ γεωδεστέρῳ. ἐπειδὴ δὲ παρήχθη πρὸς γένεσιν ἐν ἀρχαῖς κατὰ φύσιν οὐχ ὧδε ἔχον· παρεισέδυσαν δὲ ταυτὶ διὰ τὴν παράβασιν καὶ τὴν ἐπὶ τῷ θανάτῳ δίκην ἀναφρονούσης ἡμῖν τῆς φύσεως εἰς τὸ ἐν ἀρχαῖς· πράττεται μὲν ἀναγκαίως δυνάμει τε καὶ ἐνεργείᾳ Θεοῦ τῶν μεταξὺ παρεισβεβλημένων ἡ ἀπόθεσις· ἀντικρίνεται δὲ τῶν πρώτων καὶ ἐν ἀρχαῖς ἐνόντων ἡμῖν ἀγαθῶν ἡ μέθεξις· "ἀνακαινίσμεθα γὰρ ἐν Χριστῷ," κατὰ τὰς γράφας. ἔφη γὰρ προφήτης ἅγιος· "θάρσει Σιών· μὴ παρείσθωσαν αἱ "χεῖρές σου· Κύριος ὁ Θεὸς σοῦ ἐν σοὶ, δύνατος σῶσαί σε· καὶ "ἀνακαινιεῖ σε ἐν τῇ ἀγαπήσει αὐτοῦ." ὅτε γὰρ ἠγάπησεν ἡμᾶς ὁ Θεὸς καὶ Πατήρ· τότε δὴ τότε καὶ ἀνεκαίνισεν ἐν Χριστῷ· καὶ γάρ ἐστιν ἀληθὲς ὡς πάντα τὰ ἐν αὐτῷ καινὴ κτίσις· καὶ "τὰ "μὲν ἀρχαῖα παρῆλθε, γέγονε δὲ καινά·" ποῖα δέ φησιν ἀρχαῖα; τὰ παριππεύσαντα· καὶ ποῖα καινά; τὰ εἰσκεκριμένα. παλαῖα μὲν ἡ φθορὰ, καὶ μέντοι τὸ ἄναλκι, καὶ πρός γε τούτῳ τὸ δυσκλεὲς, καὶ τοῦ ψυχικοῦ φρονήματος τὰ ἐγκλήματα· καινὰ δὲ διὰ Χριστοῦ, δόξα τε καὶ ἀφθαρσία καὶ δύναμις καὶ τὸ φρόνημα

τὸ πνευματικόν. ἔσται γὰρ ἡμῶν τὸ σῶμα πνευματικόν· φαίην δ' ἂν εἶναι πνευματικὸν οὐ τὸ ἐν εἴδει σκίας, ἤγουν ἀσωμάτου πνεύματος· τὸ ἀφεστηκὸς δὲ μᾶλλον, καὶ μὴν καὶ εἰς ἅπαν ἀπηλλαγμένον τοῦ σαρκικοῦ καὶ γεωδεστέρου φρονήματος.

Ἰωάννου. Θέα σύνεσιν· πῶς ἐπὶ μὲν τῶν σπερμάτων τῷ τῶν σωμάτων ἐχρήσατο ὀνόματι, λέγων, "οὐ ζωοποιεῖται, ἐὰν μὴ "ἀποθάνῃ." ἐπὶ δὲ τῶν σωμάτων τῇ τῶν σπερμάτων προσηγορίᾳ, λέγων, "σπείρεται ἐν φθορᾷ· ἐγείρεται ἐν ἀφθαρσίᾳ." οὐκ εἶπεν φύεται, ἵνα μὴ τῆς γῆς ἔργον εἶναι νομίσῃς, ἀλλ' "ἐγείρεται·" σπόρον δὲ ἐνταῦθα οὐ τὴν γένεσιν ἡμῶν λέγει, τὴν ἐν μήτρᾳ, ἀλλὰ τὴν ταφὴν τὴν ἐν τῇ γῇ, τῶν τετελευτηκότων σωμάτων τὴν διάλυσιν, τὴν τέφραν. διὸ καὶ ἐπήγαγεν· "σπείρεται ἐν ἀτιμίᾳ." τί γὰρ εἰδεχθέστερον νεκροῦ διαρρέοντος· "σπείρεται σῶμα ψυ"χικόν· ἐγείρεται σῶμα πνευματικόν." τί λέγεις; τοῦτο δὲ οὐ πνευματικόν; πνευματικὸν μὲν, ἀλλ' ἐκεῖνο πολλῷ πλεόν· νῦν μὲν γὰρ καὶ ἀφίπταται τοῦ Πνεύματος τοῦ Ἁγίου πολλάκις ἡ πολλὴ χάρις ἁμαρτανόντων ἡμῶν, καὶ τοῦ Πνεύματος δὲ παρόντος τῆς ψυχῆς ἡ ζωὴ τῆς σαρκός. τότε δὲ οὐχ οὕτως, ἀλλὰ διηνεκῶς παραμένει τῇ σαρκὶ τῶν δικαίων, καὶ αὐτοῦ ἔσται τὸ κράτος, παρούσης καὶ τῆς ψυχῆς. ἢ γὰρ τοῦτο ἠνίξατο πνευματικὸν εἰπὼν, ἢ ὅτι κουφότερόν ἐσται καὶ λεπτότερον καὶ οἷον καὶ ἐπ' ἀέρος ὀχεῖσθαι· μᾶλλον δὲ ἀμφότερα. εἰ δὲ ἀπιστεῖς τῷ λόγῳ· ὅρα τὰ ἐπουράνια σώματα, καὶ πίστευσον ἐντεῦθεν ὅτι δύναται ὁ Θεὸς ποιῆσαι καὶ ταῦτα τὰ φθαρτὰ ἄφθαρτα καὶ πολὺ βελτίω τῶν ὁρωμένων τούτων.

Θεοδωρίτου. Ψυχικὸν καλεῖ τὸ ὑπὸ τῆς ψυχῆς κυβερνώμενον· πνευματικὸν δὲ τὸ ὑπὸ τοῦ Πνεύματος οἰκονομούμενον· ταύτην δὲ τὴν χάριν πολλαπλασίαν οἱ ἄξιοι λήψονται· διὰ τοῦτο γὰρ καὶ ἀρραβὼν τὸ νῦν δοθὲν ὀνομάζεται· ὡς πολυπλασίας ἐκεῖ δοθησομένης τῆς χάριτος.

Κυρίλλου. Ὥσπερ γὰρ εἴπερ ἕλοιτό τις τὸ ἀπὸ γῆς ἡμῶν σῶμα ψυχικὸν ἀποκαλεῖν· περιθείη ἄν τις εἰκότως οὐ τὸ ψυχῆς εἶδος αὐτῷ, περιτρέψει δὲ μᾶλλον τοῦ λόγου τὴν δύναμιν εἰς τὸ φρόνημα τὸ ψυχικὸν, ἤγουν τὸ σαρκικόν· καθάπερ ἀμέλει καὶ

σοφίαν νοοῦμεν ψυχικὴν καὶ ἐπίγειον, τὴν καθ' ἡμᾶς τε καὶ ἀνθρωπίνην, οὕτω κἂν εἰ λέγοιτο σῶμα ψυχικὸν, οὐκ ἂν οἶμαι τῷ αὐτῷ τὸ ψυχῆς εἶδος περιτιθεὶς, τὴν ἐπὶ τὸ πεπλανῆσθαι διαφύγοι γραφήν. ἐπεὶ κατά τινα τρόπον ζῶντές τε ἔτι καὶ ἐν αὐτοῖς δὴ τούτοις τοῖς ἀπὸ γῆς ὄντες σώμασι, ψυχικοὶ λέγονταί τινες καὶ πνευματικοί· γέγραπται γὰρ ὅτι "ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ ἐστιν· ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται." ἐπειδὴ δὲ ἦν ἀκόλουθον τὸν ἐπὶ τῷδε λόγον καὶ διὰ πραγμάτων ἐμπεδοῦν· προσεπάγει καὶ φησὶν, "ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν· ὁ ἔσχατος Ἀδὰμ, εἰς Πνεῦμα ζωοποιοῦν."

Ψυχικὸν μὲν οὖν ὠνόμασε τὸν Ἀδάμ· τοῦτο γὰρ οἶμαί ἐστι τὸ εἰς ψυχὴν πεποιῆσθαι ζῶσαν· ὡς οὐκ εἰς ἅπαν ἀπηλλαγμένον σαρκικῶν ἐπιθυμιῶν· αἵτε γὰρ ὀρέξεις αἱ πρὸς τὰ τῆς σαρκὸς ὁρῶσαί τε καὶ τετραμμέναι πάθη, κἂν εἰ νόμον ἔχοιεν τὸν συνήγορον· ἀλλ' οὖν εἶεν ἂν κατάγε τὸ ἀληθὲς σαρκικῆς ἀσθενείας ἐγκλήματα, εἰ πρός γε τὴν τῶν δρωμένων ὁρῶν τις φύσιν· οἷον δή τί φημί· τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος· ἐγκαταβέβληται γὰρ τῇ τοῦ σώματος φύσει παρὰ τοῦ πάντων δημιουργοῦ κίνησις ὀρεκτικὴ, διανιστάσα τὸ ζῶον εἰς παιδοποιΐας ἔφεσιν· εἴρηται γὰρ πρὸς τὸν ἄνθρωπον· "αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν." καὶ ὁ πλάσας δὲ φησὶν, "ἐν ἀρχῇ ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς·" οὐκ οὖν ἀκαταιτιάτος μὲν ἡ εἰς μόνον ὁρῶσα παιδοποίαν ἔφεσις· πλὴν ὅσον ἧκεν εἰς τὴν τοῦ δρωμένου φύσιν, εἴη ἂν σαρκικὸν τὸ πάθος ἤτοι ψυχικόν· οὕτω δὴ καὶ ἐπὶ τῶν ἄλλων ἀδιαβλήτων παθῶν. οὐκ οὖν εἰς ζῶσαν ψυχὴν ὁ πρῶτος ἄνθρωπος Ἀδάμ· ὁ δέ γε δεύτερος καὶ ἐξ οὐρανοῦ, τοῦτ' ἔστι Χριστὸς, οὐκ εἰς ψυχὴν μᾶλλον, ἀλλ' εἰς πνεῦμα γέγονε ζωοποιοῦν. ἑνώσας γὰρ ἑαυτῷ τὸ ἀνθρώπινον ὁ ἐκ Θεοῦ Πατέρος πεφηνὼς κατὰ φύσιν Θεὸς Λόγος· οὐ τὴν καθ' ἡμᾶς ἀνθρωπίνην, ἀλλὰ θεῖάν τινα καὶ θεοπρεπῆ καὶ ἀμώμητον παντελῶς διεβίω ζωήν· οὐ γὰρ ἐποίησεν ἁμαρτίαν· ἀνέπαφον μὲν ἡδοναῖς ἐκτόποις ἔχων τὸν νοῦν· ἐπιθυμίαις δὲ ταῖς τῶν ἐδωδίμων οὐχ ἁλώσιμον· εἰ γὰρ καὶ ὁρᾶται μετεσχηκὼς τροφῆς καὶ ποτοῦ,

διάτοι τὸ πιστεύεσθαι κατὰ ἀλήθειαν εἶναι ἄνθρωπος καθ' ἡμᾶς· ἀλλ' οὖν ἐλευθέραν ἐποιεῖτο τὴν μέθεξιν. ἦν μὲν γὰρ ἐν σαρκὶ δι' ἡμᾶς οἰκονομικῶς· ὑπὲρ σάρκα δὲ πάλιν· " πνεῦμα γὰρ ἦν ζωο- " ποιοῦν," ὡς Θεός· ὁ δέ γε προπάτωρ Ἀδὰμ οὐκ ἀνέγκλητον παντελῶς τὴν τῶν ἐδωδίμων ἔφεσιν εἰσεδέξατο. πεποίηται γὰρ εἰς ζῶσαν ψυχήν· καὶ βρωμάτων ἡδονῆς ἡττώμενος, ἔφαγεν ἀπὸ τοῦ ξύλου τῆς ζωῆς· καίτοι τοῦ θείου νόμου τοῦτο δρᾶν ἐξείργοντος. ὅτι τοίνυν ὁ ψυχικὸς οὐ φύσεως ἡμῖν διαφορᾶς ὑπεμφήνειεν ἄν, ζωῆς δὲ μᾶλλον ἠθῶν τε τρόπων ποιότητα, καθ' ἣν ὁ μέν τίς ἐστι τῷ γεωδεστέρῳ καὶ σαρκικῷ φρονήματι κάτοχος· ὁ δὲ τῇ τοῦ Πνεύματος ἐλευθερίᾳ περιφανὴς ἀποδείκνυσι σαφῶς ἀπό τε Ἀδὰμ τοῦ πρώτου καὶ τοῦ δευτέρου. ἄμφω μὲν γὰρ γεγόνασιν ἐν γηΐνοις σώμασιν. ἀλλ' ἥ γε τοῦ φρονήματος οἱονεὶ ποιότης, καὶ μὴν καὶ τὸ ἑτεροίως ἑλέσθαι διαβιοῦν, τὸν μὲν ἀπέφηνε ψυχικὸν, ἕτερον γε μὴν ἀσυγκρίτως ἐν ἀμείνοσι, τοῦτ' ἔστι πνευματικόν.

ΟἸΚΟΥΜΕΝΊΟΥ. *Ἀναλόγως οὖν καὶ ψυχικὸν κληθὲν σῶμα τὸ ψυχῇ καὶ οὐ* Πνεύματι Ἁγίῳ *διοικούμενον.*

ΘΕΟΔΩΡΊΤΟΥ. Τὸ *πρότερον ἐν τοῖς γράμμασιν ἀνέγνωμεν, τὸ δὲ δεύτερον ἐν τοῖς πράγμασιν ἔγνωμεν· οὐκ ἐκάλεσεν δὲ τὸν δεύτερον* Ἀδὰμ *" πνεῦμα" ζῶν, ἀλλὰ " ζωοποιόν." πᾶσι γὰρ χορηγεῖ τὴν ζωὴν τὴν αἰώνιον.*

ΘΕΟΔΏΡΟΥ. Τὸ *" ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν" γέγραπται, τὸ δὲ ὁ πρῶτος καὶ τὸ δεύτερος* Ἀδὰμ *αὐτὸς προσέθηκεν· ἵνα εἴπῃ τὸ ἔσχατος* Ἀδάμ.

ΣΕΥΗΡΙΑΝΟΥ͂. Τοῦτο Μωϋσῆς *φησὶ τὸ " καὶ ἐγένετο ὁ ἄνθρω- " πος εἰς ψυχὴν ζῶσαν." " ὁ δεύτερος ἄνθρωπος εἰς πνεῦμα ζωο- " ποιοῦν·" τοῦτο τὸ* Εὐαγγέλιον *λέγει· " τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν " ἐκ* Πνεύματός *ἐστιν* Ἁγίου."

ἸΩΆΝΝΟΥ. Καίτοι *μὲν γέγραπται· τὸ δὲ οὐ γέγραπται, πῶς οὖν εἶπεν ὅτι γέγραπται; ἀπὸ τῆς τῶν πραγμάτων ἐκβάσεως αὐτὸ μετέφρασεν· ὅπερ ἔθος αὐτῷ συνεχῶς ποιεῖν· καὶ γὰρ τὴν* Ἱερουσαλὴμ *πόλιν δικαιοσύνης ἔφησεν ὁ προφήτης κληθήσεσθαι, καὶ οὐκ ἐκλήθη· τί οὖν; ἐψεύσατο ὁ προφήτης; οὐδαμῶς· τὴν γὰρ διὰ τῶν πραγμάτων ἔκβασιν λέγει· καὶ τὸν* Χριστὸν *δὲ* Ἐμμανουήλ· *καὶ οὐδὲ αὐτὸς οὕτω κέκληται· ἀλλὰ τὰ πράγματα*

ταύτην ἀφίησι τὴν φωνήν· οὕτω καὶ ἐνταῦθα· "ὁ ἔσχατος Ἀδὰμ "εἰς πνεῦμα ζωοποιοῦν." ταῦτα δὲ εἶπεν ἵνα μάθῃς ὅτι καὶ τῆς παρούσης ζωῆς καὶ τῆς μελλούσης τὰ σύμβολα ἤδη καὶ τὰ ἐνέχυρα ἔφθασεν. τῆς μὲν παρούσης ὁ Ἀδάμ, τῆς δὲ μελλούσης ὁ Χριστός.

Κυρίλλου. Ἐπιλαμβάνεται δὲ τρόπον τινὰ τῶν καιρῶν, καθ' οὓς γεγόνασι, καὶ φησὶν "ἀλλ' οὐ πρῶτον τὸ πνευματικόν· ἀλλὰ "τὸ ψυχικόν· ἔπειτα τὸ πνευματικόν·" ἐπειδὴ δὲ ἔφη σπείρεσθαι μὲν εἰς γῆν τὸ σῶμα ψυχικόν· ἀποφαίνει λευκῶς, ὡς ἔστιν οὐκ ἀπαράδεκτον τῇ τοῦ ἀνθρώπου φύσει τὸ ἐκ φρονήματος ψυχικοῦ μεταφοιτᾶν εἰς πνευματικόν· καὶ ὅτι πρεσβύτερον τοῦ πνευματικοῦ τὸ ψυχικὸν εἴη ἄν, καὶ τίς ἂν γένοιτο τῶν τοιούτων ἡ πίστις.

Ἰωάννου. "Ἀλλ' οὐ πρῶτον γέγονε τὸ πνευματικὸν ἀλλὰ τὸ "ψυχικόν·" ἡ γὰρ τοῦ ψυχικοῦ ἔκπτωσις καὶ παράβασις τῆς τε ἐνανθρωπήσεως πρόφασις γέγονεν, καὶ τὸ ἡνωθῆναι σώματι τὸν Θεὸν Λόγον.

Φωτίου. Ἵνα μή τις εἴπῃ, πόθεν ἡμῖν εἰσάγεις σώματα διάφορα, καὶ λέγεις ψυχικὸν καὶ σωματικόν; φησίν· "ἔστι σῶμα "πνευματικόν· καὶ ἔστι σῶμα ψυχικόν." οὐκ ἐγὼ τοιγαροῦν κατ' ἰδίαν ἐξουσίαν καὶ ἐπίνοιαν ταῦτα λέγω, φησίν· ἀλλ' ἔτι καὶ πρὸ ἡμῶν εἴρηται· πόθεν δῆλον, φησὶν, οὕτως γέγραπται. "ὁ "πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν." ὥστε ἔστι σῶμα ψυχικόν· εἶτα ὁ ἔσχατος ἄνθρωπος εἰς πνεῦμα ζωοποιοῦν· ὥστε ἔστι καὶ σῶμα πνευματικὸν τὸ ἁρμόζον τῷ ζωοποιοῦντι πνεύματι· ἀλλὰ τοῦτο πόθεν δῆλον, ὅτι ὁ δεύτερος ἄνθρωπος εἰς πνεῦμα ζωοποιοῦν; πόθεν δῆλον; ἐξ αὐτῆς τῆς τῶν πραγμάτων ἐνεργείας· ἄλλως τε δὲ καὶ γέγραπται καὶ τοῦτο· "τὰ ῥήματα γὰρ," φησὶν, "ἃ ἐγὼ λαλῶ, πνεῦμά ἐστι καὶ ζωή ἐστιν." ὥστε καὶ εἰς πνεῦμα ζωοποιεῖ τοὺς ἀκούοντας καὶ πειθομένους αὐτοῖς· εἰ δὲ τοῦτο δῆλον ὡς καὶ πνευματικὸν οὗτοι ἕξουσιν ἐν τῇ ἀναστάσει σῶμα μηκέτι δυνάμενον εἰς ψυχικὸν τραπῆναι· ὥσπερ ἐνίοτε συμβαίνει ἔτι τῷ βίῳ παρόντων. εἴτις ἀκολούθως τοῖς προειρημένοις ἐκλαβεῖν ἐθέλοι ταῦτα, ἐκεῖνο οἶμαι εἰρῆσθαι νῦν ἁπλῶς τὸ θνητὸν ἀνθρώπου σῶμα· τοῦτο γὰρ καὶ ἐν ἀσθενείᾳ καὶ ἐν φθορᾷ καὶ ἐν ἀτιμίᾳ σπείρεται καὶ θάπτεται

ἐν τῇ γῇ· τοῦτο οὖν τὸ θνητὸν σῶμα ψυχικόν ἐστιν, ὅτι τοῖς ψυχικοῖς ὑπηρετήσατο πάθεσιν· οὐδεὶς γὰρ ἀπὸ ῥύπου καθαρὸς, οὐδ᾽ ἂν μία ἡμέρα ὁ βίος αὐτοῦ· καὶ γὰρ καὶ ὅσαι σωματικαὶ πράξεις τὴν πηγὴν καὶ γένεσιν ἀπὸ τῆς ψυχῆς ἔχουσιν. ὥστε τὸ τοῦ ἀνθρώπου θνητὸν σῶμα εἰκότως ἂν ψυχικὸν καλοῖτο· σπείρεται οὖν ψυχικὸν, ἐγείρεται δὲ ἀθάνατον, ὅπέρ ἐστι πνευματικόν· πνευματικὸν δὲ, ὅτι οὐκ ἔτι τοῖς ψυχικοῖς ὑπηρετήσει παθήμασιν. οὔτε τὰ τῶν δικαίων· ἀλλ᾽ οὔτε τὰ τῶν ἁμαρτωλῶν σώματα· μᾶλλον μὲν οὖν καὶ πολλὴν μεταμέλειαν, εἰ καὶ ἀνόνητον ἐφ᾽ οἷς ὑπηρετήσαντο ἕξουσιν· ἐπειδὴ δὲ τὸ σπείρεται πολλάκις εἶπεν καὶ τὸ ἐγείρεται ὁμοίως· τὶ δέ ἐστι τὸ σπειρόμενον ἢ τὸ ἐγειρόμενον οὐκ εἶπεν· διὰ τοῦτο μετὰ ταῦτα ἐπήγαγεν καὶ τοῦτο, "σπεί-"ρεται," λέγων, "σῶμα ψυχικόν." ὃ εἶπον ἐν φθορᾷ καὶ ἐν ἀτιμίᾳ καὶ ἐν ἀσθενείᾳ σπείρεσθαι· ἀλλ᾽ ἐγείρεται σῶμα πνευματικὸν, ὃ ἐν δόξῃ καὶ δυνάμει καὶ ἐν ἀφθαρσίᾳ ἐγερθήσεται· τὸ γὰρ ἀθάνατον κατὰ τὸν οἰκεῖον λόγον καὶ ἔνδοξον καὶ ἔντιμον καὶ ἄφθαρτον· εἰ καὶ τοῖς ἁμαρτωλοῖς αἰσχύνης καὶ ἀδοξίας διὰ τὴν οἰκείαν μοχθηρίαν ὑπόθεσις γίνεται.

47 Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός· ὁ δεύτερος ἄν-
48 θρωπος, ὁ Κύριος ἐξ οὐρανοῦ. οἷος ὁ χοϊκὸς, τοιοῦτο,
49 καὶ οἱ χοϊκοί. καὶ οἷος ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπου-
ράνιοι. καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ,
φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανιοῦ.

Κυρίλλου. *Ὁ πρῶτος φησὶν ἄνθρωπος, τοῦτ᾽ ἔστιν Ἀδὰμ, εἰς ψυχὴν πεποίητο ζῶσαν· τοῦτ᾽ ἐστι γεώδης καὶ σαρκικός· ὁ γέ μὴν δεύτερος ἐξ οὐρανοῦ· εἰ γὰρ καὶ γέγονε σὰρξ ὁ τοῦ Θεοῦ Λόγος, κατὰ τὰς γραφάς· ἀλλ᾽ ἦν καὶ ὁ ἐξ οὐρανοῦ καὶ ἐπάνω πάντων, κατὰ τὴν Ἰωάννου φωνήν· οὐκ οὖν ἄμφω μὲν ἤστην, ὡς ἔφην, ἐν γηΐνοις σώμασιν. οὐ μὴν καὶ ἐν ἴσοις ἔτι κατά τε τὴν γνώμην, ἤτοι τὸν τῆς ζωῆς τρόπον. ἦν μὲν γὰρ ὁ πρῶτος ἐν φρονήματι σαρκικῷ· πνεῦμα δὲ ζωοποιοῦν ὁ δεύτερος καὶ ἐξ οὐρανοῦ· καὶ ὥσπερ "ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ," τοῦτ᾽ ἔστι τὴν πρὸς Ἀδὰμ ὁμοίωσιν· καὶ παθῶν ἡττώμενοι καὶ ἀσθενοῦντες εἰς ἁμαρτίας, καίτοι τῆς φθορᾶς ὑπενηνεγμένοι ζυγοῖς· οὕτω "φορέσωμεν*

"καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου," τουτέστι Χριστοῦ· καὶ φιλοσαρκίας ἀμείνους καὶ τοῦ πλημμελεῖν ἐθέλειν ἔτι γεγενημένοι· καὶ αὐτὸν ἤδη νενικηκότες τὸν πάλαι δεινὸν καὶ δυσάντητον καὶ ἀγρίως καθ' ἡμῶν τυραννήσαντα θάνατον.

Ἰωάννου. Ἐπειδὴ ψυχικὸν εἶπεν καὶ πνευματικὸν, πάλιν ἄλλην τίθησι διαφοράν· χοϊκὸν λέγει καὶ ἐπουράνιον· ἡ μὲν γὰρ πρώτη διαφορὰ τοῦ παρόντος ἦν βίου καὶ τοῦ μέλλοντος. αὕτη δὲ τοῦ πρὸ τῆς χάριτος καὶ τοῦ μετὰ τὴν χάριν· τέθεικεν δὲ αὐτὴν εἰς πολιτείαν ἀρίστην ἐνάγων. ἵνα γὰρ, ὅπερ ἔφην, μὴ τῇ ἀναστάσει θαρροῦντες ἀμελοῦσι βίου καὶ ἀκριβείας· πάλιν καντεῦθεν αὐτοὺς ἐναγωνίους ποιεῖ, καὶ παρακαλεῖ εἰς ἀρετὴν, λέγων· "ὁ "πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός· ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος "ἐξ οὐρανοῦ." τὸ πᾶν ἄνθρωπον καλῶν· καὶ τὸν μὲν ἀπὸ τοῦ κρείττονος, τὸν δὲ ἀπὸ τοῦ χείρονος ὀνομάζων, οἷος ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοί· τοῦτ' ἔστιν οὕτως ἀπολοῦνται· καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι· τοῦτ' ἔστιν οὕτω μενοῦσιν ἀθάνατοι καὶ λάμποντες.

Σευηριανοῦ. Ἐπιτρέχουσι τούτῳ καὶ οἱ περὶ Οὐλεντῖνον καὶ Μαρκίωνα καὶ οἱ ἀπὸ Φωτεινοῦ καὶ οἱ Ἀπολιναρίου· πάντας δὲ ἐλέγχει τὸ ῥητόν· ἐρωτῶ γὰρ, ὁ ἐκ γῆς χοϊκὸς, εἶχεν ψυχὴν ἢ οὔ; οὐκ ἀρνήσονται· καὶ ὁ ἐξ οὐρανοῦ Κύριος εἶχεν σῶμα ἀπὸ γῆς; πάλιν ἐρωτῶ· διὰ τί τὸν μὲν πρῶτον ἄνθρωπον ἐκ γῆς χοϊκὸν λέγει, τὸν δὲ Κύριον ἐξ οὐρανοῦ; μετὰ ταῦτα "οἷος ὁ χοϊκός·" καὶ οὐκ ἔτι γῆς μέμνηται· ἀλλ' ὅτι "τοιοῦτοι καὶ οἱ χοϊκοί·" ἢ δῆλον ὅτι ἐπειδὴ τὸ μὲν ἐκ γῆς τῆς φύσεως· τὸ δὲ χοϊκὸς τῆς προαιρέσεως. ἐλθὼν εἰς τὸ "οἷος ὁ χοϊκὸς," καὶ κατηγορῶν τῶν οὐ καλῶς βιωσάντων, οὐκ ἔτι τῆς φύσεως μνημονεύει, οὐ δὲ τοῦ ἐκ γῆς· τὸν μὲν Κύριον οὐκ ἔτι ἐξ οὐρανοῦ λέγει, ἀλλ' ἐπουράνιον. πάλιν ἦσαν ἐκ γῆς καὶ οἱ πνευματικοί· "οἷος δὲ ὁ χοϊκός· "τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπουρανίος· τοιοῦτοι καὶ οἱ "ἐπουρανίοι·" καὶ πᾶσα ἀνάγκη εἰ ἀρνοῖντο τινὲς τὸ σάρκα ἀνειληφέναι τὸν ἐξ οὐρανοῦ Κύριον· ἐπειδὴ ἐξ οὐρανοῦ καὶ τοὺς ἐπουρανίους μὴ συγχωρεῖν ἀνειληφέναι σῶμα· ἐπειδὴ οἷος ὁ χοϊκὸς τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ οὕτως οὐδαμόθεν ἵσταται τοῦτο νοούμενον ἑτέρως ἢ οὕτως· εἶπεν τὴν φύσιν ὅθεν ἐκ γῆς ἐκ ταύτης

καὶ οἱ ἐπουράνιοι καὶ οἱ λεγόμενοι χοϊκοί· ἀλλ' οὐκ ἔτι χοϊκοὶ ἑκάτεροι. δεῖ τοίνυν προσέχειν ὅτι ὁ μὲν Κύριος ἐξ οὐρανοῦ λέγεται οὐχ οἱ ἐπουράνιοι· οἱ δὲ οὐράνιοι ἀπὸ γῆς, οὐχ ὁ ἐξ οὐρανοῦ Κύριος· εἰκόνα χοϊκοῦ λέγει, τὴν ἀναστροφὴν τὴν χοϊκήν· εἰκόνα ἐπουρανίου, τὴν ἐπουράνιον πολιτείαν· ἀντὶ τοῦ, ἐμιμησάμεθα τὴν παρακοὴν τοῦ Ἀδάμ· μιμησώμεθα καὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ τὴν ὑπακοὴν ὑπακούσαντες.

Φωτίου. Ὁ πρῶτος γὰρ ἄνθρωπος γήϊνος ἦν· οὐ τῷ ἐκ γῆς παρῆχθαι· οὕτω γὰρ πάντες γήϊνοι· καὶ ἔτι οὐκ ἄν τις αἰτιάσαιτο τὸ ἐκ γῆς παρῆχθαι· ἀλλ' ἐκ γῆς φησὶν, τοῦτ' ἔστιν γήϊνος καὶ σαρκικὸς καὶ κάτω φρονῶν· ὁ δὲ δεύτερος, μετάρσιος ὅλος καὶ οὐράνιος· καὶ μηδεμιᾷ τῶν γηΐνων κηλῖδι βαρυνόμενος· οἷος τοιγαροῦν ἦν ὁ χοϊκὸν ἑαυτὸν δι' ὧν ἐφρονεῖ καὶ ἔπραττεν καταστήσας, τοιοῦτοι ἔσονται καὶ οἱ πρὸς μίμησιν ἐκείνου βιοῦντες, τοῦτ' ἔστιν χοϊκοί· καὶ πάσχοντες ὅσα εἰκὸς πάσχειν τοὺς προσηλώσαντας ἑαυτοὺς τῷ χοΐ· καὶ οἷος ἦν ὁ μετάρσιον καὶ οὐράνιον καὶ καθαρὰν τὴν ἐπὶ γῆς αὐτοῦ πολιτείαν ἐνστησάμενος, τοιοῦτοι ἔσονται καὶ οἱ πρὸς ὁμοίωσιν, καθ' ὅσον ἐστὶν ἀνθρώποις δύνατον, ἐκείνης τῆς οὐρανίου διαγωγῆς πολιτευσάμενοι· τοῦτ' ἔστιν ἐπουρανιοί τε ἔσονται, καὶ τῶν ἀξίων αὐτοῖς γερῶν ἀπολαύσουσιν.

Τοῦ αὐτοῦ. "Φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου·" τὸ "φορέσαμεν" εἰ μὲν διὰ τοῦ ο βραχέος γραπτέον· προσαγόρευσίς ἐστιν ἐξ ἀκολουθείας ληφθεῖσα τοῦ μέλλοντος· καὶ ἀποφάσεως ἅμα δύναμιν πληροῦσα· τοῦτ' ἔστιν πάντως φορέσομεν τὴν εἰκόνα τοῦ ἐπουρανίου· ὥσπερ γὰρ ἐφορέσαμεν καὶ τὴν εἰκόνα τοῦ χοϊκοῦ· καὶ εἴη ἂν εἰκὼν μὲν τοῦ χοϊκοῦ ὁ θάνατος, εἰκὼν δὲ τοῦ ἐπουρανίου ἡ ἀνάστασις, καὶ ἡ ἀφθαρσία· ὅτε γὰρ Ἀδὰμ διὰ τοῦ θανάτου εἰκονίζεται· αὐτὸς γὰρ καὶ πρῶτος καὶ τῶν ἄλλων αἴτιος τοῦ θανεῖν γέγονεν. καὶ ὁ δεσπότης Χριστὸς πάλιν διὰ τῆς ἀναστάσεως καὶ τῆς ἀφθαρσίας εἰκονίζεται· αὐτός τε γὰρ πρῶτος ἀνέστη σαρκὶ νικήσας τὸν θάνατον· καὶ τῷ γένει παντὶ τῶν ἀνθρώπων τὴν ἀνάστασιν καὶ ἀφθαρσίαν ἐπήγαγεν· εἰ δὲ τὸ "φορέσωμεν" διὰ μακροῦ γραπτέον ἐστὶν τοῦ ω· παραινεσίς ἐστιν καὶ συμβουλὴ ἐπ' ἀρετὴν καὶ ἔνθεον πολιτείαν· φορέσωμεν φησὶν, ἐνδυσώμεθα τὴν εἰκόνα τοῦ ἐπουρανίου· ἵνα κληρονομήσωμεν τὴν οὐρανῶν βασι-

λείαν· καὶ εἴη ἂν εἰκὼν μὲν ἐνταῦθα χοϊκοῦ λαμβανόμενη, αἱ πράξεις αἱ πονηραὶ καὶ βρίθουσαι πρὸς τὰ γήϊα καὶ σαρκικὰ πάθη· ταῦτα γὰρ μορφοῖ καὶ χαρακτηρίζει τὸν ἁμαρτωλὸν, ὅς ἐστιν χοϊκός· εἰκὼν δὲ ἐπουρανίου, τὸ ὑψηλὸν καὶ μετάρσιον τῆς πολιτείας καὶ ἡ κτῆσις τῶν οὐρανίων ἀρετῶν· φησὶν οὖν ἅμα καὶ ἐντρέπων, "φορέσωμεν τὴν εἰκόνα τοῦ ἐπουρανίου," κτησώμεθα πολιτείαν ὑψοῦσαν ἡμᾶς πρὸς οὐρανόν· οὐ γὰρ αἰσχύνεσθε οὐ δὲ ἐγκαλύπτεσθε, ὅτι τὴν εἰκόνα τοῦ χοϊκοῦ προθύμως ἐφορέσαμεν, καίτοι κατασπῶσαν ἡμᾶς καὶ τῆς βασιλείας Θεοῦ ἀναξίους ἀποφαίνουσαν· πρὸς δὲ τὴν εἰκόνα τοῦ ἐπουρανίου ἔτι μέλλομεν καὶ ἀναβαλλόμεθα; σπουδάσωμεν ταύτην ἐνδύσασθαι· ταύτην ζηλῶσαι τὴν οὐράνιον πολιτείαν· ἄλλως γὰρ οὐκ ἔστι τυχεῖν τῆς οὐρανίου βασιλείας.

50 Τοῦτο δὲ φημὶ, ἀδελφοὶ, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύναται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ.

Σευηριανοῦ. Κατὰ τῆς ἀναστάσεως τοῦτο ἕλκουσι πολλοὶ τῶν αἱρετικῶν ὑπὸ πολλῆς ἀνοίας· οὐ γὰρ εἶπεν ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀνίσταται, ἀλλὰ βασιλείαν Θεοῦ οὐ κληρονομήσει· τῆς βασιλείας τοῦ Υἱοῦ τοῦ Θεοῦ ἀπέκλεισεν· οὐ τῆς ἀναστάσεως τὴν χάριν· ὃ οὖν λέγει τοιοῦτόν ἐστιν, ὅτι σὰρξ, σὰρξ οὖσα, οὐ κληρονομεῖ· καὶ αἷμα, αἷμα ὂν, οὐ κληρονομεῖ· ἕως γὰρ ἡ σὰρξ σάρξ ἐστι, φθαρτή ἐστιν· λοιπὸν δὲ ἐνδυσαμένη ἀφθαρσίαν, τῆς σαρκὸς ἀποθεμένη τὴν ἀσθένειαν, ἕτερόν τι γίνεται, τοῦτ' ἔστι ἄφθαρτον.

Ἰωάννου. Εἶδες πῶς ἑρμήνευσε τὰ προειρημένα, ἀπαλλάττων ἡμᾶς πραγμάτων, ὃ πολλαχοῦ ποιεῖ· σάρκα γὰρ ἐνταῦθα τὰς πονηρὰς πράξεις καλεῖ· ὃ καὶ ἀλλαχοῦ πεποίηκεν, οἷον ὡς ὅτ' ἂν λέγῃ, "ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί·" καὶ πάλιν, "οἱ δὲ ἐν "σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται·" ὥστε ὅτ' ἂν λέγῃ, τοῦτο δέ φημι, οὐδὲν ἄλλο λέγει ἢ ὅτι διὰ τοῦτο ταῦτα εἶπον, ἵνα μάθῃς ὅτι πονηραῖ πράξεις εἰς βασιλείαν οὐκ εἰσάγουσιν, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν, τοῦτ' ἔστιν ἡ κακία τὴν δόξαν ἐκείνην καὶ τὴν τῶν ἀφθάρτων πραγμάτων ἀπόλαυσιν· καὶ γὰρ πολλαχοῦ τῇ

προσηγορίᾳ ταύτῃ τὴν κακίαν καλεῖ· ὡς ὅτ' ἂν φησὶν, "ὁ σπεί- "ρων εἰς τὴν σάρκα, ἐκ τῆς σαρκὸς θερίσει φθοράν." εἰ δὲ περὶ σώματος ἔλεγεν, ἀλλ' οὐ περὶ πονηρᾶς πράξεως· οὐκ ἂν εἶπεν φθορὰν, λέγει· "δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύνασθαι ἀρθαρσίαν."

Σετηριανοῦ. Ἀπέδειξεν ὃ ἔλεγεν πρὸ τούτου· ἀρθαρσίαν γὰρ καλεῖ τὴν βασιλείαν· φθορὰν δὲ τὴν ἐν τῷ αἰῶνι τούτῳ θνητότητα·. τὰ οὖν ἐναντία τῶν ἐναντίων οὐ γίνεται κληρονόμα.

Θεοδώρου. Σάρκα καὶ αἷμα τὴν θνητὴν φύσιν καλεῖ· ἀδύνατον δὲ ταύτην ἔτι θνητὴν οὖσαν τῆς ἐπουρανίου βασιλείας τυχεῖν· ἀλλὰ δῆλον ὅτι ἄφθαρτος γενομένη, τῶν ἐπηγγελμένων ἀγαθῶν ἀπολαύσεται.

Κυρίλλου. Συνίστησι τὸ τῆς ἀναστάσεως καὶ διὰ τοῦτο μυστήριον. ἕως μὲν γάρ ἐστι τὸ σῶμα τὸ ἀνθρώπινον σὰρξ καὶ αἷμα, τοῦτ' ἔστι θνητὸν καὶ φθαρτὸν, Θεοῦ βασιλείαν, τοῦτ' ἔστι τοῦ εἶναι διηνεκῶς, οὐκ ἂν δύναιτο κληρονομεῖν· πᾶσα δὲ οὖν ἀνάγκη καταπίνεσθαι τὴν φθορὰν καὶ ἀφανίζεσθαι τὸ εὐμάραντον· μεταπλάττεσθαι δὲ πρὸς ἀφθαρσίαν αὐτὸ, καὶ θείᾳ τινι καὶ ἀπορρήτῳ δόξῃ καταφαιδρύνεσθαι. κληρονομήσει γὰρ τότε τὴν τοῦ Θεοῦ βασιλείαν.

Μεθοδίου. Τὸ ἀποθνῆσκον κληρονομεῖται· τὸ δὲ ζῶν κληρονομεῖ· διὸ οὐ τὸ ἀποθνῆσκον σῶμα κληρονομεῖ τὴν ἀφθαρσίαν καὶ τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' αὐτὸ ὑπὸ τούτων κληρονομεῖται εἰς τὸ γενέσθαι ἄφθαρτον καὶ δεκτικὸν τῆς βασιλείας.

Φωτίου. Καὶ τὸ τοῦτο δὲ φησὶν ἀδελφοὶ πρὸς τὴν διάφορον ἑρμηνείαν τοῦ "καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέ- "σωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου" ἐκληφθήσεται· ἡ γὰρ τῆς προτροπῆς καὶ συμβουλῆς ἐστιν αἰτία· ὅτι διὰ τοῦτο παραινῶ ὑμῖν καὶ συμβουλεύω ταῦτα ποιεῖν, ἵνα τὴν οὐρανῶν κληρονομήσητε βασιλείαν· διότι οἱ σαρκικοὶ καὶ ἐμπαθεῖς βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. οὐ γάρ ἐστιν φύσιν ἢ ἀκολουθίαν ἔχον, ἵνα ὁ καταφθείρας καὶ καταρυπώσας ἑαυτὸν ταῖς ἀκαθαρσίαις, τὰ τῶν ἀγαθῶν καὶ μὴ καταφθαρέντων τοῖς πάθεσι γέρα κληρονομήσῃ· εἰ δὲ τῆς δογματικῆς εἰρημένης ἑρμηνείας αἰτίαν αὐτὸ ἐκληψόμεθα, τοῦτ' ἔστιν τις ὅτι ἔσται πάντως ἡ ἀνάστασις, καὶ οὕτως πολλὴν τὴν ἀκολουθίαν ἕξει· συλλογιστικώτερον γὰρ τὸ τοῦτο δὲ φησὶ

τὴν ἀνάστασιν, ἂν κατασκευάζον· τὰ δὲ ὅπως ἐν τοῖς πλατυκωτέροις.

51 Ἰδοῦ, μυστήριον ὑμῖν λέγω· πάντες μὲν οὐ κοιμη-
52 θησόμεθα· πάντες δὲ ἀλλαγησόμεθα, ἐν ἀτόμῳ, ἐν ῥιπῇ
ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι· σαλπίσει γάρ, καὶ
οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησό-
53 μεθα. δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρ-
σίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.

Ἰωάννου. Ὃ λέγει τοῦτό ἐστιν· οὐ πάντες μὲν ἀποθανούμεθα, πάντες ἀλλαγησόμεθα· καὶ οἱ μὴ ἀποθνήσκοντες, θνητοὶ γὰρ κἀκεῖνοι· μὴ τοίνυν ἐπειδὴ οὐκ ἀποθνήσκεις διὰ τοῦτο δείσῃς, φησίν, ὡς οὐκ ἀναστησόμενος· εἰσὶ γάρ τινές, εἰσιν οἱ καὶ τοῦτο φεύξοντες. καὶ ὅμως οὐκ ἀρκεῖ τοῦτο αὐτοῖς εἰς τὴν ἀνάστασιν ἐκείνην, ἀλλὰ δεῖ καὶ ἐκεῖνα τὰ σώματα τὰ μὴ ἀποθνήσκοντα ἀλλαγῆναι καὶ εἰς ἀφθαρσίαν μεταπεσεῖν· "ἐν ἀτόμῳ, ἐν ῥιπῇ "ὀφθαλμοῦ·" οὐ τοῦτο θαύμαστον, φησίν, μόνον, ὅτι σήπεται πρῶτον τὰ σώματα, καὶ τότε ἀνίσταται· οὐδ' ὅτι βελτίονα τῶν νῦν σηπομένων τὰ ἀνιστάμενα· οὐδ' ὅτι ἐπὶ πολλῷ μείζονι λῆξει μεταβαίνει· οὐδ' ὅτι ἕκαστος τὸ ἴδιον ἀπολαμβάνει, καὶ οὐδεὶς τὸ ἑτέρου, ἀλλ' ὅτι τὰ τοιαῦτα καὶ τηλικαῦτα, καὶ πάντα λογισμὸν καὶ νοῦν ὑπερβαίνοντα, ἐν ἀτόμῳ γίνεται, τοῦτ' ἔστιν ἐν ἀκαριαίῳ χρόνῳ. καὶ δῆλον καὶ σαφέστερον τὸ ἐν ῥιπῇ, φησίν, ὀφθαλμοῦ, ὅσον μύσαι βλέφαρον· εἶτα ἐπειδὴ μέγα εἶπεν καὶ ἐκ στάσεως γέμον, εἰ τοσαῦτα καὶ τηλικαῦτα πράγματα οὕτω γίνεται ταχέως· ἐπάγει εἰς ἀπόδειξιν τὸ ἀξιόπιστον τοῦ ἐργαζομένου, λέγων, "σαλπίσει γὰρ καὶ οἱ νεκροὶ ἐγερθήσονται καὶ ἡμεῖς ἀπαλ"λαγησόμεθα·" τὸ "ἡμεῖς" οὐ περὶ ἑαυτοῦ λέγων, ἀλλὰ περὶ τῶν τότε εὑρισκομένων ζώντων.

Θεοδωρίτου. Μυστήριον λέγεται, τὸ μὴ πᾶσι δηλούμενον, ἀλλὰ μόνοις τοῖς φίλοις θαρρούμενον· ψυχαγωγεῖ τοίνυν αὐτοὺς τὰ κεκρυμμένα δηλῶν· ἄτομον δέ, φησίν, καλεῖται τὸ λεπτότατον σῶμα τὸ ἐν τῷ ἡλίῳ φαινόμενον· ὃ τομὴν οὐ δέχεται διὰ τὴν ἄκραν σμικρότητα· ῥιπὴν δὲ ὀφθαλμοῦ κέκληκεν τῆς κόρης τὴν κίνησιν· διὰ τούτων δὲ τὴν τοῦ Θεοῦ δύναμιν ἔδειξεν. οὐδὲ γὰρ

τὸ ἀκαριαῖον ἀναλίσκεται, μεταξὺ τῆς τοῦ Θεοῦ κελεύσεως καὶ τῆς τῶν νεκρῶν ἀναστάσεως· "ἐν τῇ ἐσχάτῃ σάλπιγγι·" ἔσται δὲ τοῦτο, ὅτ' ἂν ἡ τελευταία σάλπιγξ ἠχήσει.

Θεοδώρου. Ἐσχάτην σάλπιγγα ἐνταῦθα ἐκάλεσεν, μεθ' ἣν ἀνίστανται ἅπαντες. αὕτη γὰρ ἡ τοῦ θανάτου κατάργησις· δῆλον δὲ ὅτι πολλαὶ μὲν φωναὶ σαλπίγγων γίγονται· ἑκάστου δέ τινος ἐπιτελουμένου πάντως ἔστι σύμβολον· ἐπειδὴ τοίνυν τάξει τινὶ γίνεται ἕκαστον, εἰκότως ἐν τῇ ἐσχάτῃ σάλπιγγι τοῦτο ἔσεσθαι φησίν.

Σευηριανοῦ. Ἐδήλωσεν ὅτι πολλαί εἰσι σάλπιγγες· ἐσχάτης γὰρ μνημονεύσας, καὶ τὰς πρώτας συνέθηκεν· "καὶ οἱ νεκροὶ "ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα." εἰ ἄφθαρτοι οἱ νεκροὶ καὶ αὐτοὶ ἀλλαγήσονται, δῆλον ὅτι τίς χρεία καὶ ἡμεῖς ἀλλαγησόμεθα, ἢ πάντως που τὸ μὲν ἄφθαρτον κοινὸν εἶπεν πάντων, τὸ δὲ "ἀλλαγησόμεθα" τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν αἰνίττεται νῦν· διὸ καὶ "ἡμεῖς" εἶπεν περὶ τῶν δικαίων.

Κυρίλλου. Μέγα καὶ οὐράνιον ἀληθῶς τὸ μυστήριον καὶ ἀποκαλυφθὲν αὐτῷ πάντως ποῦ διὰ τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ, "ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεως ἀπό- "κρυφοι." αὐτὸς γάρ ἐστι καὶ τῶν ἔσεσθαι προσδοκωμένων διανομεὺς ἀγαθῶν· αὐτὸς μεταστοιχειώσει τὴν κτίσιν, καὶ καινουργήσει τὸ σύμπαν, καὶ ἀπαλλάξει δουλείας εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. καὶ εἰ ταῦτα ἀληθῆ, πῶς οὐκ ἔδει πάντῃ τε καὶ πάντως συγκαινουργεῖσθαι τῇ κτίσει τὸν δι' ὃν ἡ κτίσις, φημὶ δὴ τὸν ἄνθρωπον, ἔδει καὶ αὐτὸν ὁρᾶσθαι καινόν; οὐ φθορᾷ τῇ πρώτῃ τυραννούμενον, οὐ σαρκικαῖς ἡδοναῖς εἰς ἁμαρτίας πλεονεκτούμενον· ἐγηγερμένον δὲ μᾶλλον ἐν ἀφθαρσίᾳ τε καὶ εὐσθενείᾳ· καὶ ἐν τιμῇ καὶ θείᾳ τινι δόξῃ περιεσταλμένον· ἔφη γάρ που καὶ ὁ θεσπέσιος Ἡσαΐας· "καὶ προπορεύσεται ἔμπροσθέν "σου ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε." καὶ μὴν καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς διεβεβαιοῦτο σαφῶς, ὡς ἐν καιρῷ συντελείας τοῦ αἰῶνος τούτου ἀναβιώσονται μὲν οἱ νεκροί· οἵ γε μὴν συνιέντες ἐκλάμψουσιν ὡς ἡ λαμπρότης τοῦ στερεώματος. πλὴν οὐχ ἅπασιν ἀδιακρίτως ἡ τῆς τοιᾶσδε τιμῆς καὶ δόξης προσκείσεται χάρις. πρέπον δ' ἂν μᾶλλον ἀπολέγδην

τοῖς τῶν ἄλλων ἐξῃρημένοις, οἳ καὶ σύμμορφοι γεγόνασι τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ· ἀναβιώσονται μὲν γὰρ ὁμολογουμένως τὰ πάντων σώματα τῇ τῆς ἀφθαρσίας χάριτι κατημφιεσμένα, ἀλλαχθήσονται δὲ οὐ πάντες. ἀλλ' οἱ μὲν φαῦλοι ἀπομενοῦσιν ἐν τῷ τῆς ἀτιμίας σχήματι, ἐπὶ μόνῳ τῷ χρῆναι κολάζεσθαι· οἱ δέ γε δίκαιοι ἀλλαχθήσονται μόνοι πρὸς τῷ τῆς ἀφθαρσίας ἀγαθῷ, καὶ τῆς θείας δόξης καταπλουτήσαντες τὴν περιστολήν. αὐτὸς τοιγαροῦν ἰδίᾳ δυνάμει καὶ ἐνεργείᾳ θεοπρεπεῖ μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ. ποῖον δὲ τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν; τουτὶ τὸ ἐκ γῆς, τὸ τῷ θανάτῳ κατησχημένον[a] ἐκ τῆς ἀρχαίας ἐκείνης ἀρᾶς, ἣν λέλυκεν ὁ Χριστὸς, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. ἔσται δὲ ὁ μετασχηματισμὸς οὐκ εἰς ἑτέραν τινὰ φύσιν ἀποκομίζων ἡμᾶς. ἐσόμεθα γὰρ ὅπερ ἔσμεν, τοῦτ' ἔστιν ἄνθρωποι· πλὴν ἀμείνους ἀσυγκρίτως· ἄφθαρτοι γὰρ καὶ ἀνώλεθροι, καὶ πρός γε τοῦτο δεδοξασμένοι. τί δ' ἂν βούλοιτο δηλοῦν ἡ ἐσχάτη σάλπιγξ ἡ διανιστᾶ τοὺς νεκροὺς, αὐτὸς ἡμῖν σαφηνιεῖ λέγων ὁ θεσπέσιος Παῦλος· "ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγ-"γέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ "νεκροὶ ἐγερθήσονται ἄφθαρτοι·" οὐκοῦν παρεικάζει σάλπιγγι τὴν τοῦ ἀρχαγγέλου φωνὴν, καὶ τὸ θεῖον ἐκεῖνο καὶ φρικωδέστατον κέλευσμα. εἰ δὲ καὶ ὁ ἀρχάγγελός ἐστιν ὁ κεκραγὼς καὶ τὸ τῆς ἀναστάσεως σύνθημα διδοὺς τοῖς ἐν γῇ κειμένοις, ἀλλ' οὖν τοῦ Χριστοῦ ἔσται φωνή· καὶ γάρ ἐστιν αὐτὸς ἰδίᾳ δυνάμει διανιστὰς τοὺς νεκροὺς, καὶ οὐχί που πάντως ἡ τοῦ ἀρχαγγέλου φωνή· δεσποτικοῖς γὰρ προστάγμασι πᾶσα κτίσις ὑπέζευκται λογική. ποία τοίνυν ὅλως ἀνάστασις ἔσται κατὰ ἀλήθειαν, εἰ μὴ αὐτῷ φαμὲν ἀναβιώσεσθαι τὸ τῷ θανάτῳ κατησχημένον; ἢ τίνα τρόπον ἐροῦμεν μονονουχὶ κατορχούμενοι τῆς φθορᾶς, "κατεπόθη ὁ θάνα-"τος εἰς νῖκος" καὶ τὰ ἑξῆς;

ΟἸκουμενίου. Ἆρα μὴ ἔνι καὶ οὕτω νοῆσαι· μικρὰ δὲ προαφηγητέον τοῦ νοήματος· φησὶν ὁ εὐαγγελιστὴς Ἰωάννης ἐν τῇ Ἀποκαλύψει τὸ τέλος τοῖς ἀνθρώποις μὴ ὑφὲν πᾶσιν ἐπάγεσθαι· ἀλλὰ κατὰ μέρος αὐτοῖς ἐπάγεσθαι ἐλέῳ Θεοῦ· ἵνα τῶν πρώτων

[a] Cod. κατασχημένον.

ἀπολλυμένων, οἱ ὑπολιμπανόμενοι, τῷ φόβῳ τῶν προαναλωθέντων εἰς μετάνοιαν ἔλθωσιν. λέγει δὲ τὸ δόγμα τοῦτο ἐν τῇ λύσει τῆς ἑβδομῆς σφραγῖδος τοῦ βιβλίου· ὧν οὕτως ἐχόντων, νοήσεις τὸ ἐν ἀτόμῳ καὶ ἐν ῥιπῇ ὀφθαλμοῦ κατὰ κοινοῦ εἰρῆσθαι καὶ πρὸς τὰ δύο ἁρμόζειν· ἵνα ᾖ οὕτως. πάντες μὲν οὐ κοιμηθησόμεθα, οἷον ἀποθανούμεθα, ἐν ἀτόμῳ καὶ ἐν ῥιπῇ ὀφθαλμοῦ, διὰ τὸ κατὰ μέρος ἐπάγεσθαι τὸ τέλος κατὰ τὸν λόγον τῆς Ἀποκαλύψεως· πάντες μέν τοι ἀλλαγησόμεθα, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ ἐν τῇ ἐσχάτῃ σάλπιγγι· αἱ μὲν γὰρ πρῶται σάλπιγγες ἑπτὰ οὖσαι κατὰ τὴν Ἀποκάλυψιν οὐκ ἐγείρουσι τοὺς νεκροὺς, ἀλλὰ συντελοῦσι τοῖς ἀνθρώποις. ἡ δὲ τελευταία ποιεῖ τήν τε ἔγερσιν καὶ τὴν ἐναλλαγὴν τῶν ἤδη ἀναστάντων ἐν ἀτόμῳ καὶ ἐν ῥιπῇ ὀφθαλμοῦ σὺν τῇ κτίσει· "καὶ γὰρ καὶ ἡ κτίσις ἀπαλλαγήσεται τῆς "φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ," καθὼς ἐν τῇ πρὸς Ῥωμαίους εἴρηται.

54 *Ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν,*
καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενή-
σεται ὁ λόγος ὁ γεγραμμένος, Κατεπόθη *ὁ θάνατος εἰς*
55 *νῖκος. ποῦ σου, θάνατε, τὸ κέντρον;* Ποῦ *σου, ᾅδη, τὸ*
56 *νῖκος; τὸ δὲ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία· ἡ δὲ*
57 *δύναμις τῆς ἁμαρτίας, ὁ νόμος· τῷ δὲ* Θεῷ *χάρις, τῷ*
διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου *ἡμῶν* Ἰησοῦ
Χριστοῦ.

Ἰωάννου. *Ὅταν οὖν, φησὶν, ταῦτα γένηται· τότε ἡ γραφὴ πληροῦται ἡ τοῦ Ὠσηέ· ἐπειδὴ γὰρ παράδοξα καὶ ὄντως μυστήρια εἶπεν, λοιπὸν καὶ γραφικῇ μαρτυρίᾳ πιστοῦται τὸν λόγον.*

Κυρίλλου. *Ἰστέον δὲ ὅτι τὴν τοῦ προκειμένου ῥητοῦ παράθεσιν ὁ μακάριος* Παῦλος *κατὰ τὴν* Ἑβραίων *ἔκδοσιν ἐποιήσατο. ἔχει δὲ οὐχ οὕτως ἡ τῶν ἑβδομήκοντα· γέγραπται γὰρ ἐν προφήταις· "ποῦ ἡ δίκη σου, θάνατε; ποῦ τὸ κέντρον σου ᾅδη;" πλὴν τὸ κέντρον τοῦ θανάτου, φησὶν, ἡ ἁμαρτία· ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ νόμος. πλήττει μὲν γὰρ οἷά τις σκορπίος ὁ τὸ κράτος ἔχων τοῦ θανάτου, τοῦτ' ἔστιν ὁ* Σατανᾶς· *πλήττει δὲ οὐχ ἑτέρως, πλὴν ὅτι διὰ τῆς ἁμαρτίας. ἀλλ' ἔδωκεν ἡμῖν ὁ* Σωτὴρ *ἐπάνω*

ὄφεων καὶ σκορπίων πατεῖν, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. κατηφάνισται γὰρ τοῦ θανάτου τὸ κέντρον, ἐξηρημένης τῆς ἁμαρτίας καὶ οὐκ ἔτι δύναμιν ἐχούσης τὸν νόμον. κατακρίνει γὰρ ὁ νόμος τοὺς ἁμαρτάνοντας. τοιγάρτοι φησὶν ὁ θεσπέσιος Παῦλος, δύναμιν εἶναι τῆς ἁμαρτίας τὸν νόμον· λέλυται δὲ καὶ τοῦτο ἐν Χριστῷ· ἁμαρτία γὰρ ἡμῶν οὐ κυριεύσει· ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον ἀλλ' ὑπὸ χάριν. χωρὶς δὲ νόμου ἁμαρτία νεκρά. τίς οὖν ὁ πάντων τούτων ἡμῖν χορηγός; τῆς δικαιοσύνης ὁ πρύτανις, τῆς ἐλευθερίας ὁ δοτὴρ, καὶ παντὸς ἀγαθοῦ πηγὴ καὶ πρόφασις, εἰσόμεθα λέγοντος τοῦ μακαρίου Παύλου. "τῷ δὲ Θεῷ χάρις, τῷ διδόντι ἡμῖν τὸ νῖκος, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἰωάννου. Εἶδες ψυχὴν γενναίαν; καὶ γὰρ ὡς νικητήρια θύων καὶ ἔνθους γενόμενος, καὶ ὁρῶν ἤδη ὡς γεγεννημένα τὰ μέλλοντα, ἐνάλλεται καὶ ἐπεμβαίνει τῷ θανάτῳ κειμένῳ, καὶ τὴν ἐπινίκιον ἀλαλάζει φωνὴν κατὰ τῆς τούτου κεφαλῆς κειμένης, μεγάλα βοῶν καὶ λέγων, "ποῦ σου θάνατε τὸ κέντρον; ποῦ σου ᾅδη τὸ "νῖκος;" οἴχεται καὶ ἀπόλωλεν καὶ ἠφάνισται παντελῶς.

Θεοδωρίτου. "Τὸ δὲ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία·" αὕτη γὰρ τῷ θανάτῳ τὴν φύσιν παρέδωκεν.

Θεοδώρου. Νόμον ἐνταῦθα λέγει ἁπλῶς· εἴτε τὸν θετόν. βούλεται γὰρ εἰπεῖν ὅτι τότε σὺν τῷ θανάτῳ καὶ ἡ ἁμαρτία λύεται, καὶ νόμος ἅπας ἀργεῖ. ἐπειδὴ ἄφθαρτοι γεγονότες, τῇ τοῦ Πνεύματος χάριτι κυβερνόμεθα.

Ἰωάννου. Χωρὶς τοῦ νόμου ἀσθενὴς ἡ ἁμαρτία ἦν· πραττομένη μὲν, οὐ δυναμένη δὲ οὕτως καταδικάσαι. τὸ μὲν γὰρ κακὸν ἐγίνετο· σαφῶς δὲ οὐκ ἐδείκνυτο οὕτως· ὥστε οὐ μικρὸν ἐπήνεγκεν ὁ νόμος τὸ καὶ γνωρίσαι τὴν ἁμαρτίαν μᾶλλον, καὶ ἐπιτεῖναι τὴν κόλασιν. εἰ δὲ βουλόμενος κωλῦσαι, χαλεπωτέραν ἀπέφηνεν· οὐ παρὰ τὸν ἰατρὸν τὸ ἔγκλημα· ἀλλὰ παρὰ τὸν κακῶς τῷ φαρμάκῳ χρησάμενον· ἐπεὶ καὶ ἡ παρουσία τοῦ Χριστοῦ μᾶλλον ἐβάρησεν τοὺς Ἰουδαίους. ἀλλ' οὐ διὰ τοῦτο αὐτῇ ἐγκαλέσωμεν· ἀλλὰ ταύτην μὲν θαυμασόμεθα, ἐκείνους δὲ μισήσομεν βλαβέντας δι' ὧν ὠφελεῖσθαι ἔδει.

Θεοδωρίτου. Ἀναγκαίως εἰς ὕμνον τὸν περὶ τῆς ἀναστάσεως συνεπέρανεν λόγον.

Φωτίου. Ἐπειδή ἐστιν καταποθῆναι θάνατον εἰς φθορὰν τῶν καταπιόντων, ὥσπερ καὶ φάρμακόν ἐστι καταποθῆναι ἐπὶ διαφθορᾷ ὁμοίως τῶν χρησαμένων, διὰ τοῦτο ἐπήγαγεν τὸ εἰς νῖκος· ἀντὶ τοῦ οὐχ ἵνα φθείρῃ τὸν καταπίοντα, ἀλλ' ἵνα αὐτὸς ἀφανισθῇ καὶ κατὰ κράτος ἐκνικηθῇ· ὥστε μηκέτι μήδ' ἴχνος μάχης ἢ σκίαν ἐνοχλήσεως ὑπολειφθῆναι· καὶ τὸ κατεπόθη δὲ μετὰ τῆς προθέσεως ῥηθὲν, τὴν σφοδρὰν αὐτοῦ διαφθορὰν σημαίνει. ὅλος φησὶν κατεπόθη εἰς νῖκος· ὥστε μηδὲν αὐτοῦ ἔστι ἐναπολειφθῆναι.

Τοῦ αὐτοῦ. Ἐπειδὴ τὸν νόμον εἶπεν δύναμιν τῆς ἁμαρτίας· ἵνα μή τινες αὐτόν τε τὸν νόμον ὡς φαῦλον πεπαῦσθαι νομίσωσι, καὶ τὸν νομοθέτην βλασφημήσωσιν· ἐπάγει "τῷ δὲ Θεῷ χάρις·" οἷον τῷ δὲ νόμου νομοθέτῃ Θεῷ καὶ Πατέρι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ χάρις. αὐτὸς γὰρ καὶ τὸν νόμον κατὰ καιρὸν συμφέροντα ἔδωκεν, καὶ τούτῳ ἡμῶν εἰς ἰσχὺν ἁμαρτίας ἀποχρησαμένων καὶ κραταιωσάντων τὴν ἁμαρτίαν, αὐτὸς πάλιν διὰ τοῦ Υἱοῦ αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔδωκεν ἡμῖν τὸ κατ' αὐτῆς ἀναμφήριστον κράτος καὶ νῖκος.

58 Ὥστε, ἀδελφοί μοι ἀγαπητοὶ, ἑδραῖοι γίνεσθε, ἀμετα-
κίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε,
1 εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν Κυρίῳ. περὶ
δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, ὥσπερ διέταξα ταῖς
ἐκκλησίαις τῆς Γαλατίας, οὕτως καὶ ὑμεῖς ποιήσατε.
2 κατὰ μίαν σαββάτων ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω,
θησαυρίζων ὅ τι ἂν εὐοδῶται.

Ἰωάννου. Ἐπεὶ οὖν ἔγνωτε, φησὶ, ταῦτα οὕτως ἔχειν· εἶναί τε ἀνάστασιν καὶ ἀμοιβὰς καλῶν καὶ φαύλων, στήκετε[b]. ἐσαλεύοντο γὰρ περὶ τὸ τῆς ἀναστάσεως δόγμα, καὶ ἠμέλουν βίου, ὡς οὐκ οὔσης ἀναστάσεως· εἶτα, φησὶ, "καὶ περισσεύοντες ἐν τῷ "ἔργῳ τοῦ Θεοῦ·" οὐ μόνον αὐτὸ ἐργαζόμενοι· ἀλλὰ καὶ περισσεύοντες ἐν χρησταῖς πράξεσιν.

Θεοδωρίτου. Ὡς σαλευομένοις ταῦτα παρεγγυᾷ· "περισ-

[b] Sic.

" σεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε·" φιλοπόνως τῆς εὐσεβείας τὸν πλοῦτον συλλέγετε.

Ἰωάννου. Ὃν νῦν, φησὶν, κάμνετε· ἀλλ' ἔσται αὐτοῦ ἀμοιβή· τὸ δὲ " ἐν Κυρίῳ" νοήσεις, ἢ ὁ ἐν Κυρίῳ κόπος, ἢ παρὰ Κυρίῳ οὐ ματαιωθήσεται ὁ κόπος.

Θεοδωρίτου. Δίκαιος ὁ κριτής· καὶ τοὺς στεφάνους ὑφαίνει τοῖς ἀθληταῖς, καὶ τοῖς ἐργαταῖς τὸν μισθὸν ἀποδώσει· οὕτω ταῦτα παραινέσας, τῆς θεραπείας τῶν ἁγίων φροντίσαι παρακαλεῖ.

Ἰωάννου. Ἀπαρτίσας τὸν περὶ δογμάτων λόγον, εἰς τὸ κεφάλαιον τῶν ἀρετῶν τὴν ἐλεημοσύνην ἦλθεν· " λογίας" δὲ λέγει τῆς συλλογῆς, κοῦφον ἐκ προοιμίων ποιῶν τὸ πρᾶγμα· τὸ γὰρ ἐκ πολλῶν συνεισφερόμενον κοῦφον ἑκάστῳ· εἶτα εἰς ζῆλον αὐτοὺς ἄγει, διηγήσει τῶν ἑτέροις κατορθωθέντων· ὥσπερ γάρ, φησιν, οἱ Γαλάται πεποιήκασιν. ὅρα δὲ τὸ ἀναγκαῖον τοῦ γινομένου, πῶς ἐμφαίνει· ὥσπερ, φησὶν, διέταξα· οὐ γὰρ εἶπεν παρῄνεσα ἢ συνεβούλευσα, ἀλλὰ διέταξα· τὸ μετὰ αὐθεντίας ἐπιτάξαι δηλοῖ τὸ τοῦ πράγματος ἀπαραίτητόν τε καὶ ἀναγκαῖον.

Θεοδωρίτου. Οὐχ ἁπλῶς τῶν Γαλατῶν ἐμνημόνευσεν· ἀλλὰ σημαίνων ὡς κἀκείνοις παρεκελεύσατο.

Ἰωάννου. Μίαν σαββάτων τὴν κυριακὴν καλεῖ· καὶ ἀπὸ τῆς ἡμέρας αὐτοὺς ἐπὶ ἐλεημοσύνην προτρέπων, τῶν ἐν αὐτῇ μυστηρίων ὑπομιμνήσκων.

Θεοδωρίτου. Τῇ γνώμῃ τὸ πόσον ἐπιτρέπει· διδάσκων ὡς ταῖς τὰ βέλτιστα προαιρουμέναις ψυχαῖς, συνεργεῖ Θεός· τοῦτο γὰρ εἶπεν, ὅτι ἂν εὐοδῶται. κατάλληλος δὲ τῷ ἔργῳ καὶ ἡ δεσποτικὴ ἡμέρα, τῇ ἀναστάσει τετιμημένη.

Ἰωάννου. Προνοητικῶς λίαν· οὐ γὰρ εἶπεν εὐθὺ φερέτω, ἵνα μήτις ἐλάχιστον ἔχων αἰσχύνεται· ἀλλὰ πρῶτον παρὰ σαυτῷ συνάγαγε, καὶ ὅταν ἀξιόλογον γένηται, τότε φέρε· " θησαυριζέτω " δ' ὅ τι ἂν εὐοδῶται·" τοῦτ' ἔστιν, ὃ ἂν ὁ Θεὸς πέμψῃ καὶ εὐκαιρίαν σχῇ.

3 Ἵνα μὴ ὅταν ἔλθω, τότε λογίαι γίνωνται. ὅταν δὲ παραγένωμαι, οὓς ἐὰν δοκιμάσητε, δι' ἐπιστολῶν τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς Ἱερουσαλήμ·

4 ἐὰν δὲ ᾖ ἄξιος τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύ-
σονται.

Ἰωάννου. Ἵνα μὴ, φησὶν, ὅτ' ἂν καιρός ἐστιν ἐκφορᾶς· τότε τις συνάγειν ἄρξηται· τὸ δὲ εἰπεῖν "ὅτ' ἂν ἔλθω," προθυμοτέρους πρὸς τὴν συλλογὴν ποιεῖ· ὡς ἐπ' ὄψεσιν αὐτοῦ μελλούσης ἔσεσθαι τῆς εἰσφορᾶς.

Τοῦ αὐτοῦ. Καλῶς τὸ "οὓς ἂν δοκιμάσητε·" ἀποτριβόμενος πανταχοῦ τὸ σκανδαλίσαι τινά· ὡς καὶ αὐτοῦ τι βουλομένου λαβεῖν ἐκ τῶν συναγομένων.

Θεοδωρίτου. Οὐ γὰρ πρέπον ἐμοῦ παρόντος τὴν τῶν χρημάτων γινέσθαι συλλογήν· ἐμὲ γὰρ προσήκει ταῦτα πέμψαι τοῖς ἁγίοις δι' ὧν ἂν ὑμεῖς δοκιμάσητε· εἰ δὲ φιλότιμον ἴδοιμι τὴν χορηγίαν γεγενημένην, καὶ αὐτὸς κοινωνήσω τῆς ὑπουργίας· οὐ γὰρ εἶπεν ὅτι ἐγὼ ταῦτα κομιῶ, ἀλλὰ "σὺν ἐμοὶ πορεύσονται·" ἃ γὰρ τοῖς ἄλλοις παραινεῖ, πρῶτος ποιεῖ· καὶ ἀπρόσκοπος γίνεται καὶ Ἰουδαίοις καὶ Ἕλλησιν καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ. σημαίνει δὲ αὐτοῖς καὶ τὸν τῆς παρουσίας καιρόν.

Ἰωάννου. Χάριν εἶπεν· οἰκτρὸν γὰρ ἦν τὸ τῆς ἐλεημοσύνης καὶ ἀνάξιον τῶν μελλόντων λαμβάνειν ἁγίων, καὶ σημαίνων ὅτι ἀντιλήψονται καὶ αὐτοὶ χάριν τὰς εὐχὰς αὐτῶν.

Τοῦ αὐτοῦ. Διὰ τούτων εἰς δαψιλείαν αὐτοὺς προτρέπει· ἐὰν ᾖ, φησὶ, τοσαῦτα ὡς καὶ τῆς ἐμῆς διακονίας τὸ πρᾶγμα, ἀπελεύσομαι· πανταχοῦ δὲ καὶ τοὺς ἐκείνων μάρτυρας ἔχειν βούλεται, ὡς αὐτὸς οὐδὲν λήψεται ἐξ αὐτῶν. διό φησι, "σὺν ἐμοὶ πορεύσονται."

5 Ἐλεύσομαι δὲ πρὸς ὑμᾶς, ὅταν Μακεδονιαν διέλθω·
6 Μακεδονίαν γὰρ διέρχομαι· πρὸς ὑμᾶς δὲ τυχὸν παρα-
μενῶ, ἢ καὶ παραχειμάσω, ἵνα ὑμεῖς με προπέμψητε,
7 οὗ ἐὰν πορεύωμαι. οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν παρόδῳ
ἰδεῖν· ἐλπίζω δὲ χρόνον τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς, ἐὰν
8 ὁ Κύριος ἐπιτρέπῃ. ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ, ἕως τῆς
9 πεντηκοστῆς· θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐνεργὴς,
καὶ ἀντικείμενοι πολλοί.

Ἰωάννου. Τινὸς ἕνεκεν εἶπε τυχὸν καὶ οὐκ ἀπεφήνατο; ὅτι

πάντα προῄδει ὁ Παῦλος, καὶ συμφέροντος· διὰ τοῦτο οὐδὲ ἁπλῶς ἀποφαίνεται· ἵνα κἂν μὴ γένηται, ἔχῃ ἀποφυγὴν τῷ ἀδιορίστως προσειπεῖν. δηλοῖ δὲ καὶ τὴν τοῦ Πνεύματος ἐξουσίαν ἄγουσαν αὐτὸν ὅπηπερ ἐβούλετο, οὐκ ἔνθα αὐτὸς ἐπεθύμει· ὃ καὶ ἐν τῇ δευτέρᾳ τίθησιν Ἐπιστολῇ, τῆς μελλήσεως ἕνεκεν ἀπολογούμενος καὶ λέγων· "ἃ βούλομαι κατὰ σάρκα, βούλομαι, ἵνα ᾖ παρ' ἐμοὶ "τὸ ναὶ ναὶ καὶ τὸ οὒ οὔ."

Τοῦ αὐτοῦ. Οὐκ εἶπεν ἀπέλθω, ἀλλὰ "διέλθω" παραμυθούμενος αὐτοὺς ὡς εὐθὺς παραγινόμενος· καὶ ὅρα προτίμησιν, ἐκείνους διέρχομαι, ὑμῖν δὲ παραμενῶ· καὶ γὰρ πλείους ἦσαν οἱ ἐν Κορίνθῳ πιστοί· διὸ καὶ προτιμῶνται παρ' αὐτοῦ.

Τοῦ αὐτοῦ. Καλῶς "τὸ τυχόν·" τοῦτ' ἔστιν ἴσως· οὐ γὰρ ᾔδει πάντως ὑπὸ τοῦ Πνεύματος τοῦτο ἐπιτρεπόμενος ἢ οὔ. ἀγάπης δὲ δεικτικὸν τό, τε παραμεῖναι αὐτοῖς, καὶ τὸ ὑπ' αὐτῶν προπεμφθῆναι.

Τοῦ αὐτοῦ. Σφόδρα ἀγαπῶντος ἦν τῷτε εἰπεῖν τοῦ προσμενεῖ, καὶ μέχρι πότε· ἕως τῆς πεντηκοστῆς φησίν· καὶ διατί; θύρα γάρ μοι ἀνέῳκται· τοῦτ' ἔστιν πολλοί εἰσιν οἱ παρεσκευασμένοι τὴν πίστιν δέξασθαι· εἴσοδος οὖν ἐστί μοι πρὸς αὐτούς· τοῦτο δὲ καὶ παραθαρρύνοντός ἐστιν, ὅτι πανταχοῦ γῆς λοιπὸν ἁπλοῦται τὸ κήρυγμα.

Θεοδωρίτου. Πολλὰ γὰρ οἱ τῷ κηρύγματι προσίοντες. πολλοὶ δὲ καὶ οἱ ἀντιτείνοντες, καὶ ἐκποδὼν γίνεσθαι τῇ τούτων σωτηρίᾳ πειρώμενοι.

Ἰωάννου. Ἀκμάζει, φησὶν, τῶν προσιέναι μελλόντων τῇ πίστει ἡ διανοία· οὐδὲν χαῦνον ἢ δίψυχον· διά τοι τοῦτο καὶ ἀντικείμενοι πολλοί· ὅσῳ γὰρ ὁρᾷ ἑαυτὸν ὁ διάβολος γυμνούμενον, τοσούτῳ ταράσσεται, καὶ τοὺς ἐναντίους ἐξεγείρει.

Φωτίου. "Πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ·" τὸ "δὲ" παρέλκει ἐνταῦθα, "πρὸς ὑμᾶς δέ." σύνηθες δὲ τοῦτο τῇ θείᾳ γραφῇ· ἀλλὰ καὶ παρὰ τοῖς ἔξω συγγραφεῦσιν πολλὴ ἡ τοιαύτη χρῆσις, καὶ μάλιστα παρὰ τοῖς Ἀττικισταῖς· "ἢ καὶ παραχειμάσω" καὶ τὰ ἐφεξῆς, εἰς παράκλησιν αὐτῶν καὶ παραμυθίαν εἴρηκεν· οἷον, ἵνα ὑμεῖς με προπέμψητε καὶ οὐ θέλω ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν, καὶ ἐλπίζω χρόνον τινα ἐπιμεῖναι πρὸς ὑμᾶς· τὸ δὲ "ἐὰν ὁ Κύριος

"ἐπιτρέπῃ" ἑρμηνεία ἔστι τοῦ εἰρημένου [c] .... ἄνωθεν τοῦ πρὸς ὑμᾶς δὲ τυχὸν καὶ παραμενῶ· διά τι εἶπεν "τυχόν;" ὅτι οὐκ οἶδα ἐὰν ὁ Κύριος ἐπιτρέπῃ· ἀλλ' οὖν τὸ ἐμὸν θέλημα ἵνα προσμείνω ὑμῖν ἐστιν.

10 Ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα ἀφόβως γένηται
πρὸς ὑμᾶς· τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται, ὡς καὶ ἐγώ,
11 μή τις οὖν αὐτὸν ἐξουθενήσῃ. προπέμψατε δὲ αὐτὸν ἐν
εἰρήνῃ, ἵνα ἔλθῃ πρός με· ἐκδέχομαι γὰρ αὐτὸν μετὰ
12 τῶν ἀδελφῶν. περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ, πολλὰ
παρεκάλεσα αὐτὸν, ἵνα ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελ-
φῶν· καὶ πάντως οὐκ ἦν θέλημα ἵνα νῦν ἔλθῃ, ἐλεύ-
σεται δὲ ὅταν εὐκαιρήσῃ.

Ἰωάννου. Τοῦτ' ἔστιν, ἵνα μή τις αὐτοῦ κατεξαναστῇ τῶν ἀπεγνωμένων ἐκείνων. καὶ γὰρ ἔμελλεν αὐτοῖς ἴσως ἐπιτιμᾶν, ὑπὲρ ὧν καὶ Παῦλος ἐπέστειλεν. καὶ γὰρ ἐπηγγείλατο διὰ τοῦτο πέμπειν αὐτόν· "ἔπεμψα γὰρ ὑμῖν Τιμόθεον," φησὶν, "ὃς ὑμᾶς "ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ. μήτις οὖν αὐτὸν "ἐξουθενήσῃ." ἐπειδὴ νέος ὢν ἐνεχειρίσθη δήμου τοσούτου διόρθωσιν· ἀμφότερα δὲ εἰς καταφρόνησιν ἦγεν· εἰκότως ἐπάγει, "μήτις αὐτὸν ἐξουθενήσῃ."

Θεοδωρίτου. Καὶ ταῦτα πάλιν προστέθεικεν εἰς τὴν τοῦ μαθητοῦ θεραπείαν αὐτοὺς διεγείρων. ἀντὶ τοῦ πρός με ἥξει· μηνύων μοι τὰ ὑμέτερα πάντα.

Ἰωάννου. Μὴ μάχας αὐτῷ καὶ φιλονεικίας παράσχητε· μὴ δὲ παρά τινος ἐπιβουλευθῆναι συγχωρήσητε. τὸ δὲ "ἐκδέχομαι "αὐτὸν," φοβοῦντός ἐστιν, ἵνα εἰδότες ὅτι πάντα αὐτῷ ἀναγγελεῖ, μηδὲν αὐτὸν θλίψωσιν· ἀλλὰ δὲ καὶ ἀξιόπιστον τοῦτο ποιεῖ τὸν Τιμόθεον· ὅτι ὁ Παῦλος ἔχων τί ποιεῖν δι' αὐτὸν παραμένει.

Ὠριγένους. Κατὰ τὰς ἀρχὰς τῆς ἐπιστολῆς ἔφασκεν, ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν· ἕκαστος γὰρ ὑμῶν φησὶν λέγει· "ἐγὼ μέν εἰμι Παύλου· ἐγὼ δὲ Ἀπολλώ." τοῦτον περὶ οὗ φησὶν τοιαύτης στάσεως καὶ ταραχῆς οὔσης ἐν τῇ Κορινθίων ἐκκλησίᾳ· ὁ θαυμάσιος οὗτος Ἀπολλὼς ἐπίσκοπος ὢν τῶν κατὰ τὸν καιρὸν

[c] Lacuna est in Cod.

ἐκεῖνον, ὡς ἐπὶ κριτὴν κατέφυγεν τὸν Ἀπόστολον. Παῦλος τὰ τῆς ἀποστολῆς ἐποίει· οὐκ ἦν αὐτῷ τὰ πράγματα ἐπιβάλλοντα διατρίβοντι ἐν τῇ Ἀσίᾳ τότε καταλιπεῖν τὰ ἐν τῇ Ἀσίᾳ καὶ γενέσθαι εἰς τὴν Κόρινθον· ἀλλ' ἀνθ' ἑαυτοῦ ἐξελελέξατο Τιμόθεον, καὶ ἔπεμψεν αὐτὸν διορθωσόμενον τὰ ἐν Κορίνθῳ, καὶ ἀναγκαίως μετὰ τῆς Ἐπιστολῆς πέμπων αὐτὸν παρακατιθέναι τῇ Ἐκκλησίᾳ· ὅτε γὰρ ἐπεδήμουν οἱ ἅγιοι ὠφελοῦντες τοὺς ἀκούοντας, οὐκ ἐν ἀσθενείᾳ παρεγίνοντο, οὐδὲ ἐν φόβῳ, οὐδὲ ἐν τρόμῳ· ὅτε δὲ παρεγίνοντο πρὸς τοὺς ἀσθενεστέρους, ἐν ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ ἐπεδήμουν.

Τοιοῦτοι ἦσαν Κορίνθιοι, ὥστε οὐ Παῦλον τὸν μέγαν ἐπιδημεῖν αὐτοῖς, ἀλλὰ τὸν ἀσθενῆ, καθὼς ἔλεγεν· "ἐγενόμην τοῖς ἀσθε-"νέσιν ὡς ἀσθενής· ἵνα τοὺς ἀσθενεῖς κερδήσω·" καὶ διὰ τοῦτο ἔλεγεν "κἀγὼ ἐν ἀσθενείᾳ ἐγενόμην πρὸς ὑμᾶς·" διὰ τοῦτο καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγένετο, ὅπως τῶν ἀκουόντων περιγένηται· ἐπειδὴ οὖν τὸ ἐν φόβῳ καὶ ἐν τρόμῳ ἐπιδημεῖν, τὸν μέλλοντα ὠφελεῖν περὶ τοὺς ἀκροατάς ἐστιν· παρακαλεῖ νῦν τοὺς Κορινθίους ἵνα ἀφόβως γένηται Τιμόθεος πρὸς αὐτούς· "τὸ γὰρ "ἔργον Κυρίου ἐργάζεται ὡς καὶ ἐγώ·" ὅπερ ἐγὼ ἐπεποιήκειν ἂν ἐπιδημήσας ὑμῖν· τοῦτο ποιεῖ ὑμῖν ὁ Τιμόθεος· "μήτις οὖν αὐτὸν "ἐξουθενήσῃ." εἰ γὰρ τοῦτον, ἐξουθενεῖτε κἀμέ· "τὸ γὰρ ἔργον "Κυρίου ἐργάζεται ὡς καὶ ἐγώ·" "προπέμψατε δὲ αὐτὸν ἐν εἰρήνῃ. "ἵνα ἔλθῃ πρός με·" νῦν μὲν ἔρχεται πρὸς ὑμᾶς εἰρήνην ποιήσων. στάσιν γὰρ ὑμῶν εὑρίσκει ἐν τῇ Ἐκκλησίᾳ· ἀλλ' ὁμονοήσαντες καὶ διορθωθέντες ἐκ τῶν λεγομένων ὑπ' αὐτοῦ, εἰρήνην ἀναλαβόντες προπέμψατε αὐτὸν ἐν τῇ ἡμετέρᾳ ὁμονοίᾳ καὶ εἰρήνῃ, ἵνα ἔλθῃ πρὸς ἐμέ· ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν· ποίων ἀδελφῶν; περὶ ὧν προσεῖπεν ὅτι οὓς ἐὰν δοκιμάσητε δι' Ἐπιστολῆς τούτους πέμψω· ἐκδέχομαι οὖν ἀκούων αὐτὸν ἐπανελευσόμενον, ἀπαγγέλλοντά μοι τὰ καθ' ὑμᾶς· "περὶ δὲ Ἀπολλῶ τοῦ ἀδελφοῦ "παρεκάλεσα αὐτὸν, ἵνα ἔλθῃ πρὸς ὑμᾶς· καὶ πάντως οὐκ ἦν "θέλημα ἵνα ἔλθῃ νῦν·" ἄνθρωπος ἦν ὡς εἰκὸς ἅγιος, εἰρήνης φίλος· καὶ βλέπων στάσιν καὶ ταραχὴν ἐν τῇ ὑπ' αὐτοῦ Ἐκκλησίᾳ· οὐκ ἐπεδικάζετο τοῦ τόπου, ἀλλὰ παρεχώρησεν· εἶτα παρακαλεῖ αὐτὸν ὁ Ἀπόστολος· μακροθυμήσαντα ἐπανελθεῖν εἰς τὴν

παροικίαν αὐτοῦ· οὗτος δὲ οὐδὲ ὅλως ἑώρακεν τὴν Κόρινθον· οὐκ ἀπιθήσας τῷ Ἀποστόλῳ· οὐ γὰρ ἂν οὕτως συνέστησεν αὐτοῦ τὸ δοκοῦν οὐχ ὑποτεταγμένον· λέγει γὰρ πάντως "οὐκ ἦν θέλημα "ἵνα νῦν ἔλθῃ." οἷον, οὐκ ἄνευ θελήματος Θεοῦ πεποίηκεν τὸ μὴ ἐλθεῖν αὐτὸν πρὸς ὑμᾶς· "ἐλεύσεται δὲ ὅτ' ἂν εὐκαιρήσῃ·" ποτὲ δὲ εὐκαιρεῖ; ἐὰν ὑμεῖς εἰρηνεύητε· ἐὰν Τιμόθεον μὴ ἐξουθενήσητε.

Ἰωάννου. Ὁ Ἀπολλὼς καὶ πρεσβύτερος ἦν μᾶλλον τοῦ Τιμοθέου καὶ λόγιος ἀνήρ· ἵνα οὖν μὴ λέγωσι, τί δήποτε αὐτὸν οὐκ ἔπεμψεν; εἶτα καὶ ἵνα μὴ νομίσωσιν προτετιμῆσθαι τὸν Τιμόθεον· ἀμφότερα θεραπεύει· τῷ παρακαλέσαι μὲν αὐτὸν ἀπελθεῖν· μὴ πεῖσαι δὲ, ἐπεὶ μὴ ἦν, φησὶν, θέλημα Θεοῦ· καὶ ἵνα μὴ νομίσωσιν ὅτι σκῆψις ταῦτα καὶ πρόφασις, εἶπεν ὅτι ἐλεύσεται.

13 Γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει· ἀνδρίζεσθε, κρα-
14 ταιοῦσθε· πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω. παρακαλῶ
15 δὲ ὑμᾶς, ἀδελφοί· οἴδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν
ἀπαρχὴ τῆς Ἀχαΐας, καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν
16 ἑαυτούς· ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις, καὶ
παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι.

Ὠριγένους. Ἔστι γάρ τις ὕπνος ψυχῆς ἡ γρηγόρησις. διὸ καὶ ἀποτρέπων τοῦ καθεύδειν τὴν ψυχὴν διὰ Σολομῶντος ὁ λόγος φησὶν, "μὴ δῶσιν ὕπνον τοῖς ὄμμασιν· μὴ δὲ νυσταγμὸν σοῖς "βλεφάροις· ἵνα σωζῇ ὥσπερ δορκὰς ἐκ βρόχων καὶ ὥσπερ ὄρνεον "ἐκ παγίδος·" καὶ ὁ Σωτὴρ φησὶ, "γρηγορεῖτε ἐν παντὶ καιρῷ "καὶ προσεύχεσθε, ἵνα δυνηθῆτε ἐκφυγεῖν τοὺς μέλλοντας γίνεσθαι "πειρασμούς." στήκετε· μὴ σαλεύεσθε, ἀλλὰ βέβαιοι γίνεσθε. ὁ δίψυχος οὐχ ἕστηκεν ἐν τῇ πίστει· ἢ ὁ ἀμφιβάλλων περὶ τῶν κατὰ τὴν πίστιν πραγμάτων. "ἀνδρίζεσθε·" ὡς στρατιώταις λέγει· ἐνδύσασθε γάρ, φησιν, τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. "κρα"ταιοῦσθε·" οἷον ἀναλάβετε τὴν ἰσχύν· ἵνα δυνηθῆτε κραταιωθέντες εἰπεῖν, πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ Ἰησοῦ· "πάντα ὑμῖν ἐν ἀγάπῃ γινέσθω·" εἰσαγομένων, τὸ ἐν φόβῳ ποιεῖν· τελείων δὲ τὸ ἐν ἀγάπῃ.

Ἰωάννου. Ταῦτα λέγων δοκεῖ μὲν παραινεῖν, καθάπτεται δὲ

αὐτῶν ὡς ῥαθυμούντων· διὸ λέγει "γρηγορεῖτε" ὡς καθευδόντων· καὶ διὰ τοὺς ἀπατῶντας, "στήκετε," ὡς σαλευομένων· καὶ πρὸς τοὺς φανερῶς ἐπιβουλεύοντας· "ἀνδρίζεσθε," ὡς μαλακιζομένων· καὶ πρὸς τοὺς διαστασιάζοντας καὶ διασπᾶν ἐπιχειροῦντας· "πάντα "ὑμῶν ἐν ἀγάπῃ γινέσθω·" ὅπερ σύνδεσμός ἐστι τῆς τελειότητος καὶ ῥίζα καὶ πηγὴ τῶν ἀγαθῶν. τί δέ ἐστι τὸ "πάντα ἐν ἀγάπῃ "γινέσθω." εἴτε ἐπιτιμᾷ τις, φησὶν, εἴτε ἄρχει, εἴτε ἄρχεται, εἴτε μανθάνει, εἴτε διδάσκει, πάντα μετὰ ἀγάπης· ἐπειδὴ καὶ τὰ γεγενημένα ἅπαντα κακὰ ἐκ τοῦ ταύτην ἠμελῆσθαι ἐγένετο.

Θεοδωρίτου. *Δύο τέθεικεν ἐπαίνους· καὶ ὅτι πρῶτον τὸ σωτήριον ἐδέξαντο κήρυγμα· καὶ ὅτι τὴν οἰκίαν τοῖς ἁγίοις ἀναπετάσαντες, πᾶσαν αὐτοῖς θεραπείαν προσφέρουσιν· οὗ δὴ χάριν καὶ τούτοις καὶ τὰ ὅμοια προαιρουμένοις, πάσης τιμῆς ἀπόλαυσις παρακελεύσεται.*

Ἰωάννου καὶ Θεοδώρου. *Συναντιλαμβάνεσθαι αὐτοῖς βούλεται, καὶ εἰς δαπάνην χρημάτων καὶ εἰς σώματος διακονίαν· ἵνα, φησὶ, κοινωνῆτε· καὶ γὰρ ἐκείνοις ὁ κόπος ἔσται κοῦφος, ὅτ' ἂν ἔχωσι συμμάχους, καὶ τὰ τῆς εὐεργεσίας εἰς πλείονα διαβήσεται.*

17 Χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ Φουρτου-
νάτου καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι ἀνε-
18 πλήρωσαν· ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ
ὑμῶν. ἐνιγινώσκετε οὖν τοὺς τοιούτους. ἀσπάζονται
19 ὑμᾶς αἱ ἐκκλησίαι πᾶσαι τῆς Ἀσίας· ἀσπάζονται ὑμᾶς
ἐν Κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα, σὺν τῇ κατ'
20 οἶκον αὐτῶν ἐκκλησίᾳ· ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ
πάντες.

Ἰωάννου. *Ἐπειδὴ εἰκὸς ἦν ἐξηγριῶσθαι αὐτοὺς πρὸς τούτους· οὗτοι γάρ εἰσιν οἱ θέλοντες καὶ δηλώσαντες αὐτῷ τὰ κατὰ τὴν στάσιν· δι' αὐτῶν γὰρ καὶ ἔγραψαν τὰ περὶ τῶν παρθένων, τὰ περὶ τῶν γεγαμηκότων· ὅρα πῶς αὐτοὺς κατεπραΰνεν· ἐν ἀρχῇ μὲν τῆς ἐπιστολῆς εἰπὼν "ἐδηλώθη γάρ μοι περὶ ὑμῶν ὑπὸ τῶν "Χλόης·" καὶ τούτους κρύψας, κακείνους εἰς μέσον ἀγάγων· εἰκὸς γὰρ ἐκείνους διὰ τούτων δηλῶσαι. ἐνταῦθα δὲ τὸ "ὑμῶν ὑστέρημα "οὗτοι ἀνεπλήρωσαν, καὶ ἀνέπαυσαν τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν·"*

δείκνυς ἀντὶ πάντων ἐλθόντας καὶ ἑλομένους ἀποδημίαν στείλασθαι τοσαύτην ὑπὲρ αὐτῶν. πῶς οὖν τοῦτο τὸ ἴδιον κοινὸν γένηται καὶ τὸ ὑστέρημα παραμυθήσονται, διὰ τῆς εὐνοίας τῆς εἰς αὐτούς; ἐὰν τιμήσητε· ἐὰν ἀποδέξησθε αὐτούς· ἐὰν τῇ εὐποιΐᾳ κοινωνήσετε.

ΘΕΟΔΩΡΙΤΟΥ. *Καὶ τοῦτο εἰς ὠφέλειαν τέθεικεν, δείκνυς τὸν τοῦ κηρύγματος δρόμον· "ἀσπάζεται ὑμᾶς ἐν Κυρίῳ πολλὰ "Ἀκύλας καὶ Πρίσκιλλα· σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ·" τούτοις συνῴκησεν ὁ θεῖος Ἀπόστολος· ἦσαν γὰρ καὶ αὐτοὶ σκηνοποιοὶ τὴν τέχνην· οὗτοι διὰ πολλὴν ἀρετὴν καὶ τὴν οἰκείαν ἐκκλησίαν ἀπέφηναν· μόνα τὰ τῇ ἐκκλησίᾳ· πέπονθα ἐν αὐτῇ ποιεῖν προαιρούμενοι· συνῆβεν δὲ αὐτῷ κατὰ τὴν Ἔφεσον διατρίβοντι.*

21 Ἀσπάζεσθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. ὁ ἀσπα-
22 σμὸς τῇ ἐμῇ χειρὶ Παύλου· εἴ τις οὐ φιλεῖ τὸν Κύριον
23 Ἰησοῦν Χριστὸν, ἤτω ἀνάθεμα, μαραναθά. ἡ χάρις τοῦ
24 Κυρίου Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν, ἡ ἀγάπη μου μετὰ
πάντων ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. ἀμήν.

Ταύτην τὴν τοῦ ἁγίου φιλήματος ἐνταῦθα μόνον τίθησι προθήκην· τί δήποτε; σφόδρα διεστήκεσαν ἀλλήλων τῷ λέγειν "ἐγὼ "μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ·" τῷ τὸν μὲν πεινᾶν, τὸν δὲ μεθύειν, τῷ μάχεσθαι καὶ ζηλοτυπίας καὶ κρίματα ἔχειν· καὶ ἀπὸ τῶν χαρισμάτων πολὺς ὁ φθόνος ἦν· ἐπεὶ οὖν αὐτοὺς συνῆψε διὰ τῆς παρούσης παραινέσεως, εἰκότως κελεύει καὶ διὰ τοῦ φιλήματος τοῦ ἁγίου συνάπτεσθαι. τοῦτο γὰρ ἑνοῖ καὶ ἐντίκτει σῶμα· τοῦτο ἅγιόν ἐστι, τὸ μὴ μετὰ δόλου καὶ ὑποκρίσεως.

ΘΕΟΔΩΡΙΤΟΥ. *Ἐγώ φησιν ὑπηγόρευσα τὴν ἐπιστολήν· τὸν δὲ ἀσπασμὸν προσέθηκα τῇ χειρί. διὰ τούτων δηλῶν τῶν γραμμάτων, ὡς ἐμὰ πάντα τὰ γεγραμμένα.*

ἸΩΑΝΝΟΥ. *Δι' ἑνὸς τούτου τοῦ ῥήματος, πάντας ἐφόβησεν τοὺς τὰ μέλη αὐτῶν ποιοῦντας πόρνης μέλη, τοὺς σκανδαλίζοντας τοὺς ἀδελφοὺς διὰ τῶν εἰδωλοθύτων, τοὺς ἀπ' ἀγνῶν ὀνομαζομένους, τοὺς τῇ ἀναστάσει διαπιστοῦντας· οὐκ ἐφόβησε δὲ μόνον· ἀλλὰ καὶ ἔδειξε τῆς ἀρετῆς [d] τὴν ὁδὸν καὶ τῆς κακίας τὴν ἀπάτην. ὥσπερ γὰρ σφοδρὰ ἡ περὶ αὐτῶν ἀγάπη γινομένη, πάντα τῶν*

[d] In marg. *πηγήν*.

ἁμαρτημάτων τὰ εἴδη κατασβέννυσι καὶ ἐξωθεῖ· οὕτως ὅτ' ἂν ἀσθενεστέρα ᾖ βλαστάνειν ταῦτα ποιεῖ. "μαραναθά·" τίνος ἕνεκεν τοῦτο εἴρηται; τί δήποτε δὲ καὶ Ἑβραΐδι φωνῇ; ἐπειδὴ πάντων τῶν κακῶν ὁ τύφος αἴτιος ἦν· τοῦτον δὲ τὸν τύφον ἡ ἔξωθεν σοφία ποιεῖ[e]· καὶ τοῦτο κεφάλαιον κακῶν ἦν, ὃ μάλιστα τὴν Κόρινθον διέσπασεν· καταστέλλων αὐτὴν οὐδὲ Ἑλλάδι κέχρηται γλώττῃ ἀλλὰ τῇ Ἑβραΐδι· δείκνυς ὅτι οὐ μόνον οὐκ αἰσχύνεται τὴν ἰδιωτείαν, ἀλλὰ καὶ μετὰ πολλῆς ἀσπάζεται τῆς θερμότητος[f]· τίνος δὲ ἕνεκεν αὐτὸ τοῦτο φησὶν, τὸν τῆς οἰκονομίας βεβαιῶν λόγον· ἐξ οὗ μάλιστα τὰ σπέρματα τῆς ἀναστάσεως συντέθεικεν· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἐκείνους ἐντρέπων· ὡσανεὶ ἔλεγεν, ὁ κοινὸς πάντων δεσπότης καταβῆναι τοσοῦτον κατηξίωσεν· καὶ ὑμεῖς ἐν τοιούτοις ἐστέ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τοῦτο οὐ τῆς Ἑβραίων ὥς τινες ὑπέλαβον· ἀλλὰ τῆς ...... ἐστὶ φωνῆς· ἑρμηνεύεται δὲ "ὁ Κύριος ἦλθεν·" τέθεικεν δὲ αὐτὸ, τῶν ἐπ' εὐγλωττίᾳ λαμπρυνομένων Κορινθίων τὴν ὀφρὺν καταστέλλων, καὶ διδάσκων ὡς οὐ παιδεύσεως ἀλλὰ πίστεως χρεία.

ἸΩΑΝΝΟΥ. Ἐπειδὴ σφοδρῶς αὐτῶν καθήψατο καὶ φορτικῶς κατηγόρησεν, θεραπεύει λοιπὸν λέγων, "ἡ ἀγάπη μου μετὰ πάντων "ὑμῶν ἐν Χριστῷ Ἰησοῦ." οὐδὲν γὰρ ἀνθρώπινον ἔχει οὐδὲ σαρκικόν· ἀλλὰ πνευματική τίς ἐστιν· διὸ φησὶ σφοδρὰ καὶ γνησία· καὶ γὰρ σφόδρα ἐρῶντος τὸ ῥῆμα ἦν· ἐπειδὴ γὰρ διέστηκεν τῷ τόπῳ, καθάπερ δεξιᾶς τινος ἐκτάσει ταῖς τῆς ἀγάπης χερσὶν αὐτοὺς περιλαμβάνει· δι' ὧν δείκνυσιν ὅτι οὐκ ὀργῆς ἢ θυμοῦ ἦν τὰ γραφέντα, ἀλλὰ κηδεμονίας. ἡμεῖς δὲ τὴν ἐντεῦθεν ὠφέλειαν δρεψώμεθα, καὶ τὸν ἀγαπήσαντα δεσπότην φιλήσωμεν· ἵνα μὴ τῆς ἀποστολικῆς ἀρᾶς μεταλάχωμεν, ἀλλὰ τῶν ἀποστολικῶν ἀξιωθῶμεν σκηνῶν· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατέρι, σὺν τῷ παναγίῳ Πνεύματι, δόξα πρέπει καὶ μεγαλοπρέπεια, νῦν καὶ ἀεὶ καὶ εἰς αἰῶνας τῶν αἰώνων. ἀμήν. ἀμήν. ἀμήν.

[e] ἐποίει. [f] In marg. τί δέ ἐστι μαραθανά; ὁ Κύριος ἡμῶν ἦλθε.

ΥΠΟΘΕΣΙΣ

ΤΗΣ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ

ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

ΤΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ Μακεδονίας. ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς αὕτη. δεξάμενοι Κορίνθιοι τὴν προτέραν ἐπιστολὴν, κατενύγησαν ἐπὶ τῇ ἁμαρτίᾳ τοῦ λαβόντος τὴν μητρυίαν. καὶ ἐλυπήθησαν δὲ, ὡς παριδόντες τὸ τοιοῦτον ἁμάρτημα. εἶτα ὑφηρπάζοντο παρά τινων καὶ τὰς προφάσεις τῶν σχισμάτων ποιούντων, ὥστε παρακαθέζεσθαι τῷ γράμματι τοῦ νόμου καὶ ἀδιάφορον ἡγεῖσθαι τὴν παρὰ τοῦ Χριστοῦ χάριν, καὶ μᾶλλον προσέχειν τοῖς ἐν προσώπῳ καυχωμένοις. ἦσαν δὲ καὶ περὶ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους φροντίζοντες καλῶς. πρὸς ταῦτα οὖν ἀντιγράφει ὁ Ἀπόστολος. καὶ πρῶτον μὲν ἀποδέχεται τοὺς ἐκβαλόντας τὸν παρανομήσαντα, ἔπειτα ἀξιώσασιν αὐτοῖς καθικετεύει, καὶ μετανοήσαντα ἐκεῖνον κελεύει δεχθῆναι. ἐν αὐτῇ δὲ διδάσκει περὶ τοῦ νόμου, διαιρῶν τὸ γράμμα, καὶ δείκνυσιν ὅτι οὐ δεῖ λαμβάνειν τὰ γράμματα μόνον τοῦ νόμου, ἀλλὰ ἐν αὐτῷ τῷ γράμματι τὴν διάνοιαν ἐρευνᾶν, (οὐ γὰρ μόνον ῥῆμα ἐστὶν ὁ νόμος, ἀλλ' ἐν τοῖς ῥητοῖς ἐστὶ καὶ ὁ νοῦς τοῦ πνεύματος.) ἔπειτα ὅτι τοῦ Χριστοῦ ἐλθόντος καινὴ κτίσις γέγονε, καὶ οὐ δεῖ κατὰ τὸ παλαιὸν ζῆν, ἀλλ' ὡς ἐν καινῇ κτίσει, ἐν πᾶσιν ἀνανεοῦσθαι, καὶ ἀργὴν εἶναι λοιπὸν τὴν περιτομήν. ἀναδέχεται δὲ αὐτοὺς καὶ περὶ τῆς διακονίας, καὶ προτρέπεται μᾶλλον αὐτὴν πλεονάζειν. αἰτιώμενος δὲ τοὺς ἐν προσώπῳ καυχωμένους, καταλέγει πάντα ἅπερ πέπονθε διὰ τὸν Κύριον. καὶ τὰς ὀπτασίας διηγεῖται ἅς περ ἑώρακεν, εἴς τε τὸν παράδεισον καὶ εἰς τὸν τρίτον οὐρανὸν ἁρπαγείς. εἶτα παραγγείλας μὴ ἁμαρτάνειν, ἀλλὰ μετανοεῖν τοὺς ἁμαρτάνοντας,

ἐν εὐχαριστείᾳ τελειοῖ τὴν Ἐπιστολήν. ὁ πᾶς τοίνυν λόγος ἐστὶν ἐν τῇ Ἐπιστολῇ, περί τε ἑαυτοῦ, καὶ περὶ Κορινθίων, καὶ τῶν ψευδαποστόλων. καὶ ἐκ ταύτης τῆς ὑποθέσεως πρόεισιν, εἴς τε τὰ τῆς χάριτος Θεοῦ, καὶ περὶ ἀγαθῆς πολιτείας, κατὰ τὸ εὐσυνείδητον καὶ τὸ ἐναγώνιον, καὶ τὸ ἀφιλοχρήματον, καὶ περὶ τῆς μεταδοτικῆς ἀρετῆς, καὶ περὶ τῆς τῶν ψευδαποστόλων ἀλαζονείας καὶ πονηρίας.

Θεοδωρίτου. Τί δή ποτε δευτέραν τίθησιν Ἐπιστολὴν, ζητεῖσθαι ἄξιον. ὅτι ἐν τῇ πρώτῃ ἀπελθεῖν πρὸς αὐτοὺς ἐπαγγειλάμενος, καὶ μὴ ἀπελθὼν, τοῦ Πνεύματος εἰς ἕτερα αὐτὸν ἀπασχολοῦντος, καὶ διὰ τὸ πειρασμοῖς ἐμπεσεῖν, διὰ τῆς νῦν δευτέρας τὸ μὴ ἀπελθεῖν ἀπολογεῖται, καὶ ἵνα καὶ ἀπελθεῖν διὰ τῆς Ἐπιστολῆς δόξῃ. ἔπειτα καὶ ἦσαν βελτίους ἐκ τῆς πρώτης Ἐπιστολῆς γενόμενοι. εὔλογον οὖν ἦν δευτέραν αὐτοὺς ἀξιωθῆναι, ἵνα πλεῖον ἐπιδώσωσι πρὸς ἀρετήν.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ ΠΡΟΣ

ΚΟΡΙΝΘΙΟΥΣ ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

α΄. Εὐχαριστία περὶ Θεοῦ βοηθείας, ἐν ᾗ πεποιθέναι φησίν.

β΄. Περὶ ἀγάπης τῆς πρὸς αὐτοὺς, καὶ φειδοῦς εἰς τὸ μὴ λυπεῖν, εἰ καὶ λυπῶν ὠφελεῖ, ὡς ἐπὶ τοῦ διὰ πορνείαν ἐπιτιμηθέντος, ᾧ καὶ συγχωρεῖ.

γ΄. Περὶ τῆς δι' αὐτοῦ ὠφελείας τοῖς ἐπιτηδείοις, δι' ἧς καὶ συνίστασθαι φησίν.

δ΄. Περὶ τῆς κατὰ πνεῦμα λειτουργίας καὶ δόξης θειοτέρας τῆς κατὰ τὸν νόμον.

ε΄. Περὶ θείας δόξης καὶ τοῦ ἀκολούθου βίου, ὅτι τοῖς ἁγίοις γινώσκεται.

ς΄. Περὶ τῆς κατὰ σῶμα ἀσθενείας καὶ τῆς τοῦ σώματος ἀποθέσεως, καὶ ἐπαναλήψεως.

ζ΄. Περὶ τῆς αὐτοῦ φιλοθεότητος καὶ φιλαδελφίας τῆς κατὰ Χριστόν.

η΄. Περὶ ἀποδοχῆς τῆς Κορινθίων ὑπακοῆς, καὶ ἀγάπης εὐφραινούσης αὐτόν.

θ΄. Προτροπὴ πρὸς ἐπίδοσιν χρημάτων τοῖς ἁγίοις, καὶ τιμὴν τῶν διὰ τοῦτο ἐρχομένων.

ι΄. Διήγησις τῶν ἰδίων πόνων καὶ προθέσεως καὶ τῆς ἐπ' αὐτῷ χάριτος πρὸς τὸ μὴ τοῖς ἐπιπλάστοις προστίθεσθαι Κορινθίοις.

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΗΝ

ΠΡΟΣ ΤΟΥΣ ΚΟΡΙΝΘΙΟΥΣ Β ΕΠΙΣΤΟΛΗΝ.

ΚΕΦ. Α′.

Εὐχαριστία περὶ Θεοῦ βοηθείας, ἐν ᾗ πεποιθέναι φησίν.

1 ΠΑΥΛΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ, διὰ θελήματος Θεοῦ καὶ Τίμοθεος· ὁ ἀδελφὸς, τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ σὺν τοῖς ἁγίοις πᾶσι τοῖς οὖσιν ἐν ὅλῃ τῇ Ἀχαίᾳ.

Ἐν τῇ πρώτῃ Ἐπιστολῇ πέμψας ἐκεῖ τὸν Τιμόθεον, νῦν ἀπολαβὼν αὐτὸν, ἑαυτῷ συνάπτει. Ὅρα δὲ, ποτὲ μὲν τέκνον αὐτὸν καλεῖ, "ὡς πατρὶ" γὰρ, φησὶ, "τέκνον ἐδούλευέ μοι," ποτὲ δὲ συνεργόν· "τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται ὡς καὶ ἐγὼ," νῦν δὲ ἀδελφὸν, διὰ πάντων ἀξιόπιστον αὐτὸν ποιῶν.

Τοῖς ἁγίοις—.

Ἁγίους αὐτοὺς καλεῖ, ἐμφαίνων ὅτι εἴ τις γεώδης, ταύτης ἐκτός ἐστι τῆς προσρήσεως. Δοκοῦσι δὲ οὗτοι κοινῇ σαλεύεσθαι, διὰ τοῦτο καὶ κοινὴν ποιεῖται τὴν ἴασιν· τοῦτο καὶ πρὸς Γαλάτας καὶ Ἑβραίους γράφων ποιεῖ.

2 Χάρις ὑμῖν.

Τὴν συνήθη προσηγορίαν καὶ τούτοις ἐπεύχεται. Ἐπαγγειλάμενος ἦν ἐν τῇ πρώτῃ Ἐπιστολῇ ἀπιέναι πρὸς αὐτοὺς, ἀλλ' ἐκωλύθη, πειρασμῶν μεγάλων αὐτὸν καταλαβόντων· "Εὐλογητὸς "ὁ Θεὸς," ἐνταῦθα στικτέον, "καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ "Χριστοῦ," ἡμῶν γὰρ Θεὸς, τοῦ δὲ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, Πατήρ. ταύτην τὴν διαίρεσιν καὶ ὁ δεσπότης ἡμᾶς ἐδί-

δαξεν· ἐν γὰρ τοῖς ἱεροῖς Εὐαγγελίοις ἔφη, "ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς," σαφῶς διδάσκων, ὡς αὐτοῦ μέν ἐστι Πατὴρ, τῆς δὲ κτίσεως ποιητὴς καὶ δεσπότης. Ἄρχεται οὖν εὐφυῶς καταβάλλειν ἀπολογίας σπέρματα. Εὐχαριστῶ γὰρ, φησὶ, τῷ Θεῷ, ὅτι παρεκάλεσεν ἡμᾶς ἐν πάσῃ τῇ θλίψει ἡμῶν.

Ἔθος γὰρ τοῖς ἁγίοις ἐκ τῶν εἰς αὐτοὺς εὐεργεσιῶν ὀνομάζειν τὸν Θεὸν ἐπιμένειν νίκης πολέμων· "ἀγαπήσω σε Κύριε ἡ ἰσχύς μου." νῦν δὲ θεὸν οἰκτιρμῶν καὶ παρακλήσεως ὀνομάζει. Ὅρα δὲ τὸ ταπεινὸν τοῦ ἁγίου τούτου· λυτρωθεὶς τῶν διὰ τὸ κήρυγμα πειρασμῶν, οὐ λέγει ὅτι κατ' ἀξίαν ἐλυτρώθην, ἀλλὰ κατ' οἰκτιρμοὺς καὶ ἔλεον.

Ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν.

Οὐκ εἶπεν, ὁ μὴ ἐῶν ἡμᾶς θλιβῆναι· οἶδε γὰρ τὰς θλίψεις συμφερούσας, ἀλλ' ὁ παρακαλῶν· εἰπὼν δὲ, "ἐν πάσῃ τῇ θλίψει," δηλοῖ καὶ συνεχεῖς θλίψεις καὶ συνεχεῖς παρακλήσεις.

4 Εἰς τὸ δύνασθαι.

Ὅρα ταπεινοφροσύνης ὑπερβολὴν, οὐ παρεκλήθην, φησὶ, διὰ τὸ εἶναί με ἄξιον παρακλήσεως, ἀλλ' ἵνα ἐκ τοῦ ὑποδείγματος τῆς εἰς ἐμὲ παρακλήσεως ἄλλους ὄντας ἐν πειρασμοῖς δυνηθῶ παρακαλεῖν, ὥστε διὰ τὴν τῶν ἄλλων ὠφέλειαν οὐ δι' ἐμὲ ἡ παράκλησις, ἢ ὅτι ἡ εἰς ἐμὲ, φησὶ, παράκλησις καὶ ἄλλους παρακαλεῖ τοὺς οἷον ἀλγοῦντας ἐπὶ ταῖς ἐμαῖς θλίψεσιν.

5 Ὅτι καθὼς—

Ἵνα μὴ δόξωσί τινες, ὡσανεὶ μὴ φροντιζομένων τῶν Ἀποστόλων παρὰ θεοῦ γίνεσθαι αὐτοῖς τὰς συνεχεῖς θλίψεις. Ὅρα πῶς ἐξαίρει τὸ πρᾶγμα, λέγων τοῦ Χριστοῦ εἰσιν αἱ θλίψεις καὶ τὰ παθήματα, ἃ ἡμεῖς ὑπομένομεν· αὗται δὴ τὰ περισσεύουσιν εἰς ἡμᾶς, ὡσεὶ ἔλεγεν, οὐχ' ὅσα πέπονθεν ὁ Χριστὸς πάσχομεν, ἀλλὰ καὶ πλείω. τοῦτο καὶ ἀλλαχοῦ φησι, "καὶ ἀναπληρῶν τὰ ὑστερή-"ματα τοῦ Χριστοῦ·" τοῦτο καὶ αὐτὸ καθ' ἑαυτὸ ἄνευ τῆς ἀπὸ Θεοῦ παρακλήσεως ἀρκεῖ εἰς παραμυθίαν· τὸ δὲ εἰδέναι ὅτι τοῦ

Χριστοῦ ἐστὶ τὰ πάθη ἃ αὐτοὶ πάσχουσι, μὴ ὅτι καὶ ἡ παράκλησις τοῦ Χριστοῦ περισσεύουσα ἦν εἰς αὐτοὺς, εὐθυμίας αὐτοῖς ἀφορμὰς ἐμποιεῖ, ὡσεὶ ἔλεγε, περισσαὶ μὲν αἱ θλίψεις, ἀλλὰ πολλῷ μᾶλλον ἡ παράκλησις.

Περισσεύει ἡ παράκλησις.

Οὐ κατ' ἀναλογίαν φησὶ τῶν θλίψεων ἡ παράκλησις, ἀλλὰ πολλῷ μείζων· περισσεύει γὰρ ἡ παράκλησις.

6 Εἴτε δὲ θλιβόμεθα.

Εἰ θλιβόμεθα, ὑπὲρ τῆς ἡμῶν σωτηρίας καὶ παρακλήσεως θλιβόμεθα, πῶς; ὅτι ἐξῆν ἡμῖν ἀπαγορεύσασι τὸ κηρύσσειν ἐν ἀδείᾳ καὶ ἀσφαλείᾳ εἶναι, ἀλλὰ μᾶλλον αἱρούμεθα θλίβεσθαι καὶ κινδυνεύειν, ἵνα ὑμᾶς διὰ τοῦ κηρύγματος σώσωμεν καὶ παρακαλέσωμεν πρὸς τὴν πίστιν· οὐκοῦν ὑπὲρ τῆς ὑμῶν σωτηρίας τὰς θλίψεις ὑπομένομεν τῆς ἐνεργουμένης ἐν ὑμῖν.

Ἐνεργουμένης.

Ἐνεργεῖται ἐν ὑμῖν ἡ σωτηρία, φησὶν, ἐν ὑπομονῇ οὖσι τῶν ἴσων ἡμῖν παθημάτων· ὥσπερ γὰρ ἡμεῖς κηρύσσοντες πειραζόμεθα, οὕτω καὶ ὑμεῖς μαθητεύοντες· πολλὴν δὲ ἀρετὴν αὐτοῖς μαρτυρεῖ, ὅτι μετὰ πειρασμῶν ἐδέχοντο τὸ κήρυγμα.

Καὶ ἡ ἐλπίς.

Τουτέστιν, ὅσα ἂν πάσχητε θαρροῦμεν ὅτι οὐ παρατραπήσεσθε, οὔτε ὑπὲρ ὧν ὑμεῖς πάσχετε, οὔτε ὑπὲρ ὧν ὑμᾶς πάσχοντας ὁρᾶτε.

Ἄνω εἰπὼν ὅτι ὑπὲρ τῆς ὑμῶν σωτηρίας θλιβόμεθα, ἵνα μὴ δόξῃ ἐπαχθής τις εἶναι· νῦν λέγει, ὅτι καὶ ὑπὲρ τῆς ὑμῶν σωτηρίας παρακαλούμεθα, ἵνα μὴ ἀπαγορεύσαντες ἀμελήσωμεν τῆς σωτηρίας ὑμῶν, ἢ ἵνα παραβληθῆτε ὁρῶντες ἡμᾶς ὑπὸ τοῦ Θεοῦ παρακαλουμένους· ὥσπερ γάρ φησι, κοινωνοί ἐστε τῶν παθημάτων ἡμῶν, οὕτως ἔδει κατὰ τὸ ἀκόλουθον κοινωνοὺς εἶναι καὶ τῆς παρακλήσεως.

7 Ὥσπερ κοινωνοί ἐστε.

Τοῦτο γὰρ εἰδότες ἐσμὲν, ὅτι ὥσπερ ἐστὲ τῶν πειρασμῶν κοινωνοὶ, οὕτως ὑμᾶς ἐπάναγκες εἶναι δεῖ καὶ τῆς παρακλήσεως.

8 Οὐ γάρ.

Εἶτα ἐπειδὴ ἀπροσδιορίστως θλίψεως ἐμέμνητο, νῦν λέγει ποίας, ἵνα μηδὲν ἀνοεῖτε τῶν κατ' ἐμὲ, φησὶν, ὅπερ ἀγάπης ἐστὶν, ἢ ἵνα μὴ ἀγνοοῦντες τὰ συμβάντα ἡμῖν μέμνησθε διὰ τί κατὰ τὰς ὑποσχέσεις οὐκ ἤλθομεν πρὸς ὑμᾶς· τοῦτο καὶ ἐν τῇ προτέρᾳ ἔλεγεν Ἐπιστολῇ, ὅτι θύρα μοι ἀνέῳκται, καὶ ἀντικείμενοι πολλοί.

Μέγας ἦν, φησὶν, ὁ πειρασμὸς καὶ τὴν ἐμὴν ὑπερβαίνων δύναμιν. Ἔνι γὰρ καὶ μέγαν ὄντα φέρεσθαι γενναίως παρά τινος.

Ὥστε ἐξαπορηθῆναι.

Καὶ οὕτως ἦν, φησὶ, μέγας, ὡς καὶ αὐτοῦ τοῦ ζῇν ἐκδιωχθῆναι ἡμᾶς· τὸν δὲ τοιοῦτον ὁ Δαυὶδ πύλας ᾅδου καλεῖ, καὶ ὠδῖνας καὶ σκιὰν θανάτου.

Ἀλλὰ αὐτοὶ—

Τὸ ἀπόκριμα, τουτέστι, τὴν ψῆφον, τὴν κρίσιν· ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ἄχρις ἡμῶν, φησὶ, καὶ τῆς ἡμῶν ἐννοίας ἔστη ἡ τοῦ θανάτου προσδοκία· ὁ γὰρ Θεὸς οὐκ εἴασεν αὐτὴν εἰς ἔργον προελθεῖν, διδάσκων ἡμᾶς μὴ πεποιθέναι ἐπ' ἰδίᾳ δυνάμει ἢ βουλῇ, ἀλλ' ἐπ' αὐτῷ μόνῳ, ὅτι καὶ τὰ παρ' ἡμῖν ἀνέλπιστα καὶ ἀδύνατα αὐτῷ ῥᾴδια καὶ δυνατά· τοῦτο δὲ, φησὶ, τὸν Θεὸν πεποιηκέναι οὐχ ὡς αὐτοῦ Παύλου δεομένου μαθεῖν· τίς γὰρ αὐτοῦ μᾶλλον ᾔδει τῷ ἐπὶ μόνῳ Θεῷ ἐλπίζειν; ἀλλ' ἵνα δι' ἡμῶν οἱ ἄλλοι τοῦτο μάθωσι· καὶ οὕτως ἑαυτῶν, φησὶν, ἀπέγνωμεν παντελῶς, ἵνα τὴν ἐλπίδα ἐπὶ μόνῳ Θεῷ σχῶμεν· ὁ δὲ ἑαυτοῦ προαπογινώσκων, πῶς ἂν οἰκείᾳ βουλῇ ἢ δυνάμει ἢ ἀπολογίᾳ σώζεσθαι ἐλπίσιν ὡς ἐξακολούθον τὸ ἅπαν ἑαυτοῦ ἐκδοῦναι Θεῷ.

9 Ἀλλὰ αὐτὸν ἐν ἑαυτοῖς.

Τὸ ἀπόκριμα, τὴν ψῆφον, τὴν προσδοκίαν, τὴν κρίσιν· τοιαύτην ἠφίει τὰ πράγματα φωνήν· τοιαύτην ἀπόκρισιν ἐδίδου τὰ συμβάντα ὅτι ἀποθανούμεθα πάντως, οὐ μὴν μέχρι τῆς πείρας ἐξέβη τοῦτο, ἀλλὰ μέχρι τῆς ὑπονοίας ἔστη τῆς ὑμετέρας· ἡ μὲν γὰρ τῶν πραγμάτων φύσις τοῦτο ἀπεφήνατο· ἡ δὲ τοῦ Θεοῦ δύναμις οὐκ ἀφῆκε τὴν ἀπόφασιν εἰς ἔργον ἐλθεῖν, ἀλλὰ τῇ διανοίᾳ ἡμῶν τοῦτο συμβῆναι συνεχώρησε· διὸ καὶ ἐν ἑαυτοῖς, φησὶ, τὸ ἀπό-

κριμα τοῦ θανάτου ἐσχήκαμεν. Ἅμα μὲν ἐμφαίνει τὸ τοῦ κινδύνου μέγεθος, μονονουχὶ λέγων, ὅτι νεκροὺς γενομένους ἀνέστησεν, ἅμα δὲ καὶ τοῦ τῆς ἀναστάσεως αὐτοὺς ὑπομιμνήσκει λόγου, ὃν πολὺν ἐποιήσατο ἐν τῇ πρώτῃ Ἐπιστολῇ. Οὐκ εἶπε κινδύνου, ἀλλὰ θανάτου, ὅπερ καὶ τὸ ὑπερέχον τῶν κινδύνων δηλοῖ, καὶ τὴν ἀνάστασιν πάλιν παρετίθει, ὡσεὶ ἔλεγε, τί ἀπιστοῦσί τινες τῇ ἀναστάσει; ἤδη δίδωσι δείγματα ταύτης ὁ Θεός· ἡμᾶς γὰρ τῷ ὅλῳ μέρει νεκρωθέντας ἤγειρεν.

10 Ἔτι ῥύσεται.

Τοῦτο δείκνυσι τὸν αὐτοῦ βίον ἀεὶ ὄντα ἐν προσδοκίᾳ θλίψεων· τὸ γὰρ "ῥύσεται" εἰδότος ἦν ἀεὶ ἕξειν πειρασμούς. Ὅρα δὲ ταπεινοφροσύνην· Παῦλος τῆς Κορινθίων εὐχῆς τὴν συνέργειαν αἰτεῖ· τοῦτο δέ ἐστι καὶ διδάσκοντος τῆς εὐχῆς τὸ ἀναγκαῖον.

Ῥύσεται δὲ ἡμᾶς ὁ Θεὸς, καὶ ὑμῶν εἰς τὴν εὐχὴν συνεργούντων, ἵνα, φησὶ, κοινὴν τὴν χάριν ἐμοί τε καὶ ὑμῖν παράσχῃ, ἵνα ἐν πολλῷ προσώπῳ, τουτέστι, διὰ πολλῶν προσώπων τῶν ὑμετέρων δηλονότι εὐχαριστηθῇ ὁ Θεὸς ὑπὲρ τῆς εἰς ἐμὲ χάριτος.

12 Ἡ γὰρ καύχησις.

Ἐπειδὴ εἶπεν ἄνω διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ ἠλεῆσθαι, ἵνα μὴ ταύτῃ τὸν ἀκροατὴν ῥᾳθυμότερον ποιήσῃ, λέγει, δεῖ καὶ οἴκοθεν ἔχειν τῆς σωτηρίας τὰς ἀφορμὰς ἀπὸ συνειδότος Χριστοῦ· τὸ μαρτύριον γὰρ, φησὶ, τῆς συνειδήσεως ἡμῶν, ὡσεὶ ἔλεγε, τὸ συνειδὸς ἡμῶν μαρτυροῦν ἡμῖν ἀγαθὰ, καὶ ὅτι ἐν ἁπλότητι ἀνεστράφημεν ἐν τῷ κόσμῳ, μεγίστην παρακλήσεως πρόφασιν δέδωκεν ἡμῖν, μᾶλλον δὲ οὐ παρακλήσεως μόνον, ἀλλὰ καυχήσεως.

Ἐν ἁπλότητι—

Ἄνευ δόλου, ἄνευ ἐπικαλύμματός τινος καὶ ὑποκρίσεως.

Οὐκ ἐν σοφίᾳ.

Οὐκ ἐν δεινότητι καὶ στροφῇ λόγων, συσκιαζούσῃ τὴν ἀλήθειαν ἀνεστράφημεν· ὅρα δέ· ἐφ' οἷς μέγα ἐφρόνουν οἱ ψευδαπόστολοι, ταῦτα αὐτὸς ἀποσείεται καὶ φεύγει· ἀλλ' ἐν χάριτι Θεοῦ· τουτέστι σημείοις καὶ τέρασιν, ἅτινα ἦν χαρίσματα Θεοῦ.

Περισσοτέρως.

Πῶς; ὅτι μετὰ τῶν σημείων ἔτι καὶ ἀδάπανον παρ' αὐτοῖς τὸ εὐαγγέλιον ἐκήρυξε, καὶ ὅρα, ὅπερ ἦν αὐτοῦ κατόρθωμα, τοῦτο τῇ χάριτι τοῦ Θεοῦ ἀνατίθησιν.

13 Οὐ γὰρ ἄλλα γράφομεν.

Ἐπειδὴ μέγα ἐφθέγξατο περὶ ἑαυτοῦ, ἵνα μή τις νομίσῃ κόμπον αὐτὰ ῥημάτων εἶναι χηρεύοντα τῶν ἔργων, αὐτοὺς τοῦ ἀληθεύειν παράγει μάρτυρας· οὐ γὰρ ἄλλα ἐγράφομεν ὑμῖν, τουτέστι ξένα καὶ ἀλλότρια ἡμῶν· ἐγεγραφήκει γὰρ πρότερον ὡς ἀδάπανον ἐκήρυξε τὸ Εὐαγγέλιον παρ' αὐτοῖς, ἀλλ' ἐκεῖνα, φησὶν, ὑμῖν ἐγράφομεν, "ἃ ἀναγινώσκετε," τουτέστιν, ἃ ὑπομιμνήσκεσθε εἶναι παρ' ἡμῖν· ἀνάγνωσις γάρ ἐστιν ἡ ὑπόμνησις, ἡ ἄνωθεν γνῶσις· καὶ τί λέγω, φησὶν, ἅτινα ὑπομιμνήσκεσθε, ἅτινα μὲν οὖν ἐπιγιγνώσκετε εἶναι ἡμῶν ἴδια, μήτε ὑπομνησθῆναι δεόμενοι διὰ τὸ πρόδηλον αὐτῶν, ἀλλὰ ἀκριβῶς εἰδότες καὶ πρὸ ὑπομνήσεως.

Ἐλπίζω δὲ—

Ὁρᾷς ὅτι οὐδὲν ἐπηρμένον λαλεῖ, ἀλλὰ τῷ Θεῷ ἀνατίθησι τὸ πᾶν. Ἐλπίζω γὰρ, φησὶν, εἰς τὸν Θεὸν, ὅτι ἕως τέλους ἐπιγνώσεσθε ἡμᾶς τοιούτους ὄντας, οἵους αἱ ἐπιστολαὶ δηλοῦσι, καὶ ὁ παρελθὼν δηλοῦται βίος· καθὼς φησὶν ἀπὸ μέρους, οἷον ἐκ μέρους ἔγνωτε· μετριάζει δὲ τοῦτο λέγων. Εἶτα ἵνα μὴ φορτικὸς εἶναι δόξῃ, περὶ ἑαυτοῦ λέγων, κοινὰ τὰ αὐτοῦ ποιεῖται κατορθώματα. Εἰ γὰρ τοιοῦτος, φησὶ, δειχθῶ, οἷον εἴρηκα ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου, οἷον ἐν τῇ κρίσει· οὐδὲ γὰρ δεῖ, φησὶ, τὰ παρόντα σκοπεῖν, οἷον τὰς ὕβρεις, τὰ ὀνείδη, ἃς ἀκούομεν οἱ Ἀπόστολοι· εἰ τοιοῦτοι γὰρ οὖν δειχθῶμεν, καύχημα ὑμῶν ἐσμεν· πῶς; ὅτι τοιούτων ἠπορήσατε διδασκάλων τῶν οὐδὲν ἀνθρώπινον διδαξάντων· καὶ ἡμεῖς δὲ ἐν ὑμῖν καυχησόμεθα, ὅτι τοιούτων ἠπορήσαμεν μαθητῶν τῶν μὴ σαλευομένων ἢ σκανδαλιζομένων ἐν τῷ πάσχειν κακῶς τοὺς αὐτῶν διδασκάλους.

ΚΕΦ. Β.

Περὶ ἀγάπης τῆς πρὸς αὐτοὺς καὶ φειδοῦς εἰς τὸ μὴ λυπεῖν, εἰ καὶ λυπῶν ὠφελεῖ, ὡς ἐπὶ τοῦ διὰ πορνείαν ἐπιτιμηθέντος, ᾧ καὶ συγχωρεῖ.

15 Καὶ ταύτῃ τῇ πεποιθήσει ἐβουλόμην πρὸς ὑμᾶς ἐλθεῖν πρότερον.

Ποίᾳ ταύτῃ θαρρήσει; ποίᾳ; τὸ καυχᾶσθαι ἐφ' ὑμῖν, τὸ καύχημα ἡμῶν εἶναι τὸ ἀγαπᾷν ὑμᾶς, τὸ μηδὲν ἑαυτῷ πονηρὸν συνειδέναι.

Ἵνα δευτέραν χάριν ἔχητε.

Τήν τε διὰ τῆς προτέρας Ἐπιστολῆς καὶ διὰ τῆς παρουσίας.

16 Καὶ δι' ὑμῶν ἐλθεῖν—

Καίτοι ἐν τῇ προτέρᾳ Ἐπιστολῇ εἰρήκει, "ἐλεύσομαι δὲ πρὸς "ὑμᾶς, ὅταν Μακεδονίαν διέλθω." Ἐνταῦθα δέ φησιν, ὅτι ἐβουλόμην πρότερον ἐλθεῖν πρὸς ὑμᾶς· τί οὖν ἑαυτῷ ἐναντιοῦται; μὴ γένοιτο, ἀλλὰ τοῦτο λέγει, τοσοῦτον, φησὶν, ἀπέσχον τοῦ ῥᾳθυμῆσαι ἐλθεῖν πρὸς ὑμᾶς, ὅτι ὅσον ἧκεν εἰς τὴν ἐμὴν γνώμην, καὶ πρὶν Μακεδονίαν ἴδω, ἐλθεῖν πρὸς ὑμᾶς ἤθελον· ἀλλ' οὐκ ἀπέβη μοι, φησὶ, κατὰ γνώμην τὰ πράγματα. Ἵνα διπλῆν χάριν ἔχητε, καὶ τὴν διὰ τῶν γραμμάτων καὶ τὴν διὰ τῆς παρουσίας· χάριν δὲ τὴν χαρὰν λέγει.

Ἐν τῇ προτέρᾳ Ἐπιστολῇ εἶπεν, ἵνα ὑμεῖς με προπέμπητε οὗ ἐὰν πορεύωμαι· νῦν λέγει ποῦ ἤμελλε πορεύεσθαι, ὅτι ἐν τῇ Ἰουδαίᾳ. καὶ γὰρ τότε ἠγνόει ποῦ κελεύεται ὑπὸ τοῦ Πνεύματος ἀπελθεῖν· νῦν δὲ ἠκηκόει· λοιπὸν ὁρᾷς αὐτὸν Πνεύματι πανταχοῦ ἀγόμενον.

17 Μή τι ἄρα τῇ ἐλαφρίᾳ.

Τοῦτο οὖν βουλόμενος τὸ ἐλθεῖν πρὸς ὑμᾶς, τίνος ἕνεκεν οὐκ ἦλθον, ἀλλὰ ὡς ἐλαφρὸς καὶ εὐρίπιστος καὶ τοῖς οἰκείοις ἐναντιούμενος λόγοις; μὴ γένοιτο· ἀλλὰ τί τὸ αἴτιον; ὅτι ἃ βουλεύομαι, φησὶν, οὐ κατὰ σάρκα βουλεύομαι, ἵνα ᾖ παρ' ἐμοὶ τὸ ναὶ ναὶ, καὶ τὸ οὒ οὔ· ὅπερ αὐτὸς ἐρωτηματικῶς τέθεικε· καὶ τί βούλεται, ὅρα. Ὁ σαρκικὸς, φησὶν, ἄνθρωπος, καὶ κατὰ σάρκα βουλευό-

μενος, οἷον ὁ μὴ ἀγόμενος πρὸς τὰ πρακτέα τῇ ἐνεργείᾳ τοῦ Πνεύματος, κύριός ἐστιν ἑαυτοῦ ἀπιέναι ὅπου βούλεται· ὁ δὲ ἐκ Πνεύματος ἀγόμενος οὐκ ἔχει ἐξουσίαν βαδίζειν ὅπου θέλει· δεσπότῃ γὰρ ὑποτέτακται Παρακλήτῳ, καὶ τῷ αὐτοῦ νεύματι εἴκειν ἀναγκάζεται· ὥστε τὸ ἐλθεῖν οὐχ ὡς εὐρίπιστος καὶ ἐλαφρὸς καὶ ψευδολόγος ὑπερεθέμην, ἀλλὰ τοῦ Πνεύματος, ᾧ ἄγομαι ἡ αἰτία, τοῦ ἀλλαχοῦ ἤπερ ἐβουλόμην ἄξαντος. Ὅρα δὲ σοφίαν· ὅπερ οἱ διαβάλλοντες πρόφασιν λοιδορίας ἐποιοῦντο τὸ ὑποσχόμενον μὴ ἐλθεῖν, τοῦτο αὐτὸς πρόφασιν ἐγκωμίου ποιεῖται τὸ μὴ ἐξουσιάζειν ἑαυτοῦ, ἀλλ' ἄγεσθαι ὑπὸ τοῦ Πνεύματος ὅπου αὐτῷ δόξει.

Ἵνα ᾖ παρ' ἐμοὶ τὸ ναὶ ναί.

Τί οὖν ὁ Παῦλος ὑπισχνούμενος, οὐ μετὰ τῆς ἐνεργείας τοῦ Πνεύματος ὑπισχνεῖτο, ἀλλ' ἀγνοῶν εἰ πληρώσει τὰς ὑποσχέσεις; φαμὲν ὅτι οὐ πάντα προῄδει ὁ Ἀπόστολος· τοιγαροῦν καὶ εὔχεται ἀσύμφορα ὡς ἐπὶ τοῦ σκόλοπος τῆς αὐτοῦ σαρκὸς, καὶ πάλιν, τὸ γὰρ "τί προσεύξομαι καθὸ δεῖ, οὐκ οἶδα·" καὶ ἐν ταῖς Πράξεσι δὲ δείκνυται ἀπελθεῖν βουλόμενος ποῦ, καὶ κωλυόμενος ὑπὸ τοῦ Πνεύματος· τοῦτο δὲ συμφερόντως ἐγένετο, ἵνα μή τινες μείζους αὐτοὺς ὑπολάβωσι τῆς ἀνθρωπίνης φύσεως· καὶ γὰρ ἀποτυγχάνουσιν αὐτοῖς, πολλάκις θύειν ἠβούλοντο αὐτοῖς ὡς θεοῖς ἐν Λυκαονίᾳ.

18 Πιστὸς δὲ ὁ Θεὸς, ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο ναὶ καὶ οὔ.

Ἀνακύπτουσαν ἀντίθεσιν λύει· εἰ ἀγνοεῖς, φησὶν, εἰ ἔσται ἃ ἐπηγγέλῃ καὶ πολλάκις λέγεις ἐν πράγματι ναὶ, καὶ εὑρίσκεται οὔ· δεδοίκαμεν μή πως καὶ ὁ λόγος σου, τουτέστιν ὁ κηρυχθεὶς ἡμῖν περὶ τῆς πίστεως, ναὶ καὶ οὔ ἐστι· καί φησι, τὸ μὲν ἐπαγγείλασθαι ἐλθεῖν, ἐμὸν ἦν· διὸ καὶ ἀπέτυχε· τὸ δὲ κήρυγμα τοῦ Θεοῦ ἔστι, καὶ οὐκ ἀποτεύξεται· πιστοῖς γὰρ, φησὶν, ὁ Θεὸς, τουτέστιν, ἀληθὴς, ὅτι ὁ λόγος ἡμῶν, ἐπειδή φησιν ὁ λόγος καὶ τὸ κήρυγμα ἡμῶν οὐ γέγονε ναὶ καὶ οὔ· ἀλλὰ ναὶ ἔσται καὶ ναί· διὰ τοῦτο γὰρ ἀληθὴς, ἐπειδὴ οὐ γέγονε ναὶ καὶ οὔ· καὶ λοιπὸν λέγει, ποῖος λόγος οὐ γέγονε ναὶ καὶ οὔ, ἀλλ' ἀσάλευτος ἔμεινεν.

ὁ γὰρ Υἱὸς τοῦ Θεοῦ φησιν, ὁ ἐν ὑμῖν κηρυχθεὶς οὐ γέγονε ναὶ καὶ οὔ, τουτέστιν, οὐ νῦν μὲν ὧδε, ἄλλοτε δὲ τοιῶσδε κεκήρυκται, ἀλλὰ ναὶ ἐν αὐτῷ, τουτέστιν, ἀπαρασάλευτα τὰ εἰς αὐτὸν κηρυχθέντα γεγένηται· διὰ τοῦτο δὲ τὸ πλῆθος τῶν κηρυξάντων καταλέγει· ταύτῃ ποιῶν ἀξιόπιστον τὸ κήρυγμα, καὶ ταπεινοφροσύνην ἐπιδεικνύμενος, ὅτι τοὺς ἑαυτοῦ μαθητὰς κοινωνοὺς τοῦ κηρύγματος ὀνομάζει· "δι' ἐμοῦ" γάρ, φησι, "καὶ Σιλουανοῦ "καὶ Τιμοθέου." Οὐκ ἀνέτρεψα, φησὶν, ἃ πρότερον εἶπον ἐν τῷ κηρύγματι· οὐδὲ νῦν μὲν τοῦτο, νῦν δὲ ἄλλο διελέχθην ὑμῖν· τοῦτο γὰρ οὐκ ἔστι πίστεως, ἀλλὰ πεπλανημένης διανοίας· ἀλλὰ καὶ ἐν αὐτῷ γέγονε, τουτέστιν ὅπερ εἶπον ἀπαρασάλευτον καὶ βέβαιον μένει.

20 Ὅσαι γὰρ ἐπαγγελίαι Θεοῦ.

Ἐν τῷ κηρύγματι πολλὰ ἐστὶ τὰ ἐπαγγελλόμενα, ἀνάστασις νεκρῶν, υἱοθεσία, ἐλπίδες τοῦ μέλλοντος αἰῶνος· φησὶν οὖν· οὐ μόνον τὸ κήρυγμα ἀεὶ ὡσαύτως ἔχει τε καὶ κεκήρυκται, ἀλλὰ καὶ αἱ ἐν αὐτῷ ἐπαγγελίαι· Θεοῦ γάρ εἰσιν· ἢ τὰς ἐπαγγελίας, αὐτὸ τὸ κήρυγμα λέγει· ὁ γὰρ σύνδεσμος ὁ "γὰρ" τοῦτο δηλοῖ· πρόπαλαι γὰρ ἡ εἰς Χριστὸν πίστις ἐπήγγελτο.

Ἐν αὐτῷ τὸ ναὶ, καὶ ἐν αὐτῷ τὸ ἀμήν.

Ὅσαι γὰρ, φησὶν, ἐπαγγελίαι Θεοῦ ἐν αὐτῷ τῷ Θεῷ, τουτέστι δι' αὐτοῦ τοῦ Θεοῦ τὸ ναὶ καὶ τὸ ἀμὴν ἔχουσι· τὸ γὰρ πληροῦσθαι ἔχουσαι τὸ ναὶ καὶ τὸ ἀμὴν ἔχουσιν εἰς τὸ γενέσθαι δόξαν τῷ Θεῷ δι' ἡμῶν. Ἢ οὕτως. Ὅσαι γὰρ ἐπαγγελίαι Θεοῦ ἐν αὐτῷ ἔχουσι τὸ ναὶ καὶ τὸ ἀμὴν δι' ἡμῶν. ὡσεὶ ἔλεγεν αὐτὸς μὲν τὸ ναὶ ταῖς οἰκείαις δίδωσιν ἐπαγγελίαις· δι' ἡμῶν δὲ τοῦτο ποιεῖ εἰς τὸ δοξασθῆναι τὸν Θεὸν, ὅτι δι' ἀνθρώπων τὰ τοσαῦτα ποιεῖ.

21 Ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστόν.

Ἐπειδὴ εἶπε δι' ἡμῶν πληροῦνται αἱ ἐπαγγελίαι, ἐπιδιορθοῦται αὐτῷ φησὶ, δι' ἡμῶν μὲν ὡς διακόνων ποιεῖ· αὐτὸς δὲ ὁ Πατὴρ ὁ βεβαιῶν καὶ ὑμᾶς καὶ ἡμᾶς εἰς τὴν τοῦ Υἱοῦ αὐτοῦ πίστιν, αὐτὸς τὰς ἐπαγγελίας πληροῖ, ὀργάνοις ἡμῖν χρώμενος· τὸ γὰρ πληροῖ συνυπακουστέον, ἵνα ᾖ οὕτως, ὁ βεβαιῶν ἡμᾶς καὶ ὁ δοὺς, αὐτὸς πληροῖ τὰς οἰκείας ὑποσχέσεις.

22 Καὶ χρίσας ἡμᾶς Θεὸς, ὁ καὶ σφραγισάμενος ἡμᾶς.

Οἱ χριόμενοι ἐν τῇ παλαιᾷ ἢ ἱερεῖς ἢ προφῆται ἢ βασιλεῖς ἐγίνοντο· καὶ νῦν φησι, χριόμεθα, ἵνα πάντα γενώμεθα, βασιλεῖς μὲν καὶ ἄρχοντες τῶν παθῶν, ἱερεῖς δὲ τὰ οἰκεῖα ἱερουργοῦντες σώματα, κατὰ τὸ "παραστήσατε τὰ μέλη ὑμῶν θυσίαν ζῶσαν." προφῆται δὲ τὰ μεγάλα μυστήρια διδασκόμενοι. χρίει δὲ καὶ σφραγίζει ὁ Πατὴρ διὰ τοῦ Ἁγίου Πνεύματος· ταῦτα γὰρ, φησὶν, ἡ χρίσις καὶ ἡ σφραγὶς ἀρραβών ἐστι τοῦ παρακλήτου. Διὰ τοῦτο δὲ οὐκ εἶπε τὸ Πνεῦμα δοὺς, ἀλλ' ἀρραβὼν Πνεύματος, βεβαιῶν τὰς μελλούσας ἐλπίδας. Ὁ γὰρ ἀρραβὼν εἴωθε βεβαιοῦν τὸ πᾶν σύνταγμα· τοιγαροῦν καὶ ὁ νῦν ἀρραβὼν τοῦ Πνεύματος πιστοῦται ἡμῖν τὰ μέλλοντα, "ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ "οὖς οὐκ ἤκουσε."

Καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν.

Ἔξωθεν συνυπακουστέον αὐτός ἐστιν ὁ πληρῶν τὰς οἰκείας, φησὶν, ὑποσχέσεις.

23 Ἐγὼ δὲ μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχὴν, ὅτι φειδόμενος ὑμῶν, οὐκέτι ἦλθον εἰς Κόρινθον.

Ἄνω εἰπὼν διὰ τὸ μὴ ἔχειν ἑαυτοῦ ἐξουσίαν, ἀλλαχοῦ ἀποσταλεὶς ὑπὸ τοῦ Πνεύματος· πῶς νῦν λέγει "φειδόμενος ὑμῶν οὐκ "ἦλθον;" καὶ φαμὲν, ὅτι ὅτε ἀφέθη ὑπὸ τοῦ Πνεύματος ἀπελθεῖν, διὰ τὸ φείδεσθαι οὐκ ἀπῆλθεν· ἢ μετὰ τῆς κωλύσεως τοῦ Πνεύματος καὶ τοῦτο ἐκώλυσεν, ἢ καὶ εἰς τοῦτο ὑπ' αὐτοῦ ἐκωλύθη· ἦσαν γάρ τινες ἁμαρτήσαντες καὶ μὴ μετανοήσαντες, καὶ περιέμεινεν τὴν μετάνοιαν αὐτῶν, καὶ διὰ τοῦτο εἶπε "φειδόμενος." ἐπετέτραπτο γὰρ αὐτῷ καὶ τιμωρεῖσθαι τοὺς ἁμαρτάνοντας· καὶ μαρτυρεῖ Ἐλύμας ὁ μάγος.

24 Οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως.

Ἐπειδὴ ἀπονοίας ἐδόκει τὸ εἰπεῖν, φειδόμενος ὑμῶν· ἐκείνων γάρ τις φείδεται, ὧν ἔχει ἐξουσίαν, θεραπεύει αὐτὸ, καί φησιν, οὐ διὰ τὸ ἐξουσίαν ἔχειν τῆς πίστεως ὑμῶν εἶπον τὸ "φειδόμενος·" γνώμης γὰρ ἡ πίστις καὶ προαιρέσεως, καὶ οὐδεὶς ἀναγκάζει

πιστεῦσαι τὸν ἄκοντα· ἀλλ' ἐπειδὴ, φησὶ, συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν, διὰ τοῦτο εἶπον φειδόμενος ὑμῶν· τί δέ ἐστι τοῦτο, ὅρα· εὐφραινόμενος, φησὶν, εἰς ὑμᾶς, ἐγὼ συνεργῶ ὑμῖν εἰς τὸ καὶ ὑμᾶς χαίρειν ἐπὶ τῇ ἐμῇ δι' ὑμᾶς εὐφροσύνῃ· εἰ οὖν ἦλθον διὰ τοὺς ἁμαρτήσαντας, μηκέτι μὲν εὐφραινόμενος, πενθῶν δὲ, εἰς λύπην καὶ ὑμᾶς ἔβαλλον. Ἐφεισάμην οὖν ἐλθεῖν, ἵνα μὴ πρόφασις γένωμαι λύπης ὑμῖν.

Τῇ γὰρ πίστει ἑστήκατε.

Εἰπὼν, ὅτι "τῇ πίστει ἑστήκατε," ἐμφαίνει ὅτι ἐν ἄλλοις ἐσφάλλοντο, ὃ καὶ παρακατιὼν σαφηνίζει ἐν τῷ τῆς Ἐπιστολῆς τέλει.

1 Ἔκρινα δὲ ἐμαυτῷ τοῦτο, τὸ μὴ πάλιν ἐλθεῖν ἐν λύπῃ πρὸς ὑμᾶς.

Τὸ "πάλιν" δείκνυσι καὶ ἤδη λυπηθέντα αὐτὸν ἐπ' αὐτοῖς.

2 Εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς.

Θεραπευτικὸς ὁ λόγος· φησὶ γὰρ, εἰ καὶ λυπῶ ὑμᾶς ἐν τῷ ἐπιτιμᾷν ἀποστρέφεσθαι ὑμᾶς· πλὴν εὐφραίνομαι δι' αὐτὸ τοῦτο, ὅτι τοσοῦτον ὑμῖν ἐμοῦ μέλει, ὡς δάκνεσθαι ἐκ τῆς ἐμῆς ἀποστροφῆς καὶ λύπης.

Θεοδωρίτου. *Τί γὰρ μὲ, φησὶν, εὐφραίνει οὕτως, ὡς τῶν ἐγκαλουμένων ἡ αἴσθησις; τεκμηριοῖ γὰρ αὕτη τὴν ἐκ τῶν ἐγκλημάτων γινομένην ὠφέλειαν.*

3 Καὶ ἔγραψα ὑμῖν τοῦτο αὐτό.

Πότε ἔγραψε, καὶ τί; ἐν τῷ τέλει τῆς νῦν Ἐπιστολῆς· ἔγραψε δὲ τοὺς ἡμαρτηκότας ἐνάγων εἰς μετάνοιαν· μὴ ἐλθόντα γάρ με, φησὶ, πάλιν ταπεινώσει ὁ Θεός μου, καὶ πενθήσω πολλοὺς τῶν προαμαρτησάντων καὶ μὴ μετανοησάντων· τοῦτο οὖν, φησὶ, προέγραψα, ἵνα διορθώσωνται καὶ μὴ λύπην σχῶ ἀφ' ὑμῶν ἀφ' ὧν κατορθούντων χαίρειν ἔδει.

Πεποιθὼς ἐπὶ πάντας ὑμᾶς.

Καὶ τοῦτο βουλόμενος, φησὶν, οὐ χάριν τοῦ ἐμὲ μόνον εὐφρανθῆναι βούλομαι, ἀλλὰ καὶ ὑμᾶς· πέποιθα γὰρ, ὅτι ἡ διόρθωσις τῶν ἀδελφῶν καὶ ἐμοὶ τίκτει χαρὰν καὶ ὑμῖν· ἡ γὰρ ἐμὴ χαρὰ

πρόφασις γίνεται καὶ ὑμετέρας χαρᾶς· οὕτω με, φησὶν, ἀγαπᾶτε.

4 Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων.

Ἐπεὶ οὖν ἡ διόρθωσις τῶν ἀδελφῶν κοινῆς χαρᾶς πρόξενος γίνεται, πάνυ αὐτῆς ἐρῶ, καὶ μὴ γινομένης, ἀλγῶ καὶ τρύχομαι· τοιγαροῦν τὰς ἐγκλήσεις καὶ ἐπιτιμήσεις ἃς ἔγραψα, "ἀπὸ θλί-"ψεως καὶ συνοχῆς καρδίας ἔγραψα" οὐχ ἵνα λυπηθῆτε σπουδάζων· τοῦτο γὰρ καὶ ἄλλως ἀνόητον· ἀλλ' ἵνα πνευματικῶς καὶ ἐπὶ διορθώσει λυπηθῆτε. ἀλλὰ τοῦτο μὲν οὐ λέγει, θεραπεῦσαι δὲ αὐτοὺς θέλων, φησὶν, ἵνα τὴν ἀγάπην μου γνῶτε· τὸ γὰρ ἐμὲ ἀδημονεῖν καὶ κατατρύχεσθαι ἐφ' οἷς ἁμαρτάνετε ὑμεῖς, δεῖγμα μεγίστης ἀγάπης καθέστηκε.

Ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς.

Πλεῖον, φησὶ, τῶν λοιπῶν μου μαθητῶν· καὶ γὰρ πολλοὶ ἦσαν ἐν Κορίνθῳ πιστοὶ καὶ δόκιμοι.

5 Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν.

Βούλεται διὰ τούτων ἀγάπην κυρωθῆναι εἰς τὸν πεπορνευκότα, περὶ οὗ ἔγραψεν ἐν τῇ πρώτῃ Ἐπιστολῇ· καὶ γὰρ πάντες αὐτὸν ἦσαν ἀποστραφέντες ταῖς τούτου κελεύσεσι· καὶ ὅρα τί ποιεῖ, κοινωνοὺς αὐτοὺς ποιεῖται τῆς λύπης ὡς κοινῇ πάντων λυπηθέντων τῶν ἐπὶ τῷ γενομένῳ, ἵνα καὶ τῆς διδομένης συγγνώμης γίγνωνται κοινωνοί. "Εἰ δέ τις λελύπηκε," φησὶ, τὸν πεπορνευκότα λέγων, οὐκ ἐμὲ λελύπηκε μόνον, ἀλλὰ καὶ ὑμᾶς ἐν μέρει· τοῦτο γὰρ δηλοῖ τὸ "ἀπὸ μέρους·" ἐν μέρει δὲ εἶπον, φησὶν, ἵνα μὴ ἐπι-"βαρῶ," τουτέστιν, ἐπιπαροξύνω κατ' αὐτοῦ πάντας ὑμᾶς. Ἢ οὕτως μεθ' ὑπερβατοῦ· λελύπηκε πάντας ὑμᾶς ἐν μέρει, τοῦτο δὲ εἶπον, ἵνα μὴ ἐπιβαρήσω τὸν πεπορνευκότα ἐκ τοῦ λέγειν τοσοῦτον αὐτὸν λαὸν λελυπηκέναι.

Θεοδωρίτου: Εἰ καὶ τὶ εἰπεῖν ἠβουλήθην, καὶ δεῖξαι πᾶν τὸ σῶμα τῆς ἐκκλησίας κοινωνῆσαν τῆς λύπης, ἀλλὰ τοὺς ἄλλους καταλιπὼν αὐτῶν ἐμνημόνευσε μόνον· τοῦτο γὰρ δηλοῖ τὸ "ἀπὸ

“ μέρους,” καὶ “ ἵνα μὴ ἐπιβαρῶ·” εἶτα τὴν πατρικὴν φιλοστοργίαν γυμνοῖ λέγων, “ ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη.”

Διὰ τοῦτο τὸ ὄνομα αὐτοῦ οὔτε ἄνω οὔτε ὧδε τίθησιν, αὐτοῦ φειδόμενος, μή πως τῇ ὀνομασίᾳ αὐτοῦ πάλιν ἀναζέσῃ ὁ κατ' αὐτοῦ τῶν Κορινθίων θυμός.

7 Ὥστε τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι καὶ παρακάλεσαι.

Μὴ μόνον, φησὶ, λύσητε τὴν ἐπιτίμησιν, ἀλλὰ καὶ παρακαλέσατε αὐτὸν, καὶ ἐν τῇ προτέρᾳ ἔχετε τάξει· ἐναντίον δὲ ἡ παράκλησις τῆς ἐπιτιμήσεως· ὅρα δὲ, ἵνα μὴ νομίσῃ ὁ πεπορνευκὼς ἱκανῶς μετανενοηκέναι καὶ τοῦ λοιποῦ ῥᾳθυμότερος γένηται, φησὶ, “ χαρίσασθαι,” εἰ καὶ μὴ ἄξιον, φησὶν, ἐστὶ λαβεῖν κατὰ ὀφειλὴν τὴν συγγνώμην.

Μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος.

Ὡς ὁ Ἰούδας ἀπὸ τῆς ἀμέτρου λύπης· ἢ “ καταποθῇ,” ὑπὸ τοῦ Σατανᾶ· δηλοῖ δὲ ἄφατον τὴν λύπην τοῦ πεπορνευκότος.

8 Διὸ παρακαλῶ ὑμᾶς.

Οὐκέτι ὡς διδάσκαλος κελεύει, ἀλλ' ὡς συνήγορος δικαστὰς παρακαλεῖ.

Κυρῶσαι εἰς αὐτὸν ἀγάπην.

Μὴ ἁπλῶς, ἀλλὰ παγίως· μεγίστην δὲ τοῦτο δείκνυσι Κορινθίων ἀρετὴν, ὅτι οὕτω μετεβλήθησαν, ὥστε ἐφ' ᾧ πρότερον ἐφυσιοῦντο, “ καὶ ὑμεῖς γὰρ πεφυσιωμένοι ἐστὲ,” νῦν ἔχθραν ἄσπονδον ἔχειν.

9 Ἵνα γνῷ τὴν δοκιμὴν ὑμῶν.

Τὴν ἐν τῇ ἀκοῇ δηλονότι εἰς τοῦτο ἔγραψα, τουτέστι, διὰ τοῦτο, φησὶν, ἔγραψα ὑμῖν ταῦτα, ἵνα γνῷ ἄρα ὥσπερ ἠκούσατέ μου καὶ ἀπεκόψατε ἑαυτοὺς ἀπ' αὐτοῦ, οὕτως μου ἀκούσεσθε καὶ εἰς τὸ δέξασθαι αὐτόν. καί τοι οὐ μόνον διὰ τὴν ἐκείνου σωτηρίαν, ἵνα μὴ “ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ” ἔγραψεν, ἀλλὰ προτρέψασθαι αὐτοὺς πρὸς τὸ πεισθῆναι βούλεται.

10 Ὧι δέ τι χαρίζεσθε, καὶ ἐγώ.

Ὅρα, αὐτοὺς μὲν ἐν πρωτοτύπῳ τέταχεν, ἑαυτὸν δὲ ἐν παρε-

πομένῳ. Εἶτα ἵνα μὴ ἀκούσαντες "ᾧ δέ τι χαρίζεσθε," νομίσωσι κύριοι εἶναι τοῦ ἀπολύειν καὶ μὴ, καὶ ἑαυτὸν προστίθησι, τῷ εἰπεῖν "καὶ ἐγὼ" δι' ὑμᾶς, φησὶ, κεχάρισμαι. Ἤιδειν γὰρ χαριζόμενος καὶ ὑμῖν ἐκ τούτου. εἶτα ἵνα μὴ νομισθῇ δι' ἀνθρώπους συγκεχωρηκέναι, ἐπάγει, "ἐν προσώπῳ Χριστοῦ," τουτέστι κατὰ Χριστὸν τοῦτο ποιήσας, ὡς καὶ ἐπ' ὄψεσι Χριστοῦ πράττων, ἢ ἐν προσώπῳ Χριστοῦ, τουτέστιν, εἰς δόξαν Χριστοῦ, ἵνα αὐτοῦ τὸ ὄνομα καὶ οἷον τὸ πρόσωπον· ἐπὶ φιλανθρωπίᾳ δοξασθῇ. καὶ γὰρ δόξα Χριστοῦ τὸ τῶν μαθητῶν αὐτοῦ φιλάνθρωπον. Εἰ οὖν εἰς δόξαν Χριστοῦ γίνεται τὸ γινόμενον, πῶς δύνασθε μὴ συγγνῶναι καὶ δέξασθαι αὐτόν;

Ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ.

Τοῦτο δὲ λέγω, "ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ." εἰ γὰρ εἰάθη οὗτος, καὶ ἐκ τῆς περισσοτέρας λύπης κατεπόθη, ἐμέλλομεν πλεονεκτεῖσθαι ὑπὸ τοῦ διαβόλου· τὰ μὴ αὐτοῦ γὰρ λαμβάνων, ἐμείου τὴν ποίμνην τοῦ Χριστοῦ, καὶ τοῦ σώματος ἡμῶν ἀφήρητο· πάντες γὰρ ἀλλήλων μέλη ἐστὲ, φησίν.

Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνόουμεν.

Ὅτι ποικίλα καὶ δολερὰ καὶ κακομήχανα· οὐ γὰρ μόνον ἐκ τοῦ εἰς πορνείαν ἐμβάλλειν ὑποσκελίζει, ἀλλὰ καὶ ἐκ τῆς ἐπὶ τῇ μεταμελείᾳ λύπης δύναται εἰς ἀπόγνωσιν σκελίσαι, ὅταν ἄμετρος ᾖ· ὅταν οὖν καὶ ἐξ ὧν ἁμαρτάνομεν καὶ ἐξ ὧν μεταμελώμεθα ἁλώσιμοι αὐτῷ ἐσμεν, πῶς οὐχὶ πλεονεκτώμεθα;

ΚΕΦ. Γ.

Περὶ τῆς δι' αὐτοῦ ὠφελείας τοῖς ἐπιτηδείοις δι' ἧς καὶ συνίστασθαι φησίν.

12 Ἐλθὼν δὲ εἰς τὴν Τρωάδα, εἰς τὸ Εὐαγγέλιον τοῦ
Χριστοῦ, καὶ θύρας μοι ἀνεῳγμένης ἐν Κυρίῳ, οὐκ
13 ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου, τῷ μὴ εὑρεῖν με Τῖτον
τὸν ἀδελφόν μου.

Οὐχ ἁπλῶς ἀποδημήσας, ἀλλ' εἰς τὸ Εὐαγγέλιον, τουτέστιν ἐπὶ τὸ κηρύξαι.

Θέλει εἰπεῖν ὅτι πρὸς τοῖς πειρασμοῖς, καὶ ἡ ἀπουσία Τίτου

αὐτὸν ἔθλιβε· δεικνὺς ὅσον ἐστὶν ἀδελφοῦ στερεῖσθαι· πλὴν οὐκ εἶπεν, οὐκ ἐκήρυξα, ἤγουν τῆς σωτηρίας τῶν προσιόντων τῇ πίστει οὐκ ἐφρόντισα, ἀλλ' "οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου," τουτέστιν, ἐλυπούμην καὶ ἠδημόνουν· τὸ μέντοι κήρυγμα οὐ παρὰ τοῦτο ἐνεποδίζετο, καὶ τοσαύτη ἦν, φησὶ, λύπη ὅτι, καὶ θύρας μοι ἀνεῳγμένης, τουτέστι, καὶ μαθητῶν εὐπορῶν καὶ τοῦ λόγου τρέχοντος, ὅμως ἤλγουν ἐπὶ τῇ ἀπουσίᾳ Τίτου. *Τὸ ἐν προσώπῳ* Χριστοῦ, *ἢ εἰς δόξαν* Χριστοῦ, *ἢ ὡς τοῦ* Χριστοῦ *τοῦτο κελεύοντος, ὃ μάλιστα αὐτοὺς ἔπειθεν.*

Ἀλλὰ *ἀποταξάμενος αὐτοῖς, ἐξῆλθον εἰς* Μακεδονίαν.

Τὸ "*ἀποταξάμενος*" *οὐκ ἔστι τὸ ἑλόμενος μὴ κηρύξαι, ἄπαγε· οἷον γὰρ ἦν εἰ διὰ τὴν ἀπουσίαν* Τίτου *ἐνεποδίσθη τὸ κήρυγμα, ἀλλὰ ἀντὶ τοῦ, οὐ τοσοῦτον ἐπιμείνας πρὸς αὐτοὺς, ὅσον ἤθελον ἐκεῖνοι· τοῦτο μὲν ἴσως καὶ τοῦ* Πνεύματος *ἐπιτρέψαντος, πλὴν ἐποίει τι καὶ ἀπουσία* Τίτου· *ἴσως δὲ καὶ χρειώδης ἦν αὐτῷ τῷ κηρύγματι ὁ* Τίτος.

14 Τῷ δὲ Θεῷ χάρις.

Εἶτα *ἐπειδὴ πολλὰς κατέλεξε λύπας, τὰς ἐν* Ἀσίᾳ, *τὰς ἐν* Τρωάδι, *αὐτὸ τὸ μὴ ἐλθεῖν πρὸς αὐτοὺς, ἵνα μὴ νομίσωσιν εἶναι ταῦτα ὀλοφυρόμενα τὰ ῥήματα, ἐπάγει, "τῷ δὲ* Θεῷ *χάρις τῷ "θριαμβεύοντι ἡμᾶς," τουτέστιν, εὐχαριστοῦμεν τῷ* Θεῷ, *τῷ φανεροῦντι ἡμᾶς καὶ καταδήλους ποιοῦντι διὰ τοῦ πάσχειν κακῶς· φανεροῦντι δὲ μετὰ τῶν κατὰ τοῦ διαβόλου νικῶν καὶ τροπαίων· τοῦτο γὰρ ὁ θρίαμβος βούλεται, ἐν γὰρ τῷ πάσχειν κακῶς αἱ κατὰ τοῦ διαβόλου νῖκαι συνίστανται.* Ὅσον *γάρ τις πλεῖον πάσχει, πλεῖον νικᾷ.*

Τῷ *πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ* Χριστῷ,

Οἷον *διὰ τὸν* Χριστὸν, *διὰ τὸ κήρυγμα.*

Καὶ *τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ.*

Ἡ *ὀσμὴ τῆς γνώσεως δύο δηλοῖ· ὅτι τε τὸ κήρυγμα οὐράνιόν ἐστι μύρον, καὶ ὅτι οὐκ ἀνακεκάλυπται πᾶσι καὶ πρόδηλόν ἐστιν, ὅπερ καὶ ἀλλαχοῦ φησιν, "ἄρτι βλέπομεν δι' ἐσόπτρου ἐν αἰνί-"γματι."* Ὥσπερ *γὰρ ἡ ὀσμὴ δηλοῖ μὲν εἶναί που μύρον, τὴν*

δὲ οὐσίαν αὐτὴν οὐ δηλοῖ τοῦ πνέοντος, οὕτω καὶ ἡ διὰ τοῦ κηρύγματος γνῶσις δηλοῖ μὲν καὶ διδάσκει εἶναι Θεὸν, ὁποῖος δὲ τὴν οὐσίαν, οὐκέτι.

Φανεροῦντι δι᾽ ἡμῶν ἐν παντὶ τόπῳ.

Θυμιαστήριον γὰρ, φησὶν, ἐσμὲν τοῦ μύρου τούτου καὶ οὐρανίου θυμιάματος, τὴν ὀσμὴν αὐτοῦ περιφέροντες πανταχοῦ. Ἄν τε γὰρ, σώζηταί τις, φησὶν, ἄν τε ἀπόλλυται, τὸ Εὐαγγέλιον τὴν οἰκείαν ἀρετὴν ἔχον μένει· οὐ γὰρ αὐτοῦ ἔργον ἡ ἀπώλεια, ἀλλὰ τῆς ἐκείνων ἀγνωμοσύνης.

15 Ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ.

Οὐ μόνον, φησὶν, εὐωδίαν κηρύσσομεν, ἀλλὰ καὶ ἡμεῖς οἱ Ἀπόστολοι "εὐωδία ἐσμὲν Χριστῷ τῷ Θεῷ" οἷον ἀναφερομένη, πῶς; ἢ ἑαυτοὺς ἱερουργοῦντες, ἢ ἀπὸ τῶν ἔξωθεν καθ᾽ ἡμέραν ἀποθνήσκοντες, καὶ εἰσὶ ἱερεία λογιζόμενοι Χριστοῦ.

Ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις.

Εὐωδία τοιγαροῦν ἐσμεν, καὶ εὐωδίαν κηρύσσομεν, κἂν τις ἐκ τούτου σώζηται διὰ τὴν πίστιν, κἂν τις ἀπόλλυται δι᾽ ἀπιστίαν· ὥσπερ γὰρ ὁ ἥλιος καὶ τὸ μέλι τοῖς ἀμβλυώττουσι καὶ τοῖς κακουχουμένοις οὐ κατὰ τὴν οἰκείαν ὁρᾶται φύσιν, ἀλλ᾽ οὐ παρὰ τοῦτο ἢ σκοτεινὸς ἐκεῖνος ἢ τὸ μέλι πικρὸν, οὕτως καὶ τὸ κήρυγμα· καὶ ἡμεῖς, κἂν ἀπόλλυνταί τινες τῇ ἀπιστίᾳ, οὐ παρὰ τοῦτο οὐκ ἔστι πνευματικὸν μύρον, ἀλλὰ καὶ κατὰ τοῦτο ἔστι θαυμάσαι, ὅτι τοὺς κακοὺς ἐλέγχει, ἐπεὶ καὶ τὸ μύρον τοὺς χοίρους πνίγειν λόγος, καὶ τὸ πῦρ τὰς ἀκάνθας ἀναλίσκει.

16 Οἷς μὲν, ὀσμὴ θανάτου εἰς θάνατον.

Οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν αὐτῶν κακίαν, ἐπεὶ καὶ "ὁ Χριστὸς λίθος ἦν προσκόμματος καὶ πέτρα σκανδάλου τοῖς "ἀπολλυμένοις."

Καὶ πρὸς ταῦτα τίς ἱκανός;

Ἆρα πρὸς τὴν τοσαύτην χάριν δοκεῖτε ἡμᾶς ἱκανοὺς εἶναι, ὡς εἶναι εὐωδίαν Χριστοῦ; οὐ μὲν οὖν, ἀλλὰ τὸ ὅλον τῆς χάριτός ἐστιν.

17 Οὐ γάρ ἐσμεν ὡς οἱ πολλοὶ, καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ.

Τοὺς ψευδαποστόλους ἐνταῦθα αἰνίττεται, οἱ τὴν τοῦ Θεοῦ χάριν οἰκεῖον ἔφασκον κατόρθωμα· καί φησι, διὰ τοῦτο εἶπον, "τίς "ἱκανός;" καὶ τῷ Θεῷ τὸ πᾶν ἀνατέθεικα, ὅτι οὐκ εἰμὶ ὡς οἱ λοιποὶ, τουτέστιν οἱ ψευδαπόστολοι, καπηλεύων καὶ νοθεύων τὴν δωρεὰν τοῦ Θεοῦ· ὅταν γὰρ ὁ Θεὸς δῷ δωρεὰν, λέγει δέ τις ἀπὸ οἰκείων πόνων αὐτὴν κεκτῆσθαι, νοθεύει τὴν χάριν τοῦ Θεοῦ· ἢ τοῦτο φησὶ, διὰ τοῦτο τοῖς μὲν ἀπολλυμένοις ὀσμή ἐστι θανάτου, τοῖς δὲ σωζομένοις ὀσμὴ ζωῆς, ἐπειδὴ οὐ καπηλεύομεν τὸν λόγον ὥς καί τινες συμμεταβάλλοντες αὐτὸν τοῖς καιροῖς καὶ τοῖς προσώποις αἰσχροῦ κέρδους χάριν, ἀλλὰ τὴν ἀλήθειαν κηρύσσομεν, ἵνα καὶ οἱ ἄξιοι σωθῶσι καὶ οἱ ἀνάξιοι τῇ οἰκείᾳ ἀπιστίᾳ ἀπόλωνται· καὶ γὰρ ἐξ εἰλικρινείας λαλοῦμεν ἃ εἴδομεν ἢ ἠκούσαμεν παρὰ τοῦ Χριστοῦ.

Ἀλλ' ὡς ἐξ εἰλικρινείας.

Ἀλλ' ὡς ἐκ Θεοῦ λαβόντες καὶ μαθόντες ὡς ἐνώπιον τοῦ Θεοῦ λαλοῦντες, καὶ ὡς ἐν Χριστῷ, τουτέστι διὰ Χριστοῦ ἐνηχούμενοι καὶ διδασκόμενοι λαλοῦμεν· βαβαὶ, πόσην ἀλήθειαν τῷ κηρύγματι ἐμαρτύρησεν;

1 Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν.

Ἴσως ἐρεῖ τις, φησὶν, ὅτι ταῦτα διεξερχόμεθα βουλόμενοι ὑμῖν ἑαυτοὺς συνιστᾷν καὶ παρατίθεσθαι, εἰ μὴ χρήζομεν (κατ' ἐρώτησιν ἀνάγνωθι) ἆρα μὴ χρήζομεν, ἢ ἀφ' ὑμῶν πρὸς ἑτέρους, ἢ ἀφ' ἑτέρων πρὸς ὑμᾶς συστατικῶν, τουτέστι παραθετικῶν, ἐπιστολῶν; διὰ τοῦτο τοὺς ψευδαποστόλους αἰνίττεται.

2 Ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε.

Ἀντὶ ἐπιστολῆς δυναμένης ἡμᾶς παραθέσθαι, ὑμᾶς ἔχομεν, καὶ τὴν ὑμῶν κατὰ Θεὸν εὐδοκίμησιν· δεῖγμα γὰρ ἀρετῆς διδασκάλου, ἡ τῶν μαθητῶν εὐδοκίμησις· οἱ οὖν πρὸς ἄλλους ὑμᾶς ἔχοντες εἰς λόγον συστάσεως, οὐκ ἂν πρὸς ὑμᾶς συστάσεως ἐδεήθημεν.

Ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν.

Ἐν νῷ γὰρ ὑμᾶς ἔχοντες, φησὶν, ὡς καὶ ἐγγεγράφθαι ἡμῖν δοκεῖν διὰ τὸ ἀνεξάλειπτον πανταχοῦ περιφέρομεν ὑμᾶς, καὶ ἐκ τῆς ὑμῶν ἀρετῆς ἔχομεν παρ' ἑτέροις σύστασιν· ὅπερ φησὶ καὶ

ἐν τῇ πρώτῃ Ἐπιστολῇ· "ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς "ὑμεῖς ἐστε ἐν τῷ Κυρίῳ."

Ἀναγιγνωσκομένη.

Τῷ πανταχόσε ὑμᾶς περιφέρειν τῇ μνήμῃ· διὰ οὖν τῆς ἀναγνώσεως γιγνώσκεσθε· ἀνάγνωσιν δὲ καλεῖ τὴν αὐτοῦ περὶ αὐτῶν ὁμιλίαν καὶ μνήμην.

3 Ἐπιστολὴ Χριστοῦ.

Πῶς; τῷ τὸν νόμον αὐτοῦ καὶ τὰς ἐντολὰς παρ' ὑμῖν γραμμάτων δίκην μένειν καὶ φυλάττεσθαι.

Ὑφ' ἡμῶν.

Οἱ δὲ τῆς γνώσεως καὶ τοῦ κηρύγματος τούτου διάκονοι ἡμεῖς εἰς ὑμᾶς ἐγενόμεθα, καὶ ὥσπερ Μωσῆς διάκονος τοῦ νόμου γέγονεν, οὕτως ἡμεῖς τοῦ κηρύγματος· καὶ ὥσπερ ἐκεῖνος τὰς πλάκας ἐλάξευσεν[a], οὕτως ἡμεῖς τὰς ὑμῶν καρδίας· εἶτα ἐκ τούτου εἰς σύγκρισιν ἦλθε τοῦ πάλαι νόμου καὶ τῆς νέας, καί φησιν, ἐκεῖνος μὲν μέλανι, αὕτη δὲ πνεύματι γέγραπται· ἐκεῖνος ἐν λίθοις, αὕτη δὲ ἐν σαρκίναις πλαξὶν, οἷον ἐν καρδίαις· ὅσῳ καὶ τὸ πνεῦμα τοῦ μέλανος, καὶ λίθων ἡ καρδία διαφέρει, τοσούτῳ φησὶ, καὶ ἡ νέα τοῦ νόμου καὶ τῆς παλαιᾶς.

4 Πεποίθησιν δὲ τοιαύτην ἔχομεν.

Εἶτα ἐπειδὴ τὸ δεῖξαι τὴν νέαν μείζονα τοῦ νόμου καὶ τῆς παλαιᾶς συνυπηκούετο κατὰ τὸ ἀκόλουθον καὶ τὸ τοῦ διακόνου τῆς παλαιᾶς Μωσέως μείζους εἶναι τοὺς Ἀποστόλους· ἐφ' ὧν γὰρ τὰ πράγματα μείζονα, ἐπὶ τούτων καὶ οἱ διάκονοι. ὅλον τῷ Θεῷ ἀνατίθησι τὸ πρᾶγμα, καί φησι, "πεποίθησιν δὲ τοιαύτην ἔχομεν" ὑπερβατὸν, ὅτι ἡ ἱκανότης ἦν ἐκ τοῦ Θεοῦ, καὶ τὰ λοιπὰ διὰ μέσου, θαρροῦμεν, φησὶ, καὶ πεποίθαμεν ἐς τὸν Θεὸν, διὰ Χριστοῦ τὸ θαρρεῖν ἔχοντες, ὅτι ἡμεῖς μὲν οὐχ ἱκανοί ἐσμεν τοσαύτῃ διακονίᾳ ὑπηρετήσασθαι, ἀλλ' οὐδὲ ἐν νῷ λαβεῖν τοῦ πράγματος τὸ μέγεθος, ἢ ὅλως λογίσασθαί τι ἐν αὐτῷ, ἀλλ' ὅτι αὐτὸς ηὐδόκησεν ἡμᾶς ἱκανοὺς γενέσθαι τῷ τηλικούτῳ πράγματι.

6 Οὐ γράμματος, ἀλλὰ Πνεύματος.

Ὁ γὰρ νόμος γράμμα ἔφερε, τὸ δὲ Χριστοῦ κήρυγμα Πνεύ-

[a] ἐλάλαξεν Cod.

ματος ἐπιφοίτησιν· ἦν μὲν γὰρ καὶ ὁ νόμος πνευματικός· ἀλλ' οὐ Πνεῦμα ἐχαρίζετο, ὅπερ ποιεῖ τὸ κήρυγμα, ὡσεὶ ἔλεγεν, ἡμεῖς οὐ γράμματα ἐπιστεύθημεν ὡς Μωσῆς, ἀλλὰ Πνεῦμα διδόναι.

Τὸ γὰρ γράμμα.

Ὁ νόμος, φησὶν, ἀποκτείνει· ἐὰν γὰρ λάβῃ πλημμελοῦντα, ἀναιρεῖ αὐτόν· "παραβάς γάρ τις," φησὶ, "νόμον Μωσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει·" τὸ δὲ Πνεῦμα νενεκρωμένους ταῖς ἁμαρτίαις λαμβάνον, ἐν τῷ βαπτίσματι ζωοποιεῖ.

ΚΕΦ. Δ.

Περὶ τῆς κατὰ Πνεῦμα λειτουργίας καὶ δόξης θειοτέρας τῆς κατὰ τὸν νόμον.

7 Εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν ἐντετυπωμένη ἐν λίθοις, ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ δύνασθαι ἐνατενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωϋσέως, διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην, πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος;

8 Διδάξας ἐν τοῖς ἄνω τὴν διαφορὰν τῆς νέας ὥσπερ[b] τὴν παλαιὰν, τῷ ἐκείνην μένειν ἐν λίθοις καὶ ἐν μέλανι, ταύτην δὲ ἐν Πνεύματι καὶ ἐν καρδίαις, νῦν θέλει δεῖξαι, ὅτι καὶ ἐν δόξῃ μεῖζον ἡ νέα· καὶ ἐπειδὴ ἡ παλαιὰ αἰσθητὴν ἔσχε δόξαν, τὴν τοῦ προσώπου Μωσέως, ἡ δὲ νέα νοητὴν, ἀπὸ συλλογισμοῦ τὴν ὑπεροχὴν δείκνυσι· καὶ ὅρα εὐθέως διακονίαν αὐτὴν λέγει θανάτου, καὶ ἐν γράμμασι καὶ ἐν λίθοις ἐκτετυπωμένην· ὡσεὶ ἔλεγεν· οὐκ ἦν βοήθειά τις ἐκεῖ ἢ ἄφεσις, ὡς ἐπὶ τοῦ βαπτίσματος, ἀλλὰ γράμματα μόνον καὶ τιμωρία ἀνεξάλειπτος, ἅ τε λίθος ἐγκεκολαμμένη.

Τοῦ θανάτου ἐν γράμμασιν.

Διακονίαν θανάτου τὸν νόμον λέγει, καὶ ὅρα, οὐκ εἶπε ποιητικὸν θανάτου· οὐ γὰρ αὐτὸς ὤθει πρὸς ἁμαρτίαν καὶ θάνατον, ἀλλὰ διακονίαν· διηκόνει γὰρ τῷ νομοθέτῃ, καὶ τοὺς ἀξίους θανάτου ἐθανάτου.

Θεοδωρίτου. Τὴν διακονίαν τοῦ νόμου διακονίαν θανάτου προσ-

[b] Leg. ὡς παρά.

ηγόρευσεν, ἐπειδὴ τοὺς παραβαίνοντας ὁ νόμος ἐκόλαζεν· εἰ τοίνυν, φησὶν, ἔνθα τιμωρία καὶ θάνατος καὶ γράμματα λίθοις ἐγκεκολαμμένα, τοσαύτην, ὁ ταῦτα κομίζων ἐν τῷ προσώπῳ δόξαν ἐδέξατο, πολλῷ μᾶλλον οἱ τῷ θείῳ διακονοῦντες Πνεύματι, πλείονος ἀπολαύσουσι δόξης.

Ὥστε μὴ δύνασθαι ἐνατενίσαι.

Ἐπαίρει τὴν τοῦ νόμου δόξαν, ἵνα πλέον αὐξήσῃ τὴν τῆς νέας· ἢ ὅτι τοῦτο κατηγορία ἐστὶν Ἰουδαίων, ὅτι οὕτω, φησὶν, ἦσαν παχεῖς, ὡς μηδὲ τὴν αἰσθητὴν δόξαν ἱκανοὺς εἶναι ὁρᾷν.

Διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ.

Ἄνω ἐπάρας τὴν τοῦ νόμου δόξαν, νῦν ἠρέμα καθαιρεῖ αὐτήν· οὐ γὰρ ὁ νόμος εἶχε τὴν δόξαν, ἀλλ' ὁ Μωσῆς· καὶ ὁ Μωσῆς δὲ οὐ μένουσαν ἔχει δόξαν, ἀλλὰ καταργουμένην, τουτέστι, παυομένην· ἐπειδὴ γὰρ ἄνω ἐπῆρε τὰ κατὰ τὸν νόμον, νῦν αὐτὰ καθαιρεῖ, ἵνα συγκαθέλῃ τὰ Ἰουδαϊκά· οὕτω δὲ, φησὶν, ἦσαν παχεῖς οἱ Ἰουδαῖοι, ὡς μηδὲ τὴν αἰσθητὴν δόξαν ἱκανοὺς εἶναι ὁρᾷν.

Ἡ διακονία τοῦ Πνεύματος.

Ὥσπερ διακονίαν θανάτου τὸν νόμον ἐκάλεσεν, οὕτω κατὰ τὸ ἀκόλουθον ὤφειλε τὴν νέαν καλέσαι διακονίαν ζωῆς, ἀλλὰ τοῦτο μὲν σιωπᾷ, τὸ δὲ μεῖζον λέγει· διακονίαν γὰρ αὐτὴν Πνεύματος καλεῖ, τοῦ καὶ τὴν ζωὴν παρέχειν ἐξουσίαν ἔχοντος. διακονίαν Πνεύματος λέγων διὰ τὴν ἐπιφοίτησιν τοῦ Ἁγίου Πνεύματος, οἱονεὶ τὴν παρασκευαστικὴν τῆς τοῦ Ἁγίου Πνεύματος ἐπιφοιτήσεως.

9 Εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως.

Ἀπὸ συλλογισμοῦ τὸ εὔλογον ἔχοντος τὴν σύγκρισιν ποιεῖται· εἰ γὰρ δόξα, φησὶν, ἐστὶν ἐν τῷ νόμῳ, καίτοι ὄντι διακόνῳ θανάτου καὶ κατακρίσεως, πολλῷ μᾶλλον κατ' αὐτὸ τὸ ἀκόλουθον οὐ μόνον ἐστὶν ἐν τῇ νέᾳ δόξα, ἀλλὰ καὶ περισσεύει· καὶ γὰρ περισσεύει· τοῦ γὰρ νόμου ἁμαρτωλοὺς λαμβάνοντος καὶ τιμωρουμένους, τὸ κήρυγμα ἁμαρτωλοὺς λαμβάνον ἐν τῷ βαπτίσματι οὐ μόνον ἀνευθύνους ἀφίησι, καίτοι ἤρκει καὶ τοῦτο, ἀλλὰ καὶ δικαιοῖ καὶ ἁγιάζει, καὶ εἰς υἱοθεσίαν καλεῖ, καὶ τὰς μελλούσας ἐλπίδας

ἐπαγγέλλεται, ὅθεν καὶ διακονίαν δικαιοσύνης αὐτὴν καλεῖ, ὡς δικαιοῦσαν τοὺς ἀσεβεῖς.

10 Καὶ γὰρ οὐ δεδόξασται.

Καὶ τί, φησιν, ἀντιπαράθεσιν ποιῶ τῆς νέας καὶ τοῦ νόμου; τοσαύτη γὰρ φησὶν, ἐστὶν τῆς νέας ἡ διαφορὰ καὶ ἡ δόξα, ὅτι καὶ ἐν συγκρίσεως μέρει· τοῦτο γάρ ἐστιν ὃ λέγει ἐν τούτῳ τῷ μέρει, τουτέστι, τῷ τῆς συγκρίσεως, οὐδὲ δόξαν ἔχειν δόξει ἡ παλαιὰ, καίτοι δεδοξασμένη οὖσα, ὡς πρὸς ἀντιπαράθεσιν τῆς νέας.

ΘΕΟΔΩΡΗΤΟΥ. Τοσαύτη *γάρ ἐστιν, φησὶ, ἡ τοῖς διακόνοις τῆς χάριτος προσεσομένη δόξα, ὅτι οὐδὲ δόξαν εἴποι τις ἂν εἰκότως τὴν* Μωσῇ *προσγινομένην, ἀποβλέπων εἰς τούτους· ἐν νυκτὶ μὲν γὰρ τὸ λυχνιαῖον φῶς φανώτατον εἶναι δοκεῖ, ἐν μεσημβρίᾳ δὲ μέσῃ κρύπτεται, καὶ οὐδὲ φῶς εἶναι νομίζεται. τὸν δὲ νόμον ἐκάλεσε καταργούμενον, ὡς παυσόμενον τῇ τοῦ* Χριστοῦ *παρουσίᾳ, μένον δὲ τὸ τῆς χάριτος δῶρον, ὡς οὐ ληψόμενον τέλος. εἰ τοίνυν ἐκεῖνος, φησὶ, τετύχηκε δόξης, δηλονότι καὶ τοῦτο πολλαπλασίας τεύξεται.*

Τὸ δεδοξασμένον.

Οἷον ὁ νόμος ὁ δόξαν ἔχων διὰ τοῦ προσώπου Μωσέως.

Ἐν τούτῳ τῷ μέρει.

Ἐν τῷ τῆς συγκρίσεως καὶ παραθέσεως.

Ἣν ἔχει, τουτέστιν ἡ νέα.

11 Εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης.

Εἶτα καὶ ἐκ τοῦ μονίμου δείκνυσι τὴν διαφοράν· εἰ γὰρ ὁ καταργεῖσθαι, φησὶ, καὶ παύεσθαι μέλλων νόμος διὰ δόξης ἐδόθη, πόσῳ μᾶλλον ἡ ἀεὶ οὖσα καὶ ἐσομένη νέα ἔσται ἐν νοητῇ δόξῃ;

12 Ἔχοντες οὖν τοιαύτην ἐλπίδα.

Ἐπειδὴ τὸ ἀσθενὲς τῶν ἀκροατῶν οὐκ ἔβλεπε τὴν δόξαν τῆς νέας, οὐ γὰρ ἦν αἰσθητὴ ἰλιγγία, εἰς τὸν μέλλοντα χρόνον αὐτοὺς παραπέμπει· διὸ καὶ ἐλπίδος μέμνηται· "τοιαύτην," φησὶν, "ἐλπίδα." τοιαύτην· ποίαν; ὅτι τι μειζόνων ἡμεῖς ἠξιώθημεν.

Πολλῇ παρρησίᾳ χρώμεθα.

Ἐπειδὴ οὖν μειζόνων ἡμεῖς οἱ τῆς νέας διάκονοι ἠξιώθημεν, μετὰ παρρησίας τὸ κήρυγμα κηρύσσομεν, οὐδὲν ἀποκρύπτοντες οὐδὲ ὑποστελλόμενοι, οὐδὲ δεδοικότες μὴ πλήξωμεν ὑμῶν τὴν συνείδησιν διὰ τὴν ἀτοπίαν τοῦ κηρύγματος, ὥσπερ ὁ Μωσῆς ἔπληττε τῶν Ἰουδαίων τὰς ὄψεις· ὑμεῖς γὰρ ἰδεῖν τὸ ἐνὸν τῷ κηρύγματι κάλλος δύνασθε, καὶ οὐκ ἂν πληγείητε ὁρῶντες οὐδὲ τὸν νοῦν οὐδὲ τὰς νοητὰς ὄψεις.

13 Οὐ καθάπερ Μωϋσῆς ἐτίθει κάλυμμα.

Διατί δὲ, ὡσεὶ, εἶπέ τις ἀνακεκαλυμμένως κηρύσσετε, καὶ οὐ δίκῃ καλύμματος ἐπεσκιασμένως λαλεῖτε· διὰ τί; πρῶτον μὲν θαρροῦντες τῷ καθαρῷ τοῦ κηρύγματος, ἔπειτα ὅτι καὶ ὑμεῖς ἰδεῖν δύνασθε τὸ ἐνὸν τῷ κηρύγματι κάλλος· οὐ γὰρ ἴσα Ἰουδαίοις ἀμβλυώττετε· ὅσῳ γὰρ ἡ νέα μείζων, τοσούτῳ καὶ τῶν μαθητευομένων τὸ διάφορον.

Πρὸς τὸ μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραήλ.

Ὥστε μὴ ἀτενίσαι, φησὶν, εἰς τὸ πρόσωπον αὐτοῦ τὸ καταργεῖσθαι καὶ παύεσθαι ἀπὸ τῆς δόξης μέλλον· βουλόμενος δὲ δεῖξαι ὀλιγοχρόνιον τὴν δόξαν ἐκείνην, ὡς πρὸς σύγκρισιν τῆς ἀεὶ μενούσης ἐν τῇ νέᾳ δόξῃ, φησὶν, εἰς τὸ τέλος τοῦ καταργουμένου, ὡσεὶ ἔλεγεν· ὅταν οὐκ ἠδύναντο ἀτενίσαι τῇ δόξῃ Ἰσραὴλ, λοιπὸν τέλος εἶχε καὶ ἐπαύσατο ἡ δόξα ἐκείνη· οὕτως ὀλιγοχρόνιος ἦν, ὡς ἅμα τῷ ἄρξασθαι παύσασθαι· ἀλλ' οὐδὲ εἰς ἐκείνην, φησὶν, ἰδεῖν ἠδύναντο· οὕτως ἦσαν ἀσθενεῖς.

14 Ἀλλ' ἐπωρώθη—

"Ἀλλ' ἐπωρώθη τὰ νοήματα αὐτῶν," τουτέστιν, ἐπωρώθη γὰρ αὐτῶν ὁ νοῦς, καὶ τοσοῦτον, ὅτι οὐ μόνον τότε τὴν Μωσέως δόξαν ἰδεῖν οὐκ ἴσχυον, ἀλλὰ οὐδὲ νῦν τὰ ἐν τῷ νόμῳ ἰδεῖν ἴσχυον ὡς χρή· ἄχρι γὰρ σήμερον, φησὶ, τὸ αὐτὸ παρ' αὐτοῖς κάλυμμα ἔχει ἡ ἀνάγνωσις τοῦ νόμου. ὥσπερ γὰρ κεκαλυμμένης τῆς ἀναγνώσεως οὐ δύνανται ἰδεῖν τὰ ἐν αὐτῇ, οὐδὲ γνῶναι ὅτι ἐν Χριστῷ καταργεῖται καὶ παύεται ὁ νόμος· ποῦ γὰρ εἴποι τις, τοῦτο ἔχει ὁ νόμος, ὅτι ἐν Χριστῷ καὶ διὰ Ἰησοῦ καταργηθήσεται; καὶ αὐτὸς μὲν ὁ νόμος λέγει· εἰπὼν γὰρ ὅτι ἀναστήσει ὑμῖν προ-

φήτην, ἐπήγαγεν, αὐτοῦ ἀκούσεσθε πᾶν ὁτιοῦν λέγοντι, φησὶ, κἂν ὑπεναντίων εἴπῃ τοῦ νόμου, περὶ Χριστοῦ λέγων· αὐτὸς δὲ καὶ τὰ σάββατα ἔλυσε θεραπεύων αὐτοῖς ὁ Θεὸς ἐν τῷ ναῷ μόνον θύειν, καὶ ἐν τούτῳ περικλείσας τὰς θυσίας· εἶτα καθελὼν αὐτὸν, οὐκ ἄδηλον ὅτι καταργήσει τὰς θυσίας καὶ πάσας τὰς νομικὰς ἱερουργίας· ὥστε καὶ αἰσθητῶς καὶ νοητῶς ὁ νομος τὴν ἑαυτοῦ κατάργησιν περιέχει.

Μὴ ἀνακαλυπτόμενον.

"Μὴ ἀνακαλυπτόμενον" εἰς τὸ γνῶναι αὐτοὺς ὅτι ἐν Χριστῷ καταργεῖται ὁ νόμος.

Ὅτι ἐν Χριστῷ καταργεῖται.

Κυρίλλου[a]. Ὁ γὰρ Χριστὸς καταργεῖ τὸ κάλυμμα· αὐτὸς γὰρ ὢν ἡ ἀλήθεια παύει τὴν σκιὰν καὶ τὴν διπλόην τοῦ νόμου. οὕτως ἐν βιβλίῳ ρλα τῆς ἑρμηνείας τοῦ Λουκᾶ.

15 Ἀλλ' ἕως σήμερον.

Εἶτα ἐπειδὴ εἶπε κάλυμμα κεῖσθαι ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς, ἵνα μή τις νομίσῃ τῆς ἀσαφείας τοῦ νόμου εἶναι τὸ αἴτιον ὡς μὴ νοουμένου, σαφέστερον αὐτὸ λέγει, δεικνὺς αὐτῶν καὶ οὐ τοῦ νόμου τὸ ἁμάρτημα· κάλυμμα γὰρ, φησὶν, ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται, διὸ οὐ δύνανται γνῶναι τὴν διάνοιαν τοῦ νόμου. Εἰ γὰρ ἔγνωσαν, ἀπέστησαν ἂν ἀπ' αὐτοῦ, καὶ Χριστῷ ἐπίστευσαν· τοῦτο γὰρ ὁ νόμος βούλεται.

16 Ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς Κύριον.

Καὶ γὰρ ὁ Μωσῆς πρὸς μὲν Ἰουδαίους λαλῶν εἶχε τὸ κάλυμμα, πρὸς τὸν Θεὸν δὲ εἰσιὼν περιῃρεῖτο τὸ κάλυμμα· τύπος οὖν ἦν αὐτῶν ὁ Μωσῆς· καὶ γὰρ καὶ αὐτοὶ ἡνίκα μὲν ἐμφιλοχωροῦσι τῷ νόμῳ, ἔχουσι τὸ κάλυμμα, τότε δὲ ἐπιστρέφουσιν, εἰ ἀφέντες τὸν νόμον πιστεύσωσι τῷ Χριστῷ, καὶ τὴν ἀπὸ τοῦ Πνεύματος λάβωσι χάριν ἐν τῷ βαπτίσματι· ἣν γὰρ ἐνταῦθα τὸ Πνεῦμα, φησίν.

17 Ὁ δὲ Κύριος—

Εἶτα ἵνα μή τις τῶν ἀσθενεστέρων ἀκροατῶν ἀκούσας, ὅτι

[a] Om. Cod. Paris. ded. ex Œcumenio.

Μωσῆς πρὸς Κύριον ἐπιστρέφων περιῃρεῖτο τὸ κάλυμμα· ἐγὼ δὲ πρὸς τὸ Πνεῦμα ἐπιστρέψαι ὑπό σου προτρεπόμενος, ὦ Παῦλε, οὐ πρὸς τὸν Κύριον ἐπιστρέφω, ἐπάγει, "ὁ δὲ Κύριος τὸ Πνεῦμά "ἐστι," μὴ φοβοῦ, φησι, καὶ πρὸς τὸ Πνεῦμα ἐπιστρέφων, πρὸς Κύριον ἐπιστρέφεις· Κύριος γὰρ τὸ Πνεῦμα, καὶ ὁμόθρονον, ὁμο-προσκύνητον καὶ ὁμοούσιον Πατρὶ καὶ Υἱῷ.

Οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία.

Ὡς πρὸς τὸν νόμον τοῦτο· ἐκεῖ γὰρ ζυγὸς ἦν καὶ δουλεία, ἐν δὲ τῇ πίστει Χριστοῦ ἐλευθερία.

18 Ἡμεῖς δὲ πάντες.

Τοσοῦτον ἐσμὲν, φησὶν, ἐλευθερίας καὶ εὐγενείας ἐντὸς, ὅτι πάντες ἡμεῖς ἀνακεκαλυμμένῳ προσώπῳ· οὐδὲ γὰρ ἔνι παρὰ τοῖς πιστοῖς κάλυμμα· τὴν δόξαν τοῦ Πνεύματος κατοπτριζόμενοι ἀναμορφούμεθα, φησί. Καθάπερ γὰρ ἄργυρος ἄντικρυς ἡλίου κείμενος, ἀντιπέμπει καὶ αὐτὸς ἀκτίνας τινὰς τῇ ἐκβολῇ τοῦ ἡλίου· οὕτω καὶ ἡμεῖς ἐν τῷ βαπτίσματι καθαιρόμενοι διὰ τοῦ Πνεύματος, καὶ ταῖς ἐκείνου ἀκτίσι καταυγαζόμενοι, αἴγλην τινὰ νοητὴν ἀντιπέμπομεν· βούλεται δὲ καὶ αὐτοὺς εἰς τάξιν ἀγαγεῖν τῶν Ἀποστόλων, διὰ τοῦτο τὸ "ἡμεῖς πάντες."

Κατοπτριζόμενοι.

Οἷον ἐλλαμπόμενοι Πνεύματι.

Μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν.

Εἰς τὴν αὐτοῦ, φησὶ, λαμπηδόνα μεταβαλλόμεθα ἀπὸ τῆς δόξης τοῦ Πνεύματος εἰς ἡμετέραν δόξαν ἐρχομένης τῆς μεταμορφώσεως· καὶ εἰς τοιαύτην, φησὶ, δόξαν φθάνομεν, εἰς οἵαν εἰκὸς φθάσαι τὸν ἀπὸ τοῦ παρακλήτου καταυγαζόμενον, καὶ εἰκόνα ἀμυδρὰν τῆς αὐτοῦ δόξης ἐνσημαινόμενον.

Ἀπὸ δόξης λέγει τοῦ θείου Πνεύματος εἰς δόξαν τὴν ὑμετέραν, ἀντὶ τοῦ ἐκεῖθεν δεχόμεθα.

ΚΕΦ. Ε.

Περὶ θείας δόξης καὶ τοῦ ἀκολούθου βίου, ὅτι τοῖς ἁγίοις γινώσκεται.

1 Διὰ τοῦτο ἔχοντες τὴν διακονίαν ταύτην, καθὼς ἠλεήθημεν, οὐκ ἐκκακοῦμεν.

Διὰ τοῦτο οὐκ ἐκκακοῦμεν, διὰ τοῦτο, ποῖον; ὅτι τοιούτων, φησὶν, ἠξιώμεθα. Ἐπειδὴ πολλὰ καὶ μεγάλα περὶ τῶν Ἀποστόλων εἰρήκει, λέγων τὴν δόξαν Κυρίου κατοπτριζόμεθα καὶ μεταμορφούμεθα. Εἰ γὰρ ἐκοινοποίησε τὸν λόγον τὸ εἰπεῖν, "ἡμεῖς "δὲ πάντες," πλὴν εἰς τοὺς Ἀποστόλους πρωτοτύπως εἴρητο τὰ εἰρημένα, λοιπὸν κατάγει τὸν περὶ αὐτῶν λόγον· "ἔχοντες γὰρ," φησὶ, "τὴν διακονίαν," τουτέστιν ἡμεῖς, οὐδὲν πλέον ἀλλ' ἢ διάκονοί ἐσμεν τοῦ κηρύγματος, εἶτα "καθὼς ἠλεήθημεν," δεικνὺς ὅτι καὶ αὐτὸ τὸ γενέσθαι διάκονοι οὐκ ἦμεν ἄξιοι, ἀλλὰ καὶ τοῦτο κατὰ Θεοῦ ἔλεον ἔχομεν. "οὐκ ἐκκακοῦμεν," τουτέστιν, οὐκ ἀπαγορεύομεν πρὸς τὰς θλίψεις καὶ τοὺς πειρασμοὺς καὶ τοὺς κινδύνους.

2 Ἀλλ' ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης.

Πρὸς μὲν τὰς θλίψεις οὐκ ἀπείπαμεν· "ἀπειπάμεθα" δὲ καὶ ἀπεκρουσάμεθα "πρὸς τὰ κρυπτὰ τῆς αἰσχύνης," τουτέστι, τὸ τοιαῦτα ποιεῖν ἐν κρυφῇ, ἃ φανερούμενα αἰσχύνην φέρει. Αἰνίττεται δὲ τοὺς ψευδαποστόλους οἳ ἐν σχήματι ἁγνείας ἦσαν, καὶ ἐν κρυφῇ πονηροί· πῶς δὲ "ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύ-"νης;" ἀπανούργως, φησὶ, καὶ ἀπλάστως ζῶντες. Ὁ δὲ οὕτως ἀναστρεφόμενος βίον καὶ πολιτείαν ἀπάνουργον ἐπιτηδεύομεν, ἀλλ' οὐδὲ δολοῦμεν τὸν λόγον τοῦ Θεοῦ καὶ τὸ κήρυγμα, ἢ χρηματιζόμενοι, καὶ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο διδάσκοντες, ὅπερ οἱ ψευδαπόστολοι ἐποίουν.

Ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας.

"Ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας συνιστῶντες ἑαυτούς·" οὐδὲν, φησὶ, κρύφιον παρ' ἡμῖν, οὐδὲ ἄλλο μὲν κρύπτομεν, ἄλλο δὲ λαλοῦμεν, "ἀλλὰ διὰ τὴν φανέρωσιν τῆς ἀληθείας συνιστῶμεν "ἑαυτοὺς" οἷοί ἐσμεν, καὶ παραθέμεθα πάσῃ συνειδήσει ἀνθρώπων.

Πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων.

Πάσῃ συνειδήσει ἀνθρώπων, ἀπίστων τε καὶ πιστῶν ἑαυτοὺς συνιστῶμεν, ἐξ ὧν, φησὶν, ἀναστρεφόμεθα· ἐπειδὴ ἔνι λαθεῖν ἀνθρώπους καὶ ἀπατῆσαι, τὸν Θεὸν ἔφορον ἐφίστησι τῇ ἑαυτοῦ πολιτείᾳ.

3 Εἰ δὲ καί ἐστι κεκαλυμμένον τὸ Εὐαγγέλιον.

Ἐπειδὴ εἶπε, πρὸς πᾶσαν συνείδησιν ἀνθρώπων συνίστασθαι διὰ τῆς ἀληθοῦς φανερώσεως, τουτέστι τοῦ κηρύγματος, ἀντέκειτο δὲ αὐτῷ τὸ μὴ πᾶσιν εἶναι φανερὸν τὸ κήρυγμα, καὶ δῆλον ἐξ ὧν οὐκ ἐπίστευσαν, φησὶν, οὐχ ἡμῶν τὸ ἔγκλημα, ἢ τῆς ἀσαφείας τοῦ Εὐαγγελίου, ἀλλὰ τῆς ἐκείνων ἀπωλείας καὶ τυφλώσεως.

4 Ἐν οἷς ὁ Θεὸς τοῦ αἰῶνος τούτου.

Τῶν ἔξω τῆς ἀγέλης τοῦ Χριστοῦ, οἱ μὲν αὐτῷ τὴν ἀρχὴν ἠπίστησαν τῷ λόγῳ τοῦ κηρύγματος, οἱ δὲ ἐπίστευσαν μὲν, διὰ δὲ τὸ μὴ ἔχειν βάθος γῆς πάλιν ἀπεφοίτησαν τῆς πίστεως, οὓς ἅπαντας ἀπολλυμένους ὁ Παῦλος καλεῖ· νῦν δὲ τέως ὁ λόγος αὐτῷ περὶ τῶν αὐτῷ τὴν ἀρχὴν ἀπιστησάντων· τούτοις γὰρ παντελῶς κεκάλυπται τὸ Εὐαγγέλιον, καί φησιν, ἐν οἷς ἀπολλυμένοις ἀνθρώποις τῶν παντελῶς ἀπιστησάντων ἐτυφλώθη τὰ νοήματα εἰς τὸ μηδὲ τὴν αὐγὴν δέξασθαι τῆς πίστεως. "Θεὸν δὲ αἰῶνος "τούτου" Μανιχαῖοι μὲν καὶ Μαρκίωνες φασὶ τὸν πονηρὸν λέγειν Θεόν. Δύο γὰρ παρ' αὐτοῖς θεοί· ἡμεῖς δὲ τῶν ἐπὶ πάντων φαμέν. Ἄλλως. ὥσπερ Θεὸς εἴρηται οὐρανοῦ τε καὶ γῆς, καὶ Θεὸς τῆς παρούσης ἡμέρας, καὶ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ οὐ παρὰ τοῦτο λοιπῶν οὐκ ἔστι Θεός· οὕτως μοι νόει καὶ τὸ Θεὸς τοῦ αἰῶνος τούτου. Ἢ οὕτως μετὰ ὑπερβατοῦ· τῶν ἀπίστων τοῦ αἰῶνος τούτου· ὧδε γὰρ ἀπιστοῦσι, τότε δὲ πᾶν γόνυ κλινεῖ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται Χριστῷ, ὅταν ἔλθῃ ἐν τῇ πατρῴᾳ δόξῃ.

Ἰωάννου. Τουτέστι τῶν ἀπίστων τοῦ αἰῶνος τούτου ἐτύφλωσεν ὁ Θεὸς τὰ νοήματα. Ὁ γὰρ μέλλων ἀπιστίαν οὐκ ἔχει. τὸ αὐτὸ καὶ Εἰρηναῖος. "Θεὸς αἰῶνος, ὀνομασθεὶς Θεὸς τοῖς ἀπί"στοις, τουτέστιν, ὁ Σατανᾶς."

Ἐτύφλωσε τὰ νοήματα.

Ὁ ἐν ἁγίοις Κυρίλλος ἐν α βιβλίῳ κατὰ Ἰουλιανοῦ ἐν ἀρχῇ. Οὐ τοῦτο αὐτὸς ποιῶν, ἄπαγε, ἀλλὰ γενέσθαι συγχωρήσας διὰ τὸ αὐτεξούσιον, ὡς καὶ ἀλλαχοῦ φησι, "παρέδωκεν αὐτοὺς εἰς πάθη ἀτιμίας," τὸ οἷον συνεχώρησε λέγων. Ἐπειδὴ γὰρ ἀπεφοίτησαν τοῦ Χριστοῦ, εἴασεν αὐτούς· βουλομένων γὰρ, οὐκ ἀναγκαζομένων ἡ σωτηρία, μὴ ὅτι καὶ προσεβλάπτοντο ἀπίστως διακείμενοι καὶ καταναγκαζόμενοι τῷ φωτὶ τοῦ Χριστοῦ, ὥσπερ καὶ ὄψις σαθρὰ ἐξ ἡλιακῆς ἀκτῖνος.

Τί δέ ἐστιν ὁ Θεὸς τοῦ αἰῶνος τούτου; οἱ μὲν τὸ Μαρκίωνος νοσοῦντες λέγουσι περὶ τοῦ δημιουργοῦ τοῦ δικαίου μόνου καὶ οὐκ ἀγαθοῦ ταῦτα εἰρῆσθαι. Λέγουσι γὰρ εἶναί τινα Θεὸν δίκαιον καὶ οὐκ ἀγαθόν. Μανιχαῖοι δὲ, φησὶ, τὸν διάβολον ἐνταῦθα λέγεσθαι, εἰς τοῦτο δημιουργὸν τῆς κτίσεως ἕτερον ἐπεισαγαγεῖν παρὰ τὸν ὄντα βουλόμενοι σφόδρα ἀνοήτως· ἡμεῖς δὲ ἐκεῖνο φαμὲν, ὅτι οὐ περὶ τοῦ διαβόλου τοῦτο εἴρηται, ἀλλὰ τοῦ τῶν ὅλων Θεοῦ· καὶ οὕτως ἀναγνωστέον, ὅτι τῶν ἀπίστων τοῦ αἰῶνος τούτου ἐτύφλωσεν ὁ Θεὸς τὰ νοήματα, ὁ γὰρ μέλλων ἀπιστίαν οὐκ ἔχει.

Εἰς τὸ μὴ αὐγάσαι.

Ὅρα, οὐκ εἶπεν, "ἐτύφλωσεν" εἰς τὸ μὴ πιστεῦσαι, ἀλλ' "εἰς τὸ μὴ αὐγάσαι," δεικνὺς αὐτοὺς πρῶτον ἀπιστήσαντας, εἶτα ἀναξίους γενομένους τοῦ φωτισμοῦ· καὶ αὐτὸς γὰρ, φησὶν ὁ Κύριος "μὴ ῥίπτειν ἔμπροσθεν τῶν χοίρων τοὺς μαργαρίτας·" καλῶς δὲ τὸ "αὐγάσαι" κεῖται· ἀμυδρὰν γὰρ ἀπορροίαν τῆς ἀληθινῆς γνώσεως ἔχομεν νῦν, καὶ ὥσπερ ἀπὸ ἡλίου παμφαοῦς αὐγὴν ἀμυδράν· τοῦτο καὶ ἀλλαχοῦ δηλοῖ, "βλέπομεν ἄρτι" λέγων "δι' "ἐσόπτρου ἐν αἰνίγματι," καὶ "ἀρραβῶνα Πνεύματος" καὶ "ὀσμὴν γνώσεως."

Τὸν φωτισμὸν τοῦ Εὐαγγελίου τῆς δόξης.

Δόξα γὰρ Χριστοῦ τὸ Εὐαγγέλιον. Δοξαστὸς μὲν γὰρ ὁ Χριστὸς διὰ μυρία, ἐξ ὧν ἐδημιούργησεν, ἐξ ὧν συνέχει τὰ δημιουργηθέντα, ἐξ ὧν τὰ πάντα ζωογονεῖ, μάλιστα δὲ ἐκ τοῦ σταυροῦ, οὗ κῆρυξ τὸ Εὐαγγέλιον.

Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ.

Ὡς ἐν παραδρομῇ λέγει, τουτέστι τοῦ Εὐαγγελίου συνεσκιασμένου τοῖς ἀπίστοις, ὅτι φησὶ, Θεός ἐστιν ὁ σταυρωθεὶς, εἰκὼν γάρ ἐστι τοῦ Πατρὸς ἀπαράλλακτος. Ὅτι γὰρ εἰκόνα οἶδεν ὁ Ἀπόστολος τὸ κατὰ πᾶν ἴσον καὶ ὅμοιον· ὅρα τί φησιν ἀλλαχοῦ, “σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν οὐκ αὐτὴν τὴν “εἰκονα τῶν πραγμάτων·” εἰκόνα Θεοῦ τὸν Χριστὸν καὶ Θεὸν ἐκ Θεοῦ προσηγόρευσεν· ἐν αὐτῷ γὰρ δείκνυσι τὸν Πατέρα· διό φησιν, “ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα.”

5 Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν.

Ἄνω εἶπε, “μὴ περιπατοῦντες ἐν πανουργίᾳ, μηδὲ δολοῦντες “τὸν λόγον τοῦ Θεοῦ·” πῶς; ἐπειδὴ μὴ ἑαυτοὺς, φησὶ, κηρύσσομεν, ἀλλὰ Χριστὸν Κύριον· ἑαυτοὺς δὲ δούλους ὑμῶν δι᾽ αὐτόν· τοῦτο δὲ λέγων τοὺς διδασκάλους αὐτῶν αἰνίττεται, περὶ ὧν ἔγραφε λέγειν αὐτοὺς, “ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλὼ, “ἐγὼ δὲ Κηφᾶ,” οἳ καὶ κατεκυρίευον αὐτῶν.

6 Ὅτι ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι.

Διὰ τί λέγεις σαυτὸν δοῦλον ἡμῶν, φησι, διὰ τί; ὅτι πεφίλησθε παρὰ τοῦ Θεοῦ μου. Αὐτὸς γὰρ ὁ ἐν ἀρχῇ τῆς κτίσεως εἰπὼν ἀπὸ σκότους λάμψαι φῶς· ὃς ἔλαμψε, τουτέστιν, οὗτος ἔλαμψεν ἐν ταῖς καρδίαις ὑμῶν, ἔλαμψε δὲ, φησὶ, φῶς τι ζῶν ἡμῖν καὶ ἀποκαλύπτον τὴν ἰδίαν γνῶσιν καὶ δόξαν ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ, τουτέστι διὰ τοῦ προσώπου τοῦ Χριστοῦ· διὰ γὰρ τοῦ Υἱοῦ ἡμῖν ἡ ἀληθὴς γνῶσις τοῦ Πατρὸς, καὶ τέως ὅτι ἔστι Πατὴρ, καὶ ὅτι οὐ διὰ κνίσσης καὶ αἱμάτων προσκυνεῖσθαι βούλεται, καὶ ὅτι ἐν Τριάδι ὁμοουσίῳ καὶ ἰσοδυνάμῳ θρησκεύεται Θεός· ὅθεν καὶ “μεγάλης εἴρηται βουλῆς Ἄγγελος.”

Πρὸς φωτισμὸν τῆς γνώσεως.

Ὅρα τῆς Ἁγίας Τριάδος τὸ ἀπαράλλακτον καὶ ὁμότιμον, πῶς ὁ Παῦλος δηλοῖ, φῶς καὶ φῶς· φῶς καλέσας τὴν Ἁγίαν Τριάδα· ἄνω περὶ Πνεύματος λέγων, φησὶ, τὴν δόξαν, “οἷον τὸ φῶς “Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα” πάλιν περὶ τοῦ Υἱοῦ “εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ

"Εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ·" νῦν περὶ τοῦ Πατρός φησι, "πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ."

ΚΕΦ. Ϛ.

Περὶ τῆς κατὰ σῶμα ἀσθενείας καὶ τῆς τοῦ σώματος ἀποθέσεως καὶ ἐπαναλήψεως.

7 Ἔχομεν δὲ θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν.

Ἀκόλουθα τῶν ἄνω καὶ τὰ νῦν, ὅτι ἡμεῖς, φησὶν, οἱ Ἀπόστολοι, διάκονοι τοῦ κηρύγματός ἐσμεν, ἀνάξιοι τῆς τοσαύτης αὐτοῦ δόξης ὑπάρχοντες· καὶ ὥσπερ χρυσὸν ἐν ὀστρακίνοις φέροντες σκεύεσιν.

Καὶ μὴ ἐξ ἡμῶν.

Ἵνα μηδεὶς, φησὶν, ἑαυτῷ ἀποδῷ ὡς ἀξίῳ δέξασθαι, ἀλλὰ τὸ πᾶν εἴη τῆς τοῦ Θεοῦ δυνάμεως τοῦ ἱκανώσαντος τὰ ὀστράκινα σκεύη εἰς χρυσίου ὑποδοχήν.

8 Ἐν παντὶ θλιβόμενοι—

Καὶ τοσοῦτον, φησὶ, τὸ πᾶν δυνάμεώς ἐστι Θεοῦ, ὅτι καίτοι ὀστράκινοι ὄντες, καὶ ἐν τοσούτοις περιστρεφόμενοι πειρασμοῖς, οὐ θραυόμεθα καὶ ἀπόλλυμεν τὸν ἐν ἡμῖν θησαυρόν. ἐν παντὶ, φησὶ, καὶ τόπῳ καὶ πράγματι· τὸ δὲ μὴ στενοχωρεῖσθαι τὸν θλιβόμενον Θεοῦ χάριτός ἐστιν.

Ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι.

"Ἀπορούμενοι," φησί· τί χρὴ ποιεῖν πρὸς τὸν ἐκ πάντων πόλεμον καὶ διωγμόν; ἀλλ' οὐκ ἐπὶ τοσοῦτον ὥστε ἡμᾶς καὶ ἐξαπορηθῆναι, τουτέστι πεσεῖν καὶ ἡττηθῆναι.

9 Διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι.

Διώκουσι μὲν οἱ ἄνθρωποι, οὐ καταλιμπάνει δὲ ὁ Θεός· οὐ γὰρ πρὸς ἧτταν ἡμῶν, ἀλλὰ πρὸς πάλην ἡ συγχώρησις.

Καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι.

Καὶ ὅσον μὲν, φησὶ, πρὸς τὸ μέγεθος τῶν πειρασμῶν ἤδη καταβληθέντες, ἀλλὰ τῇ τοῦ Θεοῦ χάριτι οὐκ ἀπολλύμενοι.

Ἀντὶ τοῦ ἐν ἀπόροις πράγμασι πόρους εὑρίσκομεν σωτηρίας.

10 Πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ.

"Τὴν νέκρωσιν," φησὶ, "τοῦ Κυρίου" καὶ ἡμεῖς πανταχοῦ γῆς περιφέρομεν τὸ καθ' ἡμέραν ἀποθνήσκειν πανταχοῦ· "καθ' ἡμέ-"ραν γὰρ," φησὶν, "ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, "ἵνα" φησὶ, "καὶ ἡ ἀνάστασις τοῦ Κυρίου διάδηλος γένηται διὰ "τοῦ σώματος ἡμῶν·" ὁ γὰρ τῇ ἀναστάσει τοῦ Κυρίου ἀπιστῶν, ἡμᾶς ὁρῶν καθ' ἡμέραν ἀποθνήσκοντας, καθ' ἡμέραν δὲ ζῶντας, οὐκ ἂν ἔτι εὐλόγως ἀπιστήσῃ.

11 Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες.

Πάλιν περὶ τοῦ αὐτοῦ εἶπε, διὰ τοῦτο γὰρ, φησὶ, συγχωρούμεθα ὑπὸ Θεοῦ παραδίδοσθαι εἰς θάνατον, ἵνα φανερωθῇ, ὅτι ἀνέστη ὁ Χριστός· ὁ γὰρ ἡμᾶς ἐγείρων καθ' ἡμέραν, καὶ ἑαυτὸν δηλονότι ἤγειρεν. οὕτως διὰ τοῦτο ἑαυτοὺς εἰς θάνατον παραδιδόμεν, ἵνα ἡ ζωὴ τοῦ Θεοῦ φανερωθῇ καὶ ἐνεργήσῃ ἐν ἡμῖν, δῆλον δὲ ὅτι ἐν τῷ μέλλοντι κόσμῳ· ὡσεὶ ἔλεγεν, ἡμεῖς τοίνυν διὰ τὸν Χριστὸν παραδίδομεν ἑαυτοὺς εἰς θάνατον, ἵνα ὁ Χριστὸς τότε ἀπὸ τοῦ νοητοῦ θανάτου τῆς κατακρίσεως ῥύσηται ἡμᾶς, καὶ εἰς ζωὴν ἀγάγῃ τὴν νοητήν. Ὡς ἐκ τοῦ ἀκολούθου, φησὶ, τοῦτο γίνεσθαι, τὸν μὲν θάνατον ἐν ἡμῖν ἐνεργεῖν καὶ ἐνεργὸν ὑπάρχειν, τὴν δὲ ζωὴν ἐν ὑμῖν· ὡσεὶ ἔλεγεν, ἡμεῖς ἀποθνήσκομεν διὰ τὸ κήρυγμα, ἵνα ὑμεῖς ζήσητε δι' αὐτοῦ τὴν ἀγήρω ἐκείνην καὶ αἰωνίαν ζωὴν πιστεύοντας εἰς Χριστόν. Τὸ αὐτὸ Πνεῦμα τῷ Δαυὶδ, φησὶν, ἔχοντες, τὰ αὐτὰ αὐτῷ καὶ φθεγγόμεθα τὸ "ἐπί-"στευσα διὸ ἐλάλησα·" ἄνω γὰρ ἀπὸ λογισμῶν παραστήσαντες ἀνάστασιν· νῦν ἐκ πίστεως αὐτὴν εἰσφέρει.

14 Εἰδότες ὅτι ὁ ἐγείρας τὸν Κύριον Ἰησοῦν.

Λαλοῦμεν δὲ τοῦτο, εἰδότες ὅτι ὁ τὸν Κύριον ἐγείρας Πατὴρ, καὶ ἡμᾶς ἐγερεῖ· εἰδότες δὲ πόθεν; ἐκ τῆς πίστεως δῆλον ὅτι.

Καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ.

Αὐτὸς γὰρ ἥξει ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου, ἐν σάλπιγγι, καὶ ἐγερεῖ τοὺς νεκροὺς, καὶ παραστήσει τῷ οἰκείῳ βήματι.

15 Τὰ γὰρ πάντα δι᾽ ὑμᾶς.

Ἐνταῦθα παιδαγωγεῖ αὐτοὺς ὑπὲρ τῆς ἀναστάσεως καὶ τῶν λοιπῶν ἀγαθῶν χάριν εἰδέναι, ἀνθρώπων μὲν μηδενὶ, Θεῷ δὲ μόνῳ· οἱ γὰρ ψευδαπόστολοι ἑαυτοῖς τὴν χάριν ἀνετίθεσαν, ὡς διὰ τῶν οἰκείων πρὸς Θεὸν παρακλήσεων δωρουμένου ταῦτα τοῦ Θεοῦ· τὰ γὰρ πάντα, τουτέστιν ἀγαθὰ δι᾽ ὑμᾶς, οὐ διὰ τόνδε καὶ τόνδε, ἀλλὰ διὰ τὸ κοινῇ συμφέρον. Τοῦτο δὲ, φησὶ, γέγονεν, ἵνα ἡ χάρις τοῦ Θεοῦ πλεονάσῃ πολλοῖς παρεχομένη· ταύτης δὲ πλεοναζούσης, καὶ ἡ εἰς αὐτὸν εὐχαριστία συμπλεονασθήσεται.

16 Διὸ οὐκ ἐκκακοῦμεν.

Ἐπεὶ οὖν ἴσμεν πάντα τὰ εἰς ἡμᾶς γενόμενα εἰς εὐχαριστίαν Θεοῦ τελευτᾷν, οὐκ ἐκκακοῦμεν, οὔτε ἀπαγορεύομεν πρὸς τοὺς πειρασμούς· ἔξω δὲ ἄνθρωπον τὸ σῶμα καλεῖ, ὅπερ ἐφθείρετο μαστιζόμενον, διωκόμενον, δεσμούμενον· ἔσω δὲ ἄνθρωπον, τὴν ψυχὴν, ἥτις ἀναθάλλει, φησὶ, καθ᾽ ἑκάστην ἡμέραν τῇ ἐλπίδι καὶ τῇ χαρᾷ, καὶ τῷ εἰδέναι ὅτι ὑπὲρ Θεοῦ πάσχει.

17 Τὸ γὰρ παραύτικα ἐλαφρὸν τῆς θλίψεως.

Ὅρα προτροπὴν εἰς τὸ τολμᾷν καταθαρρεῖν τῶν πειρασμῶν· τὸ γὰρ παραυτίκα, φησὶ, τουτέστι τὸ ὀλιγοχρόνιον, τὸ ταχὺ εἰς τὸ παυθῆναι τῆς θλίψεως. οὐκ ἠρκέσθη δὲ εἰπὼν, "παραυτίκα," ἀλλὰ καὶ "ἐλαφρὸν," φησὶν, "αἰώνιον βάρος, φησὶ, δόξης ἀπεργάζεται·" καὶ οὐχ ἁπλῶς, ἀλλὰ "καθ᾽ ὑπερβολὴν, καὶ εἰς ὑπερβολὴν" τοῦτο ποιῶν· καὶ ὅρα τῆς ἀντιμισθίας τὸ πλεονάζον· τῷ γὰρ αὐτίκα τὸ αἰώνιον ἀνεμέτρησε, τῷ δὲ ἐλαφρῷ τὸ βαρύ· τῇ θλίψει, τὴν δόξαν, καὶ οὐδὲ ἄχρι τούτων οἱ πλεονασμοὶ τῶν ἀντιδόσεων, ἀλλὰ καὶ καθ᾽ ὑπερβολὴν καὶ εἰς ὑπερβολήν.

18 Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα.

Ἐπειδὴ βαρεῖαν οὖσαν τὴν θλίψιν εἶπεν ἐλαφρὰν, ἐπεξηγεῖται πῶς ἐστιν ἐλαφρὸν ἡ νῦν θλίψις· ἐὰν, φησὶ, μὴ σκοπῶμεν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· ἐὰν γὰρ τὰ ἐκεῖ τοῖς νῦν ἀντιστήσῃς, ἐλαφρὰ τὰ νῦν φανεῖται· πρόσκαιρα γάρ ἐστιν, ἐκεῖνα δὲ αἰώνια.

1 *Οἴδαμεν γὰρ, ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ.*

Ἐπίγειος μὲν οἰκία ἡ ἐνταῦθα βραχύβιος ζωή. σκῆνος δὲ τὸ σῶμα ἡμῶν τῶν ψυχῶν· ἄλλο γὰρ οἰκία, καὶ ἄλλο τὸ σκῆνος οὗ ἐστιν ἡ οἰκία, καὶ ἄλλο ἡμεῖς ὧν ἐστι τὸ σκῆνος ἴδιον· "ἐὰν "οὖν," φησὶν, "ἡ οἰκία τοῦ σκήνους ἡμῶν καταλυθῇ," τουτέστιν ἡ ἐνταῦθα βραχύβιος ζωὴ, ἕξομεν ἀχειροποίητον οἰκίαν, τουτέστι, ζωὴν αἰώνιον, οὐ προσδεομένοις τῆς ἡμετέρας ἐργασίας καὶ τῶν ἡμετέρων χειρῶν πρὸς σύστασιν· καλῶς δὲ πρὸς ἀντιδιαστολὴν τῆς παρούσης ζωῆς τὴν μέλλουσαν "ἀχειροποίητον" εἶπεν· ἡ γὰρ παροῦσα ἀπὸ τῶν χειρῶν ἔχει τὴν σύστασιν· ἄρτου, ποτοῦ, ἐνδύματος. οὕτως ὁ ἐν ἁγίοις Μεθόδιος ἐν τῷ περὶ ἀναστάσεως λόγῳ.

Θεοδωρίτου. Ἐπίγειον οἰκίαν τὴν κατὰ τὸ παρόντα βίον λέγει διαγωγήν· σκῆνος δὲ τὸ σῶμα· ἐὰν τοίνυν λάβῃ τέλος τὰ παρόντα, τὴν ἀχειροποίητον ἔχομεν οἰκίαν τὴν αἰώνιον καὶ οὐράνιον.

Ἐπίγειος ἡμῶν οἰκία.

Ἐπίγειον οἰκίαν σκήνους τὸ σῶμα καλεῖ.

Οἰκοδομὴν ἐκ Θεοῦ ἔχομεν.

Οἷον τὴν ἀνανέωσιν, τὴν ἔγερσιν.

Ἐν τοῖς οὐρανοῖς.

Οἷον ἐν τοῖς οὐρανοῖς κατασκευασθεῖσαν ἄφθαρτον, τουτέστι διὰ χάριτος οὐρανίου.

2 *Ἐν τούτῳ στενάζομεν.*

Ὑμεῖς, φησὶ, στενάζετε, ὡς εἰκὸς μερικῶς φθειρομένου τοῦ σώματος ὑμῶν ταῖς θλίψεσι· ἡμεῖς δὲ οἷς ἐναργὴς ἡ πίστις τῆς ἀναστάσεως, στενάζομεν, ὅτι μὴ παντελῶς φθείρεται· διὰ τί; ὅτι ἐπιποθοῦμεν τὸ ἄφθαρτον ἡμῶν σῶμα ἐπενδύσασθαι· καλῶς δὲ τὸ "ἐπενδύσασθαι·" τὸ γὰρ θνητὸν τοῦτο σῶμα ἐπενδύεται τὴν ἀφθαρσίαν.

Θεοδωρίτου. Οἰκητήριον ἐνταῦθα τὴν ἀφθαρσίαν ἐκάλεσεν· οὐκ εἶπε δὲ ἐνδύσασθαι, ἀλλ' "ἐπενδύσασθαι," ἐπειδὴ οὐχ ἕτερον

ἐνδυόμεθα σῶμα, ἀλλὰ τὸ φθαρτὸν τοῦτο τὴν ἀφθαρσίαν ἐπενδύεται.

Οἰκητήριον—

Οὐκ εἶπε σκῆνος, ἀλλ' οἰκητήριον, τὴν εἰς αὐτὸ ἀσφαλῆ μονὴν καὶ οἴκησιν δηλῶν.

Τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι.

Οὐκ ἐπειδὴ ἐξ οὐρανοῦ οὐ κάτεισιν, ἀλλ' ἐπειδὴ ἐκ Θεοῦ τὴν ἀφθαρσίαν λαμβάνει.

3 Εἴ γε καὶ ἐνδυσάμενοι.

"Εἴγε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα," τουτέστι, κἂν ἀποθώμεθα τὸ σῶμα, οὐ χωρὶς σώματος ἐκεῖ παραστησόμεθα, ἀλλὰ μετ' αὐτοῦ ἀφθάρτου γενομένου· τινὲς δέ φασιν, εἴπερ καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα· ἵνα γὰρ μὴ ἀπὸ τῆς ἀναστάσεως πάντες θαρρῶσι, φησὶν, εἴγε καὶ ἐνδυσάμενοι, τουτέστιν ἀφθαρσίαν καὶ σῶμα ἄφθαρτον λαβόντες, οὐ γυμνοὶ εὑρεθησόμεθα δόξης· ἡ μὲν γὰρ ἀνάστασις κοινὴ πάντων, ἡ δὲ δόξα οὐκ ἔστιν ἴση, ἀλλ' οἱ μὲν ἐν τιμῇ εἰσιν, οἱ δὲ ἐν ἀτιμίᾳ.

Οὐ γυμνοὶ εὑρεθησόμεθα.

Ἵνα μὴ ἐκ τῆς ἀναστάσεως μόνης, καὶ ἐκ τῆς τοῦ σώματος ἐναλλαγῆς νομίσωσι τὸ πᾶν κατορθῶσθαι, ἐπάγει, εἴγε καὶ ἄφθαρτον αὐτὸ ἐνδυσάμενοι, οὐ γυμνοὶ δόξης καὶ τιμῆς εὑρεθῶμεν· ἡ γὰρ ἀφθαρσία τοῖς μὲν εἰς ἀγαθὸν, τοῖς δὲ ὡς κακὸν ἔσται, διαιωνίζειν ποιοῦσα καὶ τὰς τιμὰς καὶ τὰς τιμωρίας.

4 Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν.

Ἐπειδὴ ἀντέκειτο αὐτῷ ἡ κοινὴ τῶν ἀνθρώπων δόξα, τί, φησὶ, στενάζεις; ἵνα ἀποθάνῃ τὸ σῶμα; καίτοι πάντες ἄνθρωποι στενάζουσιν ἵνα μὴ ἀποθάνωσι, φησὶν, οὐδὲ ἡμεῖς στενάζομεν, ἵνα ἀποθώμεθα τὸ σῶμα καὶ ἐκδυσώμεθα, ἀλλ' ἵνα ἐπενδυσώμεθα τὴν ἀφθαρσίαν· οὐ γὰρ ἐπειδὴ σῶμά ἐστι, βαρούμεθα, φησὶν, ἀλλ' ἐπειδὴ θνητόν ἐστι καὶ φθαρτόν.

Ἀλλ' ἐπενδύσασθαι.

Ἐνδύσασθαι, φησὶ, σπεύδομεν, ἵνα καταποθῇ τὸ νῦν θνητὸν καὶ φθαρτὸν σῶμα ὑπὸ τῆς ἀφθαρσίας καὶ ἀθανασίας.

5 **Ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο Θεός.**

Τίς δὲ ταύτην τὴν ἐναλλαγὴν, φησὶ, τοῦ σώματος ποιήσει; τίς; ὁ εἰς τοῦτο αὐτὸ κατεργασάμενος Θεὸς, ἵνα ὦμεν ἄφθαρτοι καὶ ἀθάνατοι. δείκνυσιν οὐ νεωτέραν τὴν ἐπὶ τούτῳ δόκησιν, ἀλλ' ἐπὶ ἀθανασίᾳ μὲν ἡμᾶς διαπεπλᾶσθαι· ἐπειδὴ δὲ φθόνῳ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον, ἄλλην πάλιν ἐξεῦρεν ὁδὸν ἡμῖν ἀθανασίας ὁ Θεός.

Θεοδωρήτου. Στένομεν, φησὶν, οὐκ ἀπαλλαγῆναι τοῦ σώματος ἐφιέμενοι, ἀλλὰ τῶν παθῶν αὐτῶν ἐλεύθεροι γενέσθαι ποθοῦντες· οὐ γὰρ ἀποδύσασθαι τὸ σῶμα, ἀλλ' ἐπενδύσασθαι τὴν ἀφθαρσίαν ὀριγνόμεθα [b].

Ὁ καὶ δοὺς ἡμῖν τὸν ἀρραβῶνα τοῦ Πνεύματος.

Καὶ ὅτι, φησὶν, ἐπὶ τὸ γενέσθαι ἀθανάτους κατειργάσατο, δῆλον ἐξ ὧν ἔδωκε τὸ Πνεῦμα, οὐκ ἂν τοῦτο δοὺς τοῖς μὴ τοῦτο, φησὶ, μέλλουσι γίνεσθαι· πανταχοῦ δὲ ἀρραβῶνα λέγει Πνεύματος, ὀφειλέτην αὐτὸν ποιῶν τοῦ δοῦναι καὶ τὸ τέλειον.

6 **Εἰδότες ὅτι ἐνδημοῦντες τῷ σώματι.**

Καλῶς τὸ "ἐνδημοῦντες" ὡς ἐπὶ ἀλλοτρίας· πάροικοι γάρ ἐσμεν καὶ παρεπίδημοι· τοῦτο δὲ θέλει εἰπεῖν, θαρροῦντες, εἰδότες τὸ τῇ σωματικῇ προσμένειν ζωῇ διατειχίζει ἡμᾶς τῆς μετὰ Χριστοῦ διαγωγῆς, βουλόμεθα μᾶλλον ἐκδημῆσαι μὲν τοῦ σώματος, σὺν Χριστῷ δὲ εἶναι.

Τουτέστιν, οὐ σβέννυσιν ἡμῶν τὴν ζωὴν ὁ πολεμῶν καὶ ἀναιρῶν, μὴ φοβηθῇς, θάρρει κατακοπτόμενος· οὐ γὰρ μόνον φθορᾶς σε ἀπαλλάττει καὶ βάρους, ἀλλὰ καὶ τῷ Κυρίῳ σε παραπέμπει ταχέως.

7 **Διὰ πίστεως γὰρ περιπατοῦμεν.**

Ἵνα μή τις εἴπῃ, τί οὖν ὄντες ἐν σώματι ἀλλότριοί ἐσμεν τοῦ Χριστοῦ, ἐπάγει, διὰ πίστεως γὰρ περιπατοῦμεν, καὶ οὐ διὰ εἴδους, ὡσεὶ εἶπε, διὰ τοῦτο εἶπον ἐκδημοῦμεν καὶ οἷον ὁδηγούμεθα εἰς τὴν αὐτοῦ γνῶσιν, τότε δὲ διὰ εἴδους, τοῦτ' ἔστιν, αὐτοψεί. ὃ καὶ ἀλλαχοῦ φησι, "βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰ-"νίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον."

b Sic.

8 Εὐδοκοῦμεν μᾶλλον.

Ἐπεὶ οὖν ἴσμεν τί ποιεῖ ἡ πρὸς τὸν Κύριον ἐνδημία, θαρρούντως εὐδοκοῦμεν ἀποδημῆσαι τοῦ σώματος, καὶ τοῦτο, φησὶν, ἐπιποθοῦμεν.

9 Καὶ φιλοτιμούμεθα.

Τὸ "φιλοτιμούμεθα" ἢ σπουδάζομεν ἢ καυχόμεθα νόει· εἰς τὸ εἶναι αὐτῷ εὐάρεστοι, φησὶν, ἵνα γὰρ μὴ νομίσωσιν ἀποχρῆν αὐτοῖς τὴν πρὸς Χριστὸν ἐνδημίαν, τὸ εὐάρεστοι αὐτῷ εἶναι ἐπάγει· τοῦτο γὰρ ἢ μακαρίαν τὴν πρὸς αὐτὸν ἐνδημίαν ποιεῖ ἢ τρισαθλίαν, ἐὰν μὴ ὦμεν εὐάρεστοι.

10 Τοὺς γὰρ πάντας.

Λοιπὸν ἀπὸ τῶν σκυθρωποτέρων πτοεῖ, πλὴν ὅτι ἀναμνήσας τοῦ φοβεροῦ βήματος, οὐ μόνον τὰ σκυθρωπὰ, ἀλλὰ καὶ τὰ χρηστότερα τῶν ἐκεῖ λέγει.

Ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος.

Τὰ διὰ τοῦ σώματος αὐτῷ πεπολιτευμένα, φησὶ, καὶ πεπραγμένα, κομίσεται δὲ πρὸς ὃ ἐκήρυξεν, εἴτε ἀγαθὰ εἴτε κακά· ἐπειδὴ γὰρ πρός τε τὰ καλὰ καὶ μὴ τοιαῦτα τὸ σῶμα ὑπηρέτησε τῇ ψυχῇ, καὶ τὰς ἀμοιβὰς μετ' αὐτῆς ἀπολαμβάνει· τοῦτο τῶν λεγόντων ἄλλο σῶμα τότε ἐγείρεσθαι ἐμφράττει τὰ στόματα· οὐ γὰρ ἂν ἄλλου ἁμαρτήσαντος σώματος, ἄλλο ἐτιμωρεῖτο, οὐδὲ ἄλλου κατορθώσαντος, ἄλλο ἐστεφανοῦτο.

Πρὸς ἃ ἔπραξεν.

Οὐδὲ γὰρ γυμνὴ ἡ ψυχὴ, ἀλλὰ διὰ τοῦ σώματος· κομίζεται ταῦτα, τουτέστι, πρὸς ἃ ἔπραξε συμπάσχουσα καὶ συνδοξαζομένη τῷ συζύγῳ σώματι.

11 Εἰδότες οὖν τὸν φόβον τοῦ Κυρίου.

Τὸ δικαστήριον, φησὶν, ἐκεῖνο καὶ τὴν κατ' ἀξίαν ἀπόδοσιν.

Ἀνθρώπους πείθομεν.

Πείθομεν δὲ διὰ τοῦτο, ἵνα μή τινα ὑμῶν σκανδαλίσωμεν· οὐ γὰρ τὸ πρᾶξαί τι τῶν φαύλων μόνον κατακρίνει, ἀλλὰ καὶ τὸ νομίζεσθαι πράττειν κολάζει, ἐὰν δυνάμενοι τὴν τοιαύτην ὑποψίαν λῦσαι καταφρονήσωμεν.

Θεῷ δὲ πεφανερώμεθα.

Τὸν γὰρ εἰδότα Θεὸν πείθειν οὐ δεῖ.

Ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν.

Ἐλπίζει δέ, φησιν, ὅτι καὶ ὑμᾶς οὐ σκανδαλίσομεν, ἀλλ' οἷόν ἐσμεν, τοιοῦτοί ἐσμεν ἐν τῇ γνώσει ὑμῶν· τοῦτο γὰρ τὸ ἐν ταῖς συνειδήσεσιν.

ΚΕΦ. Ζ.

Περὶ τῆς αὐτοῦ φιλοθεότητος καὶ φιλαδελφίας τῆς κατὰ Χριστόν.

12 Οὐ γὰρ πάλιν ἑαυτοὺς συνιστάνομεν ὑμῖν, ἀλλὰ ἀφορμὴν διδόντες ὑμῖν καυχήματος ὑπὲρ ἡμῶν, ἵνα ἔχητε—

Ἕξετέ τι ἀπολογεῖσθαι, τί λέγειν, τί καυχᾶσθαι. Συνεχῶς ἀποτρίβεται τὴν τοῦ μὴ δοκεῖν καυχᾶσθαι ὑπόνοιαν, καί φησιν, εἰς τούτους τοὺς λόγους ἤλθομεν, οὐχ ἑαυτοὺς συνιστῶντες, τουτέστιν, ἐπαίροντες ἢ ἐγκωμιάζοντες, ἀλλ' ὑμῖν παρέχοντες φησὶν, ἀφορμὴν ὑπὲρ ἡμῖν καυχᾶσθαι πρὸς τοὺς ψευδαποστόλους· ἐπειδὴ γὰρ ἐκεῖνοι διασύρουσιν ἡμᾶς, ἵνα ὑμεῖς ἔχητε ὑπὲρ ἡμῖν καυχᾶσθαι, εἰς τούτους ἤλθομεν, φησὶ, τοὺς λόγους. Περὶ τῶν ψευδαποστόλων, φησὶν, οἵτινες πάντα πρὸς ἀνθρωπαρεσκείαν καὶ φιλοτιμίαν ἐποίουν, καὶ προσωπεῖον μὲν εἶχον εὐλαβείας καὶ σεμνότητος, ἔργων δὲ ἀγαθῶν ἐτύγχανον ἔρημοι. τοῦτο γάρ ἐστι "καὶ μὴ ἐν καρδίᾳ," διὰ τὸ μὴ ἔχειν ἔνδον ἀγαθόν.

13 Εἴτε γὰρ ἐξέστημεν, Θεῷ—

Ἄν τε, φησὶ, μέγα φθεγγώμεθα, τοῦτο γὰρ τὸ ἐξέστημεν, μαινομένων γὰρ τὸ μεγάλα φθέγγεσθαι καὶ ὑπέρογκα, διὰ τὸν Θεὸν, φησὶ, τοῦτο ποιοῦμεν. πῶς; ἵνα μὴ ὑμεῖς νομίσαντες ἡμᾶς εὐτελεῖς, καταφρονήσητε τοῦ ὑφ' ἡμῶν κηρύγματος· ἄν τε μέτριόν τι εἴπωμεν, δι' ὑμᾶς τοῦτο ποιοῦμεν, ἵνα ταπεινοφρονεῖν ὑμᾶς διδάξωμεν. Ἢ οὕτως. εἰ μέν τις ἡμᾶς μαίνεσθαι νομίζει, παρὰ Θεοῦ τὸν μισθὸν λαμβάνομεν, δι' ὃν τοιοῦτοι νομιζόμεθα· εἰ δὲ νήφειν, αὐτὸς τῆς ἐκ τοῦ νήφειν ὠφελείας ἀπολαβέτω. Ἢ οὕτως. Εἰ μαινόμεθα, φησὶ, διὰ τὸν Θεὸν μαινόμεθα, διὰ γὰρ τὴν ὑμῶν σωτηρίαν, ἧς κήδεται Θεὸς, τοιαῦτα φθεγγόμεθα, ἵνα

γνόντες ἡμᾶς τίνες ἐσμὲν, σωθῆτε· πιστεύσετε τοῖς παρ᾽ ἡμῶν κηρυσσομένοις, εἰ δὲ σωφρονοῦμεν πεισθῆτε.

14 Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς.

Ἡ ἀγάπη τοῦ Χριστοῦ, φησὶ, συνέχει καὶ συνωθεῖ ἡμᾶς, καὶ ῥᾳθυμεῖν οὐκ ἐᾷ πρὸς τοὺς ὑπὲρ ὑμῶν πόνους· διὸ καὶ τοιαῦτα φθεγγόμεθα, φησὶν, ἵνα ὑμεῖς σωθῆτε ἀξιοπίστους ἡμᾶς νομίσαντες· πείθειν γὰρ οἶδε μαθητὰς ὁ ἐνάρετος διδάσκαλος.

Συνέχει ἡμᾶς.

"Συνέχει ἡμᾶς," φησὶ, καὶ συνωθεῖ ἡ ἀγάπη τοῦ Θεοῦ, ἐπειδὴ κεκρίκαμεν εἶναι τοῦτο ἀληθές· ποῖον; ὅτι εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἐπειδὴ οἱ πάντες ἦσαν ἀποθανόντες ἄνθρωποι· διὸ καὶ ὑπὲρ πάντων ἀπέθανεν.

15 Ζῶντες μηκέτι ἑαυτοῖς.

Εἰ οὖν οὐ δεῖ ἡμᾶς ἑαυτοῖς ζῆν, εἰκότως σπουδάζομεν καὶ ἡμεῖς· εἰκότως δ᾽ ἂν καὶ ὑμεῖς τῶν ἐπιόντων καταφρονήσητε πειρασμῶν.

Ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι.

Τρεῖς εἰσιν ἀπειλῆς ἀφορμαὶ, δι᾽ ἃς δεῖ σπουδάζειν ἡμᾶς πάντα διὰ τὸν Κύριον ποιεῖν· μία ὅτι αὐτὸς ἡμᾶς ἐποίησε, δευτέρα, ὅτι δι᾽ ἡμᾶς ἀπέθανε, τρίτη ὅτι τὴν ἀπαρχὴν ἡμῶν, τουτέστι τὴν σάρκα, ἀνέστησε, καὶ εἰς οὐρανοὺς ἀνήγαγεν, ἵνα καὶ σε ἀναγάγῃ ὅπου ἡ ἀπαρχή σου τυγχάνει· ὅρα που ἀνήγαγε τὸν λόγον. Τίς γὰρ ὅλως ἦν χρεία ἐνανθρωπήσεως καὶ σαρκώσεως τῷ Θεῷ Λόγῳ, εἰ μὴ τοῦτο ᾠκονομεῖτο ἡ ἡμῶν ἀνάπλασις καὶ ἀνάστασις;

16 Ὥστε καὶ ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν.

Ἐπεὶ οὖν πάντες ἀπέθανον τῇ ἁμαρτίᾳ, καὶ ζῶσι διὰ τὸν Χριστὸν, οὐδένα ἴσμεν κατὰ σάρκα ζῶντα, τουτέστι, κατὰ τὴν πάλαι πολιτείαν τὴν ἐν ἁμαρτίαις· τὸ γὰρ τοιοῦτον θάνατός ἐστι καὶ οὐ ζωή· ἀλλὰ νῦν οἱ ὄντως ἔχουσι ζωὴν, καὶ οὐ τὴν παλαίαν.

Κατὰ σάρκα.

Οἷον ζῶντα.

Εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν.

Καὶ τοσοῦτον, φησὶν, οὐδεὶς ἔτι κατὰ σάρκα ζῇ, ἐκείνη γὰρ οὐκ ἔστι ζωὴ, ἀλλὰ θάνατος, ὅτι καὶ ὁ Χριστὸς, ἵνα δείξῃ ὅτι τὸ κατὰ σάρκα ζῆν ἐπαύσατο· πῶς; οὐ τὸ σῶμα ἀφεὶς, ἄπαγε· μετ' αὐτοῦ γὰρ ἥξει ὡς ἰδίου κριτὴς ἁπάντων, ἀλλὰ τῶν φυσικῶν ἀπαλλαγεὶς παθῶν, οἷον πείνης καὶ δίψης καὶ ὕπνου καὶ κόπου· νῦν γὰρ ἀπαθὲς καὶ ἀκήρατον ἔχει σῶμα.

Ὥσπερ ἦν τὸ κατὰ σάρκα, ἐστὶ τὸ ἐν ἁμαρτίαις, καὶ τὸ ἔξω τούτων οὐ κατὰ σάρκα, οὕτω καὶ Χριστοῦ τὸ κατὰ σάρκα τὸ εἴκειν τοῖς φυσικοῖς πάθεσι· τὸ μὴ εἴκειν δὲ οὐ κατὰ σάρκα, ἀλλ' ὥσπερ φησὶν ἐκεῖνος, ἀπηλλάγη· οὕτω καὶ ἡμεῖς· οὐκέτι, φησὶν, εἶεν ἐμπαθητὸν σαρκί. οὕτω καὶ ὁ Κλήμης ἐν δ' ὑποτυπώσεων.

17 Ὥστε εἴ τις ἐν Χριστῷ.

Εἴ τις ἐν Χριστῷ ζῇ, φησὶ, τουτέστιν ἐν τῇ πίστει αὐτοῦ, καινὴ κτίσις ἐστὶν, εἰς καινὴν γὰρ ἦλθε καὶ νέαν ζωήν· καὶ γὰρ ἄνωθεν ἐγεννήθημεν διὰ τοῦ Πνεύματος, τοῦ ζῆν οὐ τὴν ἐν ἁμαρτίαις ζωὴν, ἀλλὰ τὴν ἐν Πνεύματι.

Τὰ ἀρχαῖα παρῆλθεν.

Ποῖα ἀρχαῖα; ἤτοι τὰ ἁμαρτήματα, φησὶ, καὶ τὰς ἀσεβείας, ἢ τὰ Ἰουδαϊκὰ πάντα. πῶς δὲ τὰ ἀρχαῖα παρῆλθε; ψυχὴ καὶ σῶμα ἡμῖν καινὸν, ἐκαθάρθη γὰρ τῷ βαπτίσματι, διαθήκη καινή· ἀντὶ τῆς ἐπιγείου Ἰηρουσαλὴμ, ὁ οὐρανός· ἀντὶ ναοῦ αἰσθητοῦ, ναὸς πνευματικός· ἀντὶ πλακῶν λιθίνων, σάρκινοι πλάκες· ἀντὶ περιτομῆς, βάπτισμα· ἀντὶ μάννα, σῶμα δεσποτικόν· ἀντὶ τοῦ ἐκ πέτρας ὕδατος, αἷμα δεσποτικόν· ἀντὶ τῆς ῥάβδου Μωσέως, ὁ σταυρός· ἀντὶ γῆς ἐπαγγελίας, βασιλεία οὐρανῶν· ἀντὶ μυρίων τῶν κατὰ τὸν νόμον ἱερέων, εἷς ἀρχιερεὺς, ὁ Χριστός· ἀντὶ ἀμώμου προβάτου, ὁ υἱὸς τοῦ Θεοῦ· ἀντὶ ψιλοῦ ὀνόματος υἱοθεσίας, ἀληθὴς υἱοθεσία· ἡ γὰρ καινὴ κτίσις καὶ ὡς πρὸς τὴν ἐν ἁμαρτίαις ζωὴν εἴρηται, καὶ ὡς πρὸς τὰ κατὰ νόμον ἤδη καὶ ἐπίταγμα.

18 Πάντα ἐκ τοῦ Θεοῦ.

Ταῦτα δὲ πάντα, φησὶν, ἐκ Θεοῦ ἡμῶν δεδώρηται τοῦ διὰ μεσίτου τοῦ Υἱοῦ αὐτοῦ ἀποκαταλλάξαντος ἡμᾶς ἐκάλεσε διὰ τῆς σφραγῖδος τοῦ Υἱοῦ αὐτοῦ.

Καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς.

Ὦ φιλανθρωπίας βάθους· οὐ γὰρ ἐπειδὴ πρέσβιν ἐπὶ καταλλαγῇ ἔπεμψε τὸν Υἱὸν αὐτὸς, καὶ ἐσφάγη, λοιπὸν ἠμέλησεν ἡμῶν, ἀλλὰ καὶ τοῦ Υἱοῦ ἀποθανόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς πάλιν ἐπίστευσε τοῖς Ἀποστόλοις.

19 Ὡς ὅτι Θεὸς ἦν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ.

Καὶ γὰρ, φησὶ, τὸ πρῶτον, οἷον πρὸ τοῦ σταυροῦ, Θεὸς ἦν, τουτέστιν, ὁ Πατὴρ διὰ μέσου Χριστοῦ ὡς μεσίτου καταλλάσσων ἑαυτῷ τὸν κόσμον.

Μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα.

Οὕτω γὰρ, καὶ οὐκ ἄλλως ἐνῆν τὴν καταλλαγὴν γενέσθαι, τὸ πρῶτον ἀφεῖναι τὰ πλημμελήματα, ὡς εἴγε δίκην ἀπῄτησε τῶν ἁμαρτιῶν, οὐκ ἄν τις, φησὶ, περιελείφθη ὡς καταλλαγείη.

Καὶ θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς.

Ὁ Πατὴρ οὖν ἦν καὶ πρὸ τοῦ σταυροῦ, φησὶ, διὰ τοῦ Υἱοῦ αὐτοῦ καταλλάσσων ἑαυτῷ τὸν κόσμον, ὁ καὶ νῦν θέμενος ἐν ἡμῖν τὸν λόγον καὶ τὴν διάνοιαν τῆς καταλλαγῆς. Ἐπειδὴ γὰρ, φησὶν, ὁ Υἱὸς αὐτοῦ ἐσταυρώθη, ἡμᾶς εἴασε παρακαλοῦντας πρὸς καταλλαγὴν τοὺς ἐπὶ γῆς. εἶδες μέγεθος ἀφάτου ἀγαθότητος; οὐδὲν τοιγαροῦν φορτικὸν ὑμῖν ἤλθομεν ποιῆσαι, ἀλλὰ φίλους ποιῆσαι ὑμᾶς πρὸς τὸν Θεόν.

20 Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν.

Ὢ ποῦ ἐξῆρε τὸ πρᾶγμα, "ὑπὲρ Χριστοῦ," φησὶ, "πρεσβεύομεν·" τὸ γὰρ αὐτοῦ ἔργον ἡμεῖς ἐδεξάμεθα· ἀντὶ Χριστοῦ οὖν ἡμεῖς πρεσβεύομεν, ὡς τοῦ Πατρὸς παρακαλοῦντος δι' ἡμῶν· οὔτε γὰρ διὰ τοῦ Χριστοῦ μόνον παρακαλεῖ, ἀλλὰ τούτου σταυρωθέντος δι' ἡμῶν νῦν παρακαλεῖ.

Δεόμεθα ὑπὲρ Χριστοῦ.

Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύοντες καὶ ὑπὲρ Χριστοῦ ἡμεῖς παρακαλοῦμεν, καταλλάγητε τῷ Θεῷ. ὑμεῖς γάρ ἐστε οἱ ἐχθροὶ καὶ οἱ μισοῦντες· ὑμεῖς οὖν καταλλάγητε.

21 Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν.

Ὅρα τὸ ἔντεχνον καὶ σοφὸν αὐτοῦ, λοιπὸν ὡς πρεσβευτὴς καὶ

αἰτίαν δι' ἧς ἂν πεισθεῖεν λέγει· ἵνα γὰρ, φησὶ, μηδὲν εἴπω τῶν πρώτων ὅτι ὑβρίσατε, ὅτι εὐεργέτην, ὅτι δίκην οὐκ ἀπῄτησεν, ὅτι πρῶτος καταλλαγῆναι εἵλετο· κἂν διὸ ἐποίησε νῦν, φησὶν, οὐ δίκαιοι καταλλαγῆναι ὑπάρχετε· ποῖον τοῦτο; "τὸν γὰρ μὴ "γνόντα ἁμαρτίαν," φησὶ, τουτέστι τὸν αὐτοδικαιοσύνην ὄντα καὶ ἁγιασμὸν, τὸν Υἱὸν αὐτοῦ, "ἁμαρτίαν ἐποίησε," τουτέστιν, ὡς ἁμαρτωλόν τινα καὶ κατάδικον εἴασε σταυρωθῆναι· οὐκ εἶπεν ἁμαρτωλὸν, ἀλλ' ἁμαρτίαν, ὅπερ μεῖζόν ἐστιν· ἀπέθανε δὲ, φησὶν, ὁ Χριστὸς, οὐδ' εἰκῇ, οὐδ' οὐδὲν ὠφελῶν ἡμᾶς, ἀλλ' ἵνα δικαίους ἀπεργάσηται.

Οἰκουμενίου. Ἄλλοι οὕτως ἡρμήνευσαν, "ἁμαρτίαν" λέγεται τὸ ὑπὲρ ἁμαρτιῶν θῦμα, ὡς καὶ ὁ προφήτης "ἁμαρτίας λαοῦ "μου φάγονται," τουτέστι τὰ ὑπὲρ ἁμαρτιῶν θύματα· θῦμα οὖν ὑπὲρ ἁμαρτιῶν ἐποίησεν ὁ Θεὸς τὸν Υἱὸν, τουτέστιν, ὡς ἁμαρτωλὸς κατακριθῆναι.

Ἵνα ἡμεῖς γινώμεθα δικαιοσύνη Θεοῦ.

Οὐκ εἶπε, δίκαιοι, ἀλλ' αὐτοδικαιοσύνη, ὅπερ μεῖζον ἦν, καὶ "Θεοῦ δικαιοσύνη·" Θεοῦ δὲ δικαιοσύνη τὸ μὴ ἐξ ἔργων, ἀλλὰ διὰ συγχωρήσεως δικαιωθῆναι ἐν αὐτῷ δι' αὐτοῦ.

1 Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν.

Ταῦτα μὲν, φησὶν, ὁ Θεὸς διὰ τοῦ Υἱοῦ αὐτοῦ πεποίηκε, καὶ ἡμεῖς δὲ συνεργοῦντες καὶ παρακαλοῦντες διατελοῦμεν· παρακαλοῦντες μὲν ὑμᾶς, συνεργοῦντες δὲ τῷ Θεῷ· τοῦτο γὰρ αὐτῷ σπουδὴ τὸ ὑμᾶς σωθῆναι, ὅτι καὶ ἀλλαχοῦ φησι, "Θεοῦ συνεργοί "ἐσμεν, ἐξ ὧν διατελοῦμεν," φησί.

Μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς.

Παρακαλοῦμεν δὲ ἡμεῖς οἱ Ἀπόστολοι, ἵνα τὴν εὐεργεσίαν τοῦ Θεοῦ δέξησθε καὶ μὴ ἀποκρούσησθε αὐτὴν, μηδὲ εἰς κενὸν καὶ ἀνωφελὲς τὴν χάριν γενέσθαι καὶ δειχθῆναι· τὸ γὰρ καταλλαγέντας τῷ Θεῷ διὰ τῆς πίστεως, ἐπιμένειν τῷ πρώτῳ βίῳ, οὐδὲν ἕτερόν ἐστιν, ἢ εἰς κενὸν καὶ μάτην γενέσθαι τὴν χάριν τοῦ Θεοῦ, καὶ οὐδὲν ὠφεληθῆναι τοὺς δεξαμένους αὐτήν· εἰ γὰρ αὐτὸς ἁμαρτίας συνεχώρησεν, ἡμεῖς δὲ πάλιν τούτων πληρούμεθα, τί τὸ κέρδος;

2 Ἰδοὺ, νῦν καιρὸς εὐπρόσδεκτος.

Καὶ ποῖός ἐστιν ὁ εὐπρόσδεκτος καιρὸς καὶ ἡ ἡμέρα τῆς σωτηρίας; ἡ τῆς δωρεᾶς, ἡ τῆς χάριτος, ὁ νῦν, φησὶν, ὑπάρχων καιρὸς, ἐν ᾧ ἁμαρτημάτων μὲν ἄφεσις πρόκειται· ἡ δὲ δικαιοσύνη δωρεὰν δίδοται· ἐπεὶ οὖν ὁ καιρὸς χάριτος, εἰκότως, φησὶν, ἐπήκουσά σου ἐν τούτῳ, ὡς εἴ γε ἔλθοι ὁ τῆς κρίσεως καιρός· οὐκ ἔστιν ἁπλῶς εἰσακούσεται· ὁ οὖν ἐν καιρῷ χάριτος ἐπιτηδεύων πολιτείαν χρηστὴν, εὐχερῶς ἐπιτεύξεται τῶν βραβείων, καὶ ἀκουσθήσεται ὑπὸ τοῦ Θεοῦ, ἐπειδὴ καὶ τοὺς μυρία πλημμελήσαντας δέχεται, ἀφεὶς αὐτοῖς τὰς ἁμαρτίας αὐτῶν. τὸ νόημα οὕτως εἴρηται.

3 Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν.

Συνεργοῦντες δὲ, φησὶ, καὶ παρακαλοῦντες διατελοῦμεν "μηδεμίαν μηδενὶ διδόντες προσκοπὴν," ὅρα δὲ ἐν τάξει διηγήσεως συμβουλήν· ὡσεὶ ἔλεγε, διὰ πάντων ἀπευθυνῶν μου τὸν βίον καὶ τὴν πολιτείαν, ὥστε οὐ λέγω κατηγορίας, ἀλλ' ἵνα μηδὲ μέμψεως δῷ τινι χώραν, ἵνα μή τις, φησὶν, ἐπιλάβηται τῆς διακονίας ἡμῶν καὶ τοῦ ἔργου· αὐτῶν γὰρ σφαλλομένων εἰκότως ἡ μέμψις εἰς τὸ κήρυγμα ἔτρεχεν· ἐπεὶ[z] γὰρ ἂν οἱ Ἀπόστολοι, εἰ ἦν τι χρηστὸν τὸ κήρυγμα, ἤμελλον αὐτὸν ἄνθρωποι πεπιστεῦσθαι πονηροί· τοῦτο δὲ εἰπὼν, μονονουχὶ λέγει αὐτοῖς, ὅτι δεῖ καὶ ὑμᾶς ὀρθοῦ ἐπιμελεῖσθαι βίου, ἵνα μὴ εἰς τὴν πίστιν ἡ μέμψις ἀναδράμῃ· "ἐκ γὰρ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς."

4 Ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτούς.

Οὐ μόνον μέμψεων καὶ κατηγοριῶν, φησὶν, ἐσπουδάσαμεν εἶναι καθαροὶ, ἀλλὰ καὶ ἐν παντὶ συνεστήσαμεν καὶ ἀπεδείξαμεν ἑαυτοὺς ὡς Θεοῦ διακόνους· πῶς δ' ἂν εἴη τοῦτο, καὶ πῶς τις ἀποδεικνύει ἑαυτὸν Θεοῦ διάκονον, ἢ δι' ὧν πολιτεύεται καὶ βιοῖ; ὅρα δὲ, οὐκ εἶπε, φαινόμενοι, ἀλλὰ "συνιστῶντες," ὅ ἐστιν, ἀποδεικνύντες· τοῦτο δὲ τὴν δι' ἔργων καὶ ἀληθείας ἀπόδειξιν ἔχει.

Ἐν ὑπομονῇ πολλῇ.

Πάντα γενναίως φέροντες τὰ ῥηθησόμενα, διό φησιν, "ἐν ὑπομονῇ πολλῇ," καὶ λοιπὸν καταλέγει, ἐν τίσιν ὄντες καὶ γενναίως διαγενόμενοι συνεστήσαμεν ἑαυτοὺς Θεοῦ διακόνους.

[z] εἶπον Ed. Œcum.

Ἐν ἀνάγκαις.

Ἐπίτασιν θλίψεως δηλοῦσιν αἱ ἀνάγκαι, ὅταν ἄφυκτα ᾖ τὰ κακά.

Ἐν στενοχωρίαις.

Δυσδιεξόδευτος ἦν, φησὶν, ἡ ἀπαλλαγή.

5 Ἐν φυλακαῖς.

Τούτων καὶ ἕν τι ἀφόρητόν ἐστιν. Ὅταν δὲ καὶ πάντα καὶ ὁμοῦ, θέα τὸν ἀγῶνα.

Ἐν ἀκαταστασίαις.

Ὅταν ἐλαυνόμενος οὐδ' ὅπου στῇ εἶχεν.

Ἐν κόποις.

Τὰ μὲν εἰρημένα παρὰ τῶν πολεμίων τῆς πίστεως ἐπήγετο[a] αὐτῷ, λοιπὸν καὶ τὰ παρ' αὐτοῦ εἰσενεχθέντα λέγει, ὡς μὴ ἀρκούντων ἐκείνων· κόπους δέ φησι καὶ τὰς ἐκ τῶν χειρῶν ἐργασίας, καὶ τὰς διὰ τὸ κήρυγμα συντριβάς.

6 Ἐν ἁγνότητι.

Ἁγνότητι φησὶ τήν τε σωφροσύνην καὶ τὸ ἀδάπανον Εὐαγγέλιον ἐν ἅπασι καθαρὸν, ἐν γνώσει, ἐν σοφίᾳ Θεοῦ τῇ ὄντως γνώσει, οὐ καθάπερ οἱ ψευδαπόστολοι τῇ ἀνθρωπίνῃ σοφίᾳ κομπάζοντες.

Θεοδωρίτου. Ἵνα εἴπῃ καὶ περὶ τοὺς γνωρίμους καὶ περὶ τοὺς ἀγνώστους σπουδάζοντες εἶναι μακρόθυμοι καὶ χρηστοί· τὸ γὰρ ἁγνότητι ἀγνοίᾳ λέγει οὐχ ἁγνείᾳ.

Θεοδωρίτου. Ἁγνότητα λέγει τὴν τῶν χρημάτων ὑπεροψίαν· οὐδὲ γὰρ τὰς ἀναγκαίους χρείας περὶ Κορινθίων ἐδέξατο, γνῶσιν δὲ, ὡς οἶμαι τὴν διδασκαλίαν.

Ἐν μακροθυμίαις.

Ἀδαμαντίνης δεῖται ψυχῆς τὸ πάντοθεν νυσσόμενον μὴ μόνον μακροθυμεῖν, ἀλλὰ καὶ χρηστεύεσθαι· "ὑβριζόμενοι γάρ," φησιν, "εὐλογοῦμεν."

Ἐν Πνεύματι Ἁγίῳ.

Εἶτα δείκνυσι πόθεν τοιοῦτος γέγονεν· ἐν Πνεύματι, φησὶν, ὄντες διετελέσαμεν· τότε δὲ τὴν τοῦ Πνεύματος τέθεικε βοήθειαν, ὅταν τὰ παρ' ἑαυτοῦ συνεισήνεγκεν.

[a] ἐπείγετο Cod.

Ἐν ἀγάπῃ ἀνυποκρίτῳ.

Τοῦτο τὸ πάντων αἴτιον τῶν ἀγαθῶν, τοῦτο τοιοῦτον αὐτὸν εἰργάσατο· τοῦτο τὸ Πνεῦμα μένειν ἐποίησεν.

7 Ἐν λόγῳ ἀληθείας.

"Ἐν λόγῳ ἀληθείας," ὅπερ ἀλλαχοῦ φησιν, "οὐ δολοῦντες τὸν "λόγον τοῦ Θεοῦ·" εἶτα καὶ ἐν δυνάμει Θεοῦ, δι' ἧς, φησὶ, πάντα πεπράχαμεν· πάντα γὰρ τῷ Θεῷ ἀνατίθησιν.

Διὰ τῶν ὅπλων.

Εἰ βούλεσθε μαθεῖν, φησὶ, πόθεν ταῦτα κατωρθώσαμεν, ἀκούσατε· διὰ τῶν ὅπλων, φησὶ, τῶν δεξιῶν καὶ ἀριστερῶν, ἅτινα εἰ καὶ δοκεῖ ἐναντία εἶναι πρὸς ἑαυτὰ, πλὴν ὅπλα δικαιοσύνης ἐστίν· δεξιὰ δὲ λέγει οἷον ἐπιδέξια δοκοῦντα, τουτέστι τὰς παρὰ ἀνθρώπων τιμάς· αἷς οὐκ ἐφυσήθημεν, φησὶν, οὐδὲ ἐπήρθημεν πρὸς δόξαν κενήν· διὰ τοῦτο γὰρ ὅπλα δικαιοσύνης γέγονεν· ἀριστερὰ δὲ τὰ τούτοις ἐναντία, οἷον τοὺς πειρασμοὺς, τοὺς διωγμοὺς, τὰς ὕβρεις οἷς οὐ κατεστήσαμεν[b] οὐδὲ ἡττήθημεν, ὡσεὶ ἔλεγεν, ἀεὶ οἱ αὐτοὶ ἐμείναμεν, μήτε τοῖς καλοῖς ἐπαιρόμενοι, μήτε τοῖς κακοῖς μαλακιζόμενοι.

Ἰωάννου τοῦ Χρυσοστόμου. Ἀριστερὰ καλεῖ τὰ δοκοῦντα εἶναι λυπηρὰ, καίτοι ταῦτά ἐστι τὰ τὸν μισθὸν ἔχοντα· τίνος οὖν ἕνεκεν οὕτως αὐτὰ καλεῖ; ἢ κατὰ τὴν ὑπόληψιν τῶν πολλῶν, ἢ ἐπειδὴ ἐκέλευσεν ὁ Θεὸς εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμόν.

8 Διὰ δόξης.

Εἶτα λέγει τὰ ἀριστερὰ καὶ δεξιὰ, καὶ ὅρα τὰς παρὰ ἀνθρώπων αὐτῶν προσαγομένας τιμὰς εἰς οἰκεῖον τέθεικε κατόρθωμα· οἶδε γὰρ ὃν μέγα μὴ ἁλῶναι τύφῳ δι' αὐτάς.

Ὡς πλάνοι, καὶ ἀληθεῖς.

Αὗται αἱ εὐφημίαι καὶ δυσφημίαι.

Τοῦτό ἐστι, διὰ δόξης καὶ ἀτιμίας· τοῖς μὲν γνώριμοί τε ἦσαν καὶ περισπούδαστοι, οἱ δὲ οὐδὲ εἰδέναι αὐτοὺς ἠξίουν.

9 Ὡς ἀποθνήσκοντες, καὶ ἰδοὺ ζῶμεν.

Κατὰ τὴν σφοδρότητα καὶ τὴν σπουδὴν τῶν πολεμούντων ἡμῖν, καὶ ἰδοὺ ζῶμεν κατὰ τὴν δύναμιν τοῦ Θεοῦ.

[b] κατεπέσαμεν Œcum.

Ὡς παιδευόμενοι καὶ μὴ θανατούμενοι.

Ταῦτα δὲ, φησὶ, συνεχώρει ὁ Θεὸς, παιδεύων μὲν, οὐ μὴν ἄχρι θανάτου ἐγκαταλιμπάνων.

10 Ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες.

Παρὰ μὲν τοῖς ἔξωθεν, ἐξ ὧν πάσχομεν, ἀθυμεῖν νομιζόμεθα, ἀεὶ δὲ καὶ ἐφ᾽ ἑκάστῳ ἀδιαλείπτως χαίροντες. Ὅρα τὴν ἁγίαν ψυχήν· οὐ μόνον ἔφερε τοὺς πειρασμοὺς γενναίως, ἀλλὰ καὶ ἔχαιρεν ἐπ᾽ αὐτοῖς, εἰδὼς διὰ τὸν Χριστὸν πάσχειν.

Ὡς πτωχοὶ, πολλοὺς δὲ πλουτίζοντες.

Διετελέσαμεν ὡς πτωχοὶ, πολλοὺς δὲ ἐπλουτίσαμεν, ἢ πνευματικῷ πλούτῳ ἢ καὶ σαρκικῷ· εἶχον γὰρ τὰς ἁπάντων ἀνεῳγμένας οἰκίας ποιούσας ἃ βούλονται.

Ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες.

Οὐδὲν γὰρ ἔχων τὰ πάντων εἶχε· τῇ γὰρ οἰκουμένῃ ἐπέταττεν· "εἰ δυνατὸν γὰρ," φησὶ, "τοὺς ὀφθαλμοὺς ἐξορύξαντες ἂν ἐδώκατέ μοι." Ἔνι δὲ καὶ περὶ πνευματικῶν ταῦτα νοῆσαι· ὁ γὰρ ἀπορρήτων ἀκούων ῥημάτων, πῶς οὐχὶ πάντων πλουσιώτερος ἦν;

11 Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς.

Τὰ τῶν ἰδίων ἀγώνων διελθὼν, εἰς τὸν περὶ πολιτείας ἔρχεται πόνον· πρότερον δὲ πεῖσαι θέλει, ὅτι ἀγαπῶν αὐτοὺς ἔλαττον ἀγαπᾶται, καί φησι, "τὸ στόμα ἡμῶν ἀνέῳγεν," οἷον οὐ δυνάμεθα σιγᾷν πρὸς ὑμᾶς, ἐκεῖ ὑμῖν διαλέγεσθαι θέλομεν, ὅπερ ἀγαπώντων ἴδιον καὶ ἄνευ ὑποστολῆς λαλούντων.

Ἡ καρδία ἡμῶν πεπλάτυνται.

Καθάπερ γὰρ τὸ θερμὸν εὐρύνειν εἴωθεν, οὕτω καὶ ἡ ἀγάπη· θερμὸν γάρ τι χρῆμα ἡ ἀγάπη· ὡσεὶ εἶπεν, οὐ μόνον στόματι, ἀλλὰ καὶ καρδίᾳ φιλῶ καὶ πάντας ἔνδον ἔχω. διό φησιν, οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, τοῦ πόθου εὐρύνοντος αὐτοῦ τὴν ψυχήν· "ἡ καρδία ἡμῶν πεπλάτυνται" εἰς τὸ πάντα διδάξαι ὑμᾶς, ὑμεῖς δὲ "στενοχωρεῖσθε ἐν τοῖς σπλάγχνοις ὑμῶν," τουτέστιν, ἐν τῇ πρὸς Θεὸν ἀγάπῃ, ᾗ ἀγαπᾷν με ὀφείλετε· οὕτως ὁ Κλήμης ἐν τετάρτῳ ὑποτυπώσεων.

12 Οὐ στενοχωρεῖσθε ἐν ἡμῖν.

Ἐγὼ μὲν, φησὶν, οὐ στενοχωροῦμαι, πάντας ὑμᾶς ἔνδον ἔχων,

ὑμεῖς δὲ, φησὶν, ἐν τῷ ἔχειν με ἐν τοῖς σπλάγχνοις ὑμῶν στενοχωρεῖσθε· οὐ γὰρ ὁμοίως μὲν, φησὶν, ἀγαπῶν ἧττον ἀγαπῶμαι.

13 Τὴν δὲ αὐτὴν ἀντιμισθίαν.

"Τὴν δὲ αὐτὴν ἀντιμισθίαν," τουτέστιν, ἀμοιβὴν καὶ ἰσότητα τῆς φιλίας εἰσενέγκατε ὡς τέκνα, καὶ "πληθύνθητε καὶ ὑμεῖς" ὡς καὶ ἐγώ· καὶ γὰρ αἰσχρὸν ἐμοῦ πάντας ὑμᾶς ἔνδον δεξαμένου, ὑμᾶς πάντας ἕνα μὴ δέξασθαι.

Ὡς τέκνοις λέγω—

Εἶτα δείκνυσι καὶ ὀφειλομένην τὴν ἀγάπην· ὀφείλει γὰρ τὰ τέκνα τοῖς πατράσιν.

14 Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις.

Εἶτα ἵνα μὴ νομίσωσι δι' ἑαυτὸν χρήζειν τῆς ἀγάπης αὐτῶν, δείκνυσι διὰ τὸ αὐτῶν συμφέρον ἐπιζητεῖν ἀγαπᾶσθαι· φησὶ γὰρ, τοῦτό ἐστι τὸ ἀγαπᾷν με τὸ μὴ ἐκκλίνειν[c] πρὸς τοὺς ἀπίστους, καὶ συναναμίγνυσθαι αὐτοῖς, καὶ διαφθείρεσθαι ὑπ' αὐτῶν. Ἀπὸ μεταφορᾶς δὲ τῶν πλαστίγγων τοῦ ζυγοῦ τὸ "ἑτεροζυγοῦντες."

Τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ;

Ἀντὶ τῶν προσώπων αὐτὰ τέθεικε τὰ πράγματα, τίς, φησὶ, κοινωνία ὑμῖν καὶ τοῖς ἀπίστοις; ὥσπερ οὐδὲ δικαιοσύνῃ καὶ ἀνομίᾳ τι κοινὸν, οὔτε φωτὶ πρὸς σκότος, οὔτε Χριστῷ πρὸς Βελίαρ, τουτέστιν, ἀποστάτῃ καὶ Σατανᾷ.

15 Τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ;

Πᾶσι τρόποις ἀπεῖρξαι τῶν ἀπίστων αὐτοῖς θέλων, οὐκ εἶπε δικαίοις καὶ ἀνόμοις, ἀλλ' ὃ μεῖζον ἦν· οὐκ εἶπε τοῖς τοῦ φωτὸς καὶ σκότους ἐργάταις, ἀλλ' ὃ πλέον ἦν· οὐκ εἶπε τοῖς διακόνοις τοῦ Χριστοῦ καὶ τοῖς τοῦ Σατανᾶ, ἀλλ' ὃ φοβερώτερον ἦν· εἶτα ἵνα μὴ δόξῃ πραγμάτων ψιλῶν ποιεῖσθαι συγκρίσεις, ἦλθεν ἐπ' αὐτὰ τὰ πρόσωπα, πιστῷ φησὶ, μετὰ ἀπίστου. Ἢ οὕτως· ὥσπερ, φησὶ, τοῖς ἄνω εἰρημένοις, οὐδὲν κοινὸν πρὸς ἑαυτοὺς, οὕτως οὐδὲ τῷ πιστῷ μετὰ ἀπίστου.

16 Τίς δὲ συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων;

"Συγκατάθεσις," τουτέστιν, ὁμοίωσις· ἐκεῖνοι, φησὶ, ναὸς

[c] Cod. ἐπὶ ἐκκλ. Ed. Œc. ἐπικλίνειν.

εἰδώλων εἰσὶν, ὑμεῖς ναὸς Θεοῦ· τίς οὖν ὑμῖν κἀκείνοις κοινωνία; ὅτι δὲ ναὸς ἐστὲ, φησὶ, Θεοῦ, πάρεστιν ἀκοῦσαι τοῦ προφήτου Ἱερεμίου.

Ὅτι ἐνοικήσω ἐν αὐτοῖς.

Τὸ μὲν "ἐνοικήσω" ὡς ἐν ναοῖς, τὸ δὲ "ἐμπεριπατήσω" ἐνδεικνύντος ἐστὶ τὴν πρὸς ἡμᾶς σχέσιν.

17 Καὶ ἀφορίσθητε—

Τῶν ἀπίστων δηλαδὴ, τῶν ἀκαθάρτων· τὸ δὲ "ἀφορίσθητε" οἱονεὶ μονώθητε, ὅσον ἧκεν εἰς ἐκείνους. Ὅρα δὲ, οὐκ εἶπε, μὴ πράττετέ τι ἀκάθαρτον, ἀλλὰ μηδὲ ἅπτεσθε.

Κἀγὼ εἰσδέξομαι ὑμᾶς.

Ἂν γὰρ ἐκείνων, φησὶν, ἐξέλθητε, μονὴν ἕξετε παρ' ἐμοί.

18 Καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱούς.

Προαναφωνεῖ ὁ προφήτης τὴν νῦν δοθεῖσαν υἱοθεσίαν διὰ τῆς πίστεως καὶ τοῦ λουτροῦ.

1 Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας.

Ποίας; τὸ ναοὺς εἶναι Θεοῦ καὶ ἔχειν αὐτὸν ἐνοικοῦντα, τὸ υἱοὺς εἶναι Θεοῦ καὶ λαόν.

Καθαρίσωμεν αὐτοὺς ἀπὸ παντὸς μολυσμοῦ—

Τὰ μὲν γὰρ τῶν ἁμαρτημάτων μολύνει τὸ σῶμα, οἷον πορνεία, μοιχεία, τὰ δὲ, τὸ πνεῦμα, τουτέστι τὴν ψυχὴν, οἷον ἀκάθαρτοι λογισμοὶ, μνησικακίαι, λοιδορίαι.

ΘΕΟΔΩΡΙΤΟΥ. Πνεύματι ἐνταῦθα τῆς ψυχῆς φησὶ, πνεύματος μὲν ἀκαθαρσίαν λέγων, τὴν πρὸς τὰ εἴδωλα κοινωνίαν, σαρκὸς δὲ, τὴν ἐν πράξει ἁμαρτίαν.

Ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ.

Καὶ οὐκ ἀρκεῖ, φησὶν, ἀκαθαρσιῶν καὶ μολυσμῶν ἀπέχεσθαι, ἀλλά τι καὶ πρᾶξαι χρηστόν· διό φησιν, "ἐπιτελοῦντες ἁγιωσύνην," τουτέστι, πράττοντες· ἡ δὲ ἁγιωσύνη σωφροσύνη τε νοεῖται καὶ καθαρότης παντὸς πάθους· εἶτα φησὶν "ἐν φόβῳ Θεοῦ," ἔνι γὰρ καὶ πρὸς ἀνθρωπαρεσκείαν καὶ ὑπόκρισιν καὶ κενοδοξίαν πράττειν τι τῶν ἐπαινετῶν, ἢ ὅτι διὰ φόβον Θεοῦ· τῷ γὰρ τοῦ Θεοῦ φόβῳ ἁλωτὴ γίνεται ἡ δικαιοσύνη.

ΚΕΦ. Η.

Περὶ ἀποδοχῆς τῆς Κορινθίων ὑπακοῆς καὶ ἀγάπης εὐφραινούσης αὐτόν.

2 Χωρήσατε ἡμᾶς· οὐδένα ἠδικήσαμεν, οὐδένα ἐφθείραμεν, οὐδένα ἐπλεονεκτήσαμεν.

Πάλιν τὸν περὶ ἀγάπης κινεῖ λόγον. Ἐπειδὴ γὰρ ἔπληξεν αὐτοὺς, εἰπὼν, ὅτι αὐτοῦ μὲν ἀποφοιτῶσι, κολλῶνται δὲ ἀπίστοις καὶ ἀκαθάρτοις, νῦν θεραπεύει αὐτοὺς καί φησι, "χωρήσατε "ἡμᾶς," τουτέστι, δέξασθε ἡμᾶς καὶ τὰ ἡμῶν ῥήματα, νῦν γὰρ οἷον ἐκβεβλήμεθα τῶν διανοιῶν ὑμῶν· εἶτα καὶ τοὺς ψευδαποστόλους αἰνιττόμενός φησιν, ὅτι οὐκ ἠδικήσαμεν ἢ ἐφθείραμεν ἐν δόγμασιν ἀσεβέσιν.

3 Οὐ πρὸς κατάκρισιν λέγω.

Οὐκ ἐπὶ τὸ κατακρῖναι, φησὶν, ὑμᾶς, λέγω ταῦτα· πόθεν δῆλον; ἐκ τῆς ἀγάπης, "ὅτι ἐν ταῖς καρδίαις ἡμῶν," φησὶν, "ἐστὲ εἰς "τὸ συναποθανεῖν καὶ συζῆν."

Εἰς τὸ συναποθανεῖν καὶ συζῆν.

Ἔνι καὶ πεφιλῆσθαι καὶ ἐν καρδίᾳ εἶναί τινος, οὐ μὴν εἰς τὸ ἀποθανεῖν καὶ συζῆν, πλὴν ἐμοὶ οὕτως πεφίλησθε· καὶ ποῖον τοῦτο εἶδος φιλίας τὸ συζῆν; ναὶ, φησὶν, εἰσι γάρ τινες οἳ τοῖς φίλοις κακῶς μὲν πράττουσι συναλγοῦσι, εὐδρομοῦσι δὲ φθονοῦσιν, ἀλλ' οὐχ ἡμεῖς.

4 Πολλή μοι παρρησία πρὸς ὑμᾶς.

Εἶτα καὶ ἄλλως τὸ βαρὺ τῆς ἐπιπλήξεως λεαίνει· οὐ κατακρίνων ὑμᾶς, φησὶ, ταῦτα λέξω, ἀλλ' ὅτι "πολλή μοι παρρησία "πρὸς ὑμᾶς," ὅπερ καὶ τοῦτο εἶδος ἀγάπης. Ἀντὶ τοῦ εἰσδέξασθε ἡμᾶς εἰς τὰς ψυχὰς ὑμῶν.

Ταῦτα δοκεῖ μὲν τῶν πρώτων ἐναντία εἶναι, ἔνθα αὐτῶν κατεγίνωσκεν ὡς ἀτόποις κολλωμένων, ἀλλ' οὐδὲν ἐναντίον· ὁ γὰρ διὰ τούτων ἔπαινος, τὴν ἀπὸ τῶν ἐλέγχων ὠφέλειαν ἀπαράδεκτον ποιεῖ, ὡς ἀπὸ φιλοῦντος λεγόμενος, ὡσεὶ ἔλεγε, μὴ γὰρ ὡς κατεγνωκὼς ὑμῶν ἐκεῖνα ἔλεγον, οὐμενοῦν, ἀλλ' ἵνα ἐπιδῶτε πρὸς ἀρετήν.

Πεπλήρωμαι τῇ παρακλήσει.

Ποίᾳ; ὅτι ἐφ' οἷς ἐν τῇ πρώτῃ κατέγνων ὑμῶν Ἐπιστολῇ

διορθωσθέντες δι' αὐτῶν τῶν ἔργων παρακαλέσατέ με τὸ μὴ λυπεῖσθαι· καὶ οὐ μόνον τοῦτο φησὶν, ἀλλὰ καὶ χαρᾶς με ἐνεπλήσατε· οὕτως ἡ διόρθωσις σύντομος ἐγένετο καὶ ἐναργὴς, τοῦτο ἐστὶν, ὑπερπερισσεύομαι τῇ χαρᾷ, καὶ τοσαύτη ἐστὶ, φησὶν, ἡ χαρὰ, ὅτι ἀντὶ πάσης ἤρκεσεν ἡμῖν τῆς θλίψεως.

5 Καὶ γὰρ ἐλθόντων ἡμῶν εἰς Μακεδονίαν.

Εἶτα διηγεῖται τὴν θλίψιν, καὶ ἐπαίρει αὐτὴν τῷ λόγῳ, ἵνα τὴν δι' αὐτοὺς χάριν μείζονα δόξῃ, ὡς ἰσχύσασαν τοσαύτην θλίψιν ἀμαυρῶσαι, ἐξ ὧν διετελέσαμεν.

Ἔξωθεν μάχαι—

Παρὰ τῶν ἀπίστων οὓς ἔξωθεν καλεῖν εἴωθεν.

Ἔσωθεν φόβοι.

Διὰ τοὺς πιστοὺς, μή πως τοῖς πειρασμοῖς μαλακισθῶσιν.

6 Ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινούς.

Τίς ὁ παρακαλῶν τοὺς ταπεινοὺς καὶ ἀνοηθήτους; ὁ Θεὸς δηλαδή· οὗτος ἡμᾶς, φησὶ, παρεκάλεσε διὰ τῆς παρουσίας Τίτου. μέγα τι ποιεῖται τὴν παρουσίαν αὐτοῦ· βούλεται γὰρ ἀξιόπιστον αὐτοῖς καὶ φίλον καταστῆσαι τὸν ἄνδρα.

7 Οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ.

Οὐ μόνον ἡ παρουσία αὐτοῦ ἐποίησέ μοι, φησὶ, τὴν εὐφροσύνην, ἀλλὰ καὶ τὸ παρακεκλῆσθαι αὐτὸν καὶ εὐφρανθῆναι παρ' ὑμῶν· ἐπειδὴ γὰρ διωρθώθητε, αὐτός τε ἐπὶ τῇ ὑμῶν μεταβολῇ παρεκλήθη, καὶ ἡμεῖς συμπαρεκλήθημεν. ὁρᾷς πῶς αὐτοῖς οἰκειοῖ τὸν Τίτον; οὗτος ἦν ὁ πεμφθεὶς πρὸς αὐτοὺς μετὰ τῆς πρώτης Ἐπιστολῆς.

Ἀλλὰ καὶ ἐν τῇ παρακλήσει ᾗ παρεκλήθη ἐφ' ὑμῖν.

Οὐ λέγει, παρ' ὑμῶν, ἀλλ' "ἐφ' ὑμῖν," ἐπὶ τῇ ὑμῶν γὰρ, φησὶ, μεταβολῇ τὴν παράκλησιν ἔσχεν. Εἶτα καὶ αὐτὴν τὴν παράκλησιν λέγει· εὔφρανε γὰρ, φησὶν, ἡμᾶς ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν, ὅτι ἐπιποθεῖτέ με, φησὶ, ἰδεῖν.

Τὸν ὑμῶν ὀδυρμὸν—

Οὐκ ἐδακρύετε, φησὶ, ἀλλ' ὀδύρεσθε ἐπὶ τῇ ἐπιτιμήσει μου τῇ ἐν τῇ πρώτῃ Ἐπιστολῇ.

Τὸν ὑμῶν ζῆλον—

Οὐκ εἶπεν, ὀργὴν, ἀλλ' ὃ πλέον ἦν, ζῆλον φησὶν, ὃν ὠργίσθητε τῷ πεπορνευκότι καὶ τοῖς διασύρουσιν ἡμᾶς ψευδαποστόλοις.

Ὥστε με μᾶλλον χαρῆναι—

Οὐκ ἐλυπούμην[d], φησὶ, διὰ τὰς εἰρημένας μου θλίψεις.

8 Ὅτι εἰ καὶ ἐλύπησα ὑμᾶς.

Ὅτι ὥστε εἰ καὶ ἐλύπησα ὑμᾶς διὰ τὴν ἔγκλησιν.

Εἰ καὶ τοιαῦτά ἐστι, φησὶ, τὰ γραφέντα ἐν τῇ πρώτῃ Ἐπιστολῇ, ὥστε ὑπερβαίνειν τὸ μέτρον τῆς ἐπιτιμήσεως, καὶ διὰ τοῦτο ποιοῦντα μεταμεληθῆναι, ὅμως τὸ πολὺ κέρδος τὸ ἐξ αὐτῶν γεγονὸς οὐκ ἐᾷ με λοιπὸν μεταμεληθῆναι. Ταῦτα δὲ, φησὶν, οὐκ ἐπειδὴ ἀμέτρως ἐπετίμησεν, ἀλλὰ πρόφασιν ἐπαίνων τὸ πρᾶγμα ποιησάμενος.

Εἰ καὶ πρὸς ὥραν ἐλύπησεν ὑμᾶς.

Πρὸς ὥραν γὰρ ἡ λύπη, καὶ διηνεκὲς τὸ κέρδος.

9 Νῦν χαίρω—

Ἀκόλουθον ἦν εἰπεῖν, ἀλλὰ μεγάλα ὠφέλησεν, ἀλλὰ τοῦτο μὲν οὐκ εἶπεν, ἐπὶ τὴν αὐτοῦ δὲ κηδεμονίαν ἦλθε καὶ τὰ ἐκείνων ἐγκώμια.

Οὐχ ὅτι ἐλυπήθητε.

Τί γάρ μοι κέρδος ἦν ὅτι ἐλυπήθητε; ὅρα δὲ, τὸ λυπῆσαι τῇ Ἐπιστολῇ ἀναθεὶς, τὴν μετάνοιαν οὐ λέγει ἐξ αὐτῆς γεγενῆσθαι, ἀλλ' ἐκ τῆς ἐκείνων ἀρετῆς· οὐ γὰρ εἶπεν ὅτι ἐλύπησεν ὑμᾶς εἰς μετάνοιαν, ἀλλ' "ὅτι ἐλυπήθητε εἰς μετάνοιαν."

Ἐλυπήθητε γὰρ κατὰ Θεὸν—

Αὕτη γὰρ ἡ καλὴ λύπη, ὡς τό γε κατὰ ἄνθρωπον λυπεῖσθαι κακόν.

[d] *οὐ ἐλυποῦμεν* Cod.

Ἵνα μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν.

Εἰ ἐσιωπήσαμεν, φησὶ, καὶ μὴ ἐπεπλήξαμεν, ἡμεῖς ἦμεν οἱ ζημιοῦντες ὑμᾶς, οἱ μὴ παρασχόντες μετανοίας ἀφορμήν.

10 Ἡ γὰρ κατὰ Θεὸν λυπὴ μετάνοιαν εἰς σωτηρίαν κατεργάζεται.

[e]Λοιπὸν περὶ τῆς λύπης τῆς κατὰ Θεὸν φιλοσοφεῖ, διαιρῶν αὐτὴν τῆς τοῦ κόσμου λύπης, καί φησιν, ἡ γὰρ κατὰ Θεὸν λύπη ἀμεταμέλητον κατεργάζεται, ὡς ἥ γε τοῦ κόσμου θάνατον, ὅταν διὰ χρήματα, ὅταν διὰ δόξαν λυπῆταί τις· ἐπειδὴ γὰρ τὸ τῆς λύπης φάρμακον εἰς τὸ τὰς ἁμαρτίας λυπεῖσθαι κατεσκεύασται μόνον, ἐν τούτῳ μόνον καὶ ὠφελεῖ, ἐν δὲ τοῖς λοιποῖς καὶ βλάπτει· παρὰ φύσιν γὰρ αὐτῇ χρώμεθα. Οὔτε γὰρ ὁ λυπηθεὶς κατὰ Θεὸν μεταμεληθείη ποτὲ ἢ κατέγνω ἑαυτοῦ. τί δήποτε λελύπηται; ὅπερ ἐπὶ τῆς τοῦ κόσμου λύπης συμβαίνειν εἴωθεν.

11 Ἰδοὺ γὰρ, αὐτὸ τοῦτο τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς.

Καὶ λοιπὸν ἐκ τῶν ἀποβεβηκότων τὰς ἀποδείξεις, ὧν εἴρηκε, παρέχει. "Ἰδοὺ γὰρ," φησὶ, τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς "πόσην κατειργάσατο σπουδήν;" οὐ μόνον γὰρ εἰς μεταμέλειαν τοῦ ὅλως λυπηθῆναι οὐκ ἤλθετε, ἀλλὰ καὶ σπουδαιοτέρους ἐποίησε· καὶ λέγει τῆς σπουδῆς τὰ τεκμήρια.

Ἀλλὰ ἀπολογίαν—

Τὸ "ἀλλὰ" ἐν ὅλοις τούτοις τοῖς κεφαλαίοις ἀντὶ τοῦ καὶ κεῖται, καὶ ἀπολογίαν εἰργάσατο πρός με· ἀπολογήσασθαι[f] γὰρ τῇ μετανοίᾳ καὶ τὸ ἀποκόψαι ὑμῶν τὸν πεπορνευκότα.

Ἀλλὰ ἀγανάκτησιν—

Καὶ ἀγανάκτησιν, φησὶ, πρὸς τὸν πορνεύσαντα καὶ φόβον πρός με· φοβουμένων γὰρ ἦν ἡ τοσαύτη διόρθωσις, καὶ "ἐπιπόθησιν." Ἐπειδὴ γὰρ τὸ τοῦ φόβου ἐπαχθὲς ἦν, ἐπάγει, καὶ "ἐπιπόθησιν·" ἀγαπῶντες γὰρ, φησὶ, καὶ δεδοικότες, μή με λυπήσητε, διωρθώσασθε, καὶ "ζῆλον," φησὶν, ἢ περὶ Θεοῦ, ἢ ὑπὲρ Θεοῦ τοὺς λοιδοροῦντας ψευδαποστόλους, καὶ "ἐκδίκησιν·" καὶ

[e] Hæc Photio assignat Ed. Œcum. [f] ἀπελογήσασθε Œcum.

γὰρ ἐξεδικήσατε τοὺς τοῦ Θεοῦ νόμους ὑπὸ τοῦ πεπορνευκότος ὑβρισθέντας.

Ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι.

Οὐ μόνον, φησὶν, οὐδὲν τετόλμηται ὑμῖν τοιοῦτον, οἷον τῷ πεπορνευκότι, ἀλλ' οὐδὲ συνήσθητε αὐτῷ. Ἐπειδὴ γὰρ ἐν τῇ πρώτῃ Ἐπιστολῇ εἰρήκει, "καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ," ὅπερ αὐτοὺς κοινωνοὺς τοῦ πλημμελήματος ἐποίει· νῦν, φησὶ, καὶ ταύτην ἀπερρίψασθε τὴν ὑπόνοιαν.

12 Ἄρα εἰ καὶ ἔγραψα ὑμῖν.

Τίς ὁ ἀδικήσας, καὶ τίς ὁ ἀδικηθείς; οἱ πεπορνευκότες, ἠδίκησαν γὰρ ἑαυτοὺς, καὶ ἠδικήθησαν ὑφ' ἑαυτῶν· λέγει δὲ τοῦτο, τὰς τοσαύτας, φησὶν, ἐγκλήσεις οὐχ ἕνεκεν τῶν πεπορνευκότων ὑμῖν ἔγραψα πρωτοτύπως, ἀλλ' ἕνεκεν ὑμῶν αὐτῶν. ἀσφαλιζόμενος ὑμᾶς, μή πως ὁδῷ βαδίζον εἰς ὑμᾶς ἔλθῃ τὸ κακόν· "μικρὰ γὰρ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ·" ἀλλὰ τότε μὲν οὕτως, νῦν δὲ, φησὶν, ἕνεκεν τοῦ δεῖξαι ὑμῖν πῶς ἐν σπουδῇ καὶ ἐν φροντίδι δι' ὑμᾶς ἔχω, ὅπερ αὐτὸ μέν ἐστι τῷ πρώτῳ, ἀγαπητικώτερον δὲ εἴρηται.

Οὐχ εἵνεκεν ἀδικήσαντος.

Οὐ τοῦτο λέγει τὸ ἕνεκεν ἐκείνων οὐκ ἔγραψα, ἀλλὰ τὸ οὐ πρωτοτύπως δι' ἐκείνους, ἀλλὰ διά τε ὑμᾶς καὶ δι' ἐκείνους.

Τὴν σπουδὴν ὑμῶν τὴν ὑπὲρ ἡμῶν πρὸς ὑμᾶς—

Ἦν μὲν, φησὶν, ἀγάπη παρ' ἐμοὶ, ἀλλὰ καὶ φανερωθῆναι αὐτὴν ἐζήτουν, ὡσανεὶ ἐφορῶντος, φησὶ, Θεοῦ, ὅτι τουτέστιν ἀληθεύω.

13 Διὰ τοῦτο παρακεκλήμεθα.

Ἐπειδὴ καὶ τὴν σπουδὴν τὴν περὶ ὑμᾶς ἐπέδειξα, καὶ τὸ πᾶν ἡμῖν κατώρθωται.

Ἐπὶ τῇ παρακλήσει ὑμῶν.

Ἐπαρεκλήθημεν, φησὶν, ἐπὶ τῇ διορθώσει ὑμῶν, "μᾶλλον ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου," ὅτι διὰ τῆς διορθώσεως ὑμῶν ἀναπέπαυται ἡ ψυχὴ αὐτοῦ.

14 Ὑπὲρ ὑμῶν κεκαύχημαι—

Καὶ ἀρετῆς μαθητῶν ἔλεγχος, τὸ διδάσκαλον ὑπὲρ αὐτῶν καυχᾶσθαι, καὶ ἀγάπης διδασκάλων δεικτικόν.

Οὐ κατῃσχύνθην.

Οὐ γὰρ ἐφάνην ψευδόμενος.

Ἀλλ' ὡς πάντα ἐν ἀληθείᾳ ἐλαλήσαμεν.

Πολὺ περὶ Τίτου γράψας ἦν, καὶ ὡς ἐν παρεξόδῳ τὰ περὶ αὐτοῦ εἰρημένα βεβαιοῖ· ὥσπερ γὰρ, φησὶν, ἐκεῖνα ἀληθῆ, οὕτω καὶ τὰ περὶ ὑμῶν κεκαυχημένα.

15 Καὶ τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως.

Οἷον ἡ διάθεσις, τοῦτο δὲ Τίτον ἐστὶν συνιστῶντος αὐτοῖς ὡς σφόδρα ἐκκαιόμενον καὶ συνδεδεμένον αὐτοῖς· διὸ σπλάγχνα, καὶ οὐκ ἀγάπην εἴρηκε. τὸ γὰρ σπλάγχνον πλεῖόν τι δηλοῖ.

Ἀναμιμνησκομένου τὴν πάντων ὑμῶν ὑπακοήν.

Εἶτα ἵνα μὴ δόξῃ κακίας εἶναι τὰ ῥήματα, καὶ τὴν αἰτίαν τῆς διαθέσεως εἴρηκε, μᾶλλον αὐτοὺς ἐκ τούτου προτρεπόμενος· τοῦτο δὲ καὶ τὸν Τίτον σεμνύνει ὡς ἀεὶ Κορινθίους ἔχοντα κατὰ διάνοιαν, καὶ αὐτοὺς δὲ ὅτι ἴσχυσαν οὕτως ἑλεῖν τὸν Τίτον.

Ὡς μετὰ φόβου καὶ τρόμου ἐδέξασθε αὐτόν.

Εἶτα ἐπίτασιν λέγει τῆς ὑπακοῆς, ὅτι οὐ μόνον ἦν ὑπακοὴ, ἀλλὰ φόβος καὶ τρόμος μὴ ἔν τινι πάλιν προσκρούσωσι, καθάπερ ἤδη ἐπὶ τοῦ πεπορνευκότος.

16 Χαίρω οὖν ὅτι ἐν παντὶ θαρρῶ ἐν ὑμῖν.

Ἐὰν ἐπιπλῆξαι δέοι οὐ δέδοικα μὴ ἀπορραγῆτε, κἂν ὑπὲρ ὑμῶν καυχήσασθαι, οὐ δέδοικα μὴ ψεύστης ὀφθῶ· τοῦτο δὲ λέγων καὶ τὸν περὶ ἐλεημοσύνης κατασκευάζει λόγον.

ΚΕΦ. Θ.

Προτροπὴ πρὸς ἐπίδοσιν χρημάτων τοῖς ἁγίοις, καὶ τιμὴν τῶν διὰ τοῦτο ἐρχομένων.

1 Γνωρίζομεν δὲ ὑμῖν, ἀδελφοὶ, τὴν χάριν τοῦ Θεοῦ τὴν
2 δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας· ὅτι ἐν
πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν.

Τεχνικῶς πάνυ, οὐ γὰρ ἦλθεν ἀπὸ ἐπιπλήξεως εἰς παραίνεσιν, ἢ γὰρ ἂν δυσπαράδεκτον εἰργάσατο τὸν λόγον, ἀλλ' ἀπὸ ἐγκωμίων·

βούλεται δὲ τὸν περὶ ἐλεημοσύνης αὐτοῖς κινῆσαι λόγον, καὶ φησὶ, τὴν χάριν τοῦ Θεοῦ, χάριν λέγων τὸ χάρισμα· χάρισμα γὰρ Θεοῦ ἐστι τὸ εἶναι ἐλεήμονα, ὥσπερ τὸ ἰάσεις ἐπιτελεῖν.

Τὴν δεδομένην—

Ὅρα τὸ εὐμήχανον τοῦ Ἀποστόλου· οὐκ εἶπεν εὐθὺς, δότε ἐλεημοσύνην, ἀλλὰ τὰ ἑτέροις κατορθωμένα περὶ ἐλεημοσύνης διηγεῖται· ἐκ γὰρ τοῦ ἐκείνους ἐγκωμιάζειν, μᾶλλον τούτους πρὸς τὸν ὅμοιον ζῆλον προτρέπει.

Ταῖς ἐκκλησίαις τῆς Μακεδονίας—

Ὁλόκληρον ἐπαινεῖ τὸ ἔθνος.

Οὕτως ἐθλίβησαν, φησὶν, ὅτι καὶ δόκιμοι ἐκ τῆς ὑπομονῆς γεγένηνται, καὶ οὔπω τοῦτο θαυμαστὸν, ἀλλ' ὅτι ἐκ τοσαύτης θλίψεως τοσαύτη χαρὰ ἐβλάστησεν αὐτοῖς, ἡ περισσεία γὰρ τῆς χαρᾶς αὐτῶν· ἀπὸ κοινοῦ τὸ ἐπερίσσευσεν.

Καὶ ἡ κατὰ βάθους πτωχεία.

Καὶ ὥσπερ, φησὶν, ἡ θλίψις χαρὰν ἔτεκεν, οὕτω "καὶ ἡ κατὰ "βάθους πτωχεία," τουτέστιν ἡ πολλή· καὶ γὰρ διηρπάγησαν ὑπὸ τῶν ἰδίων συμφυλετῶν, εἰς πλοῦτον ἁπλότητος, τουτέστι, δαψιλείας, ὡσεὶ ἔλεγεν, ὢ τοῦ παραδόξου, ἡ πτωχεία εἰς δαψιλῆ πλοῦτον οὐ μόνον ὑπούργησεν, ἀλλὰ καὶ ἐπερίσσευσεν. οὐ γὰρ τῷ μέτρῳ τῶν διδομένων, ἀλλὰ τῇ γνώμῃ τῶν παρεχόντων κρίνεται· οὕτω καὶ ἡ χήρα, ἧς τὰ δύο λεπτὰ προκέκριται.

3 Ὅτι κατὰ δύναμιν μαρτυρῶ.

Μαρτυρῶ γὰρ αὐτοῖς, ὅτι κατὰ δύναμιν, καὶ ὑπὲρ δύναμιν μενοῦν αὐθαίρετοι· δεύτερον ἐγκώμιον· οὐ γὰρ ἡμεῖς αὐτοὺς προετρεψάμεθα· μετὰ πολλῆς παρακλήσεως· τρίτον ἐγκώμιον, ὅτι οὐχ ἡμεῖς παρεκαλέσαμεν, ἀλλ' αὐτοί· εἶτα ἐπιτείνων τὴν παράκλησιν, φησὶ, δεόμενοι ἡμῶν.

4 Τὴν χάριν καὶ τὴν κοινωνίαν τῆς διακονίας.

Ζηλωταὶ ἦσαν ἀνθρώπων, χάριν καὶ χάρισμα τὸ πρᾶγμα καλεῖ, ἵνα ἐπιδράμωσι· κοινωνίαν δὲ καλεῖ τὴν ἐλεημοσύνην, δεικνὺς ὅτι οἱ μὲν χρήματα διδοάσιν, οἱ δὲ λαμβάνοντες τὴν παρὰ Θεοῦ βοήθειαν αὐτοῖς συνεισφέρουσι.

5 Καὶ οὐ καθὼς ἠλπίσαμεν.

Τοῦτο καὶ πρὸς τὰς θλίψεις καὶ τὴν ποσότητα νοητέον· οὐ γὰρ ἠλπίσαμεν, φησὶν, ὅτι ἐν θλίψει ὄντες τοσαύτῃ, ἢ ἔδωκαν ἢ τοσαῦτα ἔδωκαν.

Ἀλλ᾽ ἑαυτοὺς ἔδωκαν πρῶτον.

Οὐκ ἐν μέρει μὲν, φησὶ, "τῷ Κυρίῳ," ἐν μέρει δὲ τοῖς κοσμικοῖς πράγμασιν, ἀλλ᾽ ὅλοι δι᾽ ὅλων "ἔδωκαν ἑαυτοὺς τῷ Κυρίῳ· καὶ ἡμῖν "δὲ οὐκ εἰκῇ, ἀλλὰ διὰ θελήματος Θεοῦ," τουτέστι διὰ τὸ θέλημα τὸ ἀρεστὸν Θεῷ τοῦτο ποιοῦντες.

6 Εἰς τὸ παρακαλέσαι ἡμᾶς Τίτον.

Καὶ τοσοῦτον, φησὶν, ἔδωκαν ἑαυτοὺς πρὸς τοῦτο, ὥστε ἐλθεῖν με εἰς τὸ πέμψαι Τίτον περὶ τούτου πρὸς ὑμᾶς, ἵνα μὴ ἔλαττον σχοίητε Μακεδόνων.

Ἵνα καθὼς προενήρξατο.

Οἰκειοῖ αὐτοῖς τὸν Τίτον· δείκνυσι γὰρ αὐτὸν προθέμενον καὶ ἀφ᾽ ἑαυτοῦ ἀπελθεῖν πρὸς Κορινθίους, ἵνα μὴ ἐλαττωθῶσι Μακεδόνων. τοῦτο δὲ ἀγάπης ἦν Τίτου· ἵνα, φησὶ, "καθὼς προενήρ-"ξατο," τουτέστι, προέθετο δεῖν ἐλθεῖν πρὸς ὑμᾶς, "καὶ ἐπιτε-"λέσῃ," τουτέστι πληρώσῃ τὸ ἐγχείρημα· τοῦτο δέ ἐστι τὸ παρασκευάσαι αὐτὸν εἰς ἔργον ὑμᾶς ἀγαγεῖν.

Καὶ τὴν χάριν ταύτην.

Ὡς τὰ λοιπὰ ὑμῖν, φησὶ, διήνυσται, ἅπερ ἐν τοῖς ἄνω μαρτυρεῖ· ὅρα δὲ πῶς πανταχοῦ χάρισμα καλεῖ τὴν ἐλεημοσύνην, καὶ τὴν χάριν γὰρ, φησὶ, ταύτην.

7 Ἀλλ᾽ ὥσπερ ἐν παντὶ περισσεύετε.

Ὅρα πάλιν μετ᾽ ἐγκωμίων τὴν προτροπήν· περισσεύετε, φησὶ, τουτέστι, μετὰ περισσείας ἔχετε πάντα, πίστει μὲν τῇ εἰς τὸν Κύριον, λόγῳ δὲ τῇ σοφίᾳ, γνώσει δὲ τῇ τῶν δογμάτων, καὶ πάσῃ σπουδῇ τῇ περὶ τὴν ἄλλην ἀρετήν.

Καὶ τῇ ἐξ ὑμῶν ἐν ἡμῖν ἀγάπῃ.

Καὶ ὥσπερ, φησὶ, περισσεύετε ἐν τῷ ἀγαπᾷν με· εἰ γὰρ καὶ μὴ ἠγάπων αὐτὸν οὕτως ὡς αὐτὸς ἐκείνους, ἠγάπων δὲ ὅμως· πλὴν καὶ προτρεπομένου τὰ ῥήματα.

Ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι περισσεύητε.

Πάλιν χάρισμα τὴν ἐλεημοσύνην καλεῖ. περισσεύητε δὲ, ἢ ὑπὲρ Μακεδόνας τοὺς πένητας, ἢ οἷον δαψιλεύησθε.

8 Οὐ κατ' ἐπιταγὴν λέγω.

Ἐπειδή τε πολλὰ παρῄνεσε καὶ σφόδρα Μακεδόνας ἐνεκωμίασεν, ἵνα μὴ ἐπαχθής τις εἶναι δόξῃ, φησὶν, οὐκ εἰς ἐπιταγὴν λέγω, τουτέστιν, οὐχ ὡς κελεύων, οὐδ' ὡς ἀναγκάζων.

Διὰ τῆς ἑτέρων σπουδῆς.

Τουτέστι, διὰ τοῦτο διεξῆλθον τὴν σπουδὴν Μακεδόνων τὴν περὶ τὴν ἐλεημοσύνην, ἵνα διὰ τῆς ἐκείνων σπουδῆς δοκιμωτέρους ὑμᾶς τοὺς ὑπ' ἐμοῦ ἠγαπημένους ποιήσω· δοκιμάζων γὰρ, τουτέστι, δοκιμωτέρους ἀποφαίνων· οἷον ἐνάρετον.

9 Γιγνώσκετε γὰρ τὴν χάριν.

Ἐπτώχευσε γὰρ τὴν ἡμετέραν σάρκα· εἶτα κατεδικάσθη καὶ ἐσταυρώθη καὶ τὸ ὅτι δι' ἡμᾶς τοὺς ἀναξίους.

Ὅτι δι' ὑμᾶς ἐπτώχευσε.

Εἰ οὖν ἐκεῖνος, φησὶν, ἐπτώχευσε διὰ σὲ, σὺ δὲ χρήματα δίδως δι' αὐτόν.

Πλούσιος ὤν.

Καθό ἐστι, καὶ νοεῖται Θεὸς, οἷον ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, δόξαν ἔχων ἀπόρρητον, φῶς ἀνεκλάλητον, μεγαλωσύνην ἀνείκαστον.

Ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε.

Εἰ γὰρ μὴ ἐκεῖνος, φησὶν, ἐπτώχευσεν, οὐκ ἂν ἡμεῖς ἐπλουτίσαμεν· ἐπλουτίσαμεν δὲ ἄφεσιν ἁμαρτιῶν, ἁγιωσύνην, υἱοθεσίαν, αὐτὴν τὴν βασιλείαν τῶν οὐρανῶν.

10 Καὶ γνώμην ἐν τούτῳ δίδωμι.

Ὅρα πῶς ἀνεπαχθὴς εἶναι σπουδάζει· γνώμην, φησὶ, καὶ συμβουλὴν δίδωμι, οὐκ ἀνάγκην τινὰ ἐπιτίθημι, καὶ αὐτὴν δὲ τὴν συμβουλὴν διὰ τὸ ὑμῖν μᾶλλον συμφέρειν τὸ πρᾶγμα ἤπερ τοῖς λαμβάνουσι λέγω.

Οἵτινες οὐ μόνον τὸ ποιῆσαι.

Καὶ λοιπὸν λέγει τὴν γνώμην· οἵτινες φησὶν, οὐ μόνον ἀρχὴν ἔχετε πρὸς τὸ ποιεῖν, ἀλλὰ καὶ πρὸς τὸ θέλειν, τουτέστι τὸ ἑκουσίως ποιεῖν καὶ μηδενὸς προτρεψαμένου, νῦν καὶ τὸ ποιῆσαι ἐπιτελέσατε, τουτέστι, πληρώσατε αὐτὸ, ὃ ἐνήρξασθε θέλειν. βούλεται τὸ αὐθαίρετον καὶ τούτοις ὡς Μακεδόσι περιάψαι.

11 Ὅπως καθάπερ ἡ προθυμία.

Ἵνα μὴ, φησὶν, ἄχρι προθυμίας στῇ τὸ καλὸν ἔργον τοῦτο. ἀλλ' ὥσπερ ἡ προθυμία ἐκ γνώμης καὶ ἐκ θελήματος ἑκουσίου γέγονεν, οὕτω καὶ τὸ τὴν προθυμίαν πληρωθῆναι γένηται ἐκ τοῦ ἔχειν, τουτέστιν ἐκ τοῦ ἔχοντος εἰσενεγκεῖν· ὡς εἴγε οὐκ ἔχει τις, τὸ ἀπὸ τῆς προθυμίας ἐπλήρωσεν.

12 Εἰ γὰρ ἡ προθυμία.

Προκειμένης γὰρ, φησὶ, προθυμίας, καθὸ μέρος ἔχει, εὐπρόσδεκτός ἐστι Θεῷ, κἂν μικρὸν ᾖ, κἂν μηδὲν ᾖ παντελῶς· καθὸ γὰρ ἔχει, φησὶν, οὐ καθὸ οὐκ ἔχει, ἀπαιτεῖται.

13 Οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις.

Οὐ γὰρ ἵνα ἄλλοι μετὰ ἀνέσεως τρυφῶσι χρὴ ὑμᾶς ὑπὲρ δύναμιν δοῦναι, ὥστε καὶ ἔνδειαν καὶ θλίψιν ὑπομεῖναι ἐκ τούτου· τοῦτο δὲ, διὰ τὸ αὐτῶν εὐτελὲς, φησίν· ὁ γὰρ Μακεδόνας ἐπαινῶν, ὅτι ὑπὲρ δύναμιν ἔδωκαν, δῆλός ἐστι καὶ τούτους τοῦτο ποιεῖν ἐθέλων· ἀμέλει παρακατιὼν, αἰνιγματωδῶς κατασκευάζει τὸ δεῖν καὶ ὑπὲρ δύναμιν διδόναι.

Ἀλλ' ἐξ ἰσότητος—

Κομᾶτε, φησὶ, χρήμασιν ὑμεῖς, ἐκεῖνοι δὲ τὴν εἰς Θεὸν παρρησίαν, οἷς τὰ τῆς ἐλεημοσύνης μέλλει διδόσθαι· δότε τοίνυν αὐτοῖς τὰ περισσὰ τῶν χρημάτων, καὶ λάβετε τὸ περισσὸν τῆς εἰς Θεὸν παρρησίας· εἰπὼν δὲ, "ἐξ ἰσοτητος," ἠρέμα προτρέπεται αὐτοὺς μὴ τὸ περίσσευμα δοῦναι, ἀλλὰ καὶ αὐτὸ τὸ ὑστέρημα· τοῦτο γὰρ, φησὶν, εἰ περίσσευμα δῷς, περίσσευμα λαμβάνεις· εἰ δαψιλὲς δῷς, δαψιλὲς λήψῃ· εἰ δὲ ὁλόκληρον ἐπισπάσασθαι βούλῃ τὴν πρὸς Θεὸν παρρησίαν, ὅσα κένωσον καὶ σὺ δὸς καὶ ἐκ τοῦ ὑστερήματος· ἐξισότητος γάρ ἐστιν ἡ λῆψις τῆς δόσεως.

15 Καθὼς γέγραπται.

Δείξας ὅτι οὐ μόνον διδοῦσιν, ἀλλὰ καὶ ἀντιλαμβάνουσι, καὶ μείζονα ἀντιλαμβάνουσι· καὶ γὰρ εἶπεν ἰσότης πρὸς δαψίλειαν αὐτοὺς προτρέπων. Οὐκ ἔστι γὰρ ἴσον δοῦναι χρήματα καὶ τὴν πρὸς Θεὸν παρρησίαν ἀντιλαβεῖν· νῦν ἐκ τῆς μαρτυρίας τοῦτο θέλει κατασκευάσαι, ὅτι κἂν μὴ μεταδῶτε, οὐδὲν ὑμῖν ἔσται πλέον συνάγουσι. Κἂν γὰρ μὴ λάβωσιν ἐκεῖνοι παρ' ἡμῶν, οὐ παρὰ τοῦτο ἐλαττωθήσονται· οὐ γὰρ ἂν αὐτοὺς περιΐδοι ὁ Θεὸς, δι' ὃν εἰσι πένητες· καὶ τὴν ἁρπαγὴν γὰρ τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε αὐτοῖς γράφων λέγει.

16 Χάρις δὲ τῷ Θεῷ.

Διαλεχθεὶς περὶ ἐλεημοσύνης ὅσα ἔχρην, λοιπὸν ἐπαινεῖ τοὺς ἐπὶ τοῦτο σταλέντας, ἵνα ἀνύποπτοι γενόμενοι μᾶλλον εἰς προθυμίαν αὐτοὺς τοῦ συνεισενεγκεῖν ἐνάγωσι. Θεοῦ δὲ λέγει ἔργον τὸ διεγερθῆναι Τίτον εἰς τοῦτο· τούτῳ τῷ τρόπῳ ἀξιόπιστον ποιῶν τὴν δόσιν. Εἰ γὰρ μὴ μέγα ἦν, οὐκ ἂν ἀπὸ Θεοῦ πρὸς τοῦτο διηγέρθη.

17 Τὴν μὲν παράκλησιν—

Καὶ πόθεν δῆλον, φησὶν, ὅτι ὁ Θεὸς προέτρεψε τὸν Τίτον; πόθεν; ὅτι τὴν μὲν παράκλησιν ἐδέξατο, τουτέστι, παρεκλήθημεν παρ' ἐμοῦ, πλὴν καὶ αὐτὸς οἴκοθεν ὥρμητο εἰς τοῦτο. Διὸ καὶ σπουδαιότερος ὑπάρχων τῆς παρ' ἐμοῦ παρακλήσεως, αὐθαίρετος ἐξῆλθε, τουτέστιν, ἑκὼν καὶ ἐξ οἰκείας προθυμίας. Ὅρα δὲ σοφίαν, καὶ τοῦ Θεοῦ λέγει ἔργον εἶναι τὴν ἔλευσιν Τίτου, καὶ ἑαυτὸν παρακεκληκέναι, καὶ Τίτον μηδὲ δεῆσθαι παρακλήσεως· ταύτῃ τὸ πρᾶγμα μειζόνως ἐπαίρων.

18 Συνεπέμψαμεν δὲ μετ' αὐτοῦ τὸν ἀδελφόν.

Πολλοὶ τὸν Λουκᾶν φασὶ διὰ τὸ σύνταγμα τοῦ Εὐαγγελίου. πολλοὶ τὸν Βαρνάβαν· καὶ γὰρ καὶ τὸ ἄγραφον κήρυγμα εὐαγγέλιόν φασι κεκλῆσθαι, ὃ καὶ μᾶλλον· τὰ γὰρ μετὰ ταῦτα τῷ Βαρνάβᾳ ἁρμοδιώτερα.

Οὗ ὁ ἔπαινος.

Οὐ γὰρ κηρύσσει μόνον, φησὶν, ἀλλὰ καὶ ἐπαινούμενος· ὁ δὲ

ἔπαινος οὐ παρ' ἑνὸς, ἀλλὰ διὰ πασῶν τῶν ἐκκλησιῶν ἦλθε, φησί. Τίνος δὲ ἕνεκεν τὸ μὲν ὄνομα Τίτου λέγει, τούτων δὲ οὐκέτι; ὅτι τὸν μὲν Τίτον ᾔδεσαν, τούτους δὲ ἠγνόουν, καὶ ὅτι τοσαῦτα λέγει περὶ αὐτῶν, ὅσα πρὸς σύστασιν ἤρκει μόνον καὶ τοῦ φυγεῖν τὴν ὑπόνοιαν τοῦ σφετερισμοῦ τῶν χρημάτων.

19 Οὐ μόνον δὲ—

Οὐ μόνον δὲ εὐαγγελιζόμενος εὐδοκιμεῖ, φησὶν, ἀλλὰ καὶ διὰ τόδε.

Συνέκδημος ἡμῶν—

Εἶτα καὶ ἐκ τῆς τῶν ἐκκλησιῶν χειροτονίας καὶ κλήσεως σεμνύνει τὸν Βαρνάβαν· οὐ γὰρ μόνον εὐαγγελιζόμενος εὐδοκιμεῖ, φησὶν, ἀλλὰ καὶ κεχειροτόνηται ὑπὸ τῶν ἐκκλησιῶν εἶναι ἡμῶν συνέκδημος ἐν τῷ κηρύγματι. Ὁ δὲ ἐν τούτῳ κοινωνὸς κοινωνεῖ δηλονότι καὶ τῶν πειρασμῶν καὶ κινδύνων τῷ Παύλῳ. Καὶ οὐ μόνον, φησὶ, συνέκδημος ἡμῶν κεχειροτόνηται, ἀλλὰ καὶ ἐν τῇ χάριτι ταύτῃ κεχειροτόνηται τῇ δεδιακόνηται ὑφ' ἡμῶν, τουτέστιν ἐπὶ τὸ ὑποδέξασθαι τὰ τῆς ἐλεημοσύνης χρήματα.

Οἰκουμενίου. Δύναται ταῦτα καὶ εἰς τὸν Λουκᾶν νοηθῆναι.

Πρὸς τὴν αὐτοῦ—

Τοιοῦτος δὲ, ἐστὶ φησὶν ὁ καὶ ἐπὶ τῷ τὰ χρήματα ὑποδέξασθαι παρ' ὑμῶν ὑπὸ τῶν ἐκκλησιῶν χειροτονηθεὶς, ἵνα ἐξ ὧν πράττῃ καὶ ὁ Χριστὸς δοξάζηται, καὶ ὑμεῖς προθυμότεροι μᾶλλον εἰς τὴν εἰσφορὰν γένησθε.

20 Μή τις ἡμᾶς μωμήσηται.

Διὰ τοῦτο δὲ, φησὶ, τοιούτους ἐπέμψαμεν, εὐλαβούμενοι καὶ φυλαττόμενοι, μή τις πονηρὰν ὑποψίαν σχοίη καθ' ἡμῶν ὡς νοσφιζομένων τὰ χρήματα ἐν τῇ ἁδρότητι, φησὶ, ταύτῃ, τουτέστι, διὰ τὸ εἶναι ἁδρὰν καὶ πλουσίαν τὴν εἰσφορὰν τὴν μέλλουσαν γίνεσθαι ὑφ' ὑμῶν· καὶ γὰρ τὸ τῶν χρημάτων πλῆθος ἱκανὸν τοῖς πονηροῖς κακὴν ὑπόνοιαν ἐκβαλεῖν περὶ ἡμῶν, εἰ μὴ οὕτως ἐπιλέκτους πρὸς τὴν ὑποδοχὴν αὐτῶν ἦμεν πεπομφότες. περιστελλόμενοι οἷα ἀσφαλιζόμενοι.

21 Προνοούμενοι—

Οὐκ εἶπε δὲ μὴ ὑμεῖς περὶ ἡμῶν σκανδαλισθῆτε, ἵνα μὴ

πλήξῃ αὐτοὺς, ἀλλὰ "μή τις." Ὅρα συγκατάβασιν· οὐκ εἶπε τοῦ συνειδότος μου ὄντος ὀρθοῦ, οἰμωζέτω ὁ ὑπονοῶν τι κακὸν, ἀλλὰ τί; διὰ τοῦτο, φησὶν, εἰς τὴν ἀσφάλειαν καὶ τὴν ἀκρίβειαν ταύτην ἦλθον, ἐπειδὴ προνοοῦμεν καλὰ, τουτέστι καλῶς ἀκούειν οὐ μόνον ἔμπροσθεν Θεοῦ, ἀλλὰ καὶ ἀνθρώπων· ὅσῳ γάρ τινες ἀσθενέστερον διάκεινται, φησὶν, ἀνάγκη συγκαταβαίνειν ἡμᾶς.

22 Συνεπέμψαμεν δὲ αὐτοῖς τὸν ἀδελφὸν ἡμῶν.

Ἰδοὺ καὶ ἔτι προσέθηκε καὶ τοῦτον μετ' ἐγκωμίου.

Ἐδοκιμάσαμεν—

Ἐπαίρει ἐκ τῆς αὐτοῦ δοκιμασίας τὸν ἄνδρα, ἐπίτασις δὲ ἐπαίνου τὸ ἐν πολλοῖς καὶ πολλάκις.

Νυνὶ δὲ πολὺ σπουδαιότερον.

Ἐπειδὴ, φησὶ, θαρρεῖ ὡς ἀποτεύξεται ἐρχόμενος πρὸς ὑμᾶς, σπουδαιότερος οὗ ἦν γεγένηται.

23 Ὑπὲρ Τίτου—

Ἐπειδὴ ἀπέδειξεν αὐτῶν τὴν ἀρετὴν, παρακαλεῖ λοιπὸν δι' αὐτοὺς καὶ ἐν αὐτῇ τῇ παρακλήσει ἐγκωμιάζει αὐτοὺς, καί φησιν, εἴτε ὑπὲρ Τίτου δεῖ, φησὶ, τὶ εἰπεῖν, ταῦτα ἔχω λέγειν, ὅτι κοινωνός ἐστιν ἐμοὶ καὶ συνεργός μου εἰς ὑμᾶς καὶ εἰς τὴν ὑμῶν σωτηρίαν καὶ πίστιν· μέγας δὲ ὁ ἔπαινος, εἴτε ὑπὲρ τῶν ἄλλων δεῖ τι, φησὶν, εἰπεῖν, ταῦτα ἔχω λέγειν, ὅτι εἰσὶν ἀδελφοὶ ἡμῶν, Ἀπόστολοι ἐκκλησιῶν, ἀπεσταλμένοι, φησὶν, ὑπὸ ἐκκλησιῶν, ἐξ ἐπιλογῆς δηλονότι. "δόξα Χριστοῦ," ἐξ ὧν, φησὶ, πολιτεύονται, δόξαν προξενοῦσι Χριστῷ. "Ἵνα γὰρ," φησὶ, "θεωροῦντες ὑμῶν τὰ καλὰ ἔργα, δοξάσωσι τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς."

24 Τὴν οὖν ἔνδειξιν.

"Ἔνδειξιν," τουτέστιν, ἀπόδειξιν, ἔλεγχον, ἐπίδειξιν, τὴν ἀπόδειξιν, φησὶν, ἧς με ἀγαπᾶτε ἀγάπης, καὶ τῆς καυχήσεως ἧς καυχώμεθα ὑπὲρ ὑμῶν εἰς αὐτοὺς ἐπιδείξασθε· ὅτι, φησὶν, οὐκ εἰκῇ ὑπὲρ ὑμῶν καυχῶμαι. ὡσεὶ ἔλεγε, θέλετε δεῖξαι ὡς ὑμεῖς μὲν ἀγαπᾶτέ με, ἐγὼ δὲ δικαίως ὑπὲρ ὑμῶν καυχῶμαι· τούτους ἀγαπήσατε, τούτοις εὔνοιαν ἐπιδείξασθε.

Εἰς πρόσωπον τῶν ἐκκλησιῶν.

Εἰς πρόσωπον, φησὶ, τῶν ἐκκλησιῶν, τουτέστι, καὶ εἰς τιμὴν

τῶν ἀποστειλασῶν αὐτοὺς ἐκκλησιῶν· ἂν γὰρ τούτους τιμήσητε, τὰς ἐπιστειλάσας ἐτιμήσατε. Οὐ λέγει δὲ, ἀνθρώπων, ἀλλὰ "ἐκκλησιῶν," σεμνότερον ἅμα καὶ ἀπαραίτητον ποιῶν τὸν λόγον.

1 Περὶ μὲν γὰρ τῆς διακονίας.

Διακονίας ἐλεημοσύνης· περὶ ταύτης τοιγαροῦν τῆς ἐλεημοσύνης πολλά τε εἰπὼν καὶ πολλὰ λέγειν θέλων, νῦν, ἔφη, περιττόν μοί ἐστι τὸ γράφειν ὑμῖν, ὥστε μᾶλλον αὐτοὺς ἐπισπάσασθαι· αἰσχύνεται γὰρ ἄνθρωπος τοιαύτην δόξαν ἔχων, ὡς μήτε δεῖσθαι συμβουλῆς, ἐλάττων φανῆναι τῆς ἰδίας ὑπολήψεως.

2 Οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν.

Θαρροῦντος μὲν τὸ πεπεῖσθαι. τὸ δὲ καὶ εἰς ἑτέρους καυχᾶσθαι πολὺ πλέον.

Ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσιν.

Τοῦτο φησὶν, ἐκαυχώμην πρὸς Μακεδόνας, ὅτι οὐ μόνον ἡ Κόρινθος, ἀλλὰ καὶ πᾶσα ἡ Ἀχαΐα πρὸς τὴν ἐλεημοσύνην παρεσκεύασται. ἐπαρχία δέ τις ἐστὶν ἡ Ἀχαΐα, ὑφ' ἣν ἡ Κόρινθος. Οὐκ εἶπεν ὅτι εἰσφέρει ἢ συλλέγει, ἀλλ' ὅτι παρεσκεύασται, τουτέστιν, ἑτοίμη ἐστί. πεπλήρωκε τὸ πᾶν· λοιπὸν τοὺς διακονησομένους περιμένει.

Καὶ ὁ ἐξ ὑμῶν ζῆλος.

Ἔνι γὰρ καὶ ἐπὶ χρηστῷ ζῆλος· εἰ οὖν ὑμεῖς γεγόνατε, καὶ τοῖς ἄλλοις πρόξενοι συνεισφορᾶς, πῶς οὐκ ἄτοπον ὑμᾶς ὑστερῆσαι;

Ἠρέθισε τοὺς πλείονας.

Καίτοι περὶ Μακεδόνων εἴρηκεν, ὅτι αὐθαίρετοι καὶ μετὰ σπουδῆς ἦλθον εἰς τοῦτο. Πῶς οὖν νῦν φησὶν, ὅτι ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισεν αὐτούς; ἠρέθισε τοὺς πλείονας, οὐ πάντας. ἔπειτα τὸ αὐθαίρετοι οὕτω νόει, ὅτι οὐ συνεβουλεύσαμεν, οὔτε προετρεψάμεθα αὐτοὺς, ἀλλ' ὑμᾶς ἐπῃνέσαμεν ὡς παρασκευασμένους ἀπὸ πέρυσι, καὶ τοῦτο ἤρκεσεν εἰς τὸ διεγεῖραι αὐτούς.

3 Ἔπεμψα τοὺς ἀδελφούς.

Ὅρα τὴν κηδεμονίαν τοῦ Παύλου· ἔπεμψα, φησὶν, αὐτοὺς, ἵνα μὴ ματαιωθῇ τὸ καύχημα ἡμῶν, καὶ ψεῦσται εὑρεθῶμεν, εἰπόντες,

ὅτι παρεσκευασμένοι εἰσίν. "ἐν τῷ μέρει" φησὶ, "τούτῳ," τουτέστι τῆς ἐλεημοσύνης. Ἐπειδὴ γὰρ εἶπεν, ἵνα μὴ κενωθῇ τὸ καύχημα ἡμῶν, ἄχρι τῆς ἐλεημοσύνης αὐτὸ περιέκλεισεν.

Ἵνα καθὼς ἔλεγον.

Ἀπὸ ἀνθρωπίνων λογισμῶν καὶ λόγων αὐτοὺς προτρέπει ἀσθενέστερον διακειμένους, μή πως, φησὶν, εἰκός ἐστιν αὐτοὺς μετ' ἐμοῦ ἐλθεῖν.

4 Καὶ εὕρωσι ὑμᾶς ἀπαρασκευάστους.

Κολάζει τὸν λόγον, ἡμεῖς καταισχυνθῶμεν ὡς εἰκῇ καυχώμενοι, ἵνα, φησὶν, εὐφημότερον λέγοντες μὴ εἴπωμεν ὑμᾶς καταισχύνεσθαι, εἰ μὴ ὅτι τῶν δύο ἦν αἰσχύνη· τῶν μὲν ὡς ὑστερούντων, τοῦ δὲ ὡς ψεῦδος καυχωμένου ἐν τῇ ὑποστάσει, φησὶ, ταύτῃ τῆς καυχήσεως. ὡσεὶ εἶπεν, οὐκ ἀλλαχοῦ καταισχυνθῶμεν, ἀλλ' ἐν μόνῃ τῇ περὶ τῆς ἐλεημοσύνης καυχήσει.

5 Ἀναγκαῖον οὖν—

Καὶ γὰρ ἦν ὄντως ἀναγκαῖον, καὶ αὐτοὺς αἰσχύνης, καὶ ἑαυτὸν τοῦ δοκεῖν ψεύδεσθαι ἀπαλλάξαι.

Ἵνα προσέλθωσιν—

Ἐπειδὴ ἄνω εἰρήκει, περιττόν μοί ἐστι τὸ γράφειν περὶ τούτου, ὡς αὐτῶν δηλαδὴ ἑτοίμων ὄντων, ἵνα μὴ δόξῃ ἐναντία λέγειν νῦν, οὐκέτι περὶ τοῦ εἰσενεγκεῖν, ἀλλὰ περὶ τοῦ ταχέως καὶ δαψιλῶς καὶ προθύμως διαλέγεται· διὰ τούτων κἀκεῖνο κατασκευάζων.

Προκατηγγελμένην—

Τὴν μετὰ δαψιλείας ἐλεημοσύνην.

Οὕτως—

Τουτέστι, μετὰ χαρᾶς καὶ σπουδῆς· οὐδεὶς γὰρ εὐλογίαν διδοὺς λυπεῖται, ἢ ἐξ ἀνάγκης δίδωσιν· ἐκεῖνος γὰρ ἀλγεῖ καταβάλλων, ὁ πλεονεκτούμενος καὶ διδοὺς ἐξ ἀνάγκης ἅπερ ἐπλεονέκτησε· νῦν δὲ ἀφορμὴ σωτηρίας ἡ δόσις.

6 Τοῦτο δὲ—

Φειδωλῶς, φησὶ, καὶ κνιπῶς· τοῦτο δὲ τὸ τῆς ἐλεημοσύνης, οὕτως ἔχει τρόπου· καὶ λοιπὸν σπόρον αὐτὸ καλεῖ, ἵνα πρὸς τὸν

ἀμητὸν ἀπιδόντες, καὶ ὅτι ὁ σπείρας πολλὰ καὶ ὀλίγα ἀναλόγως θερίζει, προθυμότεροι πρὸς τὴν εἰσφορὰν γένωνται.

Καὶ ὁ σπείρων—

Μετὰ δαψιλείας, φησὶ, καὶ ἁδρότητος.

7 Ἕκαστος καθὼς—

Ἐπὶ τὸ πρότερον πάλιν ἦλθε, μονονουχὶ τοῦτο λέγων, τὰ μὲν λαληθῆναι φησὶ, περὶ ἐλεημοσύνης ὀφείλοντα ταῦτα, πλὴν καθὼς ἕκαστος προαιρεῖται, οὕτως διδότω, μὴ ἐκ λύπης· οὐ γάρ ἐστι πλεονεξία, μηδὲ ἐξ ἀνάγκης, οὐ γὰρ βιαζόμεθα, φησὶ, τινά· εἶπε γὰρ ἄνω, "οὐ κατ' ἐπιταγὴν λέγω," καὶ πάλιν, "γνώμην δὲ δίδωμι."

Ἱλαρὸν γὰρ—

Καὶ μαρτυρίᾳ βεβαιοῖ, τὸ μὴ δεῖν ἐκ λύπης διδόναι.

8 Δυνατὸς—

Πνευματικῶν τε, φησὶ, καὶ σαρκικῶν πραγμάτων, ὥστε δύνασθαι ὑμᾶς δαψιλῶς μεταδιδόναι, ἢ ὅτι δίδοται ὁ Θεὸς ὑμῶν σαρκικὰ καὶ μικρὰ διδόντων, πνευματικὰ καὶ μεγάλα· ἀντιδοῦναι καὶ περισσεῦσαι· οὐ μόνον, φησὶ, πληρῶσαι, ἀλλὰ καὶ ὑπὲρ τὴν χρείαν δοῦναι.

Εἰς ἡμᾶς—

Ὅρα σοφίαν ἐν τοῖς σαρκικοῖς· αὐτάρκειαν αὐτοῖς ἐπευχόμενος ἐν τοῖς πνευματικοῖς, περισσείαν καὶ περιουσίαν εὔχεται.

9 Καθὼς γέγραπται—

Τὸν προφήτην αὐτοῖς ἐφίστησι δαψίλειαν παραινοῦντα· τὸ γὰρ σκορπίσαι δαψιλείας σημαντικόν.

Πένησιν—

Δικαίους γὰρ ἡ ἐλεημοσύνη ποιεῖ, ὥσπερ καθαίρουσα τὰ πλημμελήματα.

Δικαιοσύνη αὐτοῦ—

Οὐδέποτε γὰρ σβέννυται.

10 Ὁ δὲ ἐπιχωρηγῶν—

Ἐν εὐχῆς τάξει αἰνίττεται τὸ μηδὲν δειλιᾷν, μή πως δούς τις πολλὰ, αὐτὸς ἐνδεὴς εὑρεθῇ· ὁ γὰρ σπέρμα χορηγῶν Θεὸς τῷ τὸν

αἰσθητὸν σπόρον σπείροντι, καὶ τὸ σῶμα τρέφων ἄρτῳ, πῶς ἂν ἀμελήσειε τοῦ τὸν πνευματικὸν σπείροντος σπόρον;

Χορήγησαι—

Χορηγήσειεν ὑμῖν τὰ σαρκικὰ δαψιλῶς, ἵνα πληθυνθῇ καὶ ἡ ἐλεημοσύνη ὑμῖν· ταύτην γὰρ νῦν σπόρον φησίν.

Τὰ γενήματα—

Ἐκ γὰρ τοῦ τῆς ἐλεημοσύνης σπόρου, αὔξει δικαιοσύνης γενήματα· τροπικῶς δὲ ὅλα εἶπε.

11 Πλουτιζόμενοι—

Εἰς ταύτην, φησὶ, τὴν ἁπλότητα καὶ δαψίλειαν πλουτισθείητε, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ Θεῷ. Τί δὲ καὶ τοὺς ἄλλους παρασκευάζων εὐαριστεῖν τῷ Θεῷ, ὑπὲρ ὧν ἡμεῖς κεκτήμεθα; ἡ εὐποΐα δηλονότι· πλουτίζεσθε οὖν εἰς εὐποΐαν· τοῦτο γὰρ καὶ τοὺς λαμβάνοντας ἡμᾶς εὐχαριστεῖν ποιήσει Θεῷ.

Εἰς πᾶσαν—

Ἵνα εἴητε, φησί.

Ἁπλότητα—

Οἷον δαψίλειαν.

12 Τῆς λειτουργίας—

Τουτέστιν, ἡ φιλοτιμία καὶ ἡ εἰσφορὰ τῶν χρημάτων τούτων, καὶ ἡ λειτουργία ἡ πνευματικὴ ἡ διακονουμένη ὑφ' ἡμῶν.

Οὐ μόνον—

Οὐ μόνον, φησὶ, τοῦτο κατορθοῖ τὸ ἀναπληροῦν τὰ ὑστερήματα καὶ τὴν ἔνδειαν τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύειν ποιεῖ τὴν εἰς Θεὸν εὐχαριστίαν, τὸ διὰ πολλῶν προσφέρεσθαι· οἷον δέ ἐστι καὶ τρέφειν πενομένους καὶ εὐχαριστεῖσθαι παρασκευάζειν τὸν Θεόν· τὰ γὰρ δύο τῶν ἄγαν ἐπαινουμένων. περισσεύει δὲ, φησὶ, διὰ τῆς δοκιμῆς τῆς διακονίας ταύτης, τούτεστι, τῆς δοκίμου καὶ πείρᾳ τὴν χρηστότητα δοξαζούσης[g] ἐλεημοσύνης, ἣν ἡμεῖς διακονοῦμεν ὑμῖν, φησίν.

Ἀλλὰ καὶ περισσεύει.

Πῶς δὲ περισσεύει ἡ εὐχαριστία τῷ Θεῷ; πῶς; ὅτι δοξά-

[g] Œcum. δειξάσης.

ζοντές εἰσιν οἱ ἅγιοι τὸν Θεὸν, οὐ μόνον ὅτι ἐλύθη αὐτοῖς διὰ τῆς ἐλεημοσύνης ἡ ἔνδεια, ἀλλ' ὅτι καὶ ὑποτεταγμένοι ἐστὲ, φησὶ, τῇ ὁμολογίᾳ τοῦ Εὐαγγελίου· δεῖγμα γὰρ τοῦ ὑποτετάχθαι τοῖς εὐαγγελικοῖς προστάγμασι τὸ εὖ ποιεῖν· πλεῖστα γὰρ περὶ ἐλεημοσύνης ὁ Κύριος διηλέχθη.

13 Καὶ ἁπλότητι—

Καὶ ὅτι διὰ τὴν ὑποταγὴν καὶ πειθὼ τοῦ Εὐαγγελίου καὶ εἰς τοῦτο ὑποτεταγμένοι ἐστὲ εἰς τὴν εἰς αὐτοὺς ἁπλότητα, οἷον δαψίλειαν τῆς ἐλεημοσύνης καὶ κοινωνίαν, καὶ οὐ μόνον εἰς αὐτῆς ἀλλὰ καὶ εἰς πάντας. οἱ γὰρ ἅγιοι οὗτοι, φησὶ, καὶ ὑπὲρ ὧν ἑτέροις παρέχετε, εὐχαριστοῦσι τῷ Θεῷ.

14 Καὶ αὐτῶν δεήσει—

Καὶ εἰς τοῦτο, φησὶν, εὐχαριστοῦσι τῷ Θεῷ, ὅτι οὕτως ὑμᾶς δοκίμους ἀπειργάσατο ἡ ὑποταγὴ τοῦ Εὐαγγελίου, οὕτως ποθεινοὺς, ὡς δέεσθαι αὐτοὺς συνεχῶς ὑπὲρ τοῦ ἰδεῖν ὑμᾶς, "ἐπιποθούντων γὰρ ὑμᾶς," φησί.

Ἐπιποθούντων—

Ἐπιποθοῦσι δὲ, φησὶν, ὑμᾶς, οὐ διὰ τὰ χρήματα, ἀλλ' ὥστε θεαταὶ γενέσθαι τῆς δοθείσης ὑμῖν ἀπὸ Θεοῦ χάριτος. Διὰ γὰρ τὴν ὑπερβάλλουσαν, φησὶ, χάριν τοῦ Θεοῦ ἐφ' ἡμῖν· διὰ τοῦτο ὑμᾶς ἰδεῖν ποθοῦσιν.

Ὑπερβάλλουσαν—

Ὅρα σύνεσιν· ἐπάρας αὐτοὺς, τέλος τὸ πᾶν ἀνέθηκε τῷ Θεῷ, χάριν τὸ πρᾶγμα καλέσας Θεοῦ.

15 Χάρις δὲ—

Εἶτα τὴν τοῦ Θεοῦ χάριν ἐννοήσας, καὶ αὐτὸς δοξάζει τὸν Θεόν. χάρις δὲ τῷ Θεῷ, λέγων ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ, δωρεὰν ἐνταῦθα καλῶν καὶ τὸ ὑποτετάχθαι Κορινθιοὺς τῷ εὐαγγελίῳ, καὶ ὅτι ἐδωρήσατο ἡμῖν διὰ τῆς ἐλεημοσύνης τὰ τοσαῦτα ἀγαθὰ ὅσα κατέλεξε, καὶ ὅτι μείζονα δώσει ὑπὲρ αὐτῆς ἐν τῷ μέλλοντι.

ΚΕΦ. Ι.

Διήγησις τῶν ἰδίων πόνων καὶ προθέσεως καὶ τῆς ἐπ' αὐτῷ χάριτος πρὸς τὸ μὴ τοῖς ἐπιπλάστοις προστίθεσθαι Κορινθίοις.

1 Αὐτὸς δὲ ἐγὼ Παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πρᾳότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ.

Μέγα τὸ ἀξίωμα, ἐγὼ Παῦλος, φησὶ, τουτέστιν, ὁ Ἀπόστολος, ὁ διδάσκαλος τῆς οἰκουμένης, ὡς καὶ ἀλλαχοῦ, ἰδοὺ ἐγὼ Παῦλος λέγω ὑμῖν. ἐπαρτήσατο τὸν περὶ ἐλεημοσύνης λόγον· ἄρχεται τῶν ἐπιτιμητικωτέρων λόγων· κατέταττε τῶν ψευδαποστόλων καὶ τῶν λοιδορούντων αὐτὸν, καὶ ἑαυτὸν συνίστησιν, εἰς ἀνάγκην ἐλθὼν τοῦ μὴ καὶ τὸ κήρυγμα συνευτελισθῆναι, εἰ αὐτὸς φαῦλος τῇ σιωπῇ νομισθείη· καὶ τὰ τῆς νομισθείσης αὐτῷ χάριτος μετὰ δαψιλείας φησὶ κατορθωμάτων, καὶ τὴν ὑπ' αὐτοῦ ὑπομονὴν, καὶ τοὺς ὑπὲρ Χριστοῦ ἀγῶνας.

Παρακαλῶ ὑμᾶς—

Τοῦτο θέλει εἰπεῖν, δέομαι ὑμῶν, μή με ἀναγκάσωσιν, εἰ λοιδοροῦντές με χρήσασθαί μου τῇ δυνάμει κατ' αὐτῶν, ὑμῶν δέομαι, ὡς λέγειν εἰώθαμεν, συμβουλεύσατε αὐτοῖς, μὴ εἰς τοῦτό με ἀγαγεῖν.

Καὶ ἐπιεικείας—

Μέγα μὲν καὶ τὸ Παῦλον παρακαλεῖν· ὅταν δὲ καὶ διὰ τῆς ἐπιεικείας Χριστοῦ τὴν ἱκεσίαν ποιῆται φρικωδέστερον.

Κατὰ πρόσωπον—

Ἢ κατὰ εἰρωνείαν τοῦτό φησι τοῖς τῶν διαβαλλόντων χρησάμενος λόγοις. Ἔλεγον γὰρ "ὅτι ἡ παρουσία ἀσθενὴς, αἱ δὲ ἐπι-" "στολαὶ βαρεῖαι," λέγει οὖν, δέομαι ὑμῶν, ὁ παρὼν μὲν ταπεινὸς ὡς αὐτοὶ, φησίν· ἀπὼν δὲ θαρρῶν τὰ μείζω μου γράφειν· ἢ τοῦτό φησι, ταπεινὸς μέν εἰμι, πλὴν θαρρῶν τῇ ἀγάπῃ ὑμῶν τολμῶ ταῦτα γράφειν· τί δὲ δέῃ τὸ μὴ θαρρῆσαι, φησὶ, τουτέστι τοῦ μὴ θαρρούντως χρήσασθαι, ἐρχόμενος πρὸς ὑμᾶς καὶ παρὼν τῇ δυνάμει μου· πεποίθησιν γὰρ τὴν πνευματικὴν αὐτοῦ δύναμιν καλεῖ διὰ τὸ ῥᾳδίως δύνασθαι τοὺς ἐναντίους ἀμύνασθαι· ποίᾳ

δυνάμει; ᾗτινι, φησὶ, λογίζομαι τολμῆσαι ὡσεὶ ἔλεγεν, οὔπω κέκρικα χρήσασθαι αὐτῇ, ἀλλ' ἔτι λογίζομαι τολμῆσαι χρήσασθαί μου τῇ δυνάμει.

2 Δέομαι δὲ—

Ἐπειδὴ γὰρ ἔλεγον ὅτι παρὼν εὐτελής ἐστι, φησὶ, μὴ παρὼν τιμωρήσομαι.

Τολμῆσαι—

Ὁρᾷς πῶς ἐστι ταπεινός; ἀνάγκης γὰρ οὔσης χρήσασθαι τῇ δυνάμει, ὀκνεῖ καὶ ἀναδύεται, καὶ τόλμαν τὸ πρᾶγμα καλεῖ· τοῦτο γὰρ ἀρίστου διδασκάλου τῇ ἀναβολῇ χώραν παρέχειν τῇ μετανοίᾳ.

Κατὰ σάρκα—

Κατὰ τίνων, φησὶν, ἔχεις χρήσασθαι παρὼν τῇ δυνάμει τῇ πνευματικῇ; ἐπὶ τίνας, φησὶ, τοὺς λογιζομένους ἡμᾶς ὡς κατὰ σάρκα περιπατοῦντας. οἱ γὰρ ψευδαπόστολοι διέβαλλον αὐτὸν ὡς ὑποκριτὴν καὶ ἀπατεῶνα καὶ πάντα πρὸς ἐπίδειξιν ἀνθρώπων ποιοῦντα. καί φησιν, "ἐν σαρκὶ γὰρ περιπατοῦντες, οὐ κατὰ σάρκα "στρατευόμεθα," τουτέστιν οὐ σαρκικῶς ζῶμεν. ἢ περὶ τοῦ κηρύγματος λέγει τὸ "στρατευόμεθα·" πόλεμον γὰρ πρὸς τοὺς νοητοὺς καὶ αἰσθητοὺς ἐχθροὺς ἀναδεξάμενοι, οὐ σαρκικοῖς ὅπλοις κεχρήμεθα, τοῦτό ἐστιν, "οὐ κατὰ σάρκα στρατευόμεθα."

4 Τὰ γὰρ ὅπλα τῆς στρατείας οὐ σαρκικά.

Καὶ οὕτως οὐ κατὰ σάρκα στρατευόμεθα, ὅτι καὶ τὰ ὅπλα οἷς χρώμεθα οὐκ ἔστι σαρκικὰ κατὰ τῶν ἀνθισταμένων· σαρκικὰ γὰρ ἔχει ἂν πλοῦτος, ἰσχὺς, δυναστεία, δόξα, εὐγλωττία· ἡμεῖς τοιγαροῦν οὐ τούτοις νικῶμεν, ἀλλὰ τοῖς ἐναντίοις, πενίᾳ, εὐδοξίᾳ, ἀσθενείᾳ· διὸ καὶ δυνατὰ τῷ Θεῷ αὐτὰ καλεῖ· καὶ γὰρ ἐν τούτῳ τὸ θαυμαστὸν καὶ δυνατὸν παρὰ Θεοῦ ἔχουσιν, ὅτι τοιαῦτα ὄντα περιγέγονε τῆς οἰκουμένης. Σκόπει δὲ αὐτοῦ τὸ ἄτυφον· οὐκ εἶπεν, ἡμεῖς ἐσμὲν οἱ δυνατοὶ, ἀλλὰ τὰ ὅπλα ἡμῶν διὰ τοῦ Θεοῦ· καὶ γὰρ κἀκείνοις τὴν δύναμιν, οὐχ ἡμεῖς, ἀλλ' ὁ Θεὸς ἔδωκε, φησίν.

'Αλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων.

Ἔστι δὲ δυνατὰ ἡμῶν τὰ ὅπλα πρὸς καθαίρεσιν ὀχυρωμάτων. καλῶς δὲ τὸ "καθαίρεσιν," δεικνὺς ὅτι οὐ προσβάλλομεν μηχανὰς, ἀλλ' εὐθὺς καθαιροῦμεν ἅπαν ἐναντίον. "'Οχυρωμάτων" δὲ, φησὶν, οἷον τοὺς Ἑλληνικοὺς συλλογισμοὺς, τὴν πλάνην αὐτῶν, τὸν τύφον. Εἶτα ἵνα μὴ ἀκούσαντες ὀχυρώματα, σωματικόν τι νομίσωσι, φησὶ, "λογισμοὺς καθαιροῦντες," οἷον συλλογισμοὺς καὶ τὰ τῶν Ἑλλήνων σοφίσματα· ἢ ὅτι αὐτοὺς τοὺς λογισμοὺς αὐτῶν καὶ τὰς ψυχὰς καταβάλλομεν, ἐξ ἧς κεκράτηνται πλάνης, καὶ εἰς τὴν ἀλήθειαν ἄγομεν.

5 Καὶ πᾶν ὕψωμα ἐπαιρόμενον.

Ἐπέμεινε τῇ τροπῇ, ἵνα πλείονα ποιήσῃ τὴν ἔμφασιν· τα ὅπλα, φησὶ, τὰ ἡμέτερα, κἂν ὀχύρωμα εἴπῃς, κἂν ὕψωμα, τουτέστι πυργώματά τινα καὶ φρούρια, κἂν ὁτιοῦν ἐπαιρόμενον καὶ ἀνθιστάμενον τῇ γνώσει τοῦ Θεοῦ. τῇ διὰ τοῦ κηρύγματος πάντα καθαιρεῖ.

Καὶ αἰχμαλωτίζοντες πᾶν νόημα.

Καὶ οὕτως ἅπαν νόημα καὶ πᾶσαν διάνοιαν ἀνθρωπίνην ὑποτάσσομεν τῷ βασιλεῖ καὶ ἀρχιστρατήγῳ Χριστῷ, ὡς μηδὲ ἀναπλάσαι τοῦ λοιποῦ οὐδὲ ἀναμαχήσασθαι ἰσχῦσαί τινα τῶν ἡττηθέντων· τοῦτο γὰρ δηλοῖ τὸ αἰχμαλωτεύοντες, οἷον, αἰχμαλώτους ἐκ τῆς τοῦ πονηροῦ τυραννίδος λαμβάνοντες, ἀπὸ δουλείας εἰς ἐλευθερίαν.

6 Καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν.

Ἐνταῦθα καὶ τούτους ἐφόρμησεν, ὑμᾶς γὰρ περιεμένομεν, φησὶν, ἵνα ὅταν διὰ τῆς παραινέσεως διδαχῆς διορθώσωμεν ὑμᾶς, καὶ ἀποστήσωμεν ἐκείνων, τότε ἐκείνοις μόνοις τοῖς ἀπιστοῦσι τὴν πληγὴν ἐνέγκωμεν. ἕτοιμοι οὖν ὄντες ἐν τούτῳ ὑφ' ἡμῶν ἀναμὶξ ὄντων κωλυόμεθα· καὶ γὰρ δέος ἐστὶ, φησὶ, μὴ καὶ ὑμῶν ἅψηται ἡ πληγὴ διὰ τὸ ἀναμεμίχθαι· ταῦτα δὲ λέγων τοὺς ψευδαποστόλους αἰνίττεται ὅπως διορθώσωνται. Ὑπακούετε μὲν καὶ νῦν, φησὶν, ἀλλ' οὐ τελείως· διό φησιν, "ὅταν πληρωθῇ ἡ ὑπακοὴ "ὑμῶν." Φοβήσας τοὺς ψευδαποστόλους, καὶ αὐτοὺς λοιπὸν ἐπι-

τιμᾷ, ἐπιπληκτικώτερον αὐτοῖς διαλεγόμενος, "τὰ κατὰ πρόσωπον, φησὶ, βλέπετε," τουτέστιν, ἀπὸ τῶν φαινομένων κρίνετε· οἷον, εἴ τις πλουτεῖ, εἴ τις ἐπαίρεται, εἴ τις μεγαλαυχεῖ, εἴ τις ἀρετῆς πρόσωπον περίκειται.

Εἴ τις πέποιθεν ἑαυτῷ Χριστοῦ εἶναι.

7 Καὶ γὰρ οἱ ψευδαπόστολοι, ὡς Χριστοῦ ὄντες ἐμεγαλαύχουν.

Τοῦτο λογιζέσθω πάλιν ἀφ' ἑαυτοῦ.

Ἂν ὅλως, φησὶ, μετέχει τῆς παρὰ Χριστοῦ χάριτος, ἀφ' ἑαυτοῦ λογιζέσθω καὶ μὴ περιμενέτω παρ' ἡμῶν διὰ τῆς ἐπιτιμήσεως μαθεῖν.

Οὕτως καὶ ἡμεῖς Χριστοῦ.

Ἴσως φησὶν, ἐν τούτῳ κοινωνοῦσι, καὶ οὐδὲν πλέον ἔχουσιν ἡμῶν· οὐ γὰρ αὐτοὶ μὲν Χριστοῦ, ἡμεῖς δὲ ἑτέρου τινός· τοῦτο δὲ κατά τινα συγκατάβασιν εἶπε, ἐπειδὴ προϊὼν δείκνυσιν ὅτι οὐχ ὥσπερ ἐκεῖνοι Χριστοῦ, οὕτω καὶ αὐτὸς, ἀλλ' ἄπειρον τὸ μέσον. ὅθεν φησὶν, "ἐὰν περισσότερόν τι καυχήσομαι· ὡσεὶ ἔλεγεν, ἀρκεῖ τέως τὸ εἰπεῖν, οὕτω καὶ ἡμεῖς· ἐὰν γάρ τι πλέον τούτου εἴπω, οὐκ ἂν αἰσχυνθῶ, ἀληθῆ γὰρ, φησὶν, ἐρῶ.

8 Περὶ τῆς ἐξουσίας ἡμῶν.

Τῆς πληκτικῆς καὶ τιμωρητικῆς τῶν ἀντιδιατιθεμένων δυνάμεως· εἶτα κολάζων τὸ φορτικὸν τοῦ λόγου φησὶν, εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν ὑμῶν, ὡσεὶ ἔλεγε, τὴν δύναμιν ἐλάβομεν ἐπὶ τὸ οἰκοδομεῖν ὑμᾶς πρὸς τὴν πίστιν, οὐ μὴν πρὸς τὸ τιμωρεῖσθαί τινα. Πῶς οὖν εἴποι τις καὶ νῦν αὐτοῖς ἀνατείνῃ τὴν παρὰ Χριστοῦ σοι δοθεῖσαν ἐξουσίαν, καὶ ἄνω ἔφασκες "ἐν ἑτοίμῳ ἔχοντες "ἐκδικῆσαι πᾶσαν παρακοὴν," εἰ οὐκ ἐπὶ τιμωρίᾳ ἀλλ' ἐπὶ οἰκοδομῇ τὴν ἐξουσίαν εἴληφας; ὅτι αὐτὸ τοῦτο, φησὶ μάλιστά ἐστιν οἰκοδομὴ ὑμῶν τὸ τὰ κωλύματα ἀναιρεῖν καὶ τὰ σκάνδαλα, οἷον τοὺς ψευδαποστόλους καταργεῖν· εἰς τοῦτο μὲν ἐλάβομεν, ἵν' οἰκοδομῶμεν· ἐὰν δέ τις ἀνίατα νοσῇ, καὶ τῇ ἑτέρᾳ χρησόμεθα ἐνεργείᾳ, καθαιροῦντες αὐτὸν καὶ καταβάλλοντες· ὡς εἶναι ἐν πρωτοτύπῳ μὲν τὴν οἰκοδομὴν, ἐν παρεπομένῳ δὲ τὴν καθαίρεσιν.

Οὐκ αἰσχυνθήσομαι.

Οὐ δειχθήσομαι φησὶ, ψεύστης ἢ κομπαστής.

9 Ἵνα μὴ δόξω ὡς ἂν ἐκφοβεῖν ὑμᾶς.

Διὰ τοῦτο, φησὶν, οὕτω μετρίως εἶπον τὸ "οὐκ αἰσχυνθήσομαι," καὶ οὐδὲν μέγα εἶπον, "ἵνα μὴ δόξω ὡς ἂν ἐκφοβεῖν ὑμᾶς διὰ τῶν ἐπιστολῶν."

Εἶτα τοῖς λόγοις τῶν διαβαλλόντων αὐτὸν κέχρηται. Καὶ ἵνα μὴ πάλιν εἴπωσιν "ὅτι αἱ μὲν ἐπιστολαὶ βαρεῖαι" καὶ τὰ ἑξῆς, διὰ τοῦτο, φησὶν, οὕτω μετρίως ἐφθεγξάμην.

10 Ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενής.

Ἔλεγον γὰρ οἱ διαβάλλοντες αὐτὸν, ὅτι κομπάζει διὰ τῶν ἐπιστολῶν καὶ φοβερὰ ἐπιστέλλει· παραγενόμενος δὲ, εὐκαταφρόνητός τίς ἐστι, καὶ ἐλέγχεται μὴ ὢν οἷος γράφει.

11 Ὅτι οἷοί ἐσμεν τῷ λόγῳ δι' ἐπιστολῶν ἀπόντες.

Εἰ ταῦτα λέγοντες, φησὶ, τοῦτο ἴστησαν ὅτι καὶ παρόντες καὶ ἀπόντες ὅμοιοί ἐσμεν, καὶ ὥσπερ ἐσμὲν ἀπόντες τῷ λόγῳ καὶ ταῖς ἐπιστολαῖς, τοιοῦτοι καὶ παρόντες τῷ ἔργῳ, τουτέστιν, οὐ μόνον ἀπειλοῦμεν ἀπόντες, ἀλλ' ἰσχύομεν καὶ παραγινόμενοι εἰς ἔργον ἀγαγεῖν τὰ ἀπειλούμενα.

Κατὰ ἐρώτησιν ἀναγνωστέον, δοκιμάζειν, φησὶν, ἕκαστον ἡμῶν βούλεσθε, καὶ τὰ καθ' ἡμᾶς ἐξετάζειν· οὐκοῦν σὺν ἀκριβείᾳ τοῦτο ποιήσατε.

Κατὰ ἐπιτιμητικὴν ὑπόκρισιν τοῦτο ἀναγνωστέον, ἀντὶ τοῦ οὐκ ἐκ τῶν ἔργων τῆς ἀληθείας τὴν ἐξέτασιν, ἐκ δὲ τῶν ἐπὶ πολλῆς ἁπλῶς φαινομένων λαμβάνεται.

12 Οὐ γὰρ τολμῶμεν ἐγκρῖναι ἢ συγκρῖναι ἑαυτούς τισι.

Ἐνταῦθα ἀλαζόνας ἐκείνους παρίστησι, καὶ κωμῳδεῖ αὐτοὺς, κατ' εἰρωνείαν προάγων τὸν λόγον, φησίν· "οὐ γὰρ τολμῶμεν ἐγκρῖναι," οἷον συναριθμῆσαι "ἢ συγκρῖναι," οἷον ἀντιπαραθεῖναί τισιν ἑαυτοὺς τῶν ἑαυτοὺς παρατιθεμένων διὰ τῆς κομπώδους ψευδολογίας· ὁρᾷς πῶς αὐτοὺς ἐκωμῴδησεν;

Ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦντες.

Ἐκείνοις μὲν οὖν οὐ τολμῶμεν ἑαυτοὺς συγκρῖναι, μεγάλοις, φησὶ, καὶ ὑπερβαίνουσιν ἡμᾶς, ἀλλὰ ἡμεῖς καθ' ἑαυτοὺς γενόμενοι

ἑαυτοὺς μετροῦμεν, καὶ πρὸς τὰ μέτρα ἡμῶν καὶ λαλοῦμεν καὶ ἐπιστέλλομεν καὶ διαπραττόμεθα.

Καὶ συγκρίνοντες ἑαυτοὺς ἑαυτοῖς, οὐ συνιοῦσιν.

Καὶ ἡμεῖς μὲν, φησὶν, ἑαυτοὺς μετροῦμεν, ἐκεῖνοι δὲ ἑαυτοῖς συγκρίνοντες· οὐ γὰρ ἀξιοῦσι, φησὶ, πρός τινα τῶν ἀνθρώπων συγκριθῆναι, ἀλλ' αὐτοὶ πρὸς ἑαυτοὺς, οὐ συνιοῦσι, φησὶ, τουτέστιν, οὐ νοοῦσιν, οὐδὲ αἰσθάνονται πῶς εἰσὶ καταγέλαστοι τοῖς ὁρῶσιν· οὐ γὰρ λελήθασι, φασὶν, ὅτι μεταξὺ ἀλλήλων ἑαυτοὺς ἐπαίροντες.

13 Ἡμεῖς δὲ οὐχὶ εἰς τὰ ἄμετρα καυχησόμεθα.

"Ἡμεῖς δὲ," φησὶν, "οὐκ εἰς τὰ ἄμετρα καυχησόμεθα," καθάπερ, οὗτοι, καὶ γὰρ ἦν εἰκὸς αὐτοὺς ψευδομένους λέγειν, τὴν οἰκουμένην ἐπετρέψαμεν, πρὸς τὰ πέρατα τῆς γῆς ἀφικόμεθα διδάσκοντες, ταῦτα οὖν "ἄμετρα" καλεῖ, ὑπερβαίνοντα τὴν δύναμιν αὐτῶν καὶ τὸ μέτρον.

Ἀλλὰ κατὰ τὸ μέτρον τοῦ κανόνος οὗ ἐμέρισεν ἡμῖν ὁ Θεός.

Ὥσπερ γὰρ ἀμπελῶνα διαιρῶν ὁ Θεὸς τὴν οἰκουμένην ἡμῖν, φησὶ, τοῖς Ἀποστόλοις ἐμέρισε· "κατὰ οὖν τὸ μέτρον τοῦ κανό-" "νος οὗ ἐμέρισεν ἡμῖν ὁ Θεὸς," καυχησόμεθα καὶ λαλήσομεν, φησί. ποῖον δέ ἐστι τὸ μέτρον σου; τὰ ἄχρις ὑμῶν, φησίν.

Ἐφίκεσθαι ἄχρις καὶ ὑμῶν.

Ἐπεὶ οὖν ἄχρι καὶ ὑμῶν ἐφθάσαμεν, καὶ τοῦτο ἡμῖν τὸ δεδομένον παρὰ Θεοῦ μέτρον, ἄχρι καὶ ὑμῶν καυχώμεθα, ἀπὸ κοινοῦ γὰρ τὸ καυχησόμεθα.

14 Οὐ γὰρ ὡς μὴ ἐφικνούμενοι.

Οὐ γὰρ ἂν εἴποι τις, φησὶν, ὅτι μὴ ἀφικόμενοι, ἤγουν μὴ ἀφικνούμενοι εἰς ὑμᾶς ὑπερεκτείνομεν ἑαυτοὺς, λέγοντες ἐφθακέναι εἰς ὑμᾶς, εἰκῇ τῷ λόγῳ κομπάζοντες· τῷ γὰρ ὄντι ἄχρις ὑμῶν ἐφθάσαμεν· ἐφθάσαμεν δὲ ἐν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ, τουτέστιν, οὐχ ἁπλῶς παραγενόμενοι, ἀλλὰ καταγγέλλοντες ὑμῖν τὸ Εὐαγγέλιον.

Ἐφικνούμενοι.

Μὴ ἰσχύοντες, φησὶ, κἂν ἄχρις ὑμῶν ἐφικέσθαι ἢ φθάσαι.

Ὑπερεκτείνομεν ἑαυτούς.

Οἷον τῷ κόμπῳ τῶν λόγων.

Ἐν τῷ εὐαγγελίῳ—

Εἰκὸς γὰρ ἦν τοὺς ψευδαποστόλους καὶ ἄνευ τοῦ κηρύσσειν παραγινομένους που καὶ ὑπὲρ τούτου καυχᾶσθαι.

15 Οὐκ εἰς τὰ ἄμετρα καυχώμενοι.

Τὰ τὸ μέτρον, φησὶν, ἡμῶν καὶ τὴν δύναμιν ὑπερβαίνοντα ἐν ἀλλοτρίοις κόποις· εἰκὸς γὰρ τοὺς ψευδαποστόλους ἄλλων που κηρυξάντων αὐτοὺς ἐπιδημῆσαι ψιλῶς, καὶ ἑαυτοῖς ἐπιγράφειν τὸ κήρυγμα. Ἡμεῖς δὲ, φησὶν, οὐκ ἐπ' ἀλλοτρίοις κόποις.

Ἐλπίδα δὲ ἔχοντες αὐξανομένης τῆς πίστεως ὑμῶν.

Οὐδὲν ἀποφαίνεται, ἀλλ' ἐλπίζομεν, φησὶν, τῷ Θεῷ.

Αὐξανομένης.

Πρὸς ὃ γὰρ ἡ πίστις ἐπιδίδωσι τῶν μαθητῶν, οἱ διδάσκαλοι εὐδοκιμοῦσιν.

Ἐν ὑμῖν μεγαλυνθῆναι.

Ἐλπίζομεν, φησὶν, ὑμῶν ἐπιδιδόντων πρὸς τὴν πίστιν, ἐν ὑμῖν μεγάλοι δειχθῆναι κατὰ τὸν κανόνα ἡμῶν εἰς περισσείαν, τουτέστιν, ἐν ὑμῖν μεγαλυνθῆναι πλέον ἢ νῦν· τοῦτο γὰρ τὸ "εἰς "περισσείαν κατὰ τὸν κανόνα ἡμῶν," τουτέστι κατὰ τὸ μέτρον ἡμῶν ὃ ἐπιστεύθημεν παρὰ Θεοῦ· καλῶς δὲ κανόνα καὶ μέτρον καλεῖ, ὡς ἐπίκτησιν καὶ κληρονομίαν τῆς οἰκουμένης εἰσελθών.

16 Εἰς τὰ ὑπερέκεινα ἡμῶν εὐαγγελίσασθαι.

Καὶ οὕτως μεγαλυνθῆναι ἐν ὑμῖν, ὥστε καὶ "εἰς τὰ ὑπερ- "έκεινα εὐαγγελίσασθαι" καὶ διδάξαι, ὃ δὴ καὶ ἐποίησεν.

Εἰς τὰ ἕτοιμα καυχήσασθαι.

Καὶ οὐχ ὥσπερ, φησὶν, οἱ ψευδαπόστολοι ἔχομεν καυχήσασθαι ἐν ἀλλοτρίῳ κανόνι καὶ μέρει καὶ ἔνθα ἄλλος ἐκοπίασε· τοῦτο γὰρ τὸ "εἰς τὰ ἕτοιμα," ἔνθα φησὶ, προκαταβέβληται σπέρμα διδασκαλίας.

17 Ὁ δὲ καυχώμενος ἐν Κυρίῳ καυχάσθω.

Ἐκεῖνοι μέν εἰσι κατορθοῦν μέλλοντες, οὐ καυχώμεθα ἐν ἑαυτοῖς, ἀλλ' ἐν τῷ Θεῷ· ὁ γὰρ καυχώμενος, φησὶν, ὀφείλει ἐν Κυρίῳ καυχᾶσθαι, καὶ γὰρ καὶ αὐτὸ ὃ ἐφθάσαμεν μέτρον, ἐκ Θεοῦ ἔχομεν.

18 Οὐ γὰρ ὁ ἑαυτὸν συνιστῶν.

Τίνες δὲ οἱ ἑαυτοὺς συνιστῶντες; οἱ ψευδαπόστολοι δηλονότι· κατὰ τὸ μέτρον γὰρ, φησὶ, τοῦ κανόνος, οὗ ἐμέρισεν ἡμῖν ὁ Θεός· ὁ οὖν μερίσας Θεὸς αὐτὸς καὶ συνίστησιν.

1 Ὄφελον ἀνείχεσθέ μου μικρόν.

Μέλλων ἐμβαίνειν εἰς τοὺς οἰκείους ἐπαίνους, πολλῇ κέχρηται τῇ προδιορθώσει, τὸ φορτικὸν τοῦ δοκεῖν ἐπαινεῖν ἑαυτὸν ἀποφεύγων· εἰς τοῦτο δὲ αὐτὸν ἤγαγεν ἡ τῆς ὑποθέσεως ἀνάγκη καὶ τὸ δεδιέναι μὴ εἰς βλάβην τῶν μαθητῶν γένηται· τὸ αὐτὸ μὲν ἐξευτελίζεσθαι, τοὺς δὲ ψευδαποστόλους δοκεῖν εἶναί τι· εἴθε ἀνείχεσθέ μου, φησὶν, ἀφροσύνης πρᾶγμα καὶ ἔργον ποιοῦντος.

Ἀνείχεσθέ μου μικρόν.

Ἀλλὰ καὶ ἀνείχεσθέ μου· οἶδα γὰρ, φησὶν, ὅτι ἀγαπᾶτέ με, καὶ πάντα μου ἀνέχεσθε.

2 Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ.

Οὐκ εἶπε, φιλῶ, ἀλλ' ὃ μεῖζον ἦν, "ζηλῶ ὑμᾶς," φησὶ, τουτέστι, περικαῶς φιλῶ. εἶτα ἵνα μὴ νομίσωσι διὰ τὰ ἀνθρώπινα, οἷον χρήματα καὶ δόξαν, φιλεῖν αὐτοὺς, ἐπάγει "Θεοῦ "ζήλῳ·" ζηλωτὴς δὲ λέγεται ὁ Θεὸς διὰ τὸ ἄγαν ἡμᾶς ἀγαπᾷν· ζηλοῖ δὲ ἵνα ὠφελήσῃ τοὺς ζηλωτυπουμένους· οὕτω οὖν, φησὶ, καὶ ἐγὼ τοιούτῳ ὑμᾶς ζηλῶ ζήλῳ, ἵνα ὑμᾶς ὠφελήσω.

"Ἡρμοσάμην·" πρὸς τὴν ἐκκλησίαν ἅπας ὁ λόγος αὐτῷ· αὕτη γὰρ μετὰ γάμον παρθένος ἐστι· μνηστείας δὲ ὁ παρὼν καιρὸς, παστάδων δὲ ὁ μέλλων, καθὸ λέγεται, ἀνέστη ὁ νυμφίος· ποῖα δὲ τὰ ἕδνα; ἡ βασιλεία τῶν οὐρανῶν. ταύτης τῆς μνηστείας καὶ ὁ Δαυὶδ προμνήστωρ ἦν λέγων, "ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ "κλῖνον τὸ οὖς σου." καὶ αὐτὸς ὁ Παῦλος νυμφαγωγὸς ὢν ἔλεγεν, "ὑπὲρ Χριστοῦ πρεσβεύομεν," ἵνα τὴν νύμφην λάβῃ, φησί· τούτων τύπος ἦν τὰ περὶ τὸν Ἀβραὰμ, ὃς δοῦλον ἔπεμψε μνηστεύ-

σασθαι τῷ υἱῷ παρθένον ἐθνικήν· καὶ ὁ Θεὸς ἔπεμψε τοὺς προφήτας πάλαι, καὶ τοὺς Ἀποστόλους ὕστερον μνηστεύσασθαι τῷ υἱῷ τὴν ἐξ ἐθνῶν[f] ἐκκλησίαν.

Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρί.

Ἐμνηστευσάμην, φησὶν, ὑμᾶς τῷ Χριστῷ· οὐκοῦν δι' ἐκεῖνον ζηλῶ, οὐ δι' ἐμαυτόν.

3 Φοβοῦμαι δὲ μήπως ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν.

Εἰ γὰρ καὶ ἡ ἀπώλεια ὑμετέρα, ἀλλ' ὁ φόβος κοινός· οὐκ ἀποφαίνεται ὅτι διεφθάρητε, ἵνα μὴ ἀναισχυντοτέρους ποιήσῃ, ἀλλὰ ἀμφιβόλως λέγει, "μή πως," καί τοι ἦσαν διεφθαρμένοι· καὶ γὰρ κακεῖνος τὰ μείζονα ἐπηγγείλατο ὥσπερ οἱ ψευδαπόστολοι· δείκνυσι δὲ γυναικῶδες τὸ ἀπατᾶσθαι.

Ἐν τῇ πανουργίᾳ αὐτοῦ.

Ἀλλ' ὥσπερ τὸ εἶναι πανοῦργον τὸν ὄφιν οὐκ ἔδωκε τῇ γυναικὶ συγγνώμην, οὕτως οὐδὲ ἡ τῶν ψευδαποστόλων ἀπάτη δώσει ὑμῖν.

Οὕτως φθαρῇ τὰ νοήματα ὑμῶν.

"Φθαρῇ," οἷον μετενεχθῇ ἀπὸ τῆς ἁπλότητος τοῦ Χριστοῦ εἰς τὴν δεινότητα τὴν ἔξωθεν. δείκνυσι δὲ ὅτι ἀπλάστου καὶ ἀφελοῦς δεῖται ψυχῆς ἡ πίστις, πάντα πίστει δεχομένης καὶ μηδὲν συλλογιζομένης.

4 Εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει.

Τέως δείκνυσι τοὺς ψευδαποστόλους ἐπεισάκτους καὶ ξένους ὑπάρχειν· ὅρα δὲ οὐκ εἶπε πλέον τι λαλοῦσι, καὶ γὰρ ἦν ἐκείνους εἰκὸς φλυαρεῖν, καὶ ῥημάτων κάλλει γοητεύειν τοὺς ἀκούοντας, ἀλλὰ, φησὶν, ἄλλον Χριστὸν, ἤγουν ὁ ἐρχόμενος πλουσιωτέρους ὑμᾶς ποιεῖν ἐν τοῖς πνευματικοῖς χαρίσμασιν· οὐδέτερον δὲ τούτων χρήζει κομψείας λόγων· ὃ ἔδει κηρυχθῆναι καὶ οὐκ ἐκηρύξαμεν· ὃ ἔδει λαβεῖν ὑμᾶς, καὶ οὐκ ἐλάβετε, ὃ ἔδει δέξασθαι ὑμᾶς, καὶ οὐκ ἐδέξασθε.

Ἢ εὐαγγέλιον ἕτερον ὃ οὐκ ἐδέξασθε.

Οὐδὲ γὰρ οὐδὲ τοῦτο σοφίας δεῖται τῆς ἔξωθεν· σκόπει δὲ πῶς δείκνυσι μηδὲν τελειότερον λέγειν ἐκείνους· ὧν οὐκ ἐκηρύξαμεν,

[f] ἐξελθὼν Cod.

φησὶν, ὧν οὐκ ἐλάβετε, φησὶ, καὶ πάλιν, "ὃ οὐκ ἐδέξασθε," τῷ προσδιορισμῷ δεικνὺς μηδὲν πλέον ἐκείνους διδάσκειν· οὐδὲ γὰρ τοῖς πλείω λαλοῦσιν, ἀλλὰ τοῖς ἀληθῆ προσέχειν δεῖ.

Οὐκ ἐδέξασθε—

Ὃ ἔδει δέξασθαι ὑμᾶς καὶ οὐκ ἐδέξασθε.

Καλῶς ἠνείχεσθε.

Τί λέγεις, ὦ Παῦλε, ὁ Γαλάταις γράφων; "ἐάν τις ὑμᾶς "εὐαγγελίζεται παρὸ παρελάβετε, ἀνάθεμα ἔστω·" τούτοις γράφεις "καλῶς ἠνείχεσθε;" Καὶ μὴν διὰ τοῦτο οὐκ ἔδει ἀνέχεσθαι· εἰ δὲ τὰ αὐτά σοι ἔλεγον, τότε ἀνέχεσθαι ἐχρῆν· ἀλλ' ὅρα, μέγας γὰρ ὁ κίνδυνος τῷ μὴ προσέχοντι, πάσαις γὰρ αἱρέσεσι δίδωσι πάροδον. οὕτως ἐκόμπαζον οἱ ψευδαπόστολοι ὡς ἀτελῶς τοῦ Παύλου διδάσκοντος, καὶ ὅτι αὐτοὶ, φησὶ, πλέον τι καὶ τελειότερον λέγουσι· τῇ γὰρ ἔξω παιδείᾳ χρώμενοι τοῖς ἀληθέσι δόγμασι φλυαρίας ἀνεμίγνυον· διὸ καὶ ἔφθειρον πολλούς· τοῦτο οὖν φησὶ νῦν, εἰ μέν τι τελειότερον λέγουσιν οὗτοι, καὶ ἕτερον ἔδει κηρυχθῆναι Χριστὸν καὶ ἡμεῖς παρελείπομεν, "καλῶς ἠνείχεσθε" διὰ τοῦτο γὰρ λέγει "ὃν ἐκηρύξαμεν·" εἰ δὲ τὰ αὐτὰ ἐστὶ, φησὶ τῆς πίστεως κεφάλαια, καὶ οὐδὲν πλέον ἐροῦσιν ὅσον ἧκεν εἰς τὸ δόγμα, διὰ τί πλέον ἔχουσι παρ' ὑμῖν ἐκεῖνοι; ὅσα γὰρ ἂν φλυαρήσωσι, φησὶν, οὐδὲν πλέον ὧν ἡμεῖς εἴποιεν πλὴν τοῦ κόμπου τῶν λέξεων.

5 Λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι τῶν ὑπὲρ λίαν Ἀποστόλων.

"Λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι τῶν ὑπὲρ λίαν Ἀποστόλων," λοιπὸν τοῖς περὶ Πέτρου συγκρίνει ἑαυτὸν, τοῦτο δεῖξαι θέλων, ὅτι εἰ ἐμοῦ, φησὶ, πλέον ἴσασι, καὶ ἐκείνων εἰς ἄτοπον ἀπαγωγὴν φέρων τὸν λόγον· ὅρα δὲ ταπεινοφροσύνην· λογίζομαι, φησὶν, οἷον ἡγοῦμαι, νομίζω, οὐδὲν ἀποφαντικὸν, καὶ οὐχ ἁπλῶς Ἀποστόλων, ἀλλὰ τῶν ὑπὲρ λίαν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην αἰνιττόμενος· τοῦτο δὲ, φησὶν ἐπειδὴ τούτου νῦν χρεία. ἀλλαχοῦ δέ φησιν, "ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος."

6 Εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ.

Ἐπειδὴ ἐν τούτῳ ἐνεκαλλωπίζοντο οἱ ψευδαπόστολοι εἰς τὸ μὴ

εἶναι ἰδιῶται, δείκνυσιν ὅτι οὐ φεύγει τὴν ἰδιωτείαν, ἀλλὰ καὶ σεμνύνεται ἐπ' αὐτῇ· διὸ καὶ τίθησιν αὐτό. καὶ ἀλλαχοῦ δὲ τοῦτο ποιεῖ, ἔνθα δείκνυσι τὸ εἶναι σοφὸν πρὸς βλάβην ὂν τοῦ κηρύγματος "ἦλθον γάρ," φησὶν, "οὐ καθ' ὑπεροχὴν λόγου σοφίας ἵνα "μὴ κενωθῇ ὁ σταυρός."

Ἀλλ' οὐ τῇ γνώσει.

Τοὺς ψευδαποστόλους αἰνίττεται κατὰ τὴν τοῦ Θεοῦ γνῶσιν ἰδιώτας ὄντας, ὅπερ ἐστὶν ὀλέθριον.

Ἀλλ' ἐν παντὶ φανερωθέντες ἐν πᾶσιν εἰς ὑμᾶς.

Αἰνίττεται τοὺς ψευδαποστόλους δολερούς τινας καὶ συνεσκιασμένους καὶ προσωπεῖον εὐλαβείας περικειμένους· ἡμεῖς δὲ οὐχ οὕτως, φησὶν, ἐν παντὶ γὰρ πράγματι καὶ ἐν πᾶσιν οἷς ποιοῦμεν, φανεροί ἐσμεν εἰς ὑμᾶς ἐν οὐδεμιᾷ διπλόῃ ἢ ὑποκρίσει, φησίν.

7 Ἢ ἁμαρτίαν ἐποίησα.

Πληκτικῶς τῷ λόγῳ κέχρηται· ἀπερριμμένον, φησὶν, ἡγεῖσθέ με εὐτελῆ μᾶλλον, ἁμαρτίαν εἰ ἐποίησα ἐμαυτὸν λιμῷ ταπεινώσας καὶ μηδὲν λαβὼν παρ' ὑμῶν· τοῦτο, φησὶν, ἐποίησα, ἵνα ὑμεῖς εἰς τὰ κατὰ Θεὸν ὑψωθῆτε· ὁρῶντες γὰρ μηδὲν λαμβάνοντα οἰκοδομεῖσθε, εἰ δὲ ἐλάμβανον ἐσκανδαλίσθητε ἄν.

8 Ἄλλας ἐκκλησίας ἐσύλησα.

Καί τοι ἠδύνατο εἰπεῖν ὅτι ἐκ τῶν χειρῶν μου ἤσθιον, ἀλλὰ πληκτικώτερον τὸν λόγον ποιῶν, φησὶ, παρ' ἄλλων ἔλαβον ὑμῖν διακονούμενος εἰς τὸ κήρυγμα· τὸ δὲ "ἐσύλησα" οἷον ἐσκύλευσα, ἐγύμνωσα· οὐ γὰρ τὸ λάθρα λαβεῖν λέγει, ἄπαγε· τὸ δὲ "ὀψώ-"νιον" δηλοῖ αὐτὰ τὰ ἀναγκαῖα δαπανήματα· μεγάλη δὲ ἐκείνων κατηγορία, οὐδὲ ταῦτα αὐτῷ παρεῖχον, καὶ τὸ χεῖρον, ὅτι πρὸς τὴν ὑμῶν, φησὶ, διακονίαν, ὑμῖν γὰρ κηρύσσων παρ' ἄλλων ἐτρεφόμην.

Παρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθείς.

Τριπλοῦν τὸ ἔγκλημα, ὅτι καὶ παρ' αὐτοῖς ἦν καὶ ἐκήρυσσε, καὶ τῆς ἀναγκαίας ἔχρηζε τροφῆς· οὐ μόνον γὰρ ἑτέρωθι ἐπέμψατέ μοι, φησὶν, ὅπερ Μακεδόνες ἐποίησαν, ἀλλ' οὐδὲ παρόντα ἐτρέφετε.

Οὐ κατενάρκησα οὐδενός.

"Οὐ κατενάρκησα," οἷον, οὐκ ἠτόνησα οὐδὲ ἐξέλυσα τὴν ὑπομονήν· ταύτῃ γὰρ κουφότερον αὐτοῖς ποιεῖ τὸ ἔγκλημα, ὅτι ἐγὼ, φησὶν, οὐκ ᾔτησα.

Οἰκουμενίου. Καὶ οὕτως, καὶ ταῦτα, φησὶν, "ὑστερηθεὶς "οὐ κατενάρκησα" οὐδὲ ἠμέλησα ἢ ῥᾳθυμότερον πρὸς τὸ κήρυγμα γέγονα, ἀλλὰ παρ' ἐμοῦ μὲν ὅσα ἐχρῆν ἐγένετο πρὸς τὴν ὑμῶν σωτηρίαν, ἐγὼ δὲ ἐν ἐνδείᾳ διέτριβον.

9 Τὸ γὰρ ὑστέρημά μου προσανεπλήρωσαν.

Ἐκ τοῦ εἰπεῖν ὑστέρημα, δείκνυσι μηδὲν ὑπὲρ τὴν ἀναγκαίαν λαβὼν χρείαν. ἔπεμψαν δὲ αὐτῷ οἱ Φιλιππήσιοι, διὰ τοῦτο δὲ καὶ τοὔνομα τέθεικε, εἰς ζηλοτυπίαν αὐτοὺς ἐλεημοσύνης ἄγων.

Καὶ ἐν παντὶ ἀβαρῆ ὑμῖν ἐμαυτὸν ἐτήρησα.

Δείκνυσιν ὅτι καὶ βάρος ἡγεῖτο τὰς τροφὰς αὐτῷ χορηγοῦντες, καλῶς δὲ τὸ τηρήσω. Μὴ γὰρ νομίσητε, φησὶ, ταῦτά με εἰρηκέναι, ἵνα τοῦ λοιποῦ λάβω παρ' ὑμῖν· οὐ μόνον γὰρ ἐτήρησα, ἀλλὰ καὶ τηρήσω.

10 Ἔστιν ἀλήθεια Χριστοῦ ἐν ἐμοί.

Εἶτα ἵνα μὴ νομίσωσι ταῦτα εἰρηκέναι αὐτὸν, ἵνα αὐτοὺς ἐπισπάσηται πρὸς τὸ δοῦναι, φησὶ, "ἔστιν ἀλήθεια Χριστοῦ ἐν ἐμοὶ," τουτέστιν, ἀληθεύων λέγω, ὅτι ἡ καύχησις αὕτη ἡ τοῦ μὴ λαβεῖν δηλαδή. καύχησιν δὲ ταύτην καλεῖ, ἵνα μὴ νομίσωσιν ὀργίζεσθαι αὐτὸν ἐφ' οἷς ἔλαβεν. "οὐ φραγήσεται," τουτέστιν οὐκ ἐκκοπήσεται οὐδὲ διαλείψει. πῶς δ' ἂν οὐ διαλείψει; εἰ καὶ τοῦ λοιποῦ μὴ λάβῃ ἐν ὅλῃ τῇ Ἀχαΐᾳ, τουτέστιν ἐν ὅλῃ ὑμῶν τῇ ἐπαρχίᾳ, ἢ ὅτι ἡ καύχησις ἡ προσγενομένη μοι ἐν τῷ κλίματι τῆς Ἀχαΐας, ὅτι δωρεὰν ἐκήρυξα, οὐ φραγήσεται· σφόδρα δὲ αὐτῶν ὡς ἀσθενῶν κατεγίνωσκε παρ' αὐτοῖς μὴ λαβών. Εἰ γὰρ ἐπὶ τοῦτο ἐκαυχᾶτο, οὐδαμοῦ λαβεῖν ἔδει, εἰ δὲ ἀλλαχοῦ γράφει ὡς παρὰ εὐσκανδαλίστων τούτων οὐκ εἴληφε.

11 Διὰ τί; ὅτι οὐκ ἀγαπῶ ὑμᾶς;

Τί οὖν; μισεῖς ἡμᾶς; διὰ τοῦτο οὐδὲν αἱρεῖ λαβεῖν παρ' ἡμῶν; ὁ Θεὸς οἶδε, φησὶν, ὅτι οὐ διὰ τοῦτο λαβεῖν παραιτοῦμαι.

12 *Ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμήν.*

Λέγει τὴν αἰτίαν δι' ἣν οὐ λαμβάνει· ἐπετήρουν οἱ ψευδαπόστολοι ἵνα εἰ εὕρωσιν αὐτὸν εἰληφότα, ἀφορμὴν λοιδορίας τὸ πρᾶγμα ποιήσωνται. Ἐκείνων οὖν τὴν ἀφορμὴν βουλόμενος ἐκκόψαι, φησί.

Ἵνα ἐν ᾧ καυχῶνται.

Τάχα καὶ μὴ λαβεῖν ὑπεκρίνοντο· διὰ τοῦτο οὐκ εἶπεν, ἐν ᾧ ποιοῦσιν, ἀλλ' ἐν ᾧ καυχῶνται.

Εὑρεθῶσι καθὼς καὶ ἡμεῖς.

Εἶτα καὶ πλούσιοι ὄντες οἱ ψευδαπόστολοι οὐδὲν ἐλάμβανον, καὶ ἐπὶ τοῦτο ἐκαυχῶντο. Ἵνα οὖν ἐν ᾧ καυχῶνται, ἐν τῷ μὴ λαβεῖν, φησὶ, εὑρεθῶσιν ὅμοιοι ἡμῶν, καὶ μὴ πλέον ἡμῶν ἔχωσιν· ἄτοπον γὰρ εἰς τὰ ἄλλα ἐλαττομένους ὧδε τὸ πλέον ἔχειν.

13 *Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι.*

Τί λέγεις; οἱ τὸν Χριστὸν κηρύσσοντες καὶ τὸ εὐαγγέλιον, οὕτω γὰρ ἄνω περὶ αὐτῶν εἴρηκας, ψευδαπόστολοί εἰσι; ναὶ, φησὶ, ταῦτα γὰρ ὑποκρινόμενοι ἐν τῷ φανερῷ, λάθρα ἀνόσια παρεισφέρουσι δόγματα.

Μετασχηματιζόμενοι εἰς Ἀποστόλους Χριστοῦ.

Ἐργάζονται γὰρ, ἀλλ' ἀνασπῶσι τὰ καλῶς πεφυτευμένα· τὸ γὰρ προσωπεῖον ὑπεισιόντες τῆς ἀληθείας, οὕτως τὴν βλάβην ἐργάζονται, καὶ σχῆμα περικείμενοι Ἀποστόλων, καὶ δορὰν προβάτου ἠμφιεσμένοι, λύκοι εἰσὶ τὰ ἔνδον.

14 *Αὐτὸς γὰρ ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός.*

Οἷον ὁ διδάσκαλος αὐτῶν μετασχηματίζεται, διὸ καὶ πολλοὺς πλανᾷ· καὶ ὢν ἄγγελος σκότους, εἰς ἄγγελον ὁρᾶται φωτὸς, πλανῶν τὰς ὄψεις.

15 *Οὐ μέγα οὖν εἰ καὶ οἱ διάκονοι αὐτοῦ.*

Εἰ γὰρ δεῖ θαυμάζειν, ἐκεῖνό ἐστι ἄξιον θαύματος, πῶς ὁ διδάσκαλος εἰς τοῦτο τόλμης ἔρχεται.

Ὡς διάκονοι δικαιοσύνης.

Διάκονοι δικαιοσύνης εἰσὶν οἱ ἅγιοι Ἀπόστολοι, διακονοῦσι γὰρ τῷ Θεῷ ἐν τῷ δικαιοῦν δυναμένῳ Εὐαγγελίῳ.

Ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν.

Κἂν γὰρ ὑμᾶς, φησὶν, ἀπατῶσιν, οὐκ ἂν διαλάθωσι τὸν ἀκοίμητον ὀφθαλμὸν τοῦ Χριστοῦ.

16 *Πάλιν λέγω μή τις με δόξῃ ἄφρονα εἶναι.*

Ἤδη μὲν γὰρ πολλῇ διορθώσει ἐχρήσατο, ἀλλ' οὐκ ἀρκεῖται ἐκείνῃ μόνῃ.

Καί τοι ἄνω εἶπεν "ὤφελον ἀνείχεσθέ μου τῆς ἀφροσύνης," πῶς οὖν ὧδε, φησὶ, "μή τίς με δόξῃ ἄφρονα εἶναι;" ὅτι αὐτὸ μὲν, φησι, τὸ ἐπαινεῖν ἑαυτὸν ἀφροσύνης ἐστί· ἐγὼ δὲ οὐχ ὡς ἄφρων κέχρημαι τούτοις τοῖς λόγοις, ἀλλ' ἀναγκάζομαι πρὸς τὸ τῶν ψευδαποστόλων ἀπαγαγεῖν ὑμᾶς· διό φησι, "μή τίς με δόξῃ "ἄφρονα εἶναι," οὐ γὰρ ἑκὼν, ἀλλ' ἐξ ἀνάγκης εἰς τοὺς ἐμαυτοῦ ἐπαίνους ἐμπίπτω.

Εἰ δὲ μή γε, κἂν ὡς ἄφρονα δέξασθέ με.

Εἰ δὲ μὴ πεισθείητε, ἀλλὰ καὶ ἀνάγκην οὖσαν ὁρῶντες, μὴ ἐλευθερόν με ἀφροσύνης νομίσητε, ὡς γοῦν ἄφρονος ἀνάσχεσθε λέγοντος ὃ λέγω, ἵνα κἀγὼ καυχήσωμαι, καθάπερ, φησὶν, οἱ ψευδαπόστολοι. Ἐκεῖνοι γὰρ εἰς ὑμετέραν βλάβην καυχώμενοι, εἰς τούτους με προάγουσι τοὺς λόγους.

17 *Ὃ λαλῶ, οὐ λαλῶ κατὰ Κύριον.*

Τὸ γὰρ καυχᾶσθαι οὐ κατὰ Κύριον· τὰ ῥήματα τοιγαροῦν "οὐ "κατὰ Κύριον," ὁ δὲ τῶν ῥημάτων σκοπὸς καὶ σφόδρα κατὰ Κύριον.

Ἀλλ' ὡς ἐν ἀφροσύνῃ.

Εἶτα ἵνα μὴ τῷ τὸν αὐτὸν ὁμολογεῖν ὅτι οὐ κατὰ Κύριον λαλεῖ, καὶ ὅτι ἐν ἀφροσύνῃ λαλεῖ, πρόφασιν ἐκείνοις πλείονος δῷ λοιδορίας· πρῶτον μὲν οὐ λέγει, ἐν ἀφροσύνῃ, ἀλλ' "ὡς ἐν ἀφροσύνῃ." Ἔπειτα, φησὶν, "ἐν ταύτῃ τῇ ὑποτάσει τῆς καυχήσεως," τουτέστι κατὰ τοῦτο τὸ μέρος τῆς καυχήσεως οὐ λαλῶ κατὰ Κύριον· ποῖον; ὅτι μέλλει καυχᾶσθαι Ἑβραῖός εἰμι καὶ Ἰσραηλίτης καὶ

σπέρμα Ἀβραὰμ, τὰ δὲ τοιαῦτα οὐκ ἀνῆκεν εἰς καύχημα Κυρίου, ὅθεν καὶ κατὰ σάρκα ταῦτα καλεῖ· ἡ γὰρ εἰς Χριστὸν καύχησις πρᾳότης ἐστὶ καὶ ἐγκράτεια καὶ ἁγιασμός. ὅτι γὰρ τὸ Ἑβραῖος εἶναι καὶ Ἰσραηλίτης οὐ κατὰ Κύριον ἐστὶ, ἄκουε αὐτοῦ λέγοντος, "οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην, καὶ ἐν Χριστῷ Ἰησοῦ πάντες ἕν "ἐστε."

18 Κατὰ τὴν σάρκα—

Ἀπὸ τῶν ἔξωθεν, φησὶν, οἷον; ἀπὸ εὐγενείας, ἀπὸ τοῦ περιτομὴν ἔχειν, καὶ Ἑβραῖος εἶναι.

19 Ἡδέως γὰρ ἀνέχεσθε.

Ὥστε ὑμεῖς αἴτιοι ἀνεχόμενοι αὐτῶν.

Τῶν ἀφρόνων—

Εἰ γὰρ τὸ ἐπὶ τοῖς ὄντως καλοῖς καυχᾶσθαι ἄφρον ἐστὶ, πολλῷ μᾶλλον τὸ ἐπὶ τοῖς μὴ οὖσι· τοὺς ψευδαποστόλους δὲ αἰνίττεται, καὶ τὸ βαρὺ, φησὶν, ὅτι καὶ φρόνιμοι ὄντες ἀνέχεσθε αὐτῶν. Εἰ μὲν γὰρ ἦτε ἀνόητοι, κἂν συγγνώμην ἔχετε· νῦν δὲ ἐν εἰδήσει πταίετε.

20 Ἀνέχεσθε γὰρ εἴ τις ὑμᾶς καταδουλοῖ.

Ὅρα πόσην δουλοπρέπειαν καταγινώσκει, καὶ ὡς μεθ᾽ ὑπερβολῆς ὑπεκλίνοντο τοῖς ψευδαποστόλοις.

Εἴτις κατεσθίει.

Ὁρᾷς ὅτι καὶ τὸ ἔμπροσθεν εἰρημένον, τὸ ἵνα ἐν ᾧ καυχῶνται εὑρεθῶσιν ὡς κἀγὼ, κατὰ συγχώρησιν εἴρηται, καὶ ὥστε μὴ ἐκ προοιμίων ἐλέγξαι αὐτούς· νῦν γὰρ δείκνυσιν αὐτοὺς ὑποκρινομένους τὸ μὴ λαμβάνειν, λαμβάνοντας δὲ, "εἴ τις γὰρ λαμβάνει," φησὶ, καὶ τὸ μεῖζον "εἴ τις κατεσθίει·" τοῦτο γὰρ δηλοῖ καὶ ἐκπιεζομένους αὐτοὺς ὑπὸ τῶν ψευδαποστόλων. "εἴτις ἐπαίρεται," οὐ σύμμετρος, φησὶν, ὑμῶν ἡ δουλεία, οὐδὲ ἥμεροι οἱ δεσπόται, ἀλλὰ φορτικοί τινες καὶ κατεξανιστάμενοι ὑμῶν, "εἴ τις ὑμᾶς εἰς "πρόσωπον δέρει." εἶδες ἐπίτασιν ἀπονοίας αὐτῶν καὶ τυραννίδος, καὶ ὅτι ὡς ἀνδραπόδοις αὐτοῖς ἐκέχρηντο.

21 Κατὰ ἀτιμίαν λέγω.

Οὐχ ὅτι τύπτεσθε, φησὶν, ἀλλ᾽ ὅτι τῶν εἰς προσώπου τυπτο-

μένων οὐκ ἔλαττον πάσχετε, ὡσεὶ ἔλεγε πρὸς ὕβριν ὑμῖν λέγω τοῦτο· τί τοιγαροῦν τούτου γένοιτ' ἂν αἰσχρότερον; ὅταν καὶ τὰ χρήματα ὑμῶν καὶ τὴν ἐλευθερίαν καὶ τὴν τιμὴν ἀφελόμενοι, ἀλλ' ὑβριστικώτερον ἀργυρωνήτων ὑμῶν κεχρημένοι. Διό φησι, "κατὰ ἀτιμίαν λέγω."

Ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν.

Τίνος ἕνεκεν, φησὶν, αὐτῶν ἀνείχεσθε εἰς ταῦτα; ὡς ἡμῶν ἀσθενούντων ἢ μὴ δυναμένων οὕτως ὑμῖν ἀποκεχρῆσθαι; πληκτικὸν δὲ σφόδρα τὸ εἰρημένον, διὸ καὶ ἀσαφῶς αὐτὸ τέθεικε. Εἰ γὰρ, φησὶ, διὰ τοῦτο αὐτοὺς τιμᾶτε, διότι ὑβρίζουσιν ὑμᾶς ἐπαιρόμενοι, καὶ μόνον οὐκ εἰς πρόσωπον δέροντες δυνάμεθα καὶ ἡμεῖς ταῦτα ποιεῖν. ὡς ἡμῶν γὰρ πρὸς ταῦτα ἀτονησάντων, ἐκείνοις ὑποκέκλισθε. Ὁρᾷς πόσης ἐπιπλήξεως γέμει τὸ εἰρημένον, πᾶσαν δὲ τῆς ἐκείνων ἀπονοίας τὴν αἰτίαν τούτοις ἐπικλᾷ· διὰ οὖν ταῦτα καυχᾶσθαι, φησὶν, ἀναγκάζομαι, ἵνα ὑμᾶς τῆς τούτων ἀλαζονείας ἀπαλλάξω, οὐχ ἵνα ἐμαυτὸν λαμπρύνω.

Ἐν ᾧ δ' ἄν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, ἐγὼ τολμῶ.

Ὅρα πάλιν αὐτὸν ταῖς τοσαύταις μὴ ἀρκεσθέντα προδιορθώσεσιν, ἀλλὰ νῦν τολμᾷν καὶ ἀφροσύνην καλοῦντα τὸ πρᾶγμα, καὶ μονονουχὶ λέγοντα, βίᾳ ἐπὶ τοῦτο ἔρχομαι· ταῦτα δὲ ποιεῖ παιδεύων ἡμᾶς ἀνάγκης χωρὶς μὴ ἔρχεσθαι εἰς τοιούτους λόγους, ἐν ᾧ δ' ἄν τις τολμᾷ πράγματι καυχᾶσθαι, ταῦτα γὰρ συνυπακουστέον.

22 Ἑβραῖοί εἰσι—

Οὐ γὰρ πάντες οἱ Ἑβραῖοι ἦσαν καὶ Ἰσραηλῖται· ἦσαν γὰρ καὶ Μωαβῖται καὶ Ἀμμανῖται, διὸ ἐκαθάρισεν αὐτοῦ τὴν εὐγένειαν· κατὰ ἐρώτησιν καὶ ἀναγνωστέον. τὸ δὲ "διάκονοι Χριστοῦ "εἰσι," κατὰ τὸν αὐτὸν λόγον τοῦτο λέγων, "ὑπὲρ ἐγώ·" τουτέστι, μᾶλλον ἐγώ. Καὶ πάλιν ἀφροσύνην καλεῖ τὸ πρᾶγμα. Φασὶ δέ τινες μὴ δεῖν αὐτὸν κατὰ σύγκρισιν προενεγκεῖν τὸν λόγον, ἀλλὰ παντάπασιν αὐτοὺς ἀρνήσασθαι εἶναι διακόνους Χριστοῦ. ἀλλ' ἐροῦμεν ὅτι τοῦτο ὡς μὴ ἀρεσθὲν ἐποίησεν εἰπὼν ψευδαπόστολοι· ἐνταῦθα μέν τοι εἰς ἐξέτασιν ὁ λογος ἤρχετο, καὶ οὐκ

3 I 2

ἔδει αὐτὸν προαποφήνασθαι, ἀλλὰ τὴν διὰ τῶν ἔργων παρασχεῖν ἀπόδειξιν, ὅτι αὐτὸς μέν ἐστιν, ἐκεῖνοι δὲ οὔ.

23 Ἐν κόποις περισσοτέρως.

Εἶτα λέγει λοιπὸν τὸν χαρακτῆρα τῆς ἀποστολῆς· τὸ δὲ περισσοτέρως καὶ ὑπερβαλλόντως οὐ κατὰ σύγκρισιν τῶν ψευδαποστόλων εἴρηται, ἀλλὰ περιουσίας ἐστὶ σημαντικά.

Ἐν θανάτοις πολλάκις.

Καθ' ἡμέραν γάρ, φησίν, ἀποθνήσκω, ἐπεδίδου γὰρ ἑαυτὸν εἰς κινδύνους θανατηφόρους.

24 Ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον.

Διὰ τί παρὰ μίαν; νόμος ἦν τὸν πλείονα τῶν τεσσαράκοντα τυπτόμενον ἄτιμον εἶναι· ὥρισαν οὖν παρὰ μίαν διδόναι, ἵνα κἂν τῇ ῥύμῃ τοῦ τύπτειν ἐξενεχθεὶς ὁ τύπτων περισσὴν δῷ, τεσσαράκοντα δῷ, καὶ μὴ γένηται ἄτιμος ὁ τυπτόμενος.

25 Τρὶς ἐρραβδίσθην—

Ὁρᾷς ὅτι οὐ πάντα ἃ πέπονθεν ὁ Παῦλος συνέγραψεν ὁ Λουκᾶς ἐν ταῖς Πράξεσιν; πολλὰ γοῦν τῶν ἐνταῦθα εἰρημένων παρέλιπεν. οὐ γὰρ πρὸς φιλοτιμίαν αὐτῷ τὰ τῆς συγγραφῆς πεπόνηται.

Τρὶς ἐναυάγησα—

Μακρὰς γὰρ καὶ διαποντίους στελλόμενος ὁδοὺς διὰ τὸ κήρυγμα, πάντα ἔπασχε τὰ εἰρημένα, νυχθήμερον δὲ νηχόμενος διεγένετο μετὰ ναυάγιον.

26 Κινδύνοις ποταμῶν.

Καὶ γὰρ διαπορθμεύειν ποταμοὺς ἠναγκάζετο.

Κινδύνοις λῃστῶν—

Πανταχοῦ τὰ ἆθλα προσέκειτο· πανταχοῦ γὰρ ὁ διάβολος ἐπολέμει, λῃστὰς ἐγείρων, τὰ ἔθνη τῶν Ἑλλήνων, τοὺς συγγενεῖς Ἰουδαίους, οἳ καὶ μᾶλλον ἐπολέμουν διὰ τὴν πίστιν διαπονούμενοι· καὶ τόπος οὐκ ἦν ἀσφαλὴς αὐτῷ, οὐ πόλις, οὐκ ἔρημος, οὐκ ἄλλο οὐδέν.

Ἰωάννης Χρυσόστομος. Ἀσαφὲς τὸ εἰρημένον· ἐπειδὴ γὰρ φορτικὸν ἦν, διὰ τοῦτο οὕτως αὐτὸ τέθεικεν, ἵνα κλέψῃ τὴν

ἐπάχθειαν τῇ ἀσαφείᾳ· ὃ γὰρ λέγει τοῦτό ἐστι, μὴ γὰρ οὐ δυνάμεθα καὶ ἡμεῖς τὰ αὐτὰ ποεῖν; τίνος ἕνεκεν αὐτῶν ἀντέχεσθε ὡς ἡμῶν μὴ δυναμένων ταῦτα ποιεῖν;

Ἐν ψευδαδέλφοις—

Ὅρα ἑτέρων κινδύνων εἶδος, τὸ ἐκ τῶν ψευδωνύμων καὶ ὑποκριτῶν ἀδελφῶν. ὅρα δὲ τοὺς κινδύνους κόποι καὶ μόχθοι, τούτους πάλιν οἱ κίνδυνοι διεδέχοντο, καὶ οὐκ ἦν ἀναπνεῖν.

27 Ἐν λιμῷ καὶ δίψει.

Πανταχοῦ τῆς οἰκουμένης καὶ τῆς ἀοικήτου ἀγῶνες ἦσαν καὶ στάδια, ἐν γῇ, ἐν θαλάσσῃ, ἔσωθεν, ἔξωθεν, παρὰ τῶν οἰκείων, παρὰ τῶν ἀλλοτρίων, παρὰ τῶν συγγενῶν, παρὰ τῶν ἐπιπλάστων ἀδελφῶν, καὶ οὐδὲ τῆς ἀναγκαίας ηὐπόρει τροφῆς, οὐδὲ ψιλοῦ σκεπάσματος ὁ τῆς οἰκουμένης διδάσκαλος, ἀλλὰ γυμνὸς ἠγωνίζετο, καὶ λιμώττων ἐπύκτευε, καὶ οὐ μόνον οὐκ ἐδυσχέραινεν, ἀλλὰ καὶ χάριν ὡμολόγει τῷ ἀγωνοθέτῃ Χριστῷ. Ὅρα δὲ, εἰπὼν, ὅσα πέπονθεν, οὐ λέγει ὅσους ἐπέτρεψε, καὶ Χριστῷ προσήνεγκεν, ὁμοῦ μὲν μετριάζων, ὁμοῦ δὲ καὶ διδάσκων, ὅτι κἂν μηδὲν γένηται πλέον τῷ πονουμένῳ, καὶ οὕτως τὰ τῶν μισθῶν ἐστι πεπληρωμένα.

28 Χωρὶς τῶν παρεκτός.

Πλείονα γὰρ ἦν τὰ παραλειφθέντα τῶν ἀπαριθμηθέντων, μᾶλλον δὲ οὐδὲ αὐτὰ τὰ ῥηθέντα κατ᾽ εἶδος εἶπεν, ἀλλ᾽ ὧν μὲν εὔληπτος ἦν ὁ ἀριθμὸς, εἶπε, πεντάκις λέγων, τρὶς καὶ τρὶς καὶ ἅπαξ· ὧν δὲ ἦν ἄπειρος ὁ ἀριθμὸς, σιωπᾷ καί φησι, περισσοτέρως καὶ ὑπερβαλλόντως καὶ πολλάκις, ἐπισυστάσεις δὲ, φησὶ, τὰς κοινῇ παρὰ τῶν διωγμῶν ἐφόδους, συνίσταντο γὰρ, φησὶ, κατ᾽ ἐμ οὔ γνώμῃ κοινῇ.

Ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν.

Τοῦτο κεφάλαιον ἁπάντων, εἰ γὰρ μιᾶς τις προστατῶν οἰκίας οὐδὲ ἀναπνεῖν ἰσχύει, τί πάσχειν εἰκὸς ἦν τὸν Ἀπόστολον μετὰ τοσούτων κινδύνων πάσης προνοοῦντα τῆς οἰκουμένης;

29 Τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ;

Καὶ ἵνα μή τις εἴπῃ ὅτι ἐμερίμνα μὲν, οὐ πάνυ οὖν λέγει τῆς

μερίμνης τὴν ἐπίτασιν· τίς ἀσθενεῖ; φησὶν, οἵαν βούλει ἀσθένειαν πνευματικήν τε καὶ σαρκικήν; καὶ οὐκ ἐγὼ ἀσθενῶ. Οὐκ εἶπε, κοινωνῶ τῆς ἀσθενείας, ἀλλ' ὡς αὐτὸς ὢν ὁ ἀσθενῶν, οὕτω διάκειμαι, τὸ δὲ "τίς," κᾂν μέγας, φησὶ, κᾂν εὐτελής.

Τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι.

Ὅρα πάλιν πῶς παρέστησε τὴν ὑπερβολὴν τῆς ὀδύνης· ἐμπίπλαμαι, φησὶ, καὶ καίομαι, ὁ τὰ μὲν ἄλλα πάσχων, καὶ ἥδετο εἰδὼς ὑπὲρ Χριστοῦ πάσχειν· ὧδε δὲ διετιτρώσκετο τὴν ψυχὴν, ὥστε τοῦτο πλεῖον ἠνίου.

30 Τὰ τῆς ἀσθενείας μου καυχήσομαι.

Οὐδαμοῦ περὶ σημείων λέγει, ἐκεῖνα γὰρ Θεοῦ δῶρον ἦν, ταῦτα δὲ μετὰ τῆς τοῦ Θεοῦ ῥοπῆς καὶ τὴν ἀπ' αὐτοῦ ὑπομονὴν ἐδείκνυ· ἀσθένειαν δὲ καλεῖ τοὺς διωγμοὺς καὶ τοὺς πειρασμούς· ταῦτα γὰρ ἀσθένεια τῆς ἀνθρωπίνης φύσεως, τὸ λιμώττειν, τὸ ναυαγεῖν, τὸ πλήττεσθαι. ἢ ἀσθένειαν καλεῖ τὴν διὰ τὴν ἀσθένειαν τῶν ἀνθρώπων γιγνομένην αὐτῷ θλίψιν· σκανδαλιζόμενοι γὰρ καὶ ἀσθενοῦντες ἔθλιβον αὐτόν. οὕτως ὁ ἀποστολικὸς χαρακτὴρ, διὰ τούτων ὑφαίνεται τὸ εὐαγγέλιον.

32 Ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως.

Θέα τὸν πόλεμον, ὅσον δι' αὐτοῦ ὁ ἄρχων ἐφρούρει τὴν πόλιν. εἰ δὲ μὴ πολὺς ἔπνει κατὰ τῶν ἀντιδιατιθεμένων ὁ Παῦλος, οὐκ ἂν εἰς τοσαύτην ἀνῆψε τὸν ἐνθάρχην μανίαν, ὡς καὶ τὴν πόλιν φρουρεῖν δι' αὐτόν.

Τοῦ βασιλέως.

Πενθερὸς ἦν Ἡρώδου ὁ Ἀρέτας.

33 Καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην.

Ἤιδει γὰρ εἰρημένον "εὔχεσθαι μὴ ἐμπεσεῖν εἰς πειρασμοὺς," ὅθεν οὐκ ἐπιρρίπτει ἑαυτὸν τοῖς πειρασμοῖς, ἀλλ' ἔνθα καὶ ἀνθρωπίνης μηχανῆς ἔνι φυγεῖν οὐ παραιτεῖται· ἐφύλαττε γὰρ ἑαυτὸν τῷ κηρύγματι καὶ τῆς σωτηρίας ἐκήδετο τῶν μαθητῶν μᾶλλον ἢ τῆς οἰκείας· διὸ καὶ ἀλλαχοῦ φησι, "καλόν μοι τὸ ἀναλύσαι "καὶ σὺν Χριστῷ εἶναι, τὸ δὲ ἐπιμένειν τῇ σαρκὶ ἀναγκαιότερον "δι' ὑμᾶς."

1 Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι.

Καίτοι πολλὰ εἰπὼν ἄνω, πῶς ὧδε, φησὶν, "οὐ συμφέρει μοι;" ἐπειδὴ εἰς ἕτερον εἶδος καυχήσεως ἤρχετο, ὅπερ αὐτὸν ἐποίει λαμπρὸν, τὸ τῶν ἀποκαλύψεων, φησὶν, οὐ συμφέρει μοι τοῦτο, ἵνα μή με εἰς ἀπόνοιαν ἄρῃ· ἄλλως γὰρ παρ' αὐτῶν μὲν ὄντα, εἰς ἑτέρους δὲ ἐκφερόμενον φυσᾷν εἴωθεν· οὐχ ὅτι αὐτὸς τοῦτο πάσχειν ἔμελλεν, ἄπαγε, ἀλλὰ παιδαγωγῶν ἡμᾶς, παρ' ἑαυτοῖς τὰ τοιαῦτα ἔχειν, ὡς τῆς διηγήσεως εἰς ἀπόνοιαν ἆραι δυναμένης.

Ἢ ἵνα μή τις μείζονα τῆς ἀξίας ἔννοιαν λάβῃ περὶ ἐμοῦ, ὅπερ παρακατιὼν φησὶ, "μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με "ἢ ἀκούει τι ἐξ ἐμοῦ."

Ἐλεύσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου.

Μεγάλη μὲν καὶ ἣν εἶπε, πλὴν τὸ πολλὰς εἰπεῖν ἔχων, μίαν ταύτην εἴρηκεν· ὅτι γὰρ εἶχε πολλὰς εἰπεῖν, παρακατίων φησὶ, "καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων." διὰ τοῦτο δὲ αἰνιγματωδῶς αὐτὴν τέθεικεν, ἵνα δείξῃ ὅτι ἄκων λέγει.

2 Οἶδα ἄνθρωπον ἐν Χριστῷ.

Τὸ "ἐν Χριστῷ," προσέθηκε, ἵνα μὴ εἴποιεν οἱ ψευδαπόστολοι, οὐδὲν γὰρ ἦν αὐτοῖς ἀτόλμητον, διὰ δαιμόνων ἐπῆρθαι ὡς τὸν Σίμωνα.

Πρὸ ἐτῶν δεκατεσσάρων εἴτε ἐν σώματι.

Οὐκ ἀκαίρως ὁ χρόνος πρόσκειται, ἀλλὰ δυοῖν ἕνεκεν, τοῦ τε δεῖξαι ὡς ὁ σιγήσας δέκα τέσσαρα ἔτη οὐδὲ νῦν ἂν εἶπε μὴ σφόδρα βιασθείς· ἐπειδὴ γὰρ μέγα τι ἐδόκουν οἱ ψευδαπόστολοι, καὶ εἵλκυσαν πάντας πρὸς ἑαυτοὺς, λοιπὸν ἠναγκάσθη δεῖξαι, ὅτι μεῖζόν ἐστιν ἐκείνων, ἵνα πείσῃ τοῖς αὐτοῦ προσέχειν λόγοις αὐτούς· τοῦ τε αἰνίξασθαι ὡς ὁ πρὸ δέκα τεσσάρων ἐτῶν τηλικούτων ἀξιωθεὶς, πηλίκος νῦν μετὰ τοσούτους ὑπὲρ Χριστοῦ πόνους;

Οὐκ οἶδα—

Μετριάζει μὴ ἀποκρύψας τὴν ἑαυτοῦ ἄγνοιαν. ἐξῆν γὰρ περὶ τούτου σιωπῆσαι.

Ἁρπαγέντα τὸν τοιοῦτον.

Ἡρπάγη ἕως τρίτου οὐρανοῦ, καὶ πάλιν ἐκεῖθεν εἰς τὸν παράδεισον.

3 Ὁ Θεὸς οἶδεν—

Τί δὲ ὅλως ἡρπάγη; ἵνα μηδὲ ἐν τούτοις ἔλαττον ἔχῃ τῶν λοιπῶν Ἀποστόλων τῶν διαγενομένων σωματικῶς μετὰ τοῦ Κυρίου.

4 Παράδεισον—

Πολὺ γὰρ τὸ ὄνομα τοῦ χωρίου τούτου ᾔδετο, ὅθεν καὶ τῷ λῃστῇ τοῦτον ἐπηγγείλατο.

Καὶ ἤκουσεν—

Ἴσως γὰρ ἕτερος ἄνθρωπος πλὴν Παύλου οὐκ ἐχώρει τοιαῦτα ἀκοῦσαι. ποῦ εἰσιν οἱ τὴν ψευδεπίγραφον ἀποκάλυψιν συγγραψάμενοι;

4 Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι.

Βλέπε αὐτοῦ τὸ ἄτυφον, πῶς ὡς περὶ ἑτέρου τινὸς αὐτὰ διηγεῖται· ὑπὲρ καὶ τοῦ τοιούτου φησὶ, καυχήσομαι· τοῦτο δὲ ποιεῖ συσκιάζων τὸν λόγον· ὅτι γὰρ αὐτὸς ἦν ὁ ἁρπαγεὶς, αἰνίττεται φάσκων, "ἐὰν γὰρ καὶ καυχήσομαι, οὐκ ἔσομαι ἄφρων, ἀλή-"θειαν γὰρ ἐρῶ." καὶ ἄνω, "καυχᾶσθαι δὴ οὐ συμφέρει μοι." ποῖον δὲ ἀσύμφορον ὑπὲρ ἄλλου καυχᾶσθαι καὶ ἀληθεύειν;

Ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι.

Καὶ τίνος ἕνεκεν ἄλλου ἁρπαγέντος σὺ καυχᾶσαι; δῆλον οὖν ὅτι περὶ σεαυτοῦ λέγεις, εἰ καὶ συνεσκιασμένως.

Εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου—

Οἷον ἐν ταῖς θλίψεσιν, ἐν τοῖς διωγμοῖς.

6 Ἐὰν γὰρ θελήσω καυχήσασθαι.

Καὶ πῶς ἄνω ἔλεγε, "ὄφελον ἀνέχεσθέ μου, μικρὸν τῆς ἀφρο-"σύνης." καὶ πάλιν, "ὃ λαλῶ, οὐ κατὰ Κύριον λαλῶ, ἀλλ' ὡς "ἐν ἀφροσύνῃ;" καὶ φαμὲν, ὅτι οὐ κατὰ τὸ καυχᾶσθαι εἶπε τὸ "οὐκ ἔσομαι ἄφρων," ἀλλὰ κατὰ τὸ μὴ ψεύσασθαι, ὅθεν ἐπάγει, "ἀλήθειαν γὰρ ἐρῶ."

Μήτις εἰς ἐμέ—

Οὐκ εἶπε, πιστεύει ἢ εἴπῃ, ἀλλ' ἵνα μὴ λογίσηται ἢ ὑπολάβῃ μεῖζόν τι, φησὶ, τῆς ἐμῆς ἀξίας. διὰ τοῦτο γὰρ τὰ περὶ ἑαυτοῦ

ἀεὶ ἐσίγα καὶ ἔκρυπτεν· καὶ εἰ μή που ἀνάγκη κατέλαβεν, οὐδὲν περὶ ἑαυτοῦ ἔλεγε, καὶ λέγων δὲ, συνεσκίαζεν ἵνα μὴ μείζονα ὑπόνοιαν περὶ ἑαυτοῦ σχῶσιν· εἰ γὰρ θεοὺς αὐτοὺς ἐνόμισαν οἱ ἄνθρωποι διὰ τὸ μέγεθος τῶν σημείων, καὶ ταύρους σφάττειν ἤθελον, τί ἂν οἰωθήσαν, εἰ καὶ τὰς ἀποκαλύψεις ἐφανέρου, καὶ τὰ καθ' ἑαυτὸν ἐκαυχᾶτο;

7 Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων.

Ἵνα μὴ, φησὶ, φρονήσω μέγα, ἢ ἵνα μὴ ὑπὸ τῶν ἀνθρώπων ὑπεραίρωμαι καὶ δοξάζωμαι, ὅπερ καὶ βέλτιον· οὐ γὰρ ἔχρηζεν ἡ ψυχὴ Παύλου χαλινοῦ τινος πρὸς τὸ μὴ φρονεῖν μέγα.

Ἐδόθη μοι σκόλοψ τῇ σαρκί.

Τὰ δεσμὰ λέγει, τὰς πληγὰς, τὰς φυλακὰς, τοὺς λιθασμούς.

Ἄγγελος Σατᾶν ἵνα με κολαφίζῃ.

Τινές φασι κεφαλαλγεῖν τὸν Παῦλον, ἀλλ' οὐκ ἔστιν· μὴ γὰρ εἴη τὸ σῶμα Παύλου ἐκδεδόσθαι τῷ Σατανᾷ, ὁπότε αὐτὸς ἐπέτασσεν αὐτῷ καὶ ὅρους ἐτίθει, ὅτε τὸν πορνεύσαντα ἐξεδίδου λέγων, "εἰς ὄλεθρον τῆς σαρκὸς," καὶ οὐχ ὑπερέβη τὸν ὅρον ὁ διάβολος. τί οὖν ἐστι Σατᾶν; ὁ ἀντικείμενος εἴρηται τῇ τῶν Ἑβραίων φωνῇ· ἀγγέλους δὲ Σατᾶν, τοὺς ἀντικειμένους τῷ κηρύγματι, φησὶν, οἷον τοὺς περὶ Ἀλέξανδρον, Ὑμέναιον καὶ Φιλητόν. ὃ τοίνυν λέγει, τοῦτό ἐστιν· οὐκ εἴασεν ὁ Θεὸς, φησὶν, ἀπονητὶ προβῆναι τὸ κήρυγμα, ἀλλὰ συνεχώρησεν ἡμᾶς πάσχειν σωματικῶς, ἵνα πανταχοῦ κρατήσῃ τὸ κήρυγμα· καὶ ὅρα, ἄλλην μὲν αὐτὸς εἶπεν αἰτίαν τοῦ δεδόσθαι τὸν κολαφισμὸν αὐτῷ· ἵνα γὰρ, φησὶ, μὴ ὑπεραίρωμαι· ὁ δὲ Θεὸς ἄλλην εἶπεν αἰτίαν, ὑπὲρ τοῦ δειχθῆναι, φησὶ, τὴν δύναμίν μου διὰ τῆς δοκούσης ἀσθενείας ὑμῶν. τέλος γὰρ καὶ πέρας ἡ δύναμίς μου λαμβάνει ἐκ τῆς ὑμῶν ἀσθενείας. εἰ γὰρ διὰ τινῶν σοφιστῶν ἢ βασιλέων διηκονεῖτο τὸ κήρυγμα, κἂν τῇ δυνάμει τῶν διακόνων ἔδωκέ τις τὴν ἁπάντων ὑποταγήν· νῦν δὲ ἡ τῶν διακονούντων ἀσθένεια τὴν τοῦ Θεοῦ διαδείκνυσι δύναμιν, καὶ τελειοῖ αὐτὴν, τουτέστι τὸ τέλειον ἔχειν αὐτὴν δείκνυσιν.

9 Ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου.

Ἵνα μὴ νομίσωσι ὀλοφυρωμένου τὰ τοιαῦτα εἶναι ῥήματα,

φησὶν, “ ἥδιστα μᾶλλον καυχήσομαι,” διὰ τί; ὅτι ἡ ἀσθένειά μου καὶ τὴν τοῦ Θεοῦ δείκνυσι δύναμιν, καὶ ἐμὲ λαμπρότερον ποιεῖ, ὥσπερ σίδηρον στομοῦσα τοῖς διωγμοῖς· ὡσεὶ εἶπεν, ἐγὼ μὲν τὸ ἐναντίον ᾔτουν, ἀλλ' ἐπειδὴ ταῦτα ἤκουσα παρὰ Θεοῦ, ἡδύτερον ἐν ταῖς ἀσθενείαις καυχῶμαι.

Ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ.

Ὅσῳ γὰρ τὰ τῶν πειρασμῶν ἐπιτείνεται, τοσούτῳ τὰ τῆς χάριτος αὔξεται· “ ἐπισκηνώσῃ,” ὅλη ἐν ὅλῳ κατοικήσῃ.

Εἶτα ἵνα μή τις νομίσῃ σωματικὴν ἀσθένειαν λέγειν αὐτὸν, οἷον πυρετὸν ἢ ἑτέραν περίοδον νοσήματος, φησὶν, “ ἐν ὕβρεσιν, “ ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις ὑπὲρ Χριστοῦ·” ταῦτα γὰρ ἀσθένειαν καλεῖ· τὸ δὲ “ εὐδοκῶ,” ἐπιθυμῶ εἶναι ἐν τούτοις καὶ εὐφραίνομαι· ταῦτα καὶ τοὺς ψευδαποστόλους καταισχύνει ἐπὶ τοῖς ἐναντίοις καυχωμένους, καὶ τούτους πείθει μὴ αἰσχύνεσθαι τοῖς τοῦ διδασκάλου πάθεσι· λαμπρὰ γὰρ πάντα καὶ ἡδέα τὰ τοιαῦτα, Χριστὸν ἔχοντα τοῦ πάσχειν ὑπόθεσιν.

10 Ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι.

Ὅταν γὰρ ἐβλήθη εἰς τὸ δεσμωτήριον, τότε τὰ θεμέλια αὐτοῦ κλονηθῆναι πεποίηκεν· ὅταν ναυαγήσας εἰς τὴν βάρβαρον ἐξερρίφη, τότε μᾶλλον ἐδοξάσθη· ὅτε εἰς τὸ δικαστήριον εἰσῆλθε δεδεμένος, τότε μάλιστα καὶ τοῦ δικαστοῦ περιγέγονε, καὶ τῶν κατηγόρων. ὁρᾷς ὅτι ὅταν ἀσθενὴς ἦν, τουτέστιν ἐν κινδύνοις ἦν καὶ ὕβρεσι καὶ πληγαῖς, τότε δυνατὸς ἦν καὶ λαμπρός.

11 Γέγονα ἄφρων καυχώμενος.

Ταπεινοφροσύνης ὑπερβολή· τὰ ὄντως παράδοξα διελθὼν, ὧν οὐκ ἦσαν ἄξιαι αὐτῶν ἀνθρώπων ἀκοαὶ, ἄφρονα ἑαυτὸν καλεῖ· πῶς δὲ ἡμεῖς σε ἠναγκάσαμεν εἴποιεν ἄν; τῶν ψευδαποστόλων καυχωμένων, φησὶν, εἰ μὴ προσείχετε τοῖς τούτων λόγοις, καὶ ἀπώλλυσθε, οὐκ ἂν εἰς ταῦτα ἦλθον τὰ ῥήματα. ὁρᾷς ὅτι τὴν ἀνάγκην τῆς καυχήσεως ἐποίησεν ἡ τούτων ἀπώλεια; μέγα γάρ τι τοὺς ψευδαποστόλους ἡγούμενοι, νόθα παρ' αὐτῶν καὶ διεστραμμένα ἐμάνθανον δόγματα.

Ἐγὼ γὰρ ὤφειλον ὑφ' ὑμῶν συνίστασθαι.

Ὑμᾶς ἔδει τῶν ἐμῶν ἀντιποιεῖσθαι καὶ λόγων καὶ ὑπολήψεων,

ὑμῶν δὲ ἐκείνοις προσεχόντων, εἰς τούτους ἐλθεῖν ἠναγκάσθην τοὺς λόγους.

Οὐδὲν γὰρ ὑστέρησα τῶν ὑπερλίαν Ἀποστόλων.

Ἄνω, φησὶ, λογίζομαι μηδὲν ὑστερηκέναι, νῦν δὲ ἀποφαντικῶς, "οὐδὲν ὑστέρησα," ἢ ἐνέλιπον ἢ κατόπιν ἦλθον τῶν περὶ Πέτρον· εὐκαίρως δὲ ἐπὶ τοὺς Ἀποστόλους ἦλθον, δεικνὺς ὅτι οὐ μόνον εἰμὶ τῶν ψευδαποστόλων κρείττων, ἀλλὰ καὶ τῶν Ἀποστόλων ἴσος.

Εἰ καὶ οὐδέν εἰμι.

Ὥσπερ τι μέγα εἰρηκὼς καὶ ὑπερβαίνων αὐτοῦ τὴν δύναμιν, διορθοῦται αὐτό· οὐκ εἶπε δὲ εὐτελής εἰμι, ἀλλὰ τὸ πολὺ ἧττον, "οὐδέν εἰμι" σὺ δὲ, φησὶ, μὴ τοῦτο ἴδῃς, εἰ οὐδέν εἰμι, ἀλλὰ πρόσχες εἰ μὴ πάντα ὅσα χαρακτηρίζει Ἀπόστολον ἐξετέλεσα.

12 Τὰ μὲν σημεῖα τοῦ Ἀποστόλου κατειργάσθη ἐν ὑμῖν.

Ὑμεῖς, φησὶ, τῶν λόγων μάρτυρες, δεῖγμα δὲ Ἀποστόλου μάλιστα, τὸ φέρειν πάντα γενναίως. Ὅρα δὲ τὸ τῆς ὑπομονῆς, ὅπερ ἦν αὐτοῦ ἀρετὴ, μιᾷ λέξει τέθεικε· τὰ δὲ τῶν σημείων, ἅπερ οὐκ ἦν αὐτοῦ, ἀλλὰ χάριτος Θεοῦ, διὰ πλειόνων ἐξηγήσατο. ὅμως σκόπει τὸ ταπεινὸν Παύλου, πόσα δεσμωτήρια, πόσας πληγὰς, πόσους κινδύνους καὶ ἐπιβουλὰς, πόσας νιφάδας πειρασμῶν, πόσους πολέμους ἐμφυλίους τε καὶ ἐξωτικοὺς μιᾷ λέξει τῇ τῆς ὑπομονῆς παρέδραμε.

Ἐν σημείοις καὶ τέρασι—

Πόσους νεκροὺς ἐγερθέντας καὶ τυφλοὺς ὀμματωθέντας, καὶ νεκροὺς καθαρισθέντας, καὶ δαίμονας ἐλαθέντας ᾐνίξατο εἰπὼν, "ἐν σημείοις καὶ τέρασι καὶ δυνάμεσι," τῶν τριῶν ἕν τι δηλούντων.

13 Τί γάρ ἐστιν ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας;

Ἵνα μή τις εἴπῃ, μέγας μὲν εἶ, φησὶν, ὅμως οὐ τοσαῦτα εἰργάσω, ὅσα ἐν ταῖς ἄλλαις ἐκκλησίαις οἱ λοιποὶ Ἀπόστολοι, φησὶ, τί γάρ ἐστιν ὃ ἡττήθητε; τουτέστιν, ἔλαττον ἔχετε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας· μὴ ἐλάττονος, φησὶ, μετέχετε χαρίσματος;

Εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν.

Πληκτικῷ λόγῳ κέχρηται· εἰ μὴ ἄρα τις τοῦτό με ἐγκαλέσῃ ὅτι τε ἐπιχωριάζω ὑμῖν, καὶ ἐρχόμενος παντὶ σθένει τῆς σωτηρίας

ὑμῶν κήδομαι, καὶ ἀπὼν δι' ἐπιστολῶν ὁδηγῶ πρὸς τὰ πρακτέα, καὶ οὐδὲν πρὸς ἕν τι τῶν ὑμῖν συμφερόντων ἐραθύμησα, ἀπών τε καὶ παρών· εἰ διὰ τοῦτο ἀδικῶ, χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην, καὶ σύγγνωτε ἀδικοῦντι.

14 Καὶ οὐ καταναρκήσω ὑμῶν.

Δεύτερον, φησὶν, ἦλθον, ἰδοὺ τρίτον παρεσκεύασμαι ἐλθεῖν, καὶ ἐν οὐδενὶ τῆς ὑμῶν παραμελήσω σωτηρίας· εἶτα ἵνα μὴ νομίσωσιν ὅτι δεῖ πάντως αὐτὸν ἐρχόμενον νῦν γοῦν τραφῆναι παρ' αὐτῶν, μάλιστα ἐπειδὴ καὶ περὶ τούτου πολλὰ διεξελήλυθεν ἐν τοῖς ἔμπροσθεν, ἐντεῦθεν ἤδη προαναιρεῖ ταύτην τὴν ὑπόνοιαν, ὅτι ὑμᾶς θλίβω, οὐ τὰ ὑμῶν, καὶ ὑμᾶς ἀγαπῶ, οὐ τὰ ὑμῶν, ὥσπερ οἱ ψευδαπόστολοι· εἶτα καὶ ἀπὸ τοῦ κοινοῦ λογισμοῦ καὶ τῆς φύσεως πιστοῦται τὸν λόγον, ἑαυτὸν μὲν ἐν τάξει πατρὸς, ἐκείνους δὲ ἐν τάξει τέκνων.

15 Ἐγὼ δὲ ἥδιστα δαπανήσω καὶ ἐκδαπανηθήσομαι.

Ὁρᾷς πόσους ἔχει βαθμοὺς ὑπερβολῶν τὰ κατὰ τὸν Παῦλον; ἔδει λαβεῖν τοῦ Χριστοῦ τοῦτο κελεύοντος, καὶ οὐκ ἔλαβεν· ἰδοὺ εἷς· καὶ ὑστερούμενος, ἰδοὺ δύο· καὶ αὐτοῖς κηρύσσων, ἰδοὺ τρεῖς· καὶ οὐ μόνον οὐ λαμβάνει, ἀλλὰ καὶ τὴν σάρκα εἰ δέοι προσδίδωσι, τέσσαρες· εἶτα σὺν τῇ σαρκὶ καὶ τὴν ψυχὴν αὐτήν· πέμπτον· καὶ ὑπὲρ τῶν μὴ σφόδρα φιλούντων αὐτὸν, ἕκτον· καὶ οὐδὲ τὸ ἀγαπῶντα μὴ ἀγαπᾶσθαι ἐγκοπήν τινα ποιεῖ, ἕβδομον. ἐγὼ δὲ πατρὸς ἐπέχων εἰς ὑμᾶς τάξιν, οὐ μόνον οὐ λήψομαι, ἀλλὰ καὶ παρέξω, καὶ οὐχ ῥήματα ἀλλ' αὐτὸν ἐμὲ καὶ τὴν ἐμαυτοῦ σάρκα· τοῦτο γὰρ τὸ "ἐκδαπανηθήσομαι," τουτέστι, κἂν τὴν σάρκα δέοι δαπανῆσαι ὑπὲρ ὑμῶν, οὐ φείσομαι.

Εἰ καὶ περισσοτέρως ὑμᾶς ἀγαπῶν.

Καὶ ταῦτα ποιῶ, φησὶν, ὑπὲρ τῶν λίαν μὲν φιλουμένων, ἧττον δὲ ἀγαπώντων.

16 Ἔστω δὲ, ἐγὼ οὐ κατεβάρησα ὑμᾶς.

Κατὰ ἐρώτησιν προάγει τὸν λόγον, καί φησι, τοῦτο ὡμολόγηται, ὅτι ἐγὼ οὐ κατεβάρησα ὑμᾶς ἐν τῷ λαβεῖν τι, "ἀλλ' "ὑπάρχων πανοῦργος, δόλῳ ὑμᾶς ἔλαβον," τουτέστι, δόλῳ ὑμᾶς μετεχειρησάμην καὶ ἠκόντισα· καὶ γὰρ μὲν αὐτοπροσωπῶς οὐδὲν

εἴληφα· ἄρα μὴ διὰ μέσων τινῶν τοῦτο ἔπραξα, πέμψας τινὰς καὶ δι' αὐτῶν λαβών; οὐ μὲν οὖν· οἱ γὰρ ἐλθόντες πρὸς ὑμᾶς τοῖς ἐμοῖς ἴχνεσιν ἠκολούθησαν.

17 Μή τινα ὧν ἀπέσταλκα πρὸς ὑμᾶς—

Οἷον διὰ μέσου αὐτῶν· ὅρα δέ· πλεονεξίαν καλεῖ τὸ παρὰ ἀκόντων λαβεῖν, καὶ αὐτοὺς δὲ ἠρέμα ὀνειδίζει, ὡς καὶ αὐτῶν πλεονεκτεῖσθαι ἡγουμένων εἰ θρέψωσι Παῦλον.

18 Παρεκάλεσα Τίτον.

Καὶ τοῦτο ὀνειδιστικῶς· οὐ γὰρ ἔπεμψα, ἀλλὰ "παρεκάλεσα," δεικνὺς ὅτι εἰ καὶ εἴληφεν, οὐκ ἐσφάλη· οὐ γὰρ αὐτομάτως, ἀλλὰ κατὰ παράκλησιν ἦλθεν· ἀλλ' ὅμως οὐδὲ οὕτως εἴληφεν· ἦν δὲ καί τινα ἄλλον τῷ Τίτῳ συναποστείλας.

Οὐ τῷ αὐτῷ πνεύματι περιεπατήσαμεν.

Τουτέστιν οὐ τῇ αὐτῇ χάριτι ᾗ καὶ ἐγώ· χάρισμα καλεῖ τὸ πρᾶγμα τὸ στενούμενον μὴ λαβεῖν· ὅρα δὲ πῶς τὰ οἰκεῖα κατορθώματα τῷ Θεῷ ἀνατίθησι.

Οὐ τοῖς αὐτοῖς ἴχνεσιν.

Τουτέστιν οὐδὲ μικρὸν παρήλλαξαν ἐκεῖνοι τὴν ἐμὴν ἀκρίβειαν· ὅρα δέ· οὐ μόνον αὐτὸς οὐκ εἴληφεν, ἀλλὰ καὶ τοὺς ἀποσταλέντας ἔπεισε μὴ λαβεῖν.

19 Κατενώπιον τοῦ Θεοῦ, ἐν Χριστῷ λαλοῦμεν.

Δέδοικε μὴ κόλακός τινος λάβῃ δόξαν· διὸ καὶ ἄνω ἔλεγε, πάλιν ἑαυτοὺς συνιστάνομεν, εἰ καὶ μὴ χρῄζομεν συστατικῶν ἐπιστολῶν· οὐχ ὑμᾶς οὖν κολακεύοντες ἢ ὑμῖν ἀπολογούμενοι λέγομεν ταῦτα, ἀλλ' ὡς ἐνώπιον τοῦ Θεοῦ καὶ ὁρῶντος αὐτοῦ λαλοῦμεν, καὶ ἐν Χριστῷ· οἷον διὰ Χριστοῦ λαλοῦμεν, τὸν δὲ ἐνώπιον καὶ διὰ Χριστοῦ καὶ δίχα Χριστοῦ φθόνον, πῶς ἦν δυνατὸν καλακείας ἢ θωπείας ἕνεκεν λαλεῖν;

Τὰ δὲ πάντα ἀγαπητὸς ὑπὲρ τῆς ὑμῶν οἰκοδομῆς.

Οὐ λαλοῦμεν οὖν πρὸς χάριν ὑμῶν ἢ κολακείαν, ἀλλ' ὑπὲρ τοῦ ὑμᾶς οἰκοδομῆσαι καὶ ὠφελῆσαι· ἵνα τοὺς ψευδαποστόλους φυγόντες, ἡμῖν μόνοις προσέχητε καὶ τοῖς ἡμετέροις λόγοις· ἢ ὅτι διὰ τοῦτο οὐκ ἐλάβομεν, ἵνα μὴ ὑμεῖς ἀσθενεῖς ὄντες σκανδαλισθῆτε.

20 Φοβοῦμαι γὰρ μήπως ἐλθών.

Ὁρᾷς κηδεμονίαν πατρικήν; ἀλλὰ ἡμάρτανον, καὶ Παῦλος φοβεῖται.

Μή πως ἐλθών—

Ἐνδιάζει ἔτι, καὶ οὐκ ἀποφαίνεται.

Οὐχ οἵους θέλω εὕρω ὑμᾶς.

Οἷον διεφθαρμένους.

Καὶ εὑρεθῶ κατὰ ἀνάγκην γινόμενος οἷον οὐ θέλετε.

Οἰκουμενίου. Τουτέστι, τιμωρούμενος τοὺς ἀνίατα νοσοῦντας.

Μή πως—

Καὶ λοιπὸν λέγει ποίους εὑρεῖν οὐκ ἤθελε, μετὰ τούτων, φησὶ, τῶν ἐλαττωμάτων· ἔρεις δὲ, φησὶ, διὰ τὸ ἑστάναι.

Ἐριθεῖαι—

Οἷον ἀψιμαχίαι.

21 Μὴ πάλιν ἐλθόντα με ταπεινώσῃ ὁ Θεός μου.

Ὅτι κατ' αὐτοῦ μὲν ὠφρύοντο, τοὺς δὲ ψευδαποστόλους ἐτίμων. Ἀρκεῖ, φησὶ, τὰ πρότερα.

Θεοδωρίτου. Ταπείνωσιν ἑαυτοῦ τὴν ἐκείνων παρανομίαν ἐκάλεσε, βεβαιῶν ἅπερ ἤδη προείρηκε, "τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ; "τίς σκανδαλίζεται, καὶ ἐγὼ πυροῦμαι;"

Ταπεινώσει—

Τὸ λαβεῖν δίκην παρὰ τῶν αἰτιῶν, ταπείνωσιν οἰκείαν καλεῖ, δεικνὺς ὡς οὐκ ἂν δίχα μεγάλης ἀνάγκης τοῦτο κατεδέξατο· δείκνυσι δὲ ὅτι δι' αὐτῶν πάντα ὑπομένει, καὶ τὸ ταπεινοῦσθαι καὶ τὸ πενθεῖν, τὸ εἰπεῖν "ὁ Θεός μου," τὸ "μου" γὰρ προσκείμενον τὴν διακαῆ ἀγάπην δηλοῖ τοῦ Χριστοῦ.

Καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων.

Ὅρα ἀποστολικὴν ἀρετήν· μηδὲν συνειδὼς ἑαυτῷ κακὸν, ὑπὲρ τῶν τοῖς ἄλλοις πλημμελουμένων, πενθεῖ· οὐκ εἶπε δὲ πάντας, ἀλλὰ πολλούς· καὶ οὐδὲ τούτους δηλοῖ, μετανοίας χώραν διδοὺς, καὶ ὅπως μὴ γένωνται ἀναισχυντότεροι.

Καὶ μὴ μετανοησάντων.

Ποῦ εἰσιν οἱ Ναυατιανοί;

Ἐπὶ τῇ ἀκαθαρσίᾳ.

Ἀκαθαρσία δύναται ἐπὶ ἑκάστης ἁμαρτίας λέγεσθαι, οὐδὲν γὰρ ἁμαρτίας εἰδεχθέστερον.

1 Τρίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς.

Ἦν δεύτερον ἀπελθών· εἰ οὖν καὶ νῦν ἔλθω, τρίτον ἔρχομαι, καὶ τί τοῦτο; ὥσπερ, φησὶν, ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων ἅπαν ῥῆμα ἀμφίβολον ἵσταται καὶ πέρας λαμβάνει, οὕτως ἐπὶ δύο καὶ τριῶν μου παρουσιῶν ἅπαν ῥῆμα ἀπειλητικὸν σταθήσεται καθ' ὑμῶν, καὶ πέρας λήψεται· ὅρα δὲ ὅτι ταῖς παρουσίαις ἀντὶ μαρτύρων ἐχρήσατο.

Καὶ ἤδη προεῖπον, καὶ νῦν προλέγω, ὥσπερ παρὼν πρὸς ὑμᾶς τὸ δεύτερον εἶπον, ἰδοὺ καὶ ἀπὼν τὸ τρίτον προλέγω, ἰδοὺ τρεῖς ἄλλοι μάρτυρες· ἦσαν μὲν αἱ δύο μαρτυρίαι καὶ ἡ μέλλουσα ἔσεσθαι, δύο καὶ τρεῖς μάρτυρες· ἰδοὺ πάλιν ἄλλοι τρεῖς μάρτυρες, τὸ δὶς παρὼν προειπεῖν, καὶ νῦν ἅπαξ ἐν τῇ ἀπουσίᾳ· εὐφυῶς δὲ τὴν γραφὴν τὴν περὶ τῶν μαρτύρων ἐξέλαβεν εἴς τε τὰς τρεῖς παρουσίας, καὶ εἰς τὰς τρεῖς παραγγελίας.

Οἰκουμενίου. Τοῖς μὲν ἡμαρτηκόσιν, ἵνα διορθώσωνται, τοῖς δὲ λοιποῖς πᾶσιν, ἵνα μάρτυρες εἶεν, ὅτι, φησὶ, παρ' ἐμὲ οὐδὲν, ἐὰν μὴ μετανοήσαντας τιμωρήσωμαι.

2 Ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν.

Τί προείρηκας καὶ νῦν τι γράφεις; ὅτι, φησὶν, "ἐὰν ἔλθω εἰς "τὸ πάλιν," τουτέστι τὸ ἄλλο ἅπαξ "οὐ φείσομαι." Ὅρα δέ· οὐκ εἶπε, τιμωρήσομαι, ἀλλ' ὡς πατὴρ οὐ φείσομαι, δεικνὺς ὅτι ἔτι φείδεται, καὶ ταῦτα σφαλλομένων.

3 Ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ.

Δοκιμὴν, πεῖραν, οὐ διὰ τοῦτο δὲ ἐκόλαζεν ὡς δοκιμὴν δώσων, ἀλλ' ὅτι ἡμάρτανον· τοῦτο δὲ εἴρηται κατὰ τῶν λεγόντων ὅτι ἡ παρουσία αὐτοῦ ἀσθενής· ἐπειδὴ γὰρ, φησὶ, θέλετε δοκιμάσαι εἰ ἐν ἐμοὶ λαλεῖ ὁ Χριστός· ὥσπερ γὰρ ἔρημόν με τοῦ Χριστοῦ, οὕτω σκώπτετε.

Θεοδωρίτου. Πεῖραν λαβεῖν, ὡς ἔοικε, βούλεσθε τοῦ ἐν ἐμοὶ φθεγγομένου Χριστοῦ, καί τοι σαφῶς αὐτοῦ μαθόντες τὴν δύναμιν.

Ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ.

Τί βούλεται ἡ προσθήκη τοῦ “εἰς ὑμᾶς” καὶ τοῦ “ἐν ὑμῖν;” οὐ γὰρ πρὸς αὐτοὺς μόνον ἔλεγε, πεῖραν ἔχετε ἀφ' ὧν πεπόνθατε, ὅτι οὐκ ἀσθενὴς ὁ Χριστὸς, ἢ ὅτι τέως, ἐν ὑμῖν φησὶ, τοῖς καὶ διορθωθῆναι δυναμένοις, τὴν δύναμιν ἐπιδείκνυσι· τοὺς γὰρ ἀνίατα νοσοῦντας ἐκεῖ τιμωρήσεται.

4 Καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθενείας.

“Καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθενείας.” πολλοὶ θορυβοῦνται τῶν μὴ τῇ δυνάμει τῶν λέξεων προσεχόντων. Ὅρα οὖν, ἀσθενείας τρόποι τρεῖς. εἷς ὁ τῶν σωματικῶν νοσημάτων· δεύτερος τὸ περὶ τὴν πίστιν σαθρὸν, ὡς αὐτός φησι, “τὸν δὲ ἀσθενοῦντα τῇ πίστει “προσλαμβάνεσθε·” τρίτος ὁ τῶν διωγμῶν καὶ πειρασμῶν. καὶ γὰρ καὶ ταῦτα ἀσθένειαν ὁ Παῦλος καλεῖ, ὡς ἐκεῖ, “ἡ γὰρ δύνα-“μίς μου ἐν ἀσθενείᾳ τελειοῦται,” τουτέστιν ἐν διωγμοῖς καὶ κινδύνοις· καὶ πάλιν, “διὸ εὐδοκῶ ἐν ἀσθενείαις,” καὶ ἑρμηνεύων αὐτὸ ἐπάγει “ἐν ὕβρεσιν, ἐν διωγμοῖς, ἐν ἀνάγκαις·” καὶ πάλιν, “ὅταν ἀσθενῶ,” τουτέστι, διώκωμαι, “τότε δυνατός εἰμι,” ὡς τότε μάλιστα τῆς χάριτος ἐφιζανούσης. κατὰ τοῦτον οὖν τῆς ἀσθενείας τὸν τρόπον ἐσταυρώθη ὁ Κύριος, ἐπιβουλὴν ὑπομείνας, καὶ κίνδυνον, καὶ ὕβριν· ἀλλ' ὅμως, φησὶν, οὐ παρέβλαψε τοῦτο τὴν δύναμιν αὐτοῦ. Ἢ οὕτως. ἀσθένειαν, φησὶ, τὴν δοκοῦσαν τοῖς ἀπίστοις, ὡσεὶ ἔλεγεν, εἰ καὶ κατὰ τῶν ἀπίστων λόγον “ἐξ “ἀσθενείας ἐσταυρώθη,” δηλαδὴ τοῦτο κατὰ συγχώρησιν διδοὺς, “ἀλλὰ ζῇ,” φησὶν, “ἐκ δυνάμεως Θεοῦ.” ἀκούων δυνάμεως Θεοῦ, μὴ τοῦτο τὸ ἀνόσιον ὑπονοήσῃς, ὅτι αὐτὸς ἠτόνει ζωογονῆσαι τὴν ἰδίαν σάρκα, καὶ διὰ τοῦτο τῆς δυνάμεως τοῦ Πατρὸς χρεία γέγονεν· εἰ γὰρ Χριστὸς Θεοῦ δύναμίς ἐστι, καὶ Θεοῦ σοφία, πῶς ἠτόνει ἡ τοῦ Θεοῦ δύναμις, καὶ ταῦτα εἰς τὴν οἰκείαν σάρκα· ὁ καὶ ἄλλοις ζωὴν διδοὺς, μᾶλλον δὲ ἅπασιν; ἀλλ' ἀδιαφόρως ὁ Παῦλος καὶ τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ λέγει, καὶ ἔμπαλιν τὰ τοῦ Υἱοῦ τοῦ Πατρός· ὅτι γὰρ αὐτὸς ὁ Χριστὸς αὐτὴν ἀνέστησεν, ἄκουσον αὐτοῦ λέγοντος, “λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐγὼ ἐν “τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.” Εἰ δὲ ὅπερ αὐτὸς ὁ Υἱὸς εἰργάσατο, τοῦτο ἐκ τοῦ Πατρὸς γενέσθαι λέγει ὁ Παῦλος, μὴ θορυβηθῇς, οἶδε γὰρ αὐτὸν εἰπόντα, “πάντα τὰ τοῦ Πατρός μου

« ἐμά ἐστι,» καὶ « πάντα τὰ ἐμὰ σά ἐστι,» πρὸς τὸν Πατέρα εἰρηκότα.

Εἰ γὰρ τοῦ σταυροῦ τὸ πάθος ὑπέμεινε διὰ θνητὴν τοῦ σώματος φύσιν, οὐδὲν πρὸς τὴν δύναμιν παρεβλάβη, ἐπειδὴ ἐσταυρώθη, οὕτως οὐδὲ ἡμεῖς ἐπειδὴ διωκόμεθα καὶ ὑβριζόμεθα· διὸ ἐπάγει « ἐν αὐτῷ.»

Καὶ γὰρ ἡμεῖς ἀσθενοῦμεν ἐν αὐτῷ.

« Ἐν αὐτῷ,» τουτέστι, δι' αὐτὸν καὶ διὰ τὸ κήρυγμα αὐτοῦ ἀσθενοῦμεν ἐν τοῖς διωγμοῖς καὶ τοῖς κινδύνοις, ἀλλ' ὥσπερ τῶν σκυθρωπῶν αὐτῷ κοινωνοῦμεν, οὕτω καὶ τῶν φαιδρῶν κοινωνήσομεν· ὅθεν ἐπάγει, « ἀλλὰ ζησόμεθα σὺν αὐτῷ.»

Ὁμοίως νόησον καὶ τοῦτο τῷ ἄνω, « ἀλλὰ ζῇ ἐκ δυνάμεως « Θεοῦ·» τὸ δὲ « εἰς ὑμᾶς,» οἷον ὑμῖν ζήσομεν, τουτέστιν εἰς τὴν ὑμῶν ὠφέλειαν ἢ δι' ὑμᾶς, ἐπειδὴ, φησὶν, ἐπετρέψαμεν ὑμᾶς, ἢ σὺν ὑμῖν ζήσομεν τότε.

5 Ἑαυτοὺς δοκιμάζετε.

Ὁρᾷς οἷον κατασκευάζει, καὶ τί λέγω, φησὶ, περὶ ἐμαυτοῦ, ὅτι ὁ Χριστὸς ἐν ἐμοὶ λαλεῖ, καὶ ὑμεῖς γὰρ αὐτοὶ, εἰ μή τι ἀδόκιμοι γεγόνατε, ἔχετε ἐν ἑαυτοῖς τὸν Χριστόν· εἰ δὲ ὑμεῖς, πολλῷ μᾶλλον, φησὶν, ἐγώ· ἑαυτῶν τοιγαροῦν ἀπόπειραν ποιεῖσθε, μή τι ἐκ τῶν ὀρθῶν παρετράπη δογμάτων, τῇ τῶν ψευδαποστόλων διδαχῇ.

Πῶς δ' ἂν γνοίησαν; ἐκ τῶν σημείων ὧν ἐποίουν, εἰ ἔτι ποιῶ αὐτὰ, φησὶν, « εἰ μή τι ἀδόκιμοί ἐστε.» ἐνταῦθα καὶ εἰς βίον πονηρὸν αὐτοὺς αἰνίττεται· δεῖ γὰρ καὶ πίστεως καὶ βίου πρὸς τὰ σημεῖα· εἰ οὖν καὶ ἐστὲ ἐν τῇ πίστει, μὴ καὶ βίον δὲ τῆς πίστεως κατάλληλον ἐπιτηδεύετε, φησὶν, ἀδόκιμοί ἐστε, καὶ Χριστὸς ἐν ὑμῖν οὐκ ἔστιν, οὐδὲ διὰ τῶν σημείων δείκνυσι παρὼν πρὸς ὑμᾶς.

Εἰ μή τι ἀδόκιμοί ἐστε.

Εἰ δὲ ὅλως ὑμεῖς μὴ ἐστὲ ἀδόκιμοι, ἐλπίζω ὅτι διὰ τῆς εἰς ὑμᾶς τιμωρίας γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι· ἔδει μὲν οὖν ἄλλῳ τρόπῳ γνῶναι ὑμᾶς καὶ εἰδέναι, ὅτι δόκιμοί ἐσμεν, ἐπειδὴ δὲ οὐ βούλεσθε, διὰ τῆς ὑμῶν τιμωρίας τοῦτο γνώσεσθε.

7 Εὔχομαι δὲ πρὸς τὸν Θεόν.

Ὅρα φιλόσοφον γνώμην κατεφρονεῖτο, ἐκωμῳδεῖτο ὡς οὐδὲν δυνάμενος, ἀλλ' ἐν γράμμασι μόνον κομπάζων, καὶ οὐ μόνον ἀναβάλλεται διὰ τῆς κατ' ἐκείνων τιμωρίας τὴν οἰκείαν ἰσχὺν φανερῶσαι, ἀλλὰ καὶ εὔχεται μὴ ἐμπεσεῖν ποτε εἰς ἀνάγκην τοῦ ταύτην ἐπιδεῖξαι.

Οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν.

Ἐκ γὰρ τοῦ μὴ ἁμαρτεῖν αὐτοὺς οὐκέτι τὴν τιμωρητικὴν ἐπεδείκνυτο δύναμιν, καὶ πάλιν ὡς ἀδόκιμος καὶ ἀνίσχυρος ἐκρίνετο.

Ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν.

Καλῶς τὸ " ὡς ἀδόκιμοι·" οὐ γὰρ τῇ ἀληθείᾳ ἤμελλεν, ἐπεὶ μὴ τιμωρεῖται μὴ ἁμαρτάνοντας, ἀδόκιμος γίνεσθαι, ἀλλὰ καὶ μάλιστα δόκιμος, ἀλλὰ διὰ τὴν τῶν πολλῶν ὑπόληψιν εἶπε τὸ " ὡς ἀδόκιμοι."

8 Οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας.

Ἐάν τις ἀληθῶς βιοῖ, φησὶ, καὶ εὐσεβῶς· ἀλήθειαν γὰρ νῦν τὴν εὐσέβειαν καλεῖ, ὡς νόθου ὄντος τοῦ δυσσεβοῦς βίου· οὐδὲ εἰ βουλόμεθα ἐπαγαγεῖν τιμωρίαν δυνάμεθα· οὐ συνεργεῖ γὰρ ὁ Θεός. οὐ γὰρ κατὰ τῆς ἀληθείας οἷον εὐσεβείας τι ἰσχύομεν· ἡ δὲ ἰσχὺς ἡμῶν ὑπὲρ αὐτῆς, ἵνα τοὺς μὴ κατ' αὐτὴν ζῶντας διὰ τῆς τιμωρίας ἀναγκάζωμεν αἱρεῖσθαι αὐτήν.

9 Χαίρομεν γὰρ ὅταν ἡμεῖς ἀσθενῶμεν.

Ἐπεὶ μὴ δύναμαι καὶ βουλόμενος κατὰ τῆς ἀληθείας· ἆρα ἀλγῶ ὑπὲρ τούτου; οὐμενοῦν· χαίρω γὰρ ὅταν ἡμεῖς ἀσθενεῖς νομιζώμεθα ἐκ τοῦ μὴ ἐπάγειν τιμωρίαν· ὑμεῖς δὲ ἰσχυροὶ ἐκ τοῦ ἀνάλωτοι εἶναι τῇ τιμωρητικῇ μου δυνάμει διὰ τὸ βιοῦν ὀρθῶς.

Τοῦτο δὲ καὶ εὐχόμεθα.

Ἆρα οὖν μόνον χαίρομεν· " καὶ εὐχόμεθα" μὲν οὖν " τὴν ὑμῶν " κατάρτισιν," τουτέστιν εὐδοκίμησιν. καὶ τὸ ἀπηρτίσθαι ἐν βίῳ καὶ δόγμασι χρηστοῖς, ἢ ἵνα σφαλλομένους τιμωρούμενοι δόξωμεν εἶναι δυνατοί.

10 Διὰ τοῦτο ταῦτα ἀπὼν γράφω.

Ἐπειδὴ σφόδρα ἐπέπληξεν αὐτοῖς πανταχοῦ μὲν, μάλιστα δὲ

ἐν τῷ τέλει τῆς Ἐπιστολῆς, ὥσπερ ἀπολογεῖται, καί φησι· διὰ τοῦτο οὕτως ἔγραψα, ὡς βουλόμενος ἄχρι τῶν γραμμάτων εἶναι τὴν ἀποτομίαν, καὶ μὴ ἐν ἔργοις ἐπιδειχθῆναι.

Κατὰ τὴν ἐξουσίαν ἣν ἔδωκέ μοι ὁ Κύριος.

Ὥστε κἂν κολάζω, φησὶν, οὐκ ἐγὼ κολάζω, ἀλλὰ διαμέσου ἐμοῦ ὁ ταύτην μοι δεδωκὼς τὴν ἐξουσίαν Χριστός. Ὅρα δὲ, ἐν τῷ ἀπολογεῖσθαι φοβερώτερον τὸν λόγον εἰργάσατο. τί οὖν εἴποι τις αὐτῷ; διὰ τοῦτο εἴληφας ἐξουσίαν, ἵνα τιμωρῇ τοὺς ἀνθρώπους τοὺς κατ' εἰκόνα Θεοῦ, καὶ εἰς τοῦτό σε ὅλως κατέστησεν ὁ φιλάνθρωπος Χριστός; οὐκ εἰς καθαίρεσιν, φησὶ, καὶ ὄλεθρον ψυχῶν εἴληφα τὴν ἐξουσίαν, ἀλλ' εἰς οἰκοδομήν· αὐτὸ γὰρ τοῦτο τὸ τοὺς αἰτίους τιμωρεῖσθαι οἰκοδομεῖν ἐκκλησίας ἐστίν· ἀσφαλεστέρων τῶν λοιπῶν καὶ δοκιμωτέρων διὰ τῆς τιμωρίας γινομένων.

11 Λοιπὸν, ἀδελφοὶ, χαίρετε.

Μετὰ τὸ ἐμὲ, φησὶ, τὸ ἐμαυτοῦ ποιῆσαι, τουτέστι συμβουλεῦσαι, ἀπειλῆσαι, ὑπόλοιπόν ἐστι τὸ καὶ ὑμᾶς τὰ ἀφ' ὑμῶν συνεσενέγκαι. τὸ δὲ "χαίρετε" ἐστὶν χαρήσεσθε δὲ διορθούμενοι νῦν τε καὶ ἐν τῷ μέλλοντι.

Καταρτίζεσθε.

Οἷον τέλειοι γίνεσθε, ἀναπληροῦτε τὰ λείποντα.

Παρακαλεῖσθε.

Ἐπειδὴ πολλοὶ ἦσαν οἱ πειρασμοὶ, φησὶ, παρακαλεῖσθε ὑφ' ἑαυτῶν καὶ ὑφ' ἄλλων, ἔτι δὲ ὑπὸ τῆς συνειδήσεως εἰς βελτίω μεταβολήν.

Εἰρηνεύετε.

Τοῦτο καὶ ἐν τῇ πρώτῃ Ἐπιστολῇ ἐν προοιμίοις ᾔτησε· ἐστασίαζον γὰρ πρὸς ἑαυτούς· τί δὲ βούλεται τό τε αὐτὸ φρονεῖν καὶ εἰρηνεύειν; ὅτι ἔνι τὸ αὐτὸ μὲν φρονεῖν ἐν τοῖς δόγμασι, μὴ εἰρηνεύειν δὲ πρὸς ἑαυτούς.

Καὶ ὁ Θεὸς τῆς ἀγάπης καὶ εἰρήνης ἔσται μεθ' ὑμῶν.

"Θεὸς ἀγάπης," ὁ Θεὸς χρηματίζει διὰ τὸ ἠγαπηκέναι ἡμᾶς, "εἰρήνης" δὲ διὰ τὸ εἰρηνεῦσαι τὰ ἐν οὐρανῷ τοῖς ἐν γῇ· ἐκ δὲ τῆς ἀγάπης ἡ εἰρήνη, "ἐὰν," φησὶ, "ταῦτα ποιῆτε, ἔσται μεθ' ὑμῶν ὁ Θεός.

12 Ἀσπάσασθε ἀλλήλους ἐν ἁγίῳ φιλήματι.

Μὴ ὑπούλῳ, φησὶ, καὶ δολερῷ ὡς Ἰούδας· διὰ τοῦτο δὲ φιλοῦμεν, ἵνα ἀναζωπυρῶμεν τὴν πρὸς ἑαυτοὺς ἀγάπην.

Ἀσπάζονται ὑμᾶς—

Τοὺς μὲν πάροντας διὰ φιλήματος συνάπτει, τοὺς δὲ ἀπόντας διὰ προσρήσεως· ἀπὸ γὰρ τοῦ αὐτοῦ πρόεισι στόματος, ὅ τε ἀσπασμὸς καὶ ἡ πρόσρησις.

13 Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ.

Ἐπειδὴ συνῆψεν ἅπαντας, ὅπερ ἔθος αὐτῷ καὶ νῦν ποιεῖ· ἐπεύχεται αὐτοῖς τὴν χάριν τοῦ Υἱοῦ, δι' ἧς ἔσωσε χάριτι καὶ οὐ δι' ἔργων ἡμῶν, σφαγεὶς ὑπὲρ ἡμῶν· καὶ τὴν ἀγάπην τοῦ Πατρὸς, ἣν ἠγάπησεν ἡμᾶς, τὸν μονογενῆ δοὺς ὑπὲρ ἡμῶν· καὶ τὴν κοινωνίαν τοῦ Ἁγίου Πνεύματος, οἷον τὴν μετοχὴν αὐτοῦ καὶ μετάληψιν, δι' ἧς πάντες ἁγιαζόμεθα ἐν τῇ ἐπιφοιτήσει τοῦ παρακλήτου Θεοῦ τοῦ Πνεύματος.

SCHOLIA E COD. 216.

II EP. AD COR.

Cap. I. 3. Εὐλογητὸς ὁ Θεὸς—

Post *ἰσχύς μου* legitur: *ἐπὶ δὲ φωτισμοῦ καὶ ζόφου καὶ σκοτώσεως νοῦ, κύριος φωτισμοῦ μου καὶ σωτήρ μου, νῦν δὲ Θεὸν οἰκτιρμῶν καὶ παρακλήσεως.*

Ὅρα— *ἔλεον* deest.

Post *παρακαλῶν* legitur: *διὰ τοῦτο, φησὶ, παρεκλήθη, ἵνα ἐκ τοῦ ὑποδείγματος τῆς ἐς ἐμὲ παρακλήσεως— πειρασμοῖς.*

Post *παρακαλεῖν* verba *ὥστε— παράκλησις* desunt.

Post *πλείονα* verba *τοῦτο δὲ— καθ' ἑαυτὸ* desunt.

Post *ἐμποιεῖ* hæc absunt *ὡσεὶ ἔλεγε, περισσαὶ μὲν— οὐ γὰρ κατ' ἄν.*

Verba *πολλὴν δὲ— πάσχητε* non habentur.

Sic legitur *θαρροῦμεν δὲ, ὅτι ὅσα ἂν πάσχητε, οὐ περιτραπήσεσθε.*

1 Καὶ Τιμόθεος.

Ἀμφότεροι μὲν πρὸς αὐτοὺς ἀπεστάλησαν καὶ ὁ Τιμόθεος καὶ ὁ Τίτος, ἀλλὰ τὸν μακάριον Τίτον οὐ συνέταξεν ἐν τοῖσδε τοῖς γράμμασιν, ἐπειδήπερ αὐτὸν ὥρισεν εἶναι τούτων διάκονον. Δι' αὐτοῦ γὰρ τήνδε πέπομφε τὴν ἐπιστολήν· ἐκκλησίαν δὲ αὐτοὺς ὀνομάζει Θεοῦ, εἰς ὁμόνοιαν πάλιν συνάπτων.

Σὺν τοῖς ἁγίοις πᾶσι.

Ἁγίους αὐτοὺς καλεῖ, ἐμφαίνων ὅτι εἴ τις γεώδης, ταύτης ἐκτός ἐστι τῆς προσρήσεως· δοκοῦσι δὲ οὗτοι σαλεύεσθαι. Διὰ τοῦτο καὶ κοινὴν ποιεῖται τὴν ἴασιν. Τοῦτο καὶ πρὸς Γαλάτας καὶ Ἑβραίους γράφων ποιεῖ.

Συνέταξε δὲ αὐτοῖς καὶ ἅπαντας τοὺς ἐν τῷ ἔθνει πεπιστευκότας, ἓν σῶμα πάντας ἀποφαίνων τοὺς τῆς σωτηρίας ἠξιωμένους.

4 Ὁ παρακαλῶν.

Σημειῶσον ὅτι οὐκ εἶπεν ὁ μὴ ἐῶν ἡμᾶς θλίβεσθαι, ἀλλ' ὁ ἐν τῷ θλίβεσθαι παρακαλῶν· τοῦτο γὰρ καὶ τοῦ Θεοῦ τὴν δύναμιν δείκνυσι, καὶ τῶν θλιβομένων αὔξει τὴν ὑπομονήν· καὶ οὐκ εἶπεν ὁ παρακαλέσας, ἀλλ' ὁ παρακαλῶν· οὐ γὰρ ἅπαξ ἢ δὶς ἢ τρὶς, καὶ ἐν πάσῃ θλίψει, οὐ γὰρ ἐν τῇδε ἢ τῇδε, φησὶν, ἀλλ' ἐν πᾶσι δηλαδὴ καὶ ἀεί.

9 Ἀλλ' αὐτοὶ—

Ἑαυτῶν ἀπέγνωμεν παντελῶς, ἵνα τὴν ἐλπίδα ἐπὶ μόνῳ Θεῷ σχῶμεν· ὁ δὲ ἑαυτοῦ προαπογινώσκων, πῶς ἂν οἰκείᾳ βουλῇ ἢ δυνάμει ἢ ἀπολογίᾳ σώζεσθαι ἐλπίσοι, ὡς ἐξ ἀκολούθου τὸ ἅπαν ἑαυτοῦ ἐκδοῦναι Θεῷ.

Τί ἐστι, τὸ "ἀπόκριμα;" τὴν ψῆφον, τὴν προσδοκίαν, τὴν κρίσιν· τοιαύτην ἠφίει τὰ πράγματα φωνήν· τοιαύτην ἀπόκρισιν ἐδήλου τὰ συμβάντα, ὅτι ἀποθανούμεθα πάντως, οὐ μὴν μέχρι τῆς πείρας ἐξέβη τοῦτο, ἀλλὰ μέχρι τῆς ὑπονοίας ἔστη τῆς ἡμετέρας· ἡ μὲν γὰρ τῶν πραγμάτων φύσις τοῦτο ἀπεφήνατο, ἡ δὲ τοῦ Θεοῦ δύναμις οὐκ ἀφῆκε τὴν ἀπόφασιν εἰς ἔργον ἐλθεῖν, ἀλλ' ἐν τῇ διανοίᾳ μόνῃ τῇ ἡμετέρᾳ, καὶ ἐν τῇ προσδοκίᾳ τοῦτο συμβῆναι συνεχώρησε· διό φησιν "ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν," οὐκ ἐν τῇ πείρᾳ. Τοῦτο δὲ γέγονε διὰ τὸ μὴ πεποιθέναι ἡμᾶς, φησὶν, ἰδίᾳ δυνάμει ἢ βουλῇ, ἀλλ' ἐπὶ μόνῳ αὐτῷ, ὅτι καὶ τὰ παρ' ἡμῖν ἀνέλπιστα καὶ ἀδύνατα, αὐτῷ ῥᾴδια καὶ δυνατά· τοῦτο δὲ φησὶ τὸν Θεὸν πεποιηκέναι οὐχ ὡς αὐτοῦ τοῦ Παύλου δεομένου τοῦτο μαθεῖν· τίς γὰρ πλέον αὐτοῦ ᾔδει τὸ δεῖν ἐπὶ τῷ Θεῷ μόνῳ ἐλπίζειν, ἀλλ' ἵνα δι' ἡμῶν πολλοὶ ὠφεληθῶσι πρὸς τοῦτο· εἰπὼν δὲ "τῷ ἐγείροντι τοὺς νεκροὺς," ἐμφαίνει τὸ τοῦ κινδύνου μέγεθος. Cætera ut in Cod. 223.

Ὑμῶν ἕνεκεν τοῖς παντοδαποῖς περιπίπτομεν πειρασμοῖς· εἰ γὰρ προσφέρειν ὑμῖν τὸ σωτήριον οὐκ ἠβουλόμεθα κήρυγμα, οὐδεὶς ἂν ἡμῖν ἐπήνεγκε τὰ παθήματα. Ἐπειδὴ δὲ τῆς ὑμετέρας προμηθούμεθα σωτηρίας, παρὰ μὲν τῶν ἐναντίων τὴν τῶν σκυθρωπῶν δεχόμεθα προσβολὴν, παρὰ δὲ τοῦ δεσπότου Θεοῦ τὴν ψυχαγωγίαν καρπούμεθα, ὥστε καὶ τούτων κἀκείνων δι' ὑμᾶς ἀπολαύομεν,

κοινωνεῖτε δὲ ἡμῖν ἀμφότερα, ἅτε δὴ τὰ καθ' ἡμᾶς οἰκειούμενοι διὰ πολλῶν ἐνέφηνε τοῦ κινδύνου τὸ μέγεθος· καὶ γὰρ τὸ "ἐβαρή-"θημεν," καὶ τὸ "ὑπὲρ δύναμιν," καὶ τὸ "καθ' ὑπερβολὴν," τοῦτο σημαίνει· καὶ πρὸς τούτοις καὶ τὸ "ἐξαπορηθῆναι καὶ τοῦ "ζῆν·" λέγει δὲ τοῦτο, ὅτι τοσοῦτος ἦν ὁ κίνδυνος, ὡς ἀπορήσαντας ἡμᾶς ἀπαγορεῦσαι καὶ τὸ ζῆν· οἶμαι δὲ αὐτὸν τὴν κατὰ Δημήτριον τὸν ἀργυροκόπον στάσιν δηλονότι.

Ἐν τῇ Ἀσίᾳ.

Οὕτως ἦν, φησὶν, ὁ πειρασμὸς μέγας, ὥστε καὶ αὐτοῦ τοῦ ζῆν ἐκδιωχθῆναι ἡμᾶς.

Ἵνα ἐκ πολλῶν προσώπων.

Τουτέστιν, ἵνα κοινὴν τὴν χάριν ἐμοί τε καὶ ὑμῖν παράσχῃ, ἤτοι διὰ πολλῶν προσώπων τῶν ὑμετέρων δηλονότι, εὐχαριστηθῇ ὁ Θεὸς ὑπὲρ τῆς εἰς ἐμὲ χάριτος. Τούτου γὰρ γινομένου, πολλοὶ τὸν Θεὸν ὑμνήσουσιν ἐφ' ἡμῖν, ὁρῶντες ἡμᾶς διὰ κινδύνων ὁδεύοντας καὶ τούτους διὰ τῆς θείας ῥοπῆς διαφεύγοντας.

12 Ἡ γὰρ καύχησις ἡμῶν.

"Ἡ καύχησις ἡμῶν," φησὶν, "αὕτη ἐστί." τὸ συνειδὸς ἡμῶν μαρτυροῦν ἡμῖν ἀγαθὰ, "ὅτι ἐν ἁπλότητι καὶ εἰλικρινείᾳ" τουτέστιν ἄνευ δόλου, ἄνευ καλύμματός τινος καὶ ὑποκρίσεως, "οὐκ ἐν "σοφίᾳ σαρκικῇ," τουτέστιν, οὐκ ἐν δεινότητι καὶ στροφῇ λόγων συσκιαζούσῃ τὴν ἀλήθειαν "ἀνεστράφημεν, ἀλλ' ἐν χάριτι "Θεοῦ," τουτέστι σημείοις καὶ τέρασιν, ἅτινά ἐστι χαρίσματα τοῦ Θεοῦ.

14 Ὅτι καύχημα ὑμῶν ἐσμέν.

Εἰ γὰρ τοιοῦτος, φησὶ, δειχθῶ, οἷον εἴρηκα ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου, τουτέστιν ἐν τῇ κρίσει, "καύχημα ὑμῶν ἐσμεν," ὅτι τοιούτων, φησὶν, ηὐπορήσατε διδασκάλων· τῶν οὐδὲν ἀνθρώπινον διδαξάντων, καὶ ἡμεῖς δὲ ἐν ὑμῖν καυχησόμεθα ὅτι τοιούτων— Cætera ut in 223.

Καὶ ταύτῃ τῇ πεποιθήσει ἐβουλόμην.

"Καὶ ταύτῃ τῇ πεποιθήσει," φησὶ, τουτέστι, τὸ καυχᾶσθαι ἐφ' ὑμῖν τὸ καύχημα ἡμῶν εἶναι, τὸ ἀγαπᾷν ὑμᾶς, τὸ μηδὲν ἑαυτῷ πονηρὸν συνειδέναι. "Ἐβουλόμην πρὸς ὑμᾶς ἐλθεῖν τὸ πρό-

" τερον, ἵνα διπλῆν χάριν ἔχητε," καὶ τὴν διὰ τῶν γραμμάτων, καὶ τὴν διὰ τῆς παρουσίας· χάριν δὲ τὴν χαρὰν λέγει.

13 Οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν.

" Οὐ γὰρ ἄλλα," φησὶ, τουτέστι ξένα καὶ ἀλλότρια ἡμῶν ἐγράφομεν ὑμῖν, ἀλλ' ἐκεῖνά φησιν ἐγράφομεν ὑμῖν, ἃ ἀναγιγνώσκετε, τουτέστιν ἃ ὑπομιμνήσκεσθε εἶναι παρ' ἡμῖν· ἀνάγνωσις γάρ ἐστιν ἡ ὑπόμνησις ἡ ἄνωθεν γνῶσις· καὶ τί λέγω ταῦτα; ἀλλὰ καὶ ἅτινα ἐπιγινώσκετε εἶναι ἡμῶν ἴδια, μήτε ὑπομνησθῆναι δεόμενοι, διὰ τὸ πρόδηλον αὐτῶν, ἀλλ' ἀκριβῶς εἰδότες καὶ πρὸ ὑπομνήσεως· " ἐλπίζω δὲ ὅτι καὶ ἕως τέλους ἐπιγνώσεσθε, καθὼς " καὶ ἐπέγνωτε ἡμᾶς" τοιούτους ὄντας, οἵους αἱ ἐπιστολαὶ δηλοῦσι, καὶ ὁ παρελθὼν ἐγγυᾶται βίος, καθὼς ἐκ μέρους φησὶν, ἔγνωτε.

17 Τοῦτο οὖν βουλευόμενος.

" Τοῦτο οὖν βουλευόμενος," τὸ ἐλθεῖν πρὸς ὑμᾶς τίνος ἕνεκεν οὐκ ἦλθον; ἄρα ὡς ἐλαφρὸς καὶ εὐρίπιστος τοῖς οἰκείοις ἐναντιούμενος λόγοις; μὴ γένοιτο, ἀλλὰ τί τὸ αἴτιον; ὅτι ἃ βουλεύομαι, φησὶν, οὐ κατὰ σάρκα βουλεύομαι, ἵνα ᾖ παρ' ἐμοὶ τὸ ναὶ, ναὶ, καὶ τὸ οὒ οὔ· ὅπερ αὐτὸς ἐρωτηματικῶς τέθεικε· ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὁ σαρκικὸς ἄνθρωπος, καὶ κατὰ σάρκα βουλευόμενος, ὁ δὲ ὑπὸ τοῦ πνεύματος ἀγόμενος οὐκ ἔχει ἐξουσίαν βαδίζειν ὅπου θέλει, ἀλλ' ἐκεῖνα ἀναγκάζεται ποιεῖν, ἃ βούλεται τὸ Πνεῦμα, ὥστε οὐχ ὡς εὐρίπιστος καὶ ἐλαφρὸς ἐλθεῖν ὑπερεθέμην, ἀλλὰ τοῦ Πνεύματος ἀλλαχοῦ εἴπερ ἐβουλόμην ἄξαντος.

Ὅρα δὲ σοφίαν, ὅπερ οἱ λοιδοροῦντες πρόφασιν διαβολῆς ἐποιοῦντο τὸ ὑποσχόμενον μὴ ἐλθεῖν· τοῦτο αὐτὸς πρόφασιν ἐγκωμίου ποιεῖται, τὸ μὴ ἐξουσιάζειν ἑαυτοῦ, ἀλλ' ἄγεσθαι ὑπὸ τοῦ Πνεύματος ὅπου αὐτῷ δόξει.

22 Καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος.

Διὰ μέντοι τοῦ ἀρραβῶνος ᾐνίξατο τῶν δοθησομένων τὸ μέγεθος. Ὁ γὰρ ἀρραβὼν μικρόν τι μέρος ἐστὶ τοῦ παντός· εἶτα διδάσκει σαφέστερον τί δήποτε προτέρους μὲν αὐτοὺς ἰδεῖν ἠβουλήθη, μετὰ Μακεδόνας δὲ παραγενέσθαι πρὸς αὐτοὺς ἐπηγγείλατο.

18 **Πιστὸς δὲ ὁ Θεός.**

Ἀντίθεσιν ἀνακύπτουσαν λύει· εἰ οὐκ ἔστι, φησὶ, παρὰ σοὶ τὸ ναὶ καὶ οὔ, ἀλλὰ ἃ νῦν λέγεις ἀνατρέπεις μετὰ ταῦτα, ὥσπερ ἐπὶ τῆς ἐπιδημίας τῆς σῆς ἐποίησας· οὐαὶ ὑμῖν, μήποτε καὶ ἐν τῷ κηρύγματι τοῦτο γέγονεν. ἵνα οὖν μὴ ταῦτα ἐννοοῦντες ταράττονται, φησὶν ὅτι οὐκ ἐπὶ τοῦ κηρύγματος οὕτως ἐγένετο· τὰ μὲν γὰρ ἀνθρώπινα οἷόν τε διαψευσθῆναι, τὰ δὲ τοῦ Θεοῦ οὐχ οὕτως· διὸ, φησὶ, "πιστὸς ὁ Θεὸς," τουτέστιν, ἀληθής. μὴ οὖν ὑποπτεύετε τὰ ἐκείνου οὕτως· οὐδὲν γὰρ ἐν αὐτοῖς ἀνθρώπινον ὑπάρχει.

19 **Ὁ γὰρ τοῦ Θεοῦ υἱὸς Ἰησοῦς Χριστός.**

Ἐπειδὴ εἶπε λόγον, ἐπάγει λοιπὸν, ποῖον λόγον φησὶ, τὸ δὲ ναὶ καὶ τὸ οὔ τοῦτο σημαίνει· οὐκ ἀνέτρεψα, φησὶν, ἃ πρότερον εἴπομεν τῷ κηρύγματι, οὐδὲ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο διελέχθην ὑμῖν, "ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονε," τουτέστιν, ὅπερ εἶπον· ἀπαρασαλεύτως καὶ βεβαίως ὁ λόγος μένει· "ὅσαι γὰρ ἐπαγγελίαι "Θεοῦ, ἐν αὐτῷ τὸ ναὶ, καὶ ἐν αὐτῷ τὸ ἀμὴν, τῷ Θεῷ πρὸς δόξαν "δι' ἡμῶν·" ἐπειδὴ γὰρ, φησὶν, ἐν τῷ κηρύγματι πολλά ἐστι τὰ ἐπαγγελλόμενα, οἷον ἀνάστασις νεκρῶν, υἱοθεσία, τὰ μέλλοντα ἀγαθά· φησὶν οὖν, οὐ μόνον τὸ κήρυγμα ἀεὶ ὡσαύτως ἔχει καὶ κεκήρυκται, ἀλλὰ καὶ αἱ ἐν αὐτῷ ἐπαγγελίαι· οὐ γὰρ ἐγένετο αὐταῖς καὶ οὔ· τουτέστιν, οὐ ποτὲ μὲν ἀληθῆ τὰ εἰρημένα, ποτὲ δὲ ψευδῆ, ἀλλ' ἀεὶ ἀληθῆ.

23 **Ἐγὼ δὲ μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμαι.**

Ἔξωθεν συνυπακουστέον, αὐτός ἐστιν ὁ πληρῶν τὰς οἰκείας ὑποσχέσεις. ζητητέον δὲ πῶς ἄνωθεν εἰπὼν, διὰ τοῦτο μὴ ἀπεληλυθέναι, ὡς οὐκ ἔχων ἑαυτοῦ ἐξουσίαν, ἀλλ' ὑπὸ τοῦ Πνεύματος εἰς ἕτερα ἀποσταλεὶς, νῦν λέγει, "ὅτι φειδόμενος ὑμῶν οὐκ ἦλθον." φαμὲν οὖν ὅτι ὅτε λοιπὸν ἠφήθη (sic) ὑπὸ τοῦ Πνεύματος ἀπελθεῖν, διὰ τὸ φείδεσθαι αὐτῶν οὐκ ἀπῆλθεν· ἢ ὅτι μετὰ τῆς κωλύσεως τοῦ Πνεύματος καὶ τοῦτο ἐκώλυσεν· ἢ ὅτι καὶ διὰ τοῦτο ἐκ τοῦ Πνεύματος ἐκωλύθη· ἦσαν γάρ τινες ἁμαρτήσαντες καὶ μὴ μετανοήσαντες· περιέμενεν οὖν τὴν μετάνοιαν αὐτῶν· "φειδόμενος" δὲ διὰ τοῦτο εἶπεν, ἐπειδὴ ἐπετέτραπτο παρὰ Θεοῦ καὶ τιμωρεῖσθαι τοὺς ἁμαρτάνοντας.

20 Τῷ Θεῷ πρὸς δόξαν δι' ἡμῶν.

Πληροῖ αὐτὰς δι' ἡμῶν, τουτέστι, καὶ τῶν εἰς ἡμᾶς εὐεργεσιῶν πρὸς δόξαν τὴν αὐτοῦ· τοῦτο γάρ ἐστι "τῷ Θεῷ πρὸς δόξαν."

23 Ἐγὼ δὲ μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμαι.

Πεῖσαι βουληθεὶς ὁ θεῖος Ἀπόστολος, ὡς ἀληθῆ τὰ λεγόμενα, τὸν τῶν ἐννοιῶν ἐπόπτην εἰς μαρτυρίαν ἐκάλεσεν· εἶτα κολάζει τὸ τραχὺ τῶν εἰρημένων· σκληρὸς γὰρ ἦν καὶ ἀπειλῆς γέμων, ὅτι φειδόμενος αὐτῶν τὴν πρὸς αὐτοὺς ὁδὸν ἀνεβάλλετο, καί φησιν, "οὐχ ὅτι κυριεύομεν ὑμῶν·" τοῦτο δὲ ὡς ὑφορβοῦν τέθεικε· διὸ καὶ ἐπήγαγε ταῦτα, οὐχ ὡς δεσπόζων ὑμῶν εἴρηκα.

24 Ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν.

Ἐπειδὴ γάρ, φησίν, ἡ χαρὰ ὑμῶν ἡμετέρα ἐστὶν, οὐκ ἦλθον, ἵνα μὴ ἐμβάλω λύπην εἰς ὑμᾶς, ἀνακρίνων ὑμᾶς, φησὶν, ἕνεκεν τῶν σφαλμάτων ὑμῶν κατὰ πρόσωπον, ἀλλ' ἐμήνυσα, ἵνα διορθωθέντες ἀπὸ τῆς ἀπειλῆς εὐφρανθῆτε.

1 Τὸ μὴ πάλιν ἐλθεῖν ἐν λύπῃ πρὸς ὑμᾶς.

Τὸ "πάλιν" εἰπὼν, δείκνυσι καὶ ἤδη λυπηθέντα αὐτὸν ἐπ' αὐτοῖς. ὁ δὲ Θεοδώρητος, τὸ "πάλιν" τῇ παρουσίᾳ οὐ τῇ λύπῃ συνέζευκται.

2 Εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς.

Εἰ καὶ λυπῶ, φησὶν, ὑμᾶς ἐν τῷ ἐπιτιμᾷν, ἐν τῷ ἀποστρέφεσθαι ὑμᾶς· πλὴν εὐφραίνομαι δι' αὐτὸ τοῦτο, ὅτι τοσοῦτον ὑμῖν ἐμοῦ μέλει, ὡς δάκνεσθαι ἐκ τῆς ἀποστροφῆς καὶ λύπης.

Τίς γάρ με οὕτως εὐφραίνει, φησὶν, ὡς τῶν ἐγκαλουμένων ἡ αἴσθησις· τεκμήριον γὰρ αὕτη τῆς ἐκ τῶν ἐγκλημάτων ἐγγινομένης ὠφελείας. Τοῦτο δὲ εἰπὼν ἐμφαίνει αὐτοὺς ὠφεληθέντας ἐκ τῆς ἐπιτιμήσεως τῆς διὰ τὸν πεπορνευκότα εἰς αὐτοὺς διὰ τὴν εἰς αὐτοὺς κοινωνίαν γενομένης.

3 Καὶ ἔγραψα ὑμῖν τοῦτο αὐτό.

Καὶ τοῦτο αὐτὸ, φησὶν, ἔγραψα ὑμῖν, ἵνα διορθώσησθε καὶ μὴ λύπην σχῶ ἀφ' ὑμῶν, ἀφ' ὧν κατορθούντων χαίρειν ἔδει· πέποιθα γὰρ, ὅτι ἡ διόρθωσις τῶν ἀδελφῶν καὶ ἐμοὶ τίκτει χαρὰν καὶ ὑμῖν. ἡ γὰρ ἐμὴ χαρὰ πρόφασις γίνεται καὶ ὑμετέρας χαρᾶς. ἐπεὶ οὖν ἡ διόρθωσις τῶν ἀδελφῶν κοινῆς χαρᾶς γίνεται πρόξενος, πάνυ

αὐτῆς ἐρῶ, καὶ μὴ γινομένης ἀλγῶ. τοιγαροῦν τὰς ἐγκλήσεις καὶ τὰς ἐπιτιμήσεις ἃς ἔγραψα, ἀπὸ θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα, οὐχ ἵνα λυπηθῆτε σπουδάζων, ἀλλ' ἵνα πνευματικῶς καὶ ἐπὶ διορθώσει λυπηθῆτε. ἀλλὰ τοῦτο μὲν οὐ λέγει, ἀλλ' ἵνα τὴν ἀγάπην μου, φησὶ, γνῶτε· τὸ γὰρ ἐμὲ ἀδημονεῖν ἐφ' οἷς ἁμαρτάνετε ὑμεῖς, δεῖγμα μεγίστης ἀγάπης.

5 Εἰ δέ τις λελύπηκεν.

Μεῖζόν τι εἰπεῖν οὐκ ἠβουλήθη καὶ δεῖξαι πᾶν τὸ σῶμα τῆς ἐκκλησίας κοινωνῆσαν τῆς λύπης, ἀλλὰ τοὺς ἄλλους καταλιπὼν αὐτῶν ἐμνημόνευσε μόνον· τοῦτο γὰρ δηλοῖ τὸ ἀπὸ μέρους, καὶ ἵνα μὴ ἐπιβαρῶ. Εἶτα τὴν πατρικὴν φιλοστοργίαν γυμνοῖ, ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων. Εἰ δέ τις γὰρ, φησὶ, λελύπηκε, τὸν πεπορνευκότα λέγει. τὸ δὲ "ἀπὸ μέρους" ἀντὶ τοῦ ἐν μέρει· ἐν μέρει δὲ εἶπον, φησὶν, "ἵνα μὴ ἐπιβαρῶ," τοῦτ' ἔστιν, ἐπιπαροξύνω κατ' αὐτοῦ "πάντας ὑμᾶς."

Ἀλλὰ ἀπὸ μέρους.

Οἶδα, φησὶν, ὅτι οὐκ ἐμὲ μόνον λελύπηκεν, ἀλλὰ καὶ πάντας ὑμᾶς τὸ συμβάν· "ἀπὸ μέρους" δὲ εἶπεν, οὐχ ὡς ὑμῶν ἐλάττονα ἀλγησάντων ἢ ἐγὼ, ἀλλ' ἵνα μὴ βαρήσω ἐκεῖνον· φησὶ δὲ διὰ τὸν πορνεύσαντα ἐν Κορίνθῳ.

7 Ὥστε τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι.

Ὅρα πῶς πάλιν αὐτῶν καταστέλλει, ἵνα μὴ τῇ συγχωρήσει γένηται χείρων· οὐ γὰρ ἐπειδὴ ἄξιός ἐστιν, οὐ δὲ ἐπειδὴ ἀρκοῦσαν μετάνοιαν ἐπεδέξατο, ἀλλ' ἐπειδὴ ἀσθενής ἐστι· διὰ τοῦτο, φησὶν, ἀξιῶ· διὸ καὶ ἐπήγαγε, "μή πως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ." τί ἐστι τὸ "καταποθῇ;" ἢ τὸ ποιήσας ὅπερ Ἰούδας ἐποίησεν, ἢ καὶ ἐν τῷ ζῆν χεῖρον γενόμενον πῶς ἀποσκιρτήσῃ, μὴ φέρων ἐπὶ πλεῖον τὴν ἐπίπληξιν, οὐχ ὡς ἀπονηψάμενον τέλεον, ἀλλ' ὡς δεδοικὼς μὴ χαλεπώτερον ἐργάσηται, οὕτως ἐδεξάμην, φησίν· ὅθεν μανθάνομεν ὅτι οὐ δεῖ μόνον πρὸς τὴν φύσιν τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ πρὸς τὴν διαφορὰν καὶ τὴν ἕξιν τῶν ἁμαρτανόντων, τὴν μετάνοιαν ὁρίζειν.

Ὥστε τοὐναντίον.

Ἵνα μὴ νομίσῃ ὁ πεπορνευκὼς ἱκανῶς μετανενοηκέναι, καὶ τοῦ

λοιποῦ ῥᾳθυμότερος γένηται, φησὶ τὸ " χαρίσασθε," τουτέστι εἰ καὶ μὴ ἄξιός ἐστι λαβεῖν κατὰ ὀφειλὴν τὴν συγγνώμην, μὴ μόνον, φησὶ, λύσητε τὴν ἐπιτίμησιν, ἀλλὰ καὶ πάλιν παρακαλέσατε αὐτὸν, καὶ ἐν τῇ προτέρᾳ ἔχετε τάξει· ἐναντίον δέ ἐστιν ἡ παράκλησις τῇ ἐπιτιμήσει.

9 Εἰς τοῦτο γὰρ καὶ ἔγραψα.

Διὰ τοῦτο, φησὶν, ἔγραψα ὑμῖν ταῦτα, ἵνα γνῶ, εἰ ἄρα ὥσπερ ἠκούσατέ μου καὶ ἀπεκόψατε, ἐὰν τοὺς ἀπ' αὐτοῦ οὕτως μου ἀκούσεσθε εἰς τὸ δέξασθαι αὐτόν. Εἰ γὰρ καὶ διὰ τὴν ἐκείνου σωτηρίαν, ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ, ἔγραψεν, ἀλλὰ προτρέψασθαι αὐτοὺς πρὸς τὸ πεισθῆναι βούλεται· μεγίστην δὲ δείκνυσι τῶν Κορινθίων ἀρετήν· οὕτω γὰρ μετεβλήθησαν, ὥστε εἰς ἔχθραν ἄσπονδον τοῦ πεπορνευκότος γενέσθαι.

10 Ὧι δέ τι χαρίζεσθε, καὶ ἐγώ.

Τοῦτο φησὶ, τὰ δεύτερα ἑαυτῷ διδοὺς, ἵνα τὴν ἐκείνων γνώμην μαλάξῃ· ὃ γὰρ ἂν ὑμεῖς συγχωρήσητε, κἀγὼ συγχωρῶ.

11 Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν.

Τὸ ποικίλον, τὸ δολερὸν, τὸ κακομήχανον, τὸ κακοῦργον, τὸ ἐπὶ προσχήματι εὐλαβείας ἐπηρεαστικὸν ἐμφαίνων.

10 Ἐν προσώπῳ Χριστοῦ.

Εἰς δόξαν Χριστοῦ, ἢ ὡς τοῦ Χριστοῦ καὶ τοῦτο κελεύοντος, ὃ μάλιστα αὐτοὺς ἔπειθε· τοῦτο γὰρ τὸ " ἐν προσώπῳ Χριστοῦ." Τοῦτο δὲ, φησὶν, ἐποίησα, ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ. εἰ γὰρ ἐάθη οὗτος, καὶ ἐκ τῆς περισσοτέρας λύπης κατεπόθη, ἐμέλλομεν πλεονεκτεῖσθαι ὑπὸ τοῦ Σατανᾶ λαμβάνοντος τὸ μὴ ἑαυτοῦ διὰ τῆς ἀπογνώσεως, ἀλλὰ τὸ τοῦ Χριστοῦ διὰ μετανοίας.

13 Ἀλλὰ ἀποτεξάμενος αὐτοῖς.

Τουτέστιν, οὐ διέτριψα πολὺν χρόνον, στενοχωρούμενος, ὀδυνώμενος.

14 Τῷ δὲ Θεῷ χάρις.

Τουτέστιν, εὐχαριστοῦμεν τῷ Θεῷ τῷ φανεροῦντι ἡμᾶς διὰ τοῦ πάσχειν κακῶς μετὰ τῶν τοῦ διαβόλου τροπαίων· τοῦτο γὰρ ὁ θρίαμβος βούλεται· ἐν γὰρ τῷ πάσχειν κακῶς αἱ κατὰ τοῦ δια-

βόλων νίκαι συνίστανται· ἐν Χριστῷ δὲ, φησὶ, τουτέστι διὰ τὸν Χριστὸν καὶ τὸ κήρυγμα.

Καὶ τὴν ὀσμὴν τῆς γνώσεως.

Ἡ ὀσμὴ τῆς γνώσεως δύο δηλοῖ, ὅτι τε τὸ κήρυγμα οὐράνιον ὑπάρχει μύρον, καὶ ὅτι οὐκ ἀνακεκάλυπται πᾶσιν· ὥσπερ γὰρ ἡ ὀσμὴ δηλοῖ ποῦ μὲν εἶναι μύρον, τὴν δὲ οὐσίαν αὐτὴν οὐ δηλοῖ πνέοντος, οὕτω καὶ ἡ διὰ τοῦ κηρύγματος γνῶσις δηλοῖ μὲν εἶναι Θεὸν, ὁποῖος δὲ τὴν οὐσίαν ἐστὶν οὐκέτι.

15 Ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ.

Ἄντε γὰρ σώζεταί τις, φησὶν, ἄν τε ἀπόλλυται, τὸ εὐαγγέλιον τὴν οἰκείαν ἀρετὴν ἔχον μένει· οὐ γὰρ αὐτοῦ τὸ ἔργον ἡ ἀπώλεια, ἀλλὰ τῆς ἐκείνων ἀγνωμοσύνης. Εὐωδία τοίνυν ἐσμὲν τοῦ οὐρανίου μύρου καὶ θυμιάματος, τὴν ὀσμὴν αὐτοῦ περιφέροντες· πανταχοῦ δὲ εὐωδία ἐσμὲν ἐν Χριστῷ τῷ Θεῷ, οἷον ἀναφερομένη πως, ἢ ἑαυτοὺς ἱερουργοῦντες, ἢ ἀπὸ τῶν ἔξωθεν καθ' ἡμέραν ἀποθνήσκοντες, καὶ εἰς ἱερεῖον λογιζόμενοι Χριστοῦ. καὶ εὐωδίαν τοῦ εὐαγγελίου κηρύσσομεν τοῦ Χριστοῦ, κἂν τις ἐκ τούτου σώζηται διὰ πίστιν, κἂν τις ἀπόλλυται δι' ἀπιστίαν. Ὥσπερ γὰρ ὁ ἥλιος τοῖς ἀμβλυώττουσιν οὐ κατὰ τὴν οἰκείαν ὁρᾶται φύσιν, οὕτω καὶ τὸ κήρυγμα καὶ ἡμεῖς, κἂν ἀπολοῦνταί τινες τῇ ἀπιστίᾳ. οὐ παρὰ τοῦτο οὐκέτι πνευματικὸν τὸ μύρον, ἀλλὰ καὶ τοὺς κακοὺς ἐλέγχει, ἐπεὶ καὶ τὸ μύρον τοὺς χοίρους πνίγει[a], ὡς λόγος.

16 Οἷς μὲν ἡ ὀσμὴ θανάτου εἰς θάνατον.

Τὸ γὰρ πᾶν τοῦ Χριστοῦ, φησὶν, ἐστίν· τὴν γὰρ εὐωδίαν ταύτην οἱ μὲν οὕτω προσίενται ὥστε σωθῆναι, οἱ δὲ οὕτως ὥστε ἀπολέσθαι, ὥστε κἂν ἀπόλλυταί τις, παρ' αὐτοῦ ἡ αἰτία.

17 Καὶ πρὸς ταῦτά τις ἱκανός;

Ἄρα πρὸς τοσαύτην χάριν δοκεῖτε ἡμᾶς ἱκανοὺς εἶναι, ὡς εἶναι εὐωδίαν Χριστοῦ; οὐ μενοῦν, ἀλλὰ τὸ ὅλον τῆς χάριτός ἐστιν· οὐ γὰρ μιμούμεθα τοὺς ψευδαποστόλους, τὰ πολλὰ αὐτῶν εἶναι λέγοντας· τοῦτο γάρ ἐστι τὸ καπηλεῦσαι, ὅταν τις νοθεύῃ τὸν οἶνον,

[a] πνήγει Cod.

καὶ ὅταν χρημάτων πωλῇ, ὃ ἐκελεύσθη δωρεὰν δοῦναι· ἀλλ' ὡς ἐκ Θεοῦ λαβόντες, καὶ μαθόντες, καὶ ὡς ἐνώπιον τοῦ Θεοῦ λαλοῦντες, καὶ ὡς ἐν Χριστῷ, τουτέστι διὰ Χριστὸν ἐνηχούμενοι οὕτω λαλοῦμεν.

1 Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν.

Ἴσως ἐρεῖ τις, φησὶν, ὅτι ταῦτα διεξερχόμεθα, βουλόμενοι ὑμῖν ἑαυτοὺς συνιστᾷν, εἶτα κατ' ἐρώτησιν ἀνάγνωθι· ἆρα μὴ χρῄζομεν ἢ ἀφ' ὑμῶν πρὸς ἑτέρους, ἢ ἀφ' ἑτέρων πρὸς ὑμᾶς συστατικῶν; τουτέστι παραθετικῶν ἐπιστολῶν· διὰ τούτου δὲ τοὺς ψευδαποστόλους αἰνίττεται.

2 Ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε.

Τουτέστιν, ἀντὶ ἐπιστολῆς δυναμένης ἡμᾶς παραθέσθαι ὑμᾶς ἔχομεν, καὶ τὴν ὑμῶν κατὰ Θεὸν εὐδοκίμησιν· δεῖγμα γὰρ ἀρετῆς διδασκάλου ἡ τῶν μαθητῶν εὐδοκίμησις. οἱ οὖν πρὸς ἄλλους ὑμᾶς ἔχοντες εἰς λόγον συστάσεως, οὐκ ἂν πρὸς ὑμᾶς συστάσεως ἐδεήθημεν· ἐν νῷ γὰρ ὑμᾶς ἔχοντες, ὡς καὶ ἐγγεγράφθαι ἡμῖν δοκεῖν διὰ τὸ ἀνεξάλειπτον, πανταχοῦ περιφέρομεν ὑμᾶς, καὶ ἐκ τῆς ὑμῶν ἀρχῆς ἔχομεν παρ' ἑτέροις σύστασιν· ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστὲ ἐν Κυρίῳ.

3 Φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ.

Ἐπιστολὴ Χριστοῦ διακονηθεῖσα ὑφ' ἡμῶν· ὑμεῖς ἐστὲ, φησὶ τὸ τὸν νόμον αὐτοῦ καὶ τὰς ἐντολὰς παρ' ὑμῖν γραμμάτων δίκην μένειν καὶ φυλάττεσθαι· καὶ ἡμεῖς τῆς γνώσεως καὶ τοῦ κηρύγματος τούτου διάκονοι γεγενήμεθα· καὶ ὥσπερ Μωσῆς τοῦ νομου τοῦ γραπτοῦ γέγονε διάκονος, οὕτω καὶ ἡμεῖς τοῦ κηρύγματος. εἶτα εἰς σύγκρισιν ἦλθεν τοῦ παλαιοῦ νόμου καὶ τῆς νέας, καί φησιν, ὅτι ἐκεῖνος μὲν μέλανι, αὕτη δὲ Πνεύματι γέγραπται, ἐκεῖνος ἐν λίθοις, αὕτη δὲ ἐν σαρκίναις πλαξὶν, ἤγουν ἐν καρδίαις· ὅσῳ οὖν ταῦτα τῶν ἄλλοθεν διαφέρει, τοσούτῳ, φησὶ, καὶ ἡ νέα τοῦ νόμου καὶ τῆς παλαιᾶς.

4 Πεποίθησιν δὲ τοιαύτην ἔχομεν.

Ἐπειδὴ ἔδειξε τὴν νέαν, ἔδειξε μείζονα τοῦ νόμου καὶ τῆς παλαιᾶς, συνυπηκούετο κατὰ τὸ ἀκόλουθον καὶ τοῦ διακόνου τῆς

παλαιᾶς Μωϋσέως μείζους εἶναι τοὺς Ἀποστόλους, ὅλον τῷ Θεῷ ἀνατίθησι τὸ πρᾶγμα· ἐφ' ὧν γὰρ τὰ πράγματα μείζονα, ἐπὶ τούτων καὶ οἱ διάκονοι. εἰπὼν δὲ τὴν καινὴν διὰ Πνεύματος εἶναι, οὐ τοῦτο φησὶν, ὅτι ἡ παλαιὰ οὐκ ἔστιν ἐκ Πνεύματος· ἦν μὲν γὰρ ὁ νόμος πνευματικὸς, ἀλλ' οὐ πνεῦμα ἐχαρίζετο, ὅπερ ποιεῖ τὸ κήρυγμα. ὡσεὶ ἔλεγεν, ἡμεῖς οὐ γράμματα ἐπιστεύθημεν, ὡς Μωσῆς, ἀλλὰ πνεῦμα διδόναι· διὰ γὰρ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν Ἀποστόλων, ἐπιφοίτησις ἐγίνετο Πνεύματος Ἁγίου. Τὸ μὲν γὰρ γράμμα, τουτέστιν ὁ νόμος, ἀποκτείνει· ἐὰν γὰρ εὕρῃ πλημμελοῦντα, ἀναιρεῖ· τὸ δέ γε Πνεῦμα νενεκρωμένους ταῖς ἁμαρτίαις λαμβάνον, ἐν τῷ βαπτίσματι ζωοποιεῖ.

7 Εἰ δὲ ἡ διακονία τοῦ θανάτου.

Θεοδωρήτου. Τὴν διακονίαν τοῦ νόμου διακονίαν θανάτου προσηγόρευσεν, ἐπειδὴ τοὺς παραβαίνοντας ὁ νόμος ἐκόλαζεν· εἰ τοίνυν φησὶν, ἔνθα τιμωρία, καὶ θάνατος καὶ γράμματα λίθοις ἐγκεκολαμμένα, τοσαύτην ὁ ταῦτα κομίζων ἐν τῷ προσώπῳ δόξαν ἐδέξατο, πολλῷ μᾶλλον οἱ θείῳ διακονοῦντες Πνεύματι, πλείονος ἀπολαύσονται δόξης.

Διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ.

Οὐ διὰ τὴν δόξαν τῶν πλακῶν, φησὶν, ἐφ' αἷς μεγαλαυχεῖς, ὦ Ἰουδαῖε, ἀλλὰ διὰ τὴν δόξαν τοῦ προσώπου Μωσέως, καὶ ταύτην δὲ καταργουμένην, τουτέστι, παυομένην, καὶ τέλος λαμβάνουσαν. Οὐ γὰρ πονηρὰν φημὶ καὶ διεφθαρμένην.

9 Εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως.

Εἰ γὰρ δόξα ἐστὶ, φησὶν, ἐν τῷ νόμῳ, καί τοι ὄντι διακόνῳ θανάτου καὶ κατακρίσεως· πολλῷ μᾶλλον οὐ μόνον ἐστὶν ἐν τῇ νέᾳ δόξα, ἀλλὰ καὶ περισσεύει. τοῦ μὲν γὰρ νόμου ἁμαρτωλοὺς λαμβάνοντος καὶ τιμωρουμένου, τὸ κήρυγμα ἐν τῷ βαπτίσματι οὐ μόνον ἀνευθύνους ἀφίησιν, ἀλλὰ καὶ ἁγιάζει καὶ υἱοθετεῖ· ὅθεν καὶ διακονία δικαιοσύνης εἴρηται.

10 Καὶ γὰρ οὐδὲ δεδόξασται.

Τοιαύτη γάρ ἐστι, φησὶν, ἡ τοῖς διακόνοις τῆς χάριτος προσεσομένη δόξα, ὅτι οὐδὲ δόξαν εἴποι τις ἂν εἰκότως τὴν Μωυσῇ

προσγενομένην, ἀποβλέπων εἰς τούτους· ἐν νυκτὶ μὲν γὰρ τὸ λυχναῖον φῶς φανώτατον εἶναι δοκεῖ, ἐν μεσημβρίᾳ δὲ μέσῃ κρύπτεται, καὶ οὐδὲ φῶς εἶναι νομίζεται· τὸν δὲ νόμον ἐκάλεσε καταργούμενον, ὡς παυσάμενον τῇ Χριστοῦ παρουσίᾳ, μένον δὲ τὸ τῆς χάριτος δῶρον, ὡς οὐ ληψόμενον τέλος· εἰ τοίνυν ἐκεῖνο, φησὶ, τετύχηκε δόξης, δηλονότι καὶ τοῦτο πολλαπλασίας τεύξεται.

Ἐὰν γὰρ, φησὶ, συγκρίνω ταύτην ἐκείνῃ, οὐδὲ δόξα ἐστὶν ἡ δόξα τῆς παλαιᾶς, οὐχ ἁπλῶς τὸ μὴ εἶναι δόξαν κατασκευάζων, ἀλλὰ τῷ τῆς συγκρίσεως λόγῳ· διὸ καὶ ἐπήγαγεν, "ἐν τούτῳ τῷ "μέρει," τουτέστι κατὰ τὸν τῆς συγκρίσεως λόγον· οὐ μὴν δὲ τοῦτο διαβάλλει τὴν παλαιὰν, ἀλλὰ καὶ συνίστησιν· αἱ γὰρ συγκρίσεις ἐπὶ τῶν συγγενῶν εἰώθασι γίνεσθαι.

Ἐπαίρει δὲ τὴν τοῦ νόμου δόξαν νῦν, καὶ ἠρέμα καθαιρεῖ αὐτήν, οὐ γὰρ ὁ νόμος εἶχε τὴν δόξαν, ἀλλ' ὁ Μωσῆς· καὶ ὁ Μωσῆς δὲ οὐ μένουσαν εἶχε δόξαν, ἀλλὰ καταργουμένην, τουτέστι, παυομένην· ἐπειδὴ γὰρ ἄνω ἐπῆρε τὰ κατὰ τὸν νόμον, νῦν αὐτὰ καθαιρεῖ, ἵνα συγκαθέλῃ τὰ Ἰουδαϊκά.

12 Ἔχοντες οὖν τοιαύτην ἐλπίδα.

Ἐπεὶ οὖν, φησὶ, μειζόνων ἡμεῖς οἱ τῆς νέας διάκονοι ἠξιώθημεν ἢ οἱ τῆς παλαιᾶς, μετὰ παρρησίας τὸ κήρυγμα κηρύσσομεν, οὐδὲν ἀποκρύπτοντες, οὐδὲ ὑποστελλόμενοι.

13 Καὶ οὐ καθάπερ Μωσῆς.

Τὸ ἀκόλουθον ἦν εἰπεῖν πρὸς τὸ μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον τοῦ καταργουμένου, τουτέστι τοῦ καταργεῖσθαι καὶ παύεσθαι ἀπὸ τῆς δόξης μέλλοντος· βουλόμενος δὲ δεῖξαι ὀλιγοχρόνιον τὴν δόξαν ἐκείνην, ὡς πρὸς σύγκρισιν τῆς ἀεὶ μενούσης ἐν τῇ νέᾳ δόξῃ, φησὶν "εἰς τὸ τέλος τοῦ καταργουμένου," τοῦτο δὲ οὐ παρὰ τὴν τῆς δόξης ὑπερβολὴν ἐγένετο, ἀλλὰ παρὰ τὸ ἀσθενὲς τῶν ὁρώντων.

Εἰς τὸ τέλος.

Τουτέστι τοῦ νόμου, ὅτι τέλος ἔχει.

14 Ἄχρι γὰρ τῆς σήμερον.

Οὐ τοῦτό φησιν αἴτιον, ἡ τοῦ νόμου ἀσάφεια ὡς μὴ νοουμένου,

ἀλλ᾽ ὡς αὐτῶν μὴ δυναμένων τὴν διάνοιαν τοῦ νόμου γνῶναι· εἰ γὰρ ἔγνωσαν, ἀπέστησαν ἂν ἀπ᾽ αὐτοῦ, καὶ Χριστῷ ἐπίστευσαν· τοῦτο γὰρ ὁ νόμος βούλεται· ἐν Χριστῷ γὰρ, φησὶ, καταργεῖται, τουτέστιν, ὁ Χριστὸς καταργεῖ τὸ κάλυμμα· αὐτὸς γὰρ ὢν ἡ ἀλήθεια παύει τὴν σκιὰν καὶ τὴν διπλόην τοῦ νόμου.

15 Ἀλλ᾽ ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται Μωσῆς.

Ἕως σήμερον, φησὶν, ἡνίκα ἀναγινώσκηται Μωσῆς, τουτέστιν, ἡνίκα ἐμφιλοχωροῦσι τῷ νόμῳ, ἔχουσι τὸ κάλυμμα, ὅπερ αὐτοὺς τὸν νόμον ἰδεῖν οὐκ ἐᾷ· ὅταν δὲ ἐπιστρέψουσι πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα· τοῦτο γὰρ ὁ τύπος ἐδήλου. καὶ γὰρ ὁ Μωϋσῆς πρὸς μὲν Ἰουδαίους λαλῶν, εἶχε τὸ κάλυμμα, πρὸς τὸν Θεὸν δὲ εἰσιὼν περιῃρεῖτο τὸ κάλυμμα. τότε δὲ ἐπιστρέψουσι πρὸς Κύριον, εἰ ἀφέντες τὸν νόμον πιστεύσουσι τῷ Χριστῷ, καὶ τὴν ἀπὸ τοῦ Πνεύματος λάβωσι χάριν ἐν τῷ βαπτίσματι. Κύριον γὰρ ἐνταῦθα τὸ πνεῦμά φησιν· οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία· ἐν μὲν γὰρ τῷ νόμῳ ζυγὸς ἦν δουλείας, ἐν δὲ τῇ πίστει ἐλευθερία καὶ ἄφεσις ἁμαρτιῶν.

Ἡνίκα ἀναγιγνώσκεται Μωσῆς.

Μωσέα τὸν νόμον ἐκάλεσε, κάλυμμα δὲ τὴν ἀπιστίαν. Διδάσκει δὲ καὶ πῶς δυνατὸν περιαιρεθῆναι τὸ κάλυμμα· ἡνίκα δ᾽ ἂν ἐπιτρέψῃ πρὸς Κύριον, εἰ ἀφέντες τὸν νόμον πιστεύουσι τῷ Χριστῷ, καὶ τὴν ἀπὸ τοῦ Πνεύματος λάβωσι χάριν ἐν τῷ βαπτίσματι· Κύριον γὰρ ἐνταῦθα τὸ Πνεῦμά φησιν· οὕτω τοίνυν καὶ σὺ, ἐὰν πρὸς τὸν Θεὸν ἀφιδεῖν ἐθέλῃς, τοῦ τῆς ἀπιστίας ἀπαλλαγήσῃ καλύμματος.

16 Ἡνίκα δ᾽ ἂν ἐπιστρέψῃ πρὸς Κύριον.

Τινὲς περὶ τοῦ υἱοῦ εἰρῆσθαί φασιν, οὐ καλῶς δέ φασι. καθάπερ γὰρ λέγει "Πνεῦμα ὁ Θεὸς," οὕτω καὶ ἐνταῦθα Πνεῦμα ὁ Κύριος, ἀλλ᾽ οὐκ εἶπε Πνεῦμα ὁ Κύριος, ἀλλ᾽ "ὁ Κύριος τὸ "Πνεῦμά ἐστι·" καὶ ἵνα μάθῃς ὅτι περὶ τοῦ Παρακλήτου ὁ λόγος, ἐπήγαγε, "οὗ δὲ τὸ Πνεῦμα Κυρίου" καὶ τὰ ἑξῆς· ἐλευθερίαν δὲ εἶπε διὰ τὴν ἔμπροσθεν δουλείαν.

18 Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ.

Ἡμεῖς δὲ πάντες εἰς τοιαύτην δόξαν, φησὶ, φθάνομεν, τὴν

δόξαν τοῦ Πνεύματος κατοπτριζόμενοι, καὶ εἰς τοιαύτην λαμπηδόνα μεταβαλλόμεθα, εἰς οἵαν εἰκὸς φθᾶσαι τὸν ἀπὸ τοῦ Παρακλήτου καταυγαζόμενον, καὶ εἰκόνα ἀμυδρὰν τῆς αὐτοῦ δόξης ἐνσημαινόμενον· τοῦτο γὰρ δηλοῖ τὸ "ἀπὸ δόξης εἰς δόξαν," τουτέστιν ἀπὸ δόξης τοῦ Πνεύματος εἰς ἡμετέραν δόξαν ἐρχομένης τῆς μεταμορφώσεως.

1 Διὰ τοῦτο ἔχοντες τὴν διακονίαν ταύτην.

Τὸ ὑπερβατὸν οὕτως ἔχει· διὰ τοῦτό φησιν οὐκ ἐκκακοῦμεν, ὅτι τοιούτων ἠξιώμεθα, τουτέστιν, οὐκ ἀπαγορεύομεν πρὸς τὰς θλίψεις καὶ τοὺς πειρασμούς· πρὸς μὲν γὰρ τὰς θλίψεις οὐκ ἀπείπαμεν· ἀπειπάμεθα δὲ καὶ ἀπεκρουσάμεθα πρὸς τὰ κρυπτὰ τῆς αἰσχύνης, τουτέστι τὸ τὰ τοιαῦτα ποιεῖν ἐν κρυφῇ, ἃ φανερούμενα αἰσχύνην φέρει· πῶς δὲ, φησὶ, τοῦτο ποιῶμεν; ἀπανούργως καὶ ἀπλάστως ζῶντες, καὶ τῇ φανερώσει τῆς ἀληθείας συνιστῶντες ἑαυτοὺς οἷοί ἐσμεν, καὶ παρατιθέντες πάσῃ συνειδήσει ἀνθρώπων πιστῶν τε καὶ ἀπίστων, ἐξ ὧν ἀναστρεφόμεθα. Ἐπειδὴ δὲ ἔνι λαθεῖν τοὺς ἀνθρώπους, τὸν Θεὸν ἐφίστησι τῇ ἀληθείᾳ εἰπὼν "ἐνώπιον τοῦ Θεοῦ," τὸ ἀληθὲς τοῦ Θεοῦ δεικνύς.

3 Εἰ δὲ καί ἐστι κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν.

Ἐπειδὴ οἱ ἄπιστοι ἠγνόουν τὸ εὐαγγέλιον καὶ τὴν ἰσχὺν αὐτοῦ, ἐπήγαγεν ὅτι οὐχ ἡμῶν τοῦτο ἔγκλημα, ἀλλὰ τῆς ἐκείνων ἀναισθησίας. Θεὸν δὲ αἰῶνος ἐνταῦθα εἰρῆσθαί φασιν, οἱ μὲν τὸν Σατανᾶν, τουτέστιν ὁ νομισθεὶς ἐν τῷ αἰῶνι τούτῳ Θεὸς τοῖς ἀπίστοις· οἱ δὲ τὰ Μαρκίωνος νοσοῦντες περὶ τοῦ δημιουργοῦ τοῦτο εἰρῆσθαί φασι τοῦ δικαίου καὶ οὐκ ἀγαθοῦ. λέγουσι γάρ τινα δίκαιον καὶ οὐκ ἀγαθὸν Θεόν. ἡμεῖς δὲ περὶ τοῦ τῶν ὅλων Θεοῦ τοῦτο εἰρῆσθαί φαμεν· οὕτως οὖν ἀναγνωστέον, ὅτι τῶν ἀπίστων τοῦ αἰῶνος τούτου ἐτύφλωσεν ὁ Θεὸς τὰ νοήματα. ὁ γὰρ μέλλων οὐκ ἔχει ἀπίστους, ἀλλ' ὁ παρὼν μόνος· τινὲς δὲ τὸ ἐτύφλωσεν ἀντὶ τοῦ ἔασεν ἢ συνεχώρησε φασὶ διὰ τὸ αὐτεξούσιον, ὡς καὶ ἀλλαχοῦ τὸ "παρέδωκεν αὐτοὺς εἰς πάθη ἀτιμίας" φησὶ, τὸ οἷον συνεχώρησε λέγων· ἐπειδὴ γὰρ ἀπεφοίτησαν τοῦ Χριστοῦ, εἴασεν αὐτούς· βουλομένων γὰρ, οὐκ ἀναγκαζομένων ἡ σωτηρία. οὐκ εἶπε δὲ, ὅτι ἐτύφλωσεν εἰς τὸ μὴ πιστεῦσαι, δεικνὺς

αὐτοὺς πρῶτον ἀπιστήσαντες, εἶτα ἀναξίους γενομένους τοῦ φωτισμοῦ· καλῶς δὲ τὸ αὐγάσαι κεῖται· ἀμυδρὰν γὰρ ἀπόρροιαν τῆς ἀληθινῆς γνώσεως ἔχομεν[b] νῦν· εἰκόνα δὲ τοῦ Θεοῦ τοῦ ἀοράτου τὸν Χριστὸν, ὡς Θεὸν ἐκ Θεοῦ, προσηγόρευσε, διὰ τὸ ἀπαράλλακτον· ἐν ἑαυτῷ γὰρ δείκνυσι τὸν Πατέρα, διό φησιν, "ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα." οἶδε γὰρ ὁ Ἀπόστολος τὸ κατὰ πᾶν ἴσον καὶ ὅμοιον εἰκόνα καλεῖν, ὡς ἐν τῷ "σκιὰν ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων."

4 Ἐν οἷς ὁ Θεός.

Μανιχαῖοι[c] τὸν διάβολον φασὶν ἐνταῦθα λέγεσθαι, ἡμεῖς δὲ ἐκεῖνό φαμεν, ὅτι οὐ περὶ τοῦ διαβόλου τοῦτο εἴρηται, ἀλλὰ τοῦ τῶν ὅλων Θεοῦ· εἰ δὲ καὶ ἑτέρως τις ἀναγινώσκοι, οἷον ὅτι ὁ Θεὸς τοῦ αἰῶνος τούτου, οὐδὲ τοῦτο ἔχει τινὰ λαβήν· οὐ γὰρ τοῦτο δεικνύει αὐτὸν τούτου μόνον ὄντα τοῦ αἰῶνος Θεὸν, καὶ γὰρ ὁ Θεὸς τοῦ οὐρανοῦ λέγεται, ἀλλ' οὐκ ἔστιν οὐρανοῦ μόνον· καὶ ὁ Θεὸς Ἀβραὰμ, καὶ οὐκ ἔστιν ἐκείνου μόνου, καὶ πολλαὶ καὶ ἄλλαι εἰσὶ μαρτυρίαι ἐν ταῖς γραφαῖς.

Ἐτύφλωσε τὰ νοήματα.

Πῶς οὖν ἐτύφλωσεν; οὐκ ἐνεργήσας εἰς τοῦτο, ἀλλ' ἀφεὶς καὶ συγχωρήσας.

b Cod. ἔχωμεν. c Cod. μανηχαῖοι.

SUPPLEMENTUM

ET

VARIETAS LECTIONIS

E COD. BODL. AUCT. T. I. 7. COLLAT. CUM ŒCUM. ED.

Ep. ad Cor. I. p. 418, B. Œcum. ἐκεῖνοί τε καὶ ἡμεῖς. πάλιν αἰνίττεται αὐτοὺς τοῖς τὸν Χριστὸν ἐπικαλουμένοις· οὐ τὸν δεῖνα ἢ τὸν δεῖνα. B. Cod. om. καθαπτόμενος. P. 419, A. ἀπὸ πολλῆς γὰρ ἀγαπῆς τὸ κοινὸν ἰδιοποιεῖται. ἀλλὰ δωρεὰν τοῦ Χριστοῦ. B. οἷά ἐστιν ἡ φλ.—οἷα ἡ τῶν ἰδ.—κατ' ἀμφότερα ἐπλ. καὶ τῆς γνώσεως τῆς θεοδότου. C. οὐδὲ διὰ τῆς ἐξ σοφ.

P. 420, D. σημείωσαι τὸ δι' οὗ ἐπὶ Πατρὸς εἰρημένον.

421, C. ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ. ἐν τῷ αὐτῷ νοΐ κ. γνώμῃ. D. ἐκπολεμωθῶσιν. ἐκθεωρισῃ. (ηριω superscr.)

422, A. δείκνυσι δὲ ἐν τ. ὅτι εἰ τὸ λεγ. διδασκάλους ἑαυτῶν. B. οὐ τοῦτο ἐγκαλεῖ διατί λεγ.

Σετηριανοτ: Ὃ λέγει τοιοῦτόν ἐστιν· μὴ συγκληρονόμους —ἡμῶν δὲ οὐδείς. hoc Schol. in marg. sed ead. man. C. τὸν Χρ. ἔλεγον. D. πᾶν ἐφ' ἑαυτῷ φ.

423, A. τὴν ὑπεροψίαν αὐτῶν. C. ἦσάν τινες μέγα φρονοῦντες D. τί ἐγεγόνει εἰ Π.

424, A. ὁ μὲν γὰρ δή. 425, C. πῶς δὲ ὁ Θεὸς ἐμ.

426, A. Κτριλλοτ: Σοφίαν Θεοῦ καὶ τὴν ἀνθρ. hæc in marg. καὶ εἰ τινες αὐτ. ἐχρ. ἐφ' ἃ μὴ προσῆκεν. B. ἰδιῶται μὲν γ. τ. λογ. γεγόνασι seq. deinde Theodoreti Schol.

Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ τουτέστιν τῇ διὰ τῶν κτισμάτων. C. σοφίαν ἐπιζητοῦσι. D. κλητοῖς καὶ εὑρισκ.

427, A. σκάνδαλόν ἐστι δοκοῦν. B. πλὴν τοῖς κλητοῖς δοκεῖ.

428, C. ἐπισκ. καὶ προσέχετε. D. εὐγενεῖς πεπιστευκότες. —οἱ πεπεικότες ἑαυτούς.

429, A. τοὺς δυνατοὺς δὲ ἀπωσ. B. ἵνα παύσῃ τοὺς ἀλαζόνας καὶ τοῦ νομ.

430, A. ὥς φησιν· ἐποίησεν ἡμᾶς σοφοὺς καὶ δικ. C. εἰς ἑαυτὸν καυχᾶται. D. μωροὶ ἐξελέχθησαν.

431, C. τοὺς παρ' αὐτοῖς φιλοσόφους. D. προξένει τ. πίστει.

432, A. τῆς ἐκ τῶν ῥημάτων βεβαιωτέρα καθέστηκεν. B. θαρρεῖ καὶ καλεῖ. σοφ. δὲ καλεῖ τὸ κηρ. τὸ π. Χρ.

434, B. Σευηριανοῦ: Βάθη τοῦ Θεοῦ εἶπεν hæc in marg. ut et Cyrilli seq. Schol. ὁ δὲ ἐν ἁγ. Γρήγοριος. Cod. Θέολογος in marg. D. ὅπερ φησιν οὐκ ἔλαβον, κατήργει γὰρ τὸν σταυρόν. ὡς ἄνω φησιν οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κ. Cod. om. γεγονότα.

434, B. ὡς ἐκεῖνοι οἱ λέγοντες.

435, B. τῶν στειρῶν τῆς Σάρρας. C. Κυρίλλου: Ψυχικός ἐστιν ὁ κατὰ σάρκα ζῶν καὶ μήπω τὸν νοῦν φωτισθεὶς διὰ τοῦ πνεύματος· hoc Sch. Joanni Chrys. assignat Œcum. ed.

Σαρκικοὺς καλεῖ ἡ γραφὴ τοὺς εἰς τὰ τῆς σαρκὸς πάθη κατολισθήσαντας. ψυχικοὺς δὲ τοὺς παρὰ τῆς ἀκολουθίας τῶν λογισμῶν μὴ δὴ καταδεχομένους. πνευματικοὺς δὲ τοὺς τῷ θείῳ καὶ πνευματικῷ χαρίσματι κεκοσμημένους.

Ἰωάννου. τουτέστιν τὰ ἐν τῷ νῷ τοῦ Χριστοῦ, ταῦτα ἡμεῖς ἴσμεν ἅπερ αὐτὸς βούλεται καὶ ἀπεκάλυψεν.

Οἰκουμενίου. Ἢ νοῦν Χριστοῦ τὸν Πατέρα καλεῖ. κ. τ. λ.

437, C. τελειούμενον καὶ πολλὰ ἕτερα συνῆκται.

440, D. σῶσαι τοῦτο θέλοντος.

441, B. οὐκ ἐμὸν τοιγαροῦν κατόρθωμα. C. τούτου ἑλώμεθα.

442, A. οὕτως δὲ ἀκριβῶς ἀναγνόντες. B. οὕτως δὲ σωθήσεται.

445, D. ὑμᾶς ὠφελήσωσι.

446, C. Οὐχ ὡς ἡμεῖς Χριστοῦ, οὕτως καὶ ὁ Χριστὸς τοῦ Θεοῦ, ἄπαγε, ἀλλ' ἡμεῖς μὲν Χριστοῦ, ὡς ἔργον ὄντες αὐτοῦ.

448, B. ὅπερ ἀνατροπὴ ἦν τῆς πίστεως αὐτῶν. ἀλλὰ δεδοικὼς ὡς εἴρηται. C. ἀλλ' οὐδὲ ὑπὸ ἄλλου φησὶν ἀνθρώπου. D. εἰ καὶ ὁ Θεός με δικαιώσει. τί γὰρ εἰ ἥμαρτον; μὴ μὴν νενόμικα—καὶ πειρᾶται αὐτὸ διορθώσασθαι.

449, B. τοῦ σκότους ἅ ἐστιν αἱ λανθάνουσαι πράξεις πονηραί. B. σώματος κακὸν χυμὸν ἢ πνεῦμα.

450, D. Οἰκουμενίου: Οὕτω τίς ἀνεγίνωσκεν· εἰ δὲ καὶ ἔλαβες τί καυχᾶσαι λοιπὸν τὸ μὴ ὡς λαβών; κατὰ ἐρώτησιν ἔλεγεν ἵνα οὕτως νοηθείη. τί καυχᾶσαι.

451, C. καὶ καταισχύνοντος om. D. οὕτως ταχὺ ἡμεῖς γινώσκομεν ὅτι ὡς ἔσχατοι.

453. καὶ τὰ ἀναγκαῖα ἐνδεεῖς.

454, A. Σευηριανοῦ: Ἀντὶ τοῦ ἀποψήγματα καὶ ὥσπερ ἀποσαρώματα καὶ κόπρος ἐξ οἴκου ἀποκαθαρθέντος ληφθεῖσα γεγόναμεν, ἀπὸ πάντων εὐτελιζόμενοι.

Περίψημα δὲ λέγεται τὸ βάσανον ὁ τ. ἱδρ.

455, D. ἐπιδεδωκότες ἐπιγυμνώσει om. ἀλαζονευόμενοι—πεφυσ. καὶ μέγα ἐφρόνουν.

456, A. δύναμιν γάρ φησιν τὴν τῶν ἔργων ἐπίδειξιν. B. ἢ ὡς αὐτὸν Παῦλον ὁ Ἐλύμας. C. ἔνι γὰρ καὶ πνεύματι.

457, A. εἰ δὲ ἦτε ὠκειωμένοι τὸ ἐκ. πλ. ὡς ὑμ. μέλους. B. ὡς μόλυσμα παραιτούμενοι.

D. Ἰωάννου: Ἄλλοι οὕτως.

458, A. ἀνέγνων ἀδέκαστον.

460. πόρνους δὲ τοῦ κόσμου τούτου φησι, τοὺς τῶν Ἑλλήνων πόρνους.

462, B. εἰ νῦν γεγένηται.

466, A. τὸ ἐπὶ ἀπ. κρίνεσθαι—μετὰ τὸ τ. δικ.

B. Οἰκουμενίου: Ὡς εἰ εἶπεν καλὸν μέν. hoc in marg.

468, C. ἡμᾶς ἀναγάγειν—εἰ δὲ τοῦτο τὸ σύμμετρον εχ. τ. D. εἰς πορνείαν ἐμπίπτει.

468, A. *δεικνὺς τί τὸ ἀποτέλεσμα.*

B. Οἰκουμενίου: *Τὸ τοῦ λόγου ἀπίθανον* hæc in marg. *ἀναστάσεως* om.

C. *Εἰ οὖν ἐσμὲν Χριστοῦ μέλη ὥσπερ καὶ ἐσμὲν, τῆς κεφαλῆς ἐγερθείσης, δῆλον ὡς συναναστήσεται τὸ λοιπὸν σῶμα.*

470, B. *ἀποχὴν δηλοῖ.* C. *λόγῳ ϛ.—καὶ τοῦ Χρυσοστόμου.*

471, B. *Πρὸς ὅλοις τούτοις ἡρμήνευσέ τις καὶ οὕτως.*

C. *Ἐρώτησις. τί οὖν ὁ φθόνος.*

475, B. *τὸ τῇ νομίμῃ κεχ. γυν. καὶ τῷ νομ.* C. *ἡρμήνευσε ποιά ἐστιν ἡ ὀφειλομένη εὔνοια.*

476, B. *οὐκ ἀκαθαρσίαν π.—πρὸς τὴν νομ. γυν. λέγων.—πειρασμοὺς* om.

477, B. *μή ποτε παρατραπῇς.*

479, B. *πίστεως ἄγων.*

480 D. *πρὸς τὸ ἀφιέναι—διαστασιάζῃ.*

481, A. *καὶ ναρκῆσαι.—σώσεις ἢ μὴ σώσεις.—οὐ δεῖ λύειν τὸν γάμον. εἰκὸς γάρ φησι καὶ τὸν καλὸν κακὸν νομικῶς εἰπεῖν ἐξιέναι τουτέστιν τὸ σῶσαι. μὴ σώζων μὲν γὰρ οὐκ ἐβλ.* In marg. *Σευηριανὸς οὕτως ἔστιζεν· ἄλλως γὰρ ἐὰν στίξῃς, ἀσυνάρτητος εὑρίσκεται ἡ σύνταξις.* C. *στέργε τοιγ. τὸν νόμον καὶ μὴ διαλ. διὰ τὴν πίστιν.*

482, A. *οὔτε ἐκεῖνο λυμαίνεται.*

483, A. Οἰκουμενίου: *Ἐν τοῖς κατὰ Χριστὸν φ. πρ.* B. *ἁρμόζει* om.

484, A. Οἰκουμενίου: *Τὰ περὶ παρθένων.* In marg. Οἰκουμενίου: *Ὅρα πάλιν.*

485, C. *ὡς εἴγε ἀφιερωθεῖσα.*

486, B. *γάμον ἢ ἀγορασίας.* C. *μόνιμόν τι.*

487, B. *Τί ἐστι τὰ τοῦ κόσμου; ἴσως καὶ εὔοπτος.*

Σχόλιον: *Οὐ λέγω φησι ταῦτα—εὐπάρεδρον.*

Τί γὰρ παρθένου καὶ τῆς τοιαύτης ζωῆς καὶ πολιτείας εὐσχημονέστερον;

488, D. *καὶ οὕτως ὀφείλει γίνεσθαι. οὕτως, πῶς; ὃ θέλει, φησὶ, ποιείτω.*

489. Οἰκουμενίου: Οὐκ ἔχει, φησιν, ἀνάγκην. D. μετὰ κοσμιότητος ἐπὶ παιδοποιΐᾳ καὶ προστ. μὴ ἐν πάθει ἐπιθ.

490. ὅτι Πνεῦμα θεῖον ἔχω.

Οἰκουμενίου: Πολλῆς ταπεινοφροσύνης τὸ "δοκῶ." hoc Sch. in marg. D. ἐποίουν.

491, C. εἰπὼν δὲ "εἰ δέ τις" καὶ ἑαυτὸν προσέμιξεν. D. ὅτι οὐδὲν ἐστι τὰ εἰδ.

493, B. κεχρημένην τὴν γραφήν.

494, A. ὅτι μηδέ ἐστί τι ὅλως τὰ εἰδ. C. φοβοῦντος τὸ ῥῆμα. D. ἡ ἀσθ. προκόψει καὶ αὐξηθήσεται.

495, A. ἀλλ' ὃ ὠμότερον. C. ὑμᾶς et mox φείδεσθαι.

496, A. τῆς παραγραφῆς ταύτης. D. ὑμᾶς εἰς ἀπόδειξιν προκαλοῦμαι.—καὶ ἐκτυποῖ τὸν Ἀπ. καὶ ἀποδείκνυσιν.

497, A. προβαλοῦμαι. B. ἀποσχολῆσθαι.

500, D. καὶ ἐκ τῶν παραδειγμάτων ὧν παρεθ.

501, C. Οἰκουμενίου: Κάλως τὸ συμμερίζονται—ἀφαίρεμα.

502, D. τὸ καταχρέως.

503, A. λαμβάνειν ἐπιτάξαντος. D. τὸν πονοῦντα.

504, D. Ἰωάννου: Ἐγένετο τοῖς Ἰουδαίοις. hæc in marg. Œcum. Isidoro tribuit.

505, D. καὶ γὰρ εὑρήσομεν αὐτὸν ἡνίκα πρὸς Ἀθηναίους ἐδημ. οὐδαμοῦ τρ. mox διαλεχθέντα.

506, D. ὅρα ταπεινοφροσύνην.

507. In marg. Οἰκουμενίου: Οὐκ ἄρα καταληφότες ἦσαν. C. φέρειν τὰ παραδ.

508, A. ὡς καὶ γαστριμάργους.

509, B. τῷ βαπτισμῷ om. D. συνεπέζευσαν.

510. τὸ αὐτὸ ὕδωρ ἀνεδίδου.

511, C. καὶ τοὺς νέους αὐτῶν υἱούς. D. πλεῖστα ὑπεθύμησαν· κρέας, σκόροδα, Θέον ἴδιον—ἧπερ ἀπὸ τελ.

512, A. χόρους γὰρ στήσαντες.

513, D. πειρασμὸς εἰ μὴ μικρός.

514, D. τοῖς οἰκ. λογισμοῖς.

516, C. μὴ τοίνυν τρέχετε. D. σὺ δὲ ταύτην ἀφείς. οὐκ εὖ ἐποίεις. οὐκ ἐπειδὴ ἔβλαπτεν.

517, C. *τὸ κοινωνεῖν.*

518, A. *ἐν μακέλλῳ· οἷον ἀγόρα, προθήκη.* in marg—*αὐτὸς ἠβούλετο.* D. *νομισθήσεται. μηκέτι ἐσθίωμεν.*

519, A. *ἄλλων λωβᾶσθαι.*

520, A. *καί φησι τίς γὰρ χρεία—τουτέστι τὸ ἀπέριττόν μου.* B. *ἐρεῖ γὰρ ὁ Ἑλλήν.* mox om. *ὑψηλήν.* D. *εἰρῶνάς τινας ἡμᾶς.* —*καὶ ἀδοξίαν τῇ πίστει προστρίβετε.*

522, C. *καίτοι περὶ τοῦ κομᾶν.* D. *ὅτι πάντα μου μεμν. μὴ δεῖν κατακεκαλυμμένῃ κεφ. καὶ τὴν αἰτ. λέγει.*

523, D. *ἐξουσίαν τινα ἐπιτιθέναι ἐστι.*

524, A. *ἧκεν.*

526, A. *Οὕτω* Κλήμης *ἐν τετάρτῳ ὑποτυπώσεων.* D. *ἐπάγει γὰρ ἀρχέτυπον αἴτιον τοῦ Θεοῦ, τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ.*

527. *ποῖον, ἢ ὅτι τὸ φίλον.*

528, B. Οἰκουμενίου: Ἡ *αἰτία τοῦ νῦν κεφαλαίου αὕτη.* hoc in marg. *ἦν παρ' αὐτοῖς δεῖπνα κυριακά· ἐγένετο δὲ οὕτως.* C. *μικρόν τι πιστεύω οἷον ἐκ μέρους.*

529, B. *οὐχ οὕτως δρᾶται.* C. *ἐπειδή, φησιν, τὸ κυριακόν.— εἶτα καὶ λαιμαργίας αὐτῶν καταγγέλλει.* D. *εἰ μὴ κοινῶς ἐσθίετε διατί.*

530, C. Οἰκουμενίου: Καὶ *γὰρ καὶ νῦν ὁμοίαν ἡμῖν ὁ* Κύ*ριος—ἐδιδάχθη ταῦτα.* D. *καὶ ὑμεῖς αὐτὴν διαφθείρετε.*

531, A. Εἰ *τοίνυν εὐχαριστία προσέρχῃ.* B. *οὐκ ἐν αἵμασιν ἀλόγων.*

532. Οἰκουμενίου: Περὶ *τοῦ κυριακοῦ μὲν δείπνου ἦν ὁ λόγος αὐτῷ.*

533, B. Οὐ*κ εἶπεν εἰ ἑαυτοὺς ἐκολ. ἐμπέσῃ.*

Ἰωάννου: Ἐ*πειδὴ γὰρ πρὸς ἀλλήλους ἀποροῦσι πόθεν οἱ ἄωροι θάνατοι καὶ αἱ μακραὶ νόσοι, λέγει ὅτι ἐξ ἁμαρτημάτων πολλὰ τούτων τῶν ἀδοκήτων τὴν ὑπόθεσιν ἔχει.*

334. *ἵνα μὴ εἰς κόλασιν συνέρχησθε ἑαυτῶν· τὴν ἐκκλ.* B. *ταύτης δέ φησι μὴ οὔσης.—οἴκοι ἑστιᾶσθαι.*

535, A. *ὅτι ἔθνη ἦτε—ἐν τοῖς ἀπίστοις.* B. *ὅπως ἂν ἔτυχεν ἤγεσθε μετὰ βίας ἀπαγόμενοι—ἐπιεικὲς ἔχοντος.*

537, C. Θεοδωρήτου: Οὐχ οἷόν τε—μὴ ὑποκειμένης τῆς χάριτος.

538, D. προσθὲς ἡμῖν, φησὶν, πίστιν ἢ καὶ τὴν τῶν δογμάτων.

539, B. τοὺς ἀσθενεῖς. D. χαρισμάτων διαφέρεσθαι.

540, D. Δι' ἑνός φησι Πατρός—ἀρδευομένων.

541, D. οὕτως οὐκ ἔστι διαφορὰ τῆς Ἁγίας Τριάδος.

542, C. τὰ ἐλάττω et mox τὰ μείζω.

544, D. διαβαστάζοντος καὶ συγκαταβ.

Οἰκουμενίου: Ἀντίθεσις. Ἐπὶ μὲν τοῦ σώματος. κ. τ. λ. Λύσις καὶ φαμὲν κ. τ. λ.

546, A αὐτοὶ γὰρ οἱ τ. πιστ. C. τὰ ἐλαττώματα ἔχουσιν.

Γρηγορίου τοῦ Θεολόγου: Πρῶτον διὰ τὴν ἀλήθειαν. δεύτερον διὰ τὴν σκιάν· τρίτον διὰ τὸ μέτρον τῆς ὠφελείας καὶ τῆς ἐλλάμψεως. hoc in marg.

Θεοδώρου καὶ Ἰωάννου: Προφήτας οὐ τοὺς πρὸ τῆς χάριτος λέγει, ἀλλὰ τοὺς ἐν τῇ χάριτι.

547, A. ὅτι ἡμεῖς φησὶν αἴτιοι τοῦ μὴ μεγ. λαβ.

547, D. ἀνάγουσαν τ. χαρισμ.—εἰς τὰ λοιπὰ χαρίσματα.

548, A. ἀλλ' ἐκ τοῦ ἡμῖν ἐγνωσμένου φωνητικοῦ ὀργάνου.

Γενναδίου: Πίστιν ἐνταῦθα τὸ χάρισμα τῇ ςπίστεώς φησιν, οὐ τὴν τῶν πιστῶν. hoc in marg.

549, A. οὐκ εἶπεν μικρός εἰμι κ. εὐτ. C. διαλεγόμενοι.—οὐκ ἐπὶ τὸ ἀνάψαι.

Περπερεύεται: Θεοδωρήτου: Οὐδὲν προπετὲς ποιεῖ.

550, A. Τοῦτο γὰρ αὐτοῖς.

551, D. Οἰκουμενίου: Ἢ τοῦτο νόει μοι περὶ τοῦ Υἱοῦ αὐτὸν λέγειν. in marg.

552. A. αὐτὸν οὐκ ἐπιγινώσκομεν.

554, B. ὅσῳ καὶ ἧττον ἡ ὠφέλεια. ὁ δὲ προφητεύων ἀνθρώποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν.

555, C. τουτέστι εὔληπτά τινα καὶ νοούμενα—ἢ ἐν διδαχῇ, καὶ γὰρ καὶ ἐδίδασκον σπουδάζοντες νοεῖν τοὺς διδ. D. καὶ χρὴ

καὶ ἐπὶ κιθάρας καὶ αὐτοῦ μὴ συγχεῖσθαι τὰ λεγ.—ψυχαγωγήσοι.

556, C. *λαλήσητε λόγον—αὐτὰς ἔλαβον.* D. *εἰ διερμηνεύεις λαλῶν.*

558, B. *τουτέστιν ἵνα μετὰ πολλῆς αὐτὰ σχοίητε δαψιλείας.* C. Θεοδωρήτου: *Τὸ πνεῦμά μου, ἀντὶ τοῦ τὸ χάρισμά μου.* in marg.

D. Θεοδωρήτου: *Ἰδιώτην καλεῖ—ἐπειδὴ καὶ τοὺς ἔξω τῆς στρατείας ὄντας ἰδιώτας καλεῖν εἰώθαμεν.* in marg.

561, A. *τουτέστιν ἵνα οἶδα αὐτὸς—τουτέστιν ἵνα μὴ ἰσχύω αὐτὸ ἑρμηνεῦσαι.*

562, A. *οὐ τοῖς πιστεύουσιν ἀλλὰ τοῖς ἀπίστοις.*

563, A. *ἐνεχθήσεται.*

564, C. *καὶ ἄλλος καὶ πάντες προφητεύειν.*

565, C. *νόμον γὰρ καλεῖ.*

566, C. *ἀλλὰ τοῦ τὸ κοινὸν σύμφερον σκοπ.* D. *ἧττον δὲ τὴν τ. γλ. χάριν.*

567, D. *τὸ δὲ τούτου ζητεῖν λόγον.—ἐπάγει εἰ κατέχετε.*

568, B. *τὸ περὶ ἀναστάσεως δόγμα.* C. *καὶ οὐ φαντασίαν.* D. *πρώτῳ ὤφθη τῷ πρώτῳ. τῶν ἁγίων μαθ. εἶτα τοῖς δώδεκα.*

Οἰκουμενίου: *Ἐρωτηματικῶς. καίτοι ὁ Ματθίας.*

569, B. *ἀρχὴν τῆς ἀναστ. προκατελάβετο.—ὁ Θαδδαῖος.* D. *πλὴν ὅτι καὶ οἶκον.*

570, B. *μεθ' ὑποστολῆς εἴρηκεν.*

571, A. *πάντῃ τε καὶ πάντως.* C. *καὶ τὸ κήρυγμα ἡμ.* D. *τοῦ δι' ἁμαρτίαν.*

572, A. *πρὸς ἀνάστασιν.—τὴν ἀνάστασιν προεισηγεῖται· πανταχοῦ γὰρ εἰς ἄτοπον ἀπ.*

573, B. *προτερήματα.* C. *εἴτε διὰ τοῦ Σωτῆρος.*

574, D. Κυρίλλου: *Ὅτ' ἂν παραδῷ τὴν βασιλείαν.* in marg.

Τοῦ Ἁγίου Γρηγορίου. εἰς τὸν β περὶ Υἱοῦ λόγον: Καταργήσει *τουτέστιν νικήσει, παύσει.—καὶ ἐν τῇ σκέπῃ τῶν πτε.*

575, D. *μετὰ τὸ ποιῆσαι βασιλεύσει.* sed *οὐ* erasum est a corr. *εἰ δὲ κρατοῦσα. ἀχ. οὐ κατορθ. πάντα.*

576, B. *ἄγει τὰ πάντα.* C. *ὁ Δαβὶδ φησιν, ἐξ οὗ καὶ τὴν μαρτυρίαν λέγει.—φοβηθῇς.* D. *ἐγέννησεν.*

577. *τὰ ἀσεβῆ δόγματα ἐκεῖ ἐκβάλῃ.* D. *τί ποιήσουσιν οἱ βαπτιζ.*

578, D. *τῷ Χριστῷ αὐτὸ ἀνατίθησι. ἢ οὕτως.*

Οἰκουμενίου: (in marg.) *Εἰ μὴ διὰ τὴν ἐσομένην ἐλπίδα.*

579, D. *τὸ ἐκνήψατε ὡς ἐπὶ μεθ.—τοῦ Θεοῦ τὸ δυνατόν.*

580, A. *ὑμῖν λαλῶ.—ὁ λόγος γένηται.* B. *ἀποδήλου παραδείγματος αὐτοῖς ποιεῖται.*

582, A. *ἐνσεσημαμμένα.—οὐκ ἔτι δόξα.* B. *ἔστι δὲ ὅμως καὶ ἐν αὐτοῖς φωτὸς διαφορά.*

Ἰωάννου: Τὰ *ἄστρα· τὸν ἥλιον καὶ τὴν σελήνην λέγει.* hoc Schol. in marg. D. *σπέρμασι πεποιημένων.*

584, C. *καὶ γὰρ ἔχομεν τούτου τὰς ἀποδείξεις ἤδη τε γεγενημένας.—τὸ* Πνεῦμα *ὑπάρχον.* D. *οὐ τὸ λεπτὸν καὶ ἀερῶδες. ὧν ἐστὶ καὶ Ὠριγ.—ἐλαιρὸν σκεῦος.*

585, C. *οὐράνιον αὐτὸ λέγει.*

586, A. *οἷός, φησιν, ὁ χοϊκὸς Ἀδάμ.*

587, D. Μεθοδίου ἐκ τοῦ περὶ ἀναστάσεως λόγου: Τὸ *ἀποθνῆσκον κληρονομεῖται· τὸ δὲ ζῶν κληρονομεῖ.—κληρονομήσῃ τὰ ἄφθαρτα.*

588, B. *ἐκ τοῦ καὶ τὰ ἀπόρρητα.* C. *τὸ γὰρ ἐν ῥιπῇ καὶ ἐν ἀτόμῳ ἀποθανεῖν.*

Οἰκουμενίου: Μ*ικρὰ δὲ προαφηγητέον τοῦ νοήματος, φησὶν ἐν τῇ ἀποκαλύψει Ἰωάννου.*

ἐν ἀτόμῳ: ἐν ἀκαριαίῳ, ἐν στιγμῇ χρόνου.

ἐν ῥιπῇ ὀφθαλμοῦ: ὅσον μῦσαι βλέφαρον. hæc in marg.

590, B. *ἡ τοῦ Ὡσηέ.* D. *δι' αὐτῆς γὰρ ἴσχυσεν.*

591, A. *οὐ παρὰ τὴν οἰκείαν φύσιν ὁ νόμος.* B. *χάρις δὲ τῷ τοσαῦτα κατορθώσαντι ἡμῖν Υἱῷ εὐδοκίᾳ τοῦ Πατρός.* C. *ἐσ. γὰρ περὶ τὸ τῆς ἀναστάσεως δόγμα.*

592, B. *λογίας δὲ λέγει τῆς συλλογῆς.—τὸ μετὰ αὐθεντείας —τὴν κυριακὴν καλεῖ.* C. *τότε τις συναγάγειν ἄρξηται.* D. *πρὸς*

τὴν συλλογήν.—μελλούσης ἔσεσθαι τῆς εἰσφορᾶς.—αὐτοὺς προτρέπει.

594, B. Ἵνα μή τις αὐτῷ, φησὶν, ἐπιβουλεύσῃ. D. δι' αὐτὸν περιμένει φ. πρεσβύτερος ἦν μᾶλλον τ. Τιμ. τὸ παρακάλεσαι μέν.

595, A. καὶ μαλακιζομένων τινῶν. C. τὸ ἐξαίρετον δηλοῖ τῆς Ἑλλάδος ἔνθεν καὶ Ἀχαιοί. D. αὐτῷ περὶ τῆς π. Κορ. διχοστασίας.

596. τὸ ἀναπαῆναι τὴν ψυχήν.

II EP. AD COR.

599, C. τί δήποτε δευτέραν τίθησιν ἐπιστολὴν ζητεῖς· καὶ ἄξιον. ἐν πειρασμοῖς—δευτέρας αὐτοὺς ἀξ.

601, B. ταύτης ἐκτός ἐστι τῆς προσρήσεως.

602. Θεοδωρήτου: "Εὐλογητὸς ὁ Θεός·" κἀνταῦθα στικτέον—"ἐξομολογοῦμαί σοι Κύριε Πάτερ." hoc Schol. in marg. D. διὰ τὸ εἶναι ἄξιος παρακλήσεως.

603. C. μὴ ὅτι καὶ ἡ παράκλησις τοῦ Χρ. περισσεύουσα ἡ εἰς αὐτοὺς εὐθυμίας αὐτοῖς ἀφορμὰς ἐμποιεῖ. D. εἰ θλιβόμεθα.

604, A. ἐν ὑπομονῇ ὑπάρχουσιν.

606, A. Ἰωάννου: Τὴν ψῆφον, τὴν προσδοκίαν, τὴν κρίσιν. τοιαύτην ἠφίει τὰ πράγματα τὴν φωνὴν, τοιαύτην ἀπόκρισιν ἐδίδου τὰ συμβάντα, ὅτι ἀποθανούμεθα πάντως. οὐ μὴν μέχρι τῆς πείρας ἐξέβη τοῦτο, ἀλλὰ μέχρι τῆς ὑπονοίας ἔστη τῆς ἡμετέρας· ἡ μὲν γὰρ τῶν πραγμάτων φύσις τοῦτο ἀπεφήνατο· ἡ δὲ τοῦ Θεοῦ δύναμις οὐκ ἀφῆκεν τὴν ἀπόφασιν εἰς ἔργον ἐλθεῖν. ἀλλ' ἐν τῇ διανοίᾳ ἡμῶν τοῦτο συμβῆναι συνεχώρησεν· διὸ καὶ ἑαυτοῖς φησὶ τὸ ἀπόκριμα τοῦ θανά* reliqua margine abscissa interciderunt. B. δι' ἡμῶν ἄλλοι ὠφεληθῶσιν—τὸ ἅπαν ἑαυτὸν ἐπιδ.

607, B. μονονοὺ λέγων. D. συνυπουργούντων.

609, B. ἀνεὺ δόλου, ἀνεὺ ἐπικαλύμματός τινος καὶ ὑποκρίσεως.—καὶ στροφῇ λόγου. D. ἐγεγράφει γὰρ πρότερον.—τουτέστιν ἅτινα ὑπομ.

610, A. οἷον αἱ ἐπιστολαὶ δηλοῦσι καὶ ὁ παρελθὼν ἐγγυᾶται βιός.

611, A. τὸ καύχημα ἡμῶν εἶναι τὸ ἀγαπᾶν. C. τήν τε διὰ τῆς προτέρας ἐπιστολῆς καὶ τὴν διὰ τῆς παρουσίας. D. ἐν τῇ προτέρᾳ ἐπιστολῇ εἴρηκεν. ἐὰν πορεύσωμαι.

612, A. Κύριός ἐστιν ἑαυτοῦ ἀπιέναι. B. ἤπερ ἐβουλ. ἄξοντος.

Ἰωάννου: Τίνος ἕνεκεν οὐκ ἦλθες; ὅτι οὐ σαρκικῶς βουλεύομαι, καὶ οὐκ εἰμὶ τῆς τοῦ Πνεύματος ἐκτὸς κυβερνήσεως, οὐδὲ ἐξουσία νέχω βαδίζειν ὅπου βούλομαι· ὁ σαρκικὸς γὰρ ἄνθρωπος, τουτέστιν ὁ τοῖς παροῦσι προσηλώμενος καὶ τῆς τοῦ Πνεύματος κοινωνίας ἐκτὸς τυγχάνων, πλανᾶται ὅπου βούλεται.

Τοῦ Αὐτοῦ: Ἵνα διπλῆν χάριν ἔχητε καὶ τὴν διὰ τῶν γραμμάτων καὶ τὴν διὰ τῆς παρουσίας. χάριν δὲ τὴν χαρὰν λέγει.

614, A. Ἀντίθεσις: Τί οὖν ὁ Παῦλος ὑπισχνούμενος.

Λύσις: Φαμὲν ὅτι οὐ πάντα. B. σκώλοπος. C. διὸ καὶ ἀπέτυχον. D. ἐπειδὴ φησὶν ὁ λόγος.

615, B. ἢ τὰς ἐπαγγελίας. C. ἐν αὐτῷ τῷ Θεῷ, τουτέστιν δι' αὐτοῦ τοῦ Θεοῦ τὸ ναὶ καὶ τὸ ἀμὴν ἔχουσιν—τῷ γὰρ πληροῦσθαι ἔχουσαι τὸ ναὶ, καὶ τὸ ἀμὴν ἔχουσιν.—τὰ τοσαῦτα πληροῖ.

616, A. δι' ἡμῶν μὲν ὡς διακόνων ποιεῖ. C. ἐν τῇ παλαιᾷ ἱερεῖς ἢ προφῆται. D. ὁ γὰρ ἀρραβὼν εἴωθεν βεβαιοῦν τὸ πᾶν συν.—ὁ πληρῶν τὰς οἰκείας ὑποσχέσεις.

617, A. διὰ τὸ φείδεσθαι αὐτῶν οὐκ ἀπ. B. φειδόμενος δὲ διὰ τοῦτο εἶπεν, ἐπειδὴ ἐπετέτραπτο.

618, B. καὶ ὑμᾶς ἔβαλον. ἵνα μὴ πρόφασις γένωμαι λύπης ὑμῖν. ὃ καὶ παρακατιὼν σαφηνίζει ἐν τῷ τῆς ἐπ. τέλει.

Θεοδωρήτου: Τί γάρ μέ φησιν εὐφραίνει οὕτως. hæc in marg. ἐγγινομένην ὠφελ.—ἔγραψεν μὲν ἐν τῷ τέλει τῆς πρὶν ἐπ.

619, C. μεγίστης ἀγάπης καθέστηκεν. D. καὶ γὰρ ἦσαν αὐτὸν ταῖς κελεύσεσι τοῦ Παύλου ἀπεστραμμένοι πάντες.

620, A. λελύπηκεν πάντας ὑμᾶς ἐν μέρει. B. λύσατε τὴν ἐπιτίμησιν· καὶ τοῦ λοιποῦ ῥαθυμ.—χαρίσατε εἰ καὶ μή. C. καταποθῇ ὁ τοιοῦτος.

621. ἵνα γνῷ ἄρα ὥσπερ. B. καὶ οἷον τὸ πρόσωπον. C. μὴ συγγνῶναι καὶ δέξασθαι.—ἐμέλλομεν πλεονεκτεῖσθαι ὑπὸ τοῦ Σατανᾶ. D. εἰς πορνείαν ἐμβάλλειν.—ὅταν οὖν καὶ ἐξ ὧν ἁμαρτάνομεν καὶ ἐξ ὧν μεταμελούμεθα.

Ἰωάννου: Τὸ ἐν προσώπῳ Χριστοῦ ἢ εἰς δόξαν Χριστοῦ. hoc in marg.

622, D. οὐκ ἔστιν οὐχ ἑλόμενος κηρ.

623, B. ἵνα μὴ νομίσωσιν εἶναι ταῦτα ὀλοφυρομένου ῥήματα.

624, D. τῆς χάριτός ἐστιν.

625, A. ἐξ εἰλικρινίας—ἐνηχούμενοι.

626, A. οὕτως ἡμεῖς τοῦ κηρ.

628, B. ἀπολαύσουσι.—ὅτι οὕτως φησὶ παχεῖς. C. διακονίαν πνεύματος λέγων.

ἐν τῷ τῆς συγκρίσεως καὶ παραθέσεως ἣν ἔχει τουτέστι ἡ νέα. hoc Schol. in marg.

629, B. ὡς παυσόμενον.—ἐκεῖνο τετύχηκε δ.

630, A. μηδὲ ὑποστελλόμενοι.

B. Οἰκουμενίου: Διατί δὲ ὡσεὶ εἶπέν τις. D. οὐ δύνανται συνιδεῖν τὰ ἐν αὐτῇ.—καὶ αὐτὸς μὲν ὁ νόμος λέγει.

631, A. τὸ μὴ ἀπολύειν. ναῷ μόνον θύειν.

Κυρίλλου: In marg. οὕτως ἐν βιβλίῳ ΤΑ τῆς ἑρμηνείας τοῦ Λουκᾶ. Sed Cod. Roe. 16. ρλα cum Ed. Œcum.

632, A. περιήρει τὸ κάλυμμα.—περιαιρεῖται τὸ κάλυμμα αὐτῶν. D. τὴν δόξαν τοῦ Πνεύματος κατοπτριζόμενοι. In marg. οἷον ἐλλαμπόμενοι τῷ πνεύματι.—τῇ ἐκβολῇ τοῦ ἡλίου.—καὶ ἡμεῖς ἀντιπέμπομεν.

Θεοδωρήτου: Ἀπὸ δόξης λέγει τοῦ θείου πνεύματος εἰς δόξαν τὴν ἡμετέραν.

633, D. πρὸς μὲν τὰς θλίψεις οὐκ ἀπείπαμεν. ἀπειπάμεθα δὲ καὶ ἀπεκρουσάμεθα πρὸς τὰ κρυπτὰ τ. αἰσχ.—ἐν κρυφῇ.

634, B. τοιγαροῦν διὰ τὴν φανέρωσιν τῆς ἀληθείας συνιστῶμεν.

635, B. ἢ οὕτως νοήσεις μετὰ τοῦ ὑπερβάτου.

Κυρίλλου. ἐν τῷ πρώτῳ βιβλίῳ τῶν κατὰ Ἰουλιανοῦ ἐν ἀρχῇ: Θεὸς αἰῶνος ὀνομασθεὶς Θεὸς τοῖς ἀπίστοις, τουτέστιν ὁ Σατανᾶς. hoc Schol. in marg.

C. ὁ γὰρ μέλλων οὐκ ἔχει ἀπιστίαν.

636, A. ὡς ἐν παρεκδρομῇ λέγει. D. ἡ ἀληθὴς ἡμῖν τοῦ Πατρὸς γνῶσις. καὶ τέως αὐτὸ ὅτι Πατήρ ἐστι.

638, B. Θεοδωρήτου: Ἀντὶ τοῦ ἐν ἀπόροις πράγμασι πόρους εὑρίσκομεν σωτηρίας. hoc in marg. νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἣν περιέφερεν· οἱ θάνατοι οἱ καθημερινοὶ δι' ὧν καὶ ἀνάστασις ἐδείκνυτο et hoc in marg.

639, C. εἰδότες δὲ πόθεν;

640, A. ὅπερ ἐφθείρετο μαστιζόμενον. B. ὅρα προτροπήν.—τὸ ὀλιγοχρόνιον τὸ ταχύ.—δόξης ἀπεργάζεται. C. μὴ σκοπήσωμεν τὰ βλεπ.

641. Θεοδωρήτου: Ἐπίγειον οἰκίαν τὴν κατὰ τὸν παρόντα βίον λέγει διαγωγήν. hoc Schol. in marg.

Οἰκουμενίου: Ἐπίγειον οἰκίαν σκήνους τὸ σῶμα καλεῖ. D. ὡς εἰκὸς μερικῶς φθειρομένου.

Θεοδωρήτου: Στένομέν φησι, οὐκ ἀπαλλαγῆναι τοῦ σώματος ἐφιέμενοι, ἀλλὰ τῶν παθῶν αὐτοῦ ἐλεύθεροι γενέσθαι ποθοῦντες. οὐ γὰρ ἀποδύσασθαι τὸ σῶμα, ἀλλ' ἐπενδύσασθαι τὴν ἀφθαρσίαν ὀρεγόμενοι.

Τοῦ Αὐτοῦ: Οἰκητήριον ἐνταῦθα τὴν ἀφθαρσίαν ἐκάλεσεν.

642, B. τὸ πᾶν κατωρθῶσθαι. C. καὶ ἐκδυσώμεθα.—ἐπειδὴ θνητόν ἐστι καὶ φθαρτόν.

644, A. δείκνυσιν οὖν νεωτέραν τὴν ἐπὶ τ. δοκ.

645, B. ἵνα ἔχητε πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους καὶ οὐ καρδίᾳ ἔξω τι ἀπολογεῖσθαι.

Ἰωάννου: Ἐν τοῖς ἐρωμένοις—ἐν τοῖς προσεπίδειξιν, εὐλαβείας μὲν ἔχοντες προσωπεῖον, ἔργων δὲ ἀγαθῶν ἔρημοι καθεστῶτες.

Θεοδωρήτου: Σωφροσύνην ἐνταῦθα τὴν ταπεινοφροσύνην ἐκάλεσεν, ἔκστασιν δὲ τὴν τῶν κατορθωμάτων διήγησιν. ἀμφότερα δὲ ὀρθῷ ποιῶ λογισμῷ. hoc in marg.

Οἰκουμενίου: Ἢ οὕτως. Εἰ μέν τις ἡμᾶς μαίνεσθαι νομίζει.

646, D. σπουδάζωμεν καὶ ἡμεῖς.

647, A. εἰκότως δ' ἂν καὶ ὑμεῖς.—τρεῖς εἰσιν ὀφειλῆς ἀφορμαί. B. ὅτι ἡ κατὰ σάρκα ζωὴ ἐκβέβληται. C. οὕτως καὶ ἡμεῖς οὐκέτι φησιν εἶεν (sic) παθητὸν σαρκί. Οὕτως καὶ ὁ Κλήμης.

648, A. Ἰωάννου: Ποῖα ἀρχαῖα παρῆλθεν; ἤτοι τὰ ἁμαρτήματα. hoc Schol. in marg. B. ἀντὶ τοῦ μάννα.—ἀντὶ τοῦ ὕδατος τοῦ ἐκ τῆς πέτρας. C. ὢ φιλανθρωπίας βάθος—καὶ τὸ πρῶτον.

649, B. Θεοδωρήτου: Ἐπειδὴ διάκονος τῶν καταλλαγῶν ἔφη προκεχειρίσθαι, ἀναγκαίως τὴν πρεσβείαν προσφέρει. C. ποῖον δὴ τοῦτο;

650, A. ἀλλ' αὐτοδικαιοσύνη.

651, A. ὅτι δεῖ καὶ ὑμᾶς ὀρθ. ἐπιμ. C. ἢ πῶς τις ἀποδείκνυσιν. D. ὅταν δὲ καὶ πάντα καὶ ὁμοῦ.

652, A. παρὰ τῶν πολεμίων τῆς πίστεως ἐπήγετο.

Θεοδωρήτου: Ἀγνότητα καλεῖ τὴν τῶν χρημάτων ὑπεροψίαν—τὴν διδασκαλίαν καλεῖ. hoc Schol. in marg.

653, A. εὔχεσθέ, φησι, μὴ εἰσελθεῖν.

655, A. καὶ πάντας ἔνδον ἔχω—οὐ στενοχωρεῖσθε ἐν ἡμῖν—εὐρύναντος—εἰς τὸ πάντας διδάξαι. B. εἰ καὶ περισσοτέρως.

656, A. τουτέστιν ἀποστάτῃ καὶ τῷ Σατανᾷ. πᾶσι τρόποις ἀπεῖρξαι. D. διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε λέγει Κύριος, καὶ ἀφθάρτου μὴ ἅπτεσθε.

657, A. μνησικακία, λοιδορία. C. διὰ φόβον. ἀλλ' ὅτι γίνεται.

648, A. χωρήσατε, ἀντὶ τοῦ εἰσδέξασθε εἰς τὰς ὑμετέρας ψυχάς. hoc Sch. in marg.—ὅτι οὐκ ἠδικήσαμεν. B. καὶ μὴ ἐν καρδίᾳ εἶναί τινος, οὐ μήν.

659, A. ὡς ἀπὸ φιλοῦντος λεγόμενος.

Σεμνύνομαι γὰρ ἐφ' ὑμῖν, καὶ πανταχοῦ τὴν ὑμετέραν πίστιν ἀνακηρύττω. hoc Schol. in marg. ad voc. καύχησις. D. τούτους γὰρ τοὺς ἔξωθεν καλεῖν.

660, A. ἔσωθεν φόβοι] Θεοδωρήτου: Οὐ γὰρ ἡμᾶς συνεῖχεν ὁ πρὸς τοὺς ἐναντίους ἀγών, ἀλλὰ καὶ τῶν ἀσθενέστερον διακειμέ-

νων κατηνιλίσκαν (sic)· ἐδεδείημεν γὰρ αὐτῶν τὴν ἐπὶ τὰ χείρω ῥοπήν.

Θεοδωρήτου: Ἀπήγγειλε γάρ μοι ὅπως μὲν ἡμᾶς ποθεῖτε θεάσασθαι, ὅπως δὲ ἀποδύρεσθαι τὰ γινόμενα πλημμελήματα. καὶ ὅσον ὑπὲρ ἐμοῦ πρὸς τοὺς ἐναντίους ἀνεδέξασθε πολεμόν.

662, C. νῦν χαίρω οὐχ ὅτι ἐλυπήθητε.

663, C. λοιδοροῦντας ψευδαποστόλους. D. πλημμελήματις καθίστη.

664, B. ὅπερ αὐτῷ μέν ἐστι.

666, B. κἂν ἐπιπλῆξαι δέοι.

667, A. ἢ γὰρ ἂν δυσπαράδεκτον. C. δύο λεπτὰ προκρίνεται.

669, D. πίστει μὲν τῇ εἰς τὸν Κύριον.—εἰ γὰρ καὶ μὴ ἠγάπων.—περισσεύητε δὲ et mox δαψιλεύησθε.

670, A. δοκιμάσω γὰρ τουτέστι.

C. Οἰκουμενίου: Εἰ οὖν ἐκεῖνός φησιν ἐπτώχευσεν.

671, A. οὐ μόνον ἀρχὴν ἐσχήκατε. πληρώσατε αὐτῷ ὃ ἐνήρξασθε θέλειν. B. ἔχοντας εἰσενέγκαι. C. εὐπρόσδεκτός ἐστι Θεῷ. D. ἐκεῖνοι δὲ τὴν εἰς Θεὸν παρρησίαν.

672, D. τοὺς ἐπὶ τοῦτο σταλέντας—τοῦ συνεισενεγκεῖν ἐναγάγωσιν.

673, A. καὶ αὐτὸς οἴκοθεν. C. καὶ τοῦ φυγεῖν.

675, C. Ἀπόστολοι ἐκκλησιῶν, ἀπεσταλμένοι ὑπὸ ἐκκλησιῶν ἐξ ἐπιλογῆς δηλ. D. ὡσεὶ ἔλεγεν θέλετε δεῖξαι.

Οἰκουμενίου: Εἰς πρόσωπόν φησι τῶν ἐκκλησιῶν· τουτέστιν καὶ εἰς τιμήν.

676, B. θαρρούντως ex corr. man. C. ἔνι γὰρ καὶ ἐπὶ χρηστῷ ζῆλος.—πῶς οὐκ ἄτοπον ὑμᾶς ὑστερῆσαι. D. ἀποπέρυσι.

677, C. τοῦ δὲ ὡς ψευδῶς καυχ. D. ἐκεῖνος γὰρ ἀλγεῖ καταβάλλων, ὁ πλεονεκτούμενος δὲ διδοὺς ἐξ ἀναγκ.

677, C. οὕτως δωσάτω. D. δαψιλείας ἐστι σημαντικόν.

679, B. νῦν σπόρον καλεῖ.

680, C. ἀλλ' ὥστε θεαταὶ γενέσθαι τῆς θεόθεν δοθείσης ὑμῖν χάριτος. ἐπάρας αὐτοὺς τέλος τὸ πᾶν ἀνεθ.—χάριν ἐνταῦθα καλῶν καὶ τὸ ὑποτετάχθαι Κορινθίους τῷ εὐαγγ.

681, C. ἄρχεται τῶν ἐπιτιμ.—τῇ σιωπῇ νομισθείη. D. τὴν ἱκεσίαν ποιεῖται.—τὸν τῶν διαβ. χρησ. λόγον.

682, A. τὴν δύναμιν αὐτ. τὴν πνευμ. B. ἐπί τινάς, φησιν; C. πρὸς ἐπίδειξιν ἀνθρώπων ποιοῦντα.—τουτέστιν τὸ οὐ κατὰ σάρκα. D. καὶ οὕτως οὐ κατὰ σάρκα στρατ. ὅτι καὶ τὰ ὅπλα ἡμῶν οὐκ ἔστιν σαρκικὰ οἷς χρώμεθα.

683, B. σωματικόν τι νομίσωσιν.

684, A. ὅπως διορθωθῶσιν—ὑπακούετε μέν φησιν, καὶ νῦν. B. ἐκπληκτικώτερον.—εἴτις ἀρετῆς πρόσωπον. in Schol. Gennadii. B. ἐκ δὲ τῶν ἐπιπολῆς ἁπλῶς φαιν. λαμβάνεται. D. καὶ νῦν αὐτοῖς ἀνατείνει.

685, C. τοῦτο ἴστωσαν, ὅτι καὶ παρόντες καὶ ἀπόντες τῷ λόγῳ καὶ ταῖς ἐπιστολαῖς, οἱ αὐτοὶ ἐσμὲν καὶ παρόντες τῷ ἔργῳ.

687, C. μεγάλοις φησιν καὶ ὑπερβ. D. οὐδὲ αἰσθάνονται πῶς εἰσι καταγ.

688, D. τῷ γὰρ ὄντι ἄχρις ὑμ.

689, A. ἀλλ' ἐλπίζομεν φ. τῷ Θεῷ. C. προκαταβ. σπέρματα διδ.

690, A. εἴθε ἠνέχεσθέ μου.—ἀφροσύνης πρᾶγμα ποιοῦντος καὶ ἔργον. B. ἐπάγει Θεοῦ ζήλῳ. ζηλωτὴς λέγεται ὁ Θεὸς διὰ τὸ ἄγαν ἡμᾶς ἀγαπᾶν· ζηλοῖ δὲ ἵνα ὠφελήσῃ τοὺς ζηλοτυπουμένους, οὕτως οὖν φησὶ καὶ ἐγὼ τοιούτῳ ὑμᾶς ζήλῳ ζηλῶ ἵνα ὑμᾶς ὠφελήσω.—μετὰ γάμου. C. ὃς δοῦλον αὐτοῦ ἔπεμψεν—ἀμφιβόλως αὐτὸ λέγει. D. ἡ τῶν ψευδαποστόλων ἀπάτη.—τὴν τῶν ἔξωθεν.

691, D. ὧν οὐκ ἐλάβετέ φησιν.—τῷ προδιορισμῷ.

692, A. δίδωσι πάροδον. φλυαρίας ἀνεμίγνυον. B. ὅσα γὰρ ἂν φλυαρήσωσι—εἰς τὴν om.

693, A. τούτου νῦν χρεῖα ἦν.—δείκνυσιν αὐτὸς ὅτι οὐ φεύγει. B. ἑαυτὸν λιμῷ ταπειν.—οἰκοδομεῖσθε. D. παρ' αὐτοῖς ἦν καὶ ἐκήρυσσεν, οὐ μόνον γὰρ ἑτέρωθί μοι..

Οἰκουμενίου: Ἢ καὶ οὕτως. καὶ ταῦτά φησιν ὑστερηθεὶς οὐ κατενάρκησα.

695, C. καύχησιν δὲ αὐτὴν καλεῖ—οὐκ ἐγκοπήσεται. ἐν τοῖς κλήμασι. D. παρ' αὐτοῖς μὴ λαβών.—ἐπετήρουν οὖν οἱ ψευδ.

696, B. ὧδε τὸ πλέον ἔχειν.

698, C. *οὐκ ἂν ἧκεν.*

699, A. *ἐκέχρηντο αὐτοῖς οἱ ψευδαπόστολοι.* B. Ἰωάννου. Ἀσαφὲς τὸ *εἰρημένον—τίνος ἕνεκεν αὐτῶν.*

700, A. *διὸ ἐκκαθαίρει ἑαυτοῦ τὴν εὐγένειαν—κατὰ τὸν αὐτῶν λόγον.* B. *ὅτι τοῦτο ὡς μὴ ἀρεσθὲν ἐποίησεν.*

701, A. Οἰκουμενίου. Ὁρᾷς *ὅτι οὐ πάντα—πολλὰ γοῦν τῶν ἐνταῦθα εἰρημένων παρέλιπεν· οὐ γὰρ πρὸς φιλοτιμίαν αὐτῷ τὰ τῆς συγγραφῆς πεπόνηται—νυχθήμερον δὲ νηχόμενος διεγένετο μετὰ ναυάγιον. ἢ βύθον λέγει ἐν ᾧ μετὰ τὸν ἐν Λύστροις κίνδυνον κατακεκρύφθαι* (sic) *ἐν αὐτῷ.* C. *τὸ ἐκ τῶν ψευδωνύμων καὶ ὑποκριτῶν αδ.*

702, B. *παρὰ τῶν διωγμῶν—συνίσταντο γὰρ κατ' ἐμοῦ γνώμῃ κοινῇ.* C. *πάσης προνοοῦντα τῆς οἰκουμ.*

703, A. *οὕτως ὁ ἀποστολικὸς χαρακτήρ.* B. *κατὰ τῶν ἀντιθεμένων ὁ* Π.—*εὔχεσθε μὴ ἐμπεσεῖν.* D. *καίτοι εἶπεν ἄνω· πῶς οὖν ὧδέ—εἰς ἑτέρους δὲ ἐκφερόμενα.*

704, B. *ἢ τὸ " οὐ συμφέρει μοι" ἵνα μήτις μείζονα.*

705, A. *πηλικὸς νῦν ὑπάρχει.* C. Οἰκουμενίου. Ποῦ *εἰσὶν οἱ τὴν ψευδεπίγραφον ἀποκάλυψιν συγγραψ.*

706, A. *ἐὰν γὰρ καὶ καυχήσωμαι.* C. *εἰ καὶ τὰς ἀποκαλύψεις ἐφανέρου.*

706. *τοὺς ἀντικειμένους εἴρηκεν.*

708, A. *τῷ σε ταῦτα πάσχειν.* C. *τὴν τοῦ* Θεοῦ *δείκνυσι δυν.—ὀλοφ. τὰ τοιαῦτα εἶναι ῥημ.*

709, B. *ἐπιθυμῶ εἶναι ἐν τούτοις.* D. *λόγοις καὶ ἀπόλλοισθε.—ἐμάνθανον δόγματα.*

710, A. *ὑμῶν δὲ ἐκεῖνοι—ἠνάγκασμαι τοὺς λόγους—οὐδὲν ὑστέρησα ἢ ἐνέλιπον.*

711, A. *ἐπιχωριάζων ὑμῖν.* B. *τῆς ὑμῶν παραμελήσω σωτηρίας.* C. *πολλὰ διεξελήλυθεν.*

712, A. *αὐτοῖς κηρύσσων τρεῖς.—προδίδωσι.* B. *ἧττον δὲ ἀνταγαπώντων.* C. *εἰ θρέψωσι π.*

713, A. *εἰ μὴ χρήζωμεν συστ. ἐπ.* C. *ὃ λαλοῦμεν οὐ πρὸς χάριν ὑμῶν.* D. *τὸ δὲ " μου" προσκείμενον.*

714, A. *τοῖς ἄλλοις πλημμελουμένων.*

715, A. Θεοδωρήτου. πεῖραν λαβεῖν—μεμαθηκότες.

718, D. εἰ ἔτι ποιῶ αὐτά.

720, A. ἀναγκάζωμεν—χαίρω γὰρ ὅταν. B. ἐπέπληξεν αὐτοῖς. C. ὥσπερ ἀπολογεῖται.

721, D. ἐπεύχεται αὐτοῖς τὴν χάριν Ἰησοῦ.

His subjungam pauca quædam ex optimo Cod. Roe 16. qui est membran. XI. Sæculo exaratus; de quo Wolf. vid. nos in Præfat. ad Cat. in S. Matth.

I EP. AD COR.

Μεμέρισται ὁ Χριστός.

Σευηριανοῦ. Μὴ συγκληρονόμους ἔχει, φησὶν, ὁ Χριστὸς, ἵνα μερίσῃ τίς μετ' αὐτοῦ τοὺς σωζομένους; μή τινας ἔχει κοινωνοὺς καὶ σὺν αὐτῷ τὴν οἰκουμένην πληρώσαντας; Χριστὸς ὁ ὑπὲρ τοῦ κόσμου ἀποθανὼν, ὑμῶν δὲ οὐδείς.

Θεοδωρ. Τουτέστιν κατὰ μερίδα τινὲς μὲν τὸν Χριστὸν ἔλαχον.

Νοῦν Χριστοῦ ἔχομεν.

Γρηγόριος. Καὶ νῷ καὶ λόγῳ καὶ πνεύματι, τῇ μιᾷ συμπεφυίᾳ δὲ θεότητι.

Γρηγόριος. Πρῶτον μὲν ἐννόει τὰς οὐρανίους δυνάμεις καὶ τὸ ἐννόημα ἔργον ἦν, λόγῳ συμπληρούμενον καὶ πνεύματι τελειούμενον, καὶ πολλά μοι ἕτερα σύνηκται.

Ἔτι γὰρ σαρκικοί ἐστε.

Κυρίλλου. Ψυχικὸς ἄνθρωπός ἐστιν ὁ κατὰ σάρκα ζῶν, καὶ μήπω τὸν νοῦν φωτισθεὶς διὰ τοῦ Πνεύματος, ἀλλὰ μόνην τὴν ἔμφυτον καὶ ἀνθρωπίνην σύνεσιν ἔχων, ἣν ταῖς ἁπάντων ψυχαῖς ἐμβάλλει ὁ δημιουργός.

Ὁ δὲ ἀνακρίνων με Κύριός ἐστιν.

Εὐσεβίου. Παραινεῖ μὴ σπουδαῖον ἡγεῖσθαι τὸ ἑαυτοὺς ἐκδικεῖν, μὴ δὲ τὸ κρίνειν τοὺς ἡμαρτηκέναι δοκοῦντας, μὴ δὲ ταράσσεσθαι τοῖς ἐπὶ τοῦ παρόντος τὰς τῶν θνητῶν ὄψεις διαλανθανόντων. ἐπείπερ αὐτὸς ὁ Κύριος ἐπιστὰς τῷ τῶν μὲν ἀσεβῶν

φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, τῶν δὲ κοσμίων καὶ θεοσεβῶν δι' ἐπιείκειαν καὶ ἰδιοπραγμοσύνην, καὶ λανθανόντων τοὺς πολλοὺς φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· οἷς καὶ τὸν ἔπαινόν φησι γενήσεσθαι ἀπὸ τοῦ Θεοῦ.

ΣΕΥΗΡΙΑΝΟΥ. "Περικαθάρματα" *ἀντὶ τοῦ ἀποψήγματα. καὶ ὥσπερ ἀποσαρώματα.*

Ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει.

ΤΟΥ ἉΓΙΟΥ ἈΘΑΝΑΣΙΟΥ. *Ἔστι πρὸς τούτοις ἅπασιν καὶ τοῦ ἁγίου Ἀθανασίου ἑρμηνεία ἐν τῷ περὶ σεμνοῦ γάμου· πρὸς ὅλοις τούτοις ἑρμήνευσέν τις καὶ οὕτως.*

ἸΣΙΔΩΡΟΥ. *Ἐγένετο τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος ὅτε ἐν τῷ ἱερῷ κ. τ. λ.*

Ἐπαινῶ δὲ ὑμᾶς ἀδελφοί.

ΤΟ ἘΝΘΥΜΗΜΑ ΤΟΥ ΧΩΡΙΟΥ. Μέμφεται *αὐτοὺς, ὅτι αἱ μὲν γυναῖκες ἀκατακαλύπτῳ κεφαλῇ κ. τ. λ.*

τὸ δὲ αὐτὸ πνεῦμα.

ΘΕΟΔ. *Οὐχ οἷόν τε τὸν ὑπὸ τοῦ θείου* Πνεύματος *ἐνεργούμενον ἀλλότριον τῆς θείας φύσεως τὸν* Χριστὸν *ἀποφῆναι κ. τ. λ.*

ζηλοῦτε δὲ τὰ χαρίσματα.

ΘΕΟΔ. ΟΥΤΩΣ ΚΑΙ ἸΩΑΝΝΟΥ ΚΑΙ ΓΕΝΝΑΔΙΟΥ.

Ὅταν παραδῷ τὴν βασιλείαν.

ΤΟΥ ἘΝ ἉΓΙΟΙΣ ΚΥΡΙΛΛΟΥ ἘΝ ΒΙΒΛΩΙ Δ ΤΩΝ ΚΑΤΑ ἸΟΥΛΙΑΝΟΥ ΠΡΟΣ ΑΥΤΟ ΤΟ ΠΕΡΑΣ ΟΥΤΩ ΦΗΣΙΝ.

ΤΟΥ ἉΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΕἸΣ ΤΟΝ Β. ΠΕΡΙ ΥἹΟΥ ΛΟΓΟΝ. Οὐ *τέλος ἐπιτιθεὶς τῇ βασιλείᾳ εἶπεν τὸ ἄχρις, ἀλλὰ ἀξιόπιστον ποιῶν τὸ εἰρημένον καὶ θαρρεῖν παρασκευάζων.*

Αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται.

Εἶτα *ἵνα μή τις λέγει* hoc Sch. ergo non est Photii ut in Edd. in fine ὉΡΑ ΓΡΗΓΟΡΙΟΝ.

II EPIST.

Τύφλωσεν τὰ νοήματα.

Ἰωάννου. Τουτέστιν τῶν ἀπίστων τοῦ αἰῶνος τούτου ἐτύφλωσεν ὁ Θεὸς τὰ νοήματα· ὁ γὰρ μέλλων ἀπιστίαν οὐκ ἔχει. τὸ αὐτὸ καὶ Εἰρηναῖος.

στενάζομεν βαρούμενοι.

Θεοδωρήτου. Στένομέν φησι, οὐκ ἀπαλλαγῆναι τοῦ σώματος ἐφιέμενοι, ἀλλὰ τῶν παθῶν αὐτοῦ ἐλεύθερον γενέσθαι ποθοῦντες· οὐ γὰρ ἀποδύσασθαι τὸ σῶμα ἀλλ' ἐπενδύσασθαι τὴν ἀφθαρσίαν ὀρεγόμεθα.

Ἀρέθα διακόνου. Οὐχὶ διότι δεδοίκαμεν τὸν θάνατον, ἐπέρχεται δὲ ἡμῖν, διὰ τοῦτο στενάζομεν, ἀλλὰ στενάζομεν, τὴν μετὰ δόξης ἀφθαρσίαν ἐπενδύσασθαι ἐπιποθοῦντες.

Ἐν ἁγνότητι.

Θεοδώρου. Ἵνα εἴπῃ καὶ περὶ τοὺς γνωρίμους καὶ περὶ τοὺς ἀγνώστους σπουδάζοντες εἶναι μακρόθυμοι καὶ χρηστοί· τὸ γὰρ ἁγνότητι ἀγνοία λέγει καὶ οὐχὶ ἁγνεία.

Θεοδωρήτου. Ἁγνότητα λέγει τὴν τῶν χρημάτων ὑπεροψίαν· οὐδὲ γὰρ τὰς ἀναγκαίας χρείας παρὰ Κορινθίων ἐδέξατο· γνῶσιν δὲ ὡς οἶμαι τὴν διδασκαλίαν.

Ὁ σπείρων φειδομένως.

Φειδολῶς φησὶν καὶ κνιφῶς.

Τὰ κατὰ πρόσωπον βλέπετε;

Γενναδίου. Κατὰ ἐπιτιμητικὴν ὑπόκρισιν τοῦτο ἀναγνωστέον· ἀντὶ οὐκ ἐκ τῶν ἔργων τῆς ἀληθείας τὴν ἐξέτασιν, ἐκ δὲ τῶν ἐπιπολῆς ἁπλῶς φαινομένων λαμβάνετε.

AUCTORUM NOMINA

E QUIBUS

CATENA IN I EP. AD COR. CONFLATA EST.

II EP. AD COR.


OCT


SCHOENHOF & MOELLER
BOSTON
40 WINTER STREET 40

